Sed et Clemens, sanctissimus Alexandrinæ Ecclesiæ presbyter, vir antiquissimus, et qui non multum abfuit ab apostolicis temporibus, in libro *De Paschate* consimilia docet, ita scribens : *Præteritis ergo temporibus immolatum a Judæis Pascha, festum agens, manducavit Dominus. Sed postquam prædicavit ipse, qui erat Pascha Agnus Dei, ut ovis ad occisionem ductus discipulos statim edocuit figuræ mysterium decima quarta die, qua etiam illum rogarunt : « Ubi vis paremus tibi Pascha manducare ? »*

Ἀλλὰ καὶ Κλήμης ὁ ὁσιώτατος τῆς Ἀλεξανδρέων Ἐκκλησίας γεγονὼς ἱερεὺς, ἀνὴρ ἀρχαιότατος, καὶ οὐ μακρὰν τῶν ἀποστολικῶν γενόμενος χρόνων, ἐν τῷ *Περὶ τοῦ Πάσχα* λόγῳ τὰ παραπλήσια διδάσκει, γράφων οὕτως· *Τοῖς μὲν οὖν παρεληλυθόσιν ἔτεσι τὸ θυόμενον πρὸς Ἰουδαίων ἤσθιεν ἑορτάζων ὁ Κύριος Πάσχα· ἐπεὶ δὲ ἐκήρυξεν αὐτὸς ὢν τὸ Πάσχα ὁ Ἀμνὸς τοῦ Θεοῦ ὡς πρόβατον ἐπὶ σφαγὴν ἀγόμενος, αὐτίκα ἐδίδαξε μὲν τοὺς μαθητὰς τοῦ τύπου τὸ μυστήριον τῇ ιδ', ἐν ᾗ πυνθάνονται αὐτοῦ· « Ποῦ θέλεις ἑτοιμάσωμέν σοι τὸ Πάσχα φαγεῖν; »*

Ibid., pag. 224.

De recensitis vero discipulis LXX præter XII supra dictos, agit Clemens scriptor lib. V *Hypotyposeon*.

C Περὶ δὲ τῶν προγεγραμμένων σ' μαθητῶν τῶν μετὰ τοὺς ιβ' προτεταγμένους ἱστορεῖ Κλήμης ὁ συγγραφεὺς ἐν τῇ πέμπτῃ *Ὑποτυπώσεων*.

Ibid., pag. 232.

Quinto hoc anno Claudii Paulus, qui antea ordinatus fuerat apostolus, ingressus est Antiochiam magnam, et cum didicisset quæ sanctus Petrus egerat, ubique scandalum sustulit; omnesque admisit, eos complexus ac adhortatus, quemadmodum de illo scribunt Clemens et Tatianus chronographi.

Τούτῳ τῷ πέμπτῳ ἔτει Κλαυδίου, προχειροτονηθεὶς Παῦλος εἰσῆλθεν εἰς Ἀντιόχειαν τὴν μεγάλην, καὶ μαθὼν περὶ τοῦ ἁγίου Πέτρου, πανταχοῦ τὸ σκάνδαλον περιεῖλεν, καὶ πάντας ἐδέξατο καὶ ἠγάπα, προτρεψάμενος πάντας, καθὼς συνεγράψαντο τὰ περὶ τούτου Κλήμης καὶ Τατιανὸς οἱ χρονογράφοι.

Ibid., pag. 251.

Joannem apostolum et evangelistam ad tempora Trajani vitam produxisse scribit Irenæus. Clemens vero Alexandrinus iisdem consona tradit, illumque Asiam et finitimas provincias peragrasse, episcopis ubique ordinatis ac clericis constitutis.

Ἰωάννην τὸν ἀπόστολον καὶ εὐαγγελιστὴν μέχρι τοῦ Τραϊανοῦ χρόνων παραμεῖναι τῷ βίῳ Εἰρηναῖος ἱστορεῖ. Κλήμης δὲ ὁ Ἀλεξανδρεὺς καὶ αὐτὸς τὰ αὐτὰ σύμφησι, καὶ περιέναι αὐτὸν τὴν Ἀσίαν, καὶ τὰς πλησιοχώρους πατρίδας, ἐπισκόπους καθιστῶντα καὶ κληρικούς. D

Theodoretus, Hæretic. fab., lib. I, *cap.* 4.

Contra hos autem decertant Agrippas cognomento Castor, et Irenæus, et Clemens Stromateus, et Origenes pro veritate dimicantes.

Καταγωνίζονται δὲ τούτους Ἀγρίππας, ὁ καὶ Κάστωρ ἐπίκλην, καὶ Εἰρηναῖος, καὶ Κλήμης ὁ Στρωματεὺς, καὶ Ὠριγένης, τῆς ἀληθείας ὑπερμαχοῦντες.

Idem, ibid. cap. 6.

Quare non solum in publicis conviviis, lucernæ lumine remoto, in quam (mulierem *sc.*) quisque inciderat cum ea coibat, sed mysticum initiationis ritum incontinentiam hanc ducebant. Cujus rei testem Stromateum Clementem producam, virum sanctum, et qui abundantia doctrinæ omnibus antecelluit. Sic autem loquitur in tertio *Stromatum*, etc.

Οὐ δὴ χάριν, οὐκ ἐν τοῖς κοινοῖς δείπνοις μόνον, τὸ λυχνιαῖον φῶς ἐκποδὼν ποιούμενοι, ᾗπερ ἂν ἕκαστος ἐπέτυχε συνεμίγνυντο· ἀλλὰ δὴ καὶ τελετὴν τὴν τοιαύτην ἀκολασίαν ὑπειλήφεσαν μυστικήν. Καὶ τούτου δὴ μάρτυρα τὸν Στρωματέα παρέξομαι Κλήμεντα ἱερὸν ἄνδρα, καὶ πολυπειρίᾳ ἅπαντας ἀπολιπόντα. Λέγει δὲ οὕτως ἐν τῷ τρίτῳ τῶν *Στρωματέων*.

Idem, ibid., cap. 19.

Κατὰ δὲ Βαλεντίνου καὶ τῶν ἐξ ἐκείνου, καὶ Εἰρηναῖος, καὶ Κλήμης, καὶ Ὠριγένης.

A Contra Valentinum autem, eosque qui ab illo prodierunt, et Irenæus, et Clemens, et Origenes.

Idem, ibid., cap. 21.

Κατὰ τούτων συγγράφει Μουσανὸς τῆς ἀληθείας συνήγορος, καὶ Κλήμης ὁ Στρωματεύς.

Contra quos scribit Musanus veritatis patronus, et Clemens Stromateus.

Idem, ibid., lib. III, c. 1.

Ἡ Νικολαϊτῶν αἵρεσις, οὐ μόνον ἐξ ἀνοίας, ἀλλὰ καὶ ἐξ ἀκολασίας συνέστη. Σαφέστερον δὲ τὰ περὶ ταύτης ὁ Κλήμης ἐδίδαξεν..

Nicolaitarum hæresis non solum ex amentia, verum etiam ex intemperantia conflata est. De hac autem Clemens plenius disseruit, etc.

Ibid., paulo post.

Κατὰ τούτων καὶ ὁ προῤῥηθεὶς συνέγραψε Κλήμης, καὶ Εἰρηναῖος, καὶ Ὠριγένης.

B Contra hos scripsit prædictus Clemens, et Irenæus, et Origenes.

S. Maximus, Disputat. cum Pyrrho.

Κανόνι χρώμενος πρὸς τοῦτο τῷ ὄντι Φιλοσόφῳ τῶν φιλοσόφων Κλήμεντι, ἐν τῷ ἕκτῳ τῶν *Στρωματέων* λόγῳ, τὴν μὲν *θέλησιν* νοῦν εἶναι ὀρεκτικὸν ὁρισαμένῳ· τὴν δὲ *βούλησιν*, εὔλογον ὄρεξιν ἢ τὴν περί τινος θέλησιν.

In hoc pro regula usus (Athanasius) vere Philosopho philosophorum Clemente in VI libro *Stromatum;* qui *θέλησιν* (id est *voluntatem*) definivit *mentem appetentem*, et *βούλησιν* (ei affinem vocem) *appetitum rationi consentaneum.*

Joan. Damascenus, De duabus Christi voluntatibus.

Θέλησις τοίνυν ἐστὶν, κατὰ τὸν μακάριον Κλήμεντα, *δύναμις τοῦ κυρίως ὄντος ὀρεκτική*· καὶ πάλιν, *ὄρεξις τῇ τοῦ λογικοῦ φύσει κατάλληλος*· καὶ πάλιν, *αὐτοκράτορος νοῦ κίνησις αὐτεξούσιος.*

C Voluntas autem, beati Clementis sententia, est *ejus, quod proprie est, appetitio;* rursus, *voluntas appetitio est ejus quod ratione utitur, naturæ consentanea;* itemque, *mentis imperatricis liber motus.*

Idem, De imaginibus, orat. 3.

Τοῦ ἀρχαιοτάτου Κλήμεντος πρὸς Ἀλέξανδρον ἐκ τοῦ ἑβδόμου βιβλίου τῶν *Στρωματέων*. Οὐκοῦν οὐ μόνον ἐπαινεῖ τὰ καλὰ, ἀλλὰ αὐτὸς βιάζεται τοῦ εἶναι καλός· ἐκ τοῦ ἀγαθοῦ καὶ πιστοῦ δούλου μεταβαίνων δι' ἀγάπης εἰς φίλον, διὰ τὸ τέλειον τῆς ἕξεως, ὃ ἐκ μαθήσεως ἀληθοῦς καὶ συνασκήσεως πολλῆς καθαρῶς ἐκτήσατο. Ὡς ἂν οὖν ἐπ' ἄκρον γνώσεως ἥκῃ βιαζόμενος τῷ ἤθει καὶ κεκοσμημένος, τῷ σχήματι κατεσταλμένος, πάντα ἐκεῖνα ἔχων, ὅσα πλεονεκτήματά ἐστι τοῦ κατὰ ἀλήθειαν γνωστικοῦ, εἰς τὰς εἰκόνας ἀφορῶν τὰς καλάς. Πολλοὺς μὲν τοὺς κατωρθωκότας πρὸ αὐτοῦ πατριάρχας, παμπόλλους δὲ προφήτας, ἀπείρους δὲ ὅσους ἡμῖν ἀριθμῷ λογιζόμενος ἀγγέλους, καὶ τὸν ἐπὶ πᾶσι Κύριον, τὸν διδάξαντα καὶ παραστήσαντα, δυνατὸν εἶναι, τὸν κορυφαίων ἐκείνων κτήσασθαι βίον.

Antiquissimi Clementis ad Alexandrum ex libro *Stromatum* sexto. Itaque non solum laudat quæ recta sunt, sed ipse nititur esse bonus; ex bono fideliquc servo per charitatem amicus evadens habitus perfectione : quod quidem doctrina vera, exercitationeque multa plane consequitur. Sic igitur ad cognitionis fastigium ascendit, dum vitam moresque componit, seque in officio continet, et omnes illas prærogativas comparat, quæ sunt illius propriæ, qui se vere studiosum, cognitionisque cupidum profitetur, tanquam exemplaria quædam pulchra intuens multos patriarchas atque prophetas, qui ante se perfecti virtutum officiis exstiterunt, innumerabilesque angelos considerans, in primis- D que Dominum ipsum, qui docet, et præbet auxilium, quo perfectam principum illorum vitæ rationem assequi valeamus.

Photius, Biblioth. codd. 109, 110, 111.

Ἀνεγνώσθη Κλήμεντος Ἀλεξανδρέως πρεσβυτέρου τεύχη βιβλίων τρία· ὧν τὸ μὲν ἐπιγραφὴν ἔλαχεν, *Ὑποτυπώσεις*, τὸ δὲ *Στρωματεῖς*, τὸ δὲ *Παιδαγωγός*.

Αἱ μὲν οὖν *Ὑποτυπώσεις* διαλαμβάνουσι περὶ ῥητῶν τινων τῆς τε Παλαιᾶς καὶ Νέας Γραφῆς· ὧν καὶ κεφαλαιωδῶς, ὡς δῆθεν, ἐξήγησίν τε καὶ ἑρμηνείαν ποιεῖται. Καὶ ἔν τισι μὲν αὐτῶν ὀρθῶς δοκεῖ λέγειν, ἔν τισι δὲ παντελῶς εἰς ἀσεβεῖς καὶ μυθώδεις λόγους ἐκφέρεται. Ὕλην τε γὰρ ἄχρονον καὶ ἰδέας ὡς ἀπό τινων ῥητῶν εἰσαγομένας δοξάζει, καὶ τὸν Υἱὸν εἰς κτίσμα κατάγει. Ἔτι δὲ μετεμψυχώσεις, καὶ πολλοὺς πρὸ τοῦ Ἀδὰμ κόσμους τερατεύεται. Καὶ ἐκ τοῦ

Lecta sunt Clementis Alexandrini presbyteri tria librorum volumina; quorum unius inscriptio est, *Hypotyposes;* alterius *Stromateus;* tertii vero *Pædagogus.*

Hypotyposes quidem disceptationem continent locorum aliquot Veteris Novique Testamenti, quæ etiam summatim explicat et interpretatur. Etsi autem recte in quibusdam sentire visus est, in aliis rursus impie omnino fabuloseque disserit. Asserit enim materiam æternam esse, et ideas veluti certis decretis induci fingit : Filium quoque in rebus creatis numerat. Ad hæc animarum migrationes, multosque ante Adamum mundos prodigiose com-

miniscitur. Evam præterea, ex Adamo, non ut sacri libri tradunt, sed obscene atque impie educit. Angelos quoque cum feminis congressos, liberos inde sustulisse somniat. Quin et Verbum carnem non esse factum, sed ita visum duntaxat. Duo ad hæc Patris Verba finxisse deprehenditur, quorum minus mortalibus sit visum, imo ne hoc quidem; sic enim scribit : *Dicitur quidem et Filius Verbum æquivoce cum Patrio Verbo. Verum neque hoc illud Verbum est, quod caro factum est, neque etiam Patrium illud Verbum; sed vis quædam ac potestas Dei, tanquam a Verbo ipso profluens, mens effecta, hominum animos pervasit*. Quæ quidem omnia S. Scripturæ testimoniis aliquot astruere nititur. Quin etiam et alia id genus sexcenta blasphema voce nugatur, seu ipse, sive quis alius, ejus personam indutus; plane ut octo ipsos Libros hisce blasphemiarum portentis, de iisdem identidem disserendo, ac sparsim atque confuse, veluti stupore perculsus, Scripturas producendo, repleverit. Universi autem operis scopus fuisse videtur Geneseos, Exodi, Psalmorum, Epistolarum B. Pauli et Catholicarum, ac denique Ecclesiastici interpretatio. Hoc interim fatetur ipse, discipulum se fuisse Pantæni. Sed de *Hypotyposibus* hactenus.

Jam *Pædagogus* tribus libris conscriptus, vitam moresque informat : quibus et alium quemdam præmittit, adjungitque singularem librum, quo gentium refellit impietatem. Nihil autem simile habent hi omnes cum *Hypotyposibus*, quando et stolidis illis ac blasphemis opinionibus omnino vacant, et dictio ipsa in his floridior ad temperatam quamdam gravitatem non sine jucunditate assurgit, et varia illa, quæ in iis est, rerum cognitio, nihil habet minus conveniens. Extremo vero libro etiam de imaginibus commeminit.

Stromateon autem libri quoque octo sunt, adversus paganos atque hæreses pugnam instituentes; in quibus item sparsim, et non ordine capita recensentur; cujus quasi rationem reddere in extremo libro septimo hisce fere verbis videtur : *Hæc cum a nobis jam antea pertractata sint, et morum illa rudior formula per summa velut capita, quantum polliciti sumus, sparsim descripta, iis, quæ ad veram excitant cognitionem, dogmatibus ita hic illic inspersis; ut res illas sacras nactus quispiam, qui mysteriis nostris initiatus non sit, haud facile comperiat*, et quæ sequuntur. Hæc igitur, ut ipse fatetur, causa fuit, cur ista sine ordine congesserit.

Reperi autem in pervetere exemplari hoc opus non solum *Stromateon* nomine inscriptum, sed integre ad hunc modum : *Titi Flavii Clementis presbyteri Alexandrini Gnosticarum secundum veram philosophiam commentationum Stromateus* I, II, III, IV, V, VI, VII, VIII. Ac primi quidem septem eumdem præferunt titulum, iidemque prorsus sunt in omnibus codicibus. Verum octavus, cum inscriptione, tum rei subjectæ materia, variat. In quibusdam enim inscribitur : *Quis dives salvetur*, ejusque

A Ἀδὰμ τὴν Εὔαν, οὐχ ὡς ὁ ἐκκλησιαστικὸς λόγος βούλεται, ἀλλ' αἰσχρῶς τε καὶ ἀθέως ἀποφαίνεται· μίγνυσθαί τε τοὺς ἀγγέλους γυναιξὶ, καὶ παιδοποιεῖν ἐξ αὐτῶν ὀνειροπολεῖ. Καὶ μὴ σαρκωθῆναι τὸν Λόγον, ἀλλὰ δόξαι. Λόγους τε τοῦ Πατρὸς δύο τερατολογῶν ἀπελέγχεται· ὧν τὸν ἥττονα τοῖς ἀνθρώποις ἐπιφανῆναι, μᾶλλον δὲ οὐδὲ ἐκεῖνον· φησὶ γάρ· *Λέγεται μὲν καὶ ὁ Υἱὸς Λόγος, ὁμωνύμως τῷ Πατρικῷ Λόγῳ· ἀλλ' οὐχ οὗτός ἐστιν ὁ σὰρξ γενόμενος, οὐδὲ μὴν ὁ Πατρῷος Λόγος, ἀλλὰ δύναμίς τις τοῦ Θεοῦ οἷον ἀπόῤῥοια τοῦ Λόγου αὐτοῦ, νοῦς γενόμενος, τὰς τῶν ἀνθρώπων καρδίας διαπεφοίτηκε*. Καὶ ταῦτα πάντα ἀπὸ ῥητῶν τινων πειρᾶται κατασκευάζειν τῆς Γραφῆς. Καὶ ἄλλα δὲ μυρία βλασφημεῖ καὶ φλυαρεῖ, εἴτε αὐτὸς, εἴτε τις ἕτερος, τὸ αὐ-

B τοῦ πρόσωπον ὑποκριθείς. Ἐποιήθησαν δὲ αὐτῷ αἱ βλάσφημοι αὗται τερατολογίαι ἐν τόμοις ὀκτώ. Λέγει δὲ καὶ περὶ τῶν αὐτῶν πολλάκις, καὶ σποράδην καὶ συγκεχυμένως, ὥσπερ ἔμπληκτος, παράγει τὰ ῥητά. Ὁ δὲ ὅλος σκοπὸς, ὡσανεὶ ἑρμηνεῖαι τυγχάνουσι τῆς Γενέσεως, τῆς Ἐξόδου, τῶν Ψαλμῶν, τοῦ θείου Παύλου τῶν Ἐπιστολῶν, καὶ τῶν Καθολικῶν, καὶ τοῦ Ἐκκλησιαστικοῦ. Μαθητὴς δὲ, ὡς καὶ αὐτός φησι, γέγονε Πανταίνου. Ἀλλὰ ταῦτα μὲν αἱ Ὑποτυπώσεις.

Ὁ δὲ *Παιδαγωγὸς* ἐν τρισὶ τόμοις ἐστὶν αὐτῷ διαπεπονημένος, ἤθους καὶ βίου κατορθωτικὸς, ἔχει δὲ τούτων καὶ προηγούμενον καὶ συνταττόμενον λόγον ἕτερον, ἐν ᾧ τὴν Ἑλλήνων διελέγχει ἀθεότητα·

C οὐδὲν δὲ ὅμοιον ἔχουσι πρὸς τὰς Ὑποτυπώσεις οὗτοι οἱ λόγοι· τῶν τε γὰρ ματαίων καὶ βλασφήμων ἀπηλλαγμένοι δοξῶν καθεστήκασι, καὶ ἡ φράσις ἀνθηρὰ, καὶ εἰς ὄγκον ἠρμένη σύμμετρον μετὰ τοῦ ἡδέος, καὶ ἡ πολυμάθεια ἐμπρέπουσα. Μνημονεύει δὲ πρὸς τῷ τέλει περὶ εἰκόνων.

Οἱ δὲ *Στρωματεῖς* εἰσι μὲν καὶ αὐτοὶ ἐν ὀκτὼ λόγοις καθ' Ἑλλήνων καὶ αἱρέσεων τὸν ἀγῶνα εἰσενηνεγμένοι· σποράδην δὲ καὶ ὥσπερ οὐκ ἐν τάξει τὴν τῶν κεφαλαίων παράθεσιν κἀνταῦθα ποιεῖται, καὶ τὴν αἰτίαν ὥσπερ ἀποδιδοὺς ἐν τῷ τέλει τοῦ ἑβδόμου λόγου, αὐταῖς λέξεσιν οὕτως λέγει· *Τούτων ἡμῖν προδιηνυσμένων, καὶ τοῦ ἠθικοῦ τύπου ὡς ἐν κεφαλαίοις ὑπογραφέντος σποράδην τε, ὡς ὑπεσχήμεθα, καὶ διεῤῥιμμένως τὰ ζώπυρα τῆς ἀληθοῦς*

D *γνώσεως ἐγκατασπειράντων μαθήματα, ὡς μὴ ῥᾳδίαν εἶναι τῷ περιτυχόντι τῶν ἀμυήτων τὴν τῶν ἁγίων εὕρεσιν*, καὶ τὰ ἑξῆς. Ἡ μὲν οὖν διεῤῥιμμένως αὐτὰ κατατάξαι αὐτῷ αἰτία, ὥς φησι, γέγονεν.

Εὗρον μέντοι γε ἔν τινι παλαιῷ βιβλίῳ τὴν αὐτὴν πραγματείαν οὐχὶ *Στρωματεῖς* μόνον ἐπιγραφομένην, ἀλλ' ὁλοκλήρως οὕτως· *Τίτου Φλαβίου Κλήμεντος, πρεσβυτέρου Ἀλεξανδρείας τῶν κατὰ τὴν ἀληθῆ φιλοσοφίαν Γνωστικῶν ὑπομνημάτων Στρωματέων* α', β', γ', δ', ε', ς', ζ', καὶ η'. Ἀλλ' ὁ μὲν πρῶτος μέχρι τοῦ ἑβδόμου, τὴν αὐτὴν ἔχουσιν ἐπιγραφὴν, καὶ ἐνιαχοῦ τυγχάνουσιν ἐν ἅπασι τοῖς βιβλίοις. Ὁ μέντοι ὄγδοος διάφορός τέ ἐστι καὶ τῇ ἐπιγραφῇ καὶ τῷ ἐδάφει. Ἔν τισι μὲν γὰρ, *Τίς ὁ*

σωζόμενος κλοῦσιος, ἐπιγράφεται, καὶ ἄρχεται A οὕτως· *Οἱ μὲν τοὺς ἐγκωμιαστικοὺς λόγους*, καὶ τὰ ἑξῆς. Ἔν τισι δὲ Στρωματεὺς ὄγδοος, ὥσπερ καὶ οἱ πρὸ αὐτοῦ ἑπτὰ, ἐπιγράφεται καὶ ἀπάρχεται· *Ἀλλ' οὐδὲ οἱ παλαίτατοι τῶν φιλοσόφων*, καὶ τὰ ἑξῆς. Αὕτη δὲ ἡ τῶν *Στρωματέων* βίβλος ἐνιαχοῦ οὐχ ὑγιῶς διαλαμβάνει, οὐ μέντοι γε ὥσπερ αἱ *Ὑποτυπώσεις*, ἀλλὰ καὶ πρὸς πολλὰ τῶν ἐκεῖ διαμάχεται. Ἐπαγγέλλεται δὲ καὶ ἄλλα πεποιῆσθαι αὐτῷ συγγράμματα οὐκ ὀλίγα· καί γε καὶ ὑφ' ἑτέρων πεποιηκέναι μεμαρτύρηται, *Περί τε τοῦ Πάσχα*, καὶ *Περὶ νηστείας*, καὶ *Περὶ κακολογίας*, *Περὶ κανόνων ἐκκλησιαστικῶν*, *Κατὰ τῶν ἀκολουθούντων τῇ τῶν Ἰουδαίων πλάνῃ*, ὃν Ἀλεξάνδρῳ Ἱεροσολύμων ἐπισκόπῳ προσειπεῖν ἔδοξεν. Ἤκμασε δὲ Σεβήρου καὶ Ἀντωνίνου υἱοῦ αὐτοῦ, Ῥώμης βασιλευόντων.

principium est: *Qui laudatorias orationes*, et reliqua. In aliis vero Stromateus octavus, ut et reliqui septem libri, inscribitur et incipit: *Sed neque philosophi antiquissimi*, quæque sequuntur. *Stromateon* autem liber hic alicubi non sana tradit, non tamen ut *Hypotyposes;* nam multa etiam quæ ibi dicta fuerunt, oppugnat. Declarat autem a se alia non pauca conscripta esse; et vero etiam alii composuisse testantur *De Paschate*, *De jejunio*, *De obtrectatione*, *De canonibus ecclesiasticis*, et *Adversus eos qui Judæorum errorem sequuntur*, quem Alexandro Hierosolymorum episcopo nuncupasse videtur. Claruit vero Severo et Antonino ejus filio Romæ imperantibus.

Idem, cod. 232.

Ὅτι Ἱππόλυτος καὶ Εἰρηναῖος τὴν πρὸς Ἑβραίους B Ἐπιστολὴν Παύλου οὐκ ἐκείνου εἶναί φασι. Κλήμης μέντοι καὶ Εὐσέβιος, καὶ πολὺς ἄλλος τῶν θεοφόρων Πατέρων ὅμιλος, ταῖς ἄλλαις συναριθμοῦσι ταύτην Ἐπιστολαῖς.

Hippolytus et Irenæus Epistolam Pauli ad Hebræos dicunt non esse illius. Clemens quidem et Eusebius, aliorumque Patrum consensus hanc etiam aliis epistolis adnumerant.

Georg. Syncellus, Chronographiæ pag. 355.

Κλήμης ὁ Στρωματεὺς, πρεσβύτερος Ἀλεξανδρείας, ἄριστος διδάσκαλος, ἐν τῇ κατὰ Χριστὸν φιλοσοφίᾳ συντάττων διέλαμπεν.

Clemens *Stromatum* auctor, Alexandrinæ Ecclesiæ presbyter, doctor eximius, Christianæ philosophiæ scriptis clarebat.

ΚΛΗΜΕΝΤΟΣ
ΤΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ
ΛΟΓΟΣ ΠΡΟΤΡΕΠΤΙΚΟΣ (35)
ΠΡΟΣ ΕΛΛΗΝΑΣ.

CLEMENTIS ALEXANDRINI
COHORTATIO AD GENTES.

CAPUT I.

Ab orgiis et impiis idolorum mysteriis homines avocans, ad veram jubilationem Dei Verbi nomine provocat, et ad laudes Dei Patris ob revelatam veritatem celebrandas hortatur.

Ἀμφίων ὁ Θηβαῖος καὶ Ἀρίων ὁ Μηθυμναῖος ἄμφω C μὲν ἤστην ᾠδικὼ, μῦθος δὲ ἄμφω (καὶ τὸ ᾆσμα εἰσέτι τοῦτο Ἑλλήνων ᾄδεται χορῷ)· τέχνῃ τῇ μου-

I Amphion Thebanus, et Arion Methymnæus, uterque periti cantus, uterque fabula fuere (et in Græcorum choris id carmen adhuc decantari solet): quod

(35) *Λόγος Προτρεπτικός*. Protreptici titulum agnoscit et probat Auctor ipse, Strom. VII, his verbis: Καὶ περὶ μὲν τῆς δεισιδαιμονίας ἱκανῶς, οἶμαι, ἐν τῷ Προτρεπτικῷ ἐπιγραφομένῳ παρεστήσαμεν, κατακόρως τῇ κατεπειγούσῃ συγκαταχρώμενοι ἱστορίᾳ, H. SYLBURG. — Hoc est nobile illud scriptum, in quo, teste Photio, τὴν Ἑλλήνων διελέγχει ἀθεότητα, qui de ordine recepto in Clementis libris esse nos securos jubet. Postquam enim primo loco de *Pædagogo* egit, huic tamen primum deberi confitetur: Ἔχει δὲ τούτων καὶ προηγούμενον καὶ συντεττόμενον λόγον ἕτερον, ἐν ᾧ τῶν Ἑλλήνων διελέγχει ἀθεό-

* musicæ viribus, hic quidem piscem inescaverit, ille vero Thebas muris cinxerit. Alius quidam e Thracia artifex (fertur enim hæc inter gentes fabula) solo cantu feras mulsit, fagos etiam arbores e propriis sedibus in alienas transtulit. Possem tibi aliam quoque fabulam commemorare, et alium cantorem illis similem, Eunomum Locrensem et cicadam Pythicam. Nam in celebritate totius Græciæ, quæ propter mortuum draconem Pythone convenerat, Eunomus epitaphium serpenti cecinit, quod hymnus fuerit an lamentatio serpentis, haud satis dixerim: verum constituto illic certamine, Eunomus æstivo tempore cithara ludebat, dum cicadæ calore solis animatæ sub foliis canerent per montes, haud illam quidem draconi mortuo, sed sapientissimo Deo, solutam legibus cantilenam, Eunomi modis præ-

A σικῇ ὁ μὲν ἰχθὺν δελεάσας (36), ὁ δὲ Θήβας τειχίσας (37). Θρᾴκιος δὲ ἄλλος σοφιστὴς (38) (ἄλλος οὗτος μῦθος Ἑλληνικός) ἐτιθάσσευε τὰ θηρία γυμνῇ τῇ ᾠδῇ· καὶ δὴ τὰ δένδρα, τὰς φηγούς, μετεφύτευε τῇ μουσικῇ. Ἔχοιμ' ἂν σοι καὶ ἄλλον τούτοις ἀδελφὸν διηγήσασθαι μῦθον καὶ ᾠδόν, Εὔνομον τὸν Λοκρὸν (39), καὶ τέττιγα τὸν Πυθικόν. Πανήγυρις Ἑλληνικὴ ἐπὶ νεκρῷ δράκοντι συνεκροτεῖτο Πυθοῖ, ἐπιτάφιον ἑρπετοῦ, (40) ᾄδοντος Εὐνόμου· ὕμνος ἢ θρῆνος ὄφεως ἦν ἡ ᾠδή, οὐκ ἔχω λέγειν. Ἀγὼν δὲ ἦν, καὶ ἐκιθάριζεν ὥρᾳ καύματος Εὔνομος, ὁπηνίκα οἱ τέττιγες ὑπὸ τοῖς πετάλοις ᾖδον ἀνὰ τὰ ὄρη, θερόμενοι ἡλίῳ· ᾖδον δὲ ἄρα οὐ τῷ δράκοντι τῷ νεκρῷ (41), ἀλλὰ τῷ Θεῷ τῷ πανσόφῳ, αὐτόνομον ᾠδήν, τῶν Εὐνόμου βελτίονα νόμων· ῥήγνυται χορδὴ τῷ Λοκρῷ· B ἐφίπταται ὁ τέττιξ τῷ ζυγῷ· ἐτερέτιζεν ὡς ἐπὶ κλά-

* P. 2 ED. POTTER, 2 ED. PARIS.

τητα. Tertio deinde loco ponit τοὺς Στρωματεῖς, τοὺς ἐν ὀκτὼ λόγοις καθ' Ἑλλήνων καὶ αἱρέσεων τὸν ἀγῶνα εἰσενηνεγμένους. Sed et recte scriptum hoc ἐλεγκτικόν vocat; potissima enim pars est ἀποτρεπτική· in qua de inventione et origine, de materia, templis et imaginibus gentilium deorum, et judicio de iis saniorum inter gentiles agitur. Quare non minus Ἀποτρεπτικός inscribi poterat, quemadmodum Theodoreti Θεραπευτικός, sive τῶν Ἑλληνικῶν παθημάτων θεραπευτική. Heinsius. — Quamvis, ut observat P. Victorius *Var. Lect.* lib. iv, c. 18, veteribus λόγοι προτρεπτικοί dictæ sunt orationes, quæ rem aliquam laudando ad eam capessendam *adhortabantur;* unde Aristoteles a Græcis interpretibus traditur προτρεπτικόν confecisse, quo adolescentes *impelleret* ad studia philosophiæ. Ipse autem aliquando mecum cogitavi, an Cicero verbis C his ex Hortensio quæ citat Nonius, hujuscemodi orationem significarit: *Nam quod vereris, ne non conveniat nostris ætatibus ista oratio, quæ spectat ad hortandum.* Hæc ille. Pollux libro sexto citat Antisthenem ἐν τῷ Προτρεπτικῷ, et Galeni est Προτρεπτικὸς ἐπὶ τὰς τέχνας. Collect. — Nihilominus haud immerito προτρεπτικοί sermones vocantur, qui in refutatione falsarum opinionum præcipue versantur. Nemo enim melius ad amplectendam veritatem *hortatur*, quam qui adversos ipsi errores detegit. Unde Justinus martyr orationem illam, qua gentilium superstitiones redarguit, λόγον παραινετικὸν πρὸς Ἕλληνας appellavit. Quam, ut videtur, alio titulo τοῦ ἐλέγχου insignivit. Nam de hoc libro vix dubitaverim loqui Eusebium *Eccles. Hist.* lib. iv, cap. 18, ubi de S. Justini scriptis agit: Καὶ αὖθις ἕτερον πρὸς Ἕλληνας εἰς ἡμᾶς ἐλήλυθεν αὐτοῦ σύγγραμμα, ὃ καὶ ἐπέγραψεν Ἔλεγχον. Cæterum observat Heinsius, Photium nos docere, συντετάχθαι ταῦτα, *quod conjuncta jam olim fuerunt hæc* D *Clementis scripta.* De duobus enim primis postquam egit, Stromateωn libros statim subjungit. Itaque quemadmodum in multis, etiam in ordine, Πυθαγόρειος καὶ μυστηριώδης est Clemens. Primus enim est ἀποκάθαρσις, secundus μύησίς τε καὶ κατήχησις, tertius ἐποπτικός sive ἐποπτεία. Nam in primo, qui futuri Christiani sunt, *purgantur;* in secundo, facti jam *initiantur;* in tertio, ad sacra maxima, supremam Dei admittuntur notionem, et æternam contemplationem. Quod a studioso Clementis observari velle se dicit Heinsius. His porro adjiciendum, quod cum auctori propositum esset, ut gentes in perfectos Christianos formaret, primo illis persuadere aggreditur, ut relicto simulacrorum, falsorumque deorum cultu, sese ad veram religionem convertant. Quod quidem hoc sermone exsequitur, quem vocat Λόγον προτρεπτικόν, *suasoriam orationem*, uno vocabulo *Cohortationem* dicere placuit. Hanc proxime sequitur aliud opus, quo bene et secundum Evangelii rectæque rationis normam vivendi præcepta tradit. Quod, quia *pueris*, hoc est Christianis νεοφύτοις, necessariam doctrinam contineat Παιδαγωγοῦ titulo ornat. Tandem Στρωματέων libris, quibus id nominis indidit propter multiplicem, qua *contexti* sunt, materiæ varietatem, sublimiora religionis dogmata explicat, et diversa sentientes refellit. Atque hæc est præcipuorum Clementis operum, quæ quidem hodienum exstant, ἀκολουθία, quam ipse tradit *Pædag.* lib. i, cap. 1.

Cæterum *Cohortatio ad Gentes* duodecim capitibus constat, quorum summaria, ut etiam eorum, quæ singulis *Stromatum* libris continentur, et non paucas, tam in hos, quam in *Pædagogum*, *observationes* et *emendationes*, suis locis inserendas, perhumaniter mecum communicavit vir non vulgariter eruditus W. Lowthius, Ecclesiæ cathedralis Winthon. præbendarius.

(36) *Ὁ μὲν ἰχθὺν δελεάσας*. De Arione, præter auctores ab Herveto citatos, conf. Ælianus *Hist. animal.*, lib. ii, cap. 6; lib. vi, cap. 15; lib. xii, cap. 45. Gregor. Nazianz., *Carmine Nicobuli ad Filium*. Apud Latinos, Plinius, *Nat. Hist.* lib. viii, c. 9; Solinus, cap. 12, H. et R.; Plutarchus Symposio septem Sapientum. Sylburg.

(37) *Ὁ δὲ Θήβας τειχίσας*. De Amphione vid. Pausanias *Bœoticis*, Horatius *Artis Poeticæ*, v. 394; Ejusdem lib. iii, Od. 11; Solinus, cap. 13; Plutarchus, *De musica;* Propertius, l. iii, eleg. 2; Plato, lib. iii *De legibus*.

(38) *Θρᾴκιος σοφιστής*. Orpheus, cujus tota fabula exstat apud Ovidium in *Metamorphosi*. Vid. etiam Pausanias *Bœot.* Item Gregorius Nazianz., *Carm. ad Vitalium*, et *ad Nemesium*. Idem tamen Gregor. etiam allegorice hanc de Orpheo et Amphione fabulam transfert ad eloquentiam, *Carmine Nicobuli ad filium*, his verbis:

Ὀρφείη κιθάρη μῦθος πέλεν, ὥσπερ ἐΐσκω,
Πάντας ἄγων μελέεσσιν ὁμῶς ἀγαθούς τε κακούς [τε,
Ὡς δ' Ἀμφιονίη λύρη καὶ λᾶας ἔπειθε,
Ψυχὰς ἀντιτύπους πετρώδεας.

Sylburg.

(39) *Εὔνομον τὸν Λοκρόν*. De Eunomo et cicada narrat Antigonus Παραδόξων συναγωγῇ, initio. Sylburg. — De cicadis Locrensibus Ælianus *De animalibus*, lib. v, cap. 9. Vide proverbium *Acanthia cicada.* Collect. Conf. etiam Cononis Διήγησις quinta.

(40) *Ἐπιτάφιον ἑρπ.* Ἐπιτάφιον ἑρπετοῦ· ᾄδοντος Εὐν. ms. Nov.

(41) *Δράκοντι τῷ νεκρῷ.* Τῷ Πυθικῷ addit ms. Nov., interpretamenti, ut videtur, loco.

δη, τῷ ὀργάνῳ· καὶ τοῦ τέττιγος τῷ ᾄσματι ἁρμοσάμενος (42) ὁ ᾠδὸς, τὴν λείπουσαν ἀνεπλήρωσε χορδήν. Οὐκοῦν ᾠδῇ τῇ Εὐνόμου ἄγεται ὁ τέττιξ, ὡς ὁ μῦθος βούλεται, χαλκοῦν (43) ἀναστήσας Πυθοῖ τὸν Εὔνομον, αὐτῇ τῇ κιθάρᾳ, καὶ τὸν συναγωνιστὴν τοῦ Λοκροῦ· ὁ δὲ ἑκὼν ἐφίπταται, καὶ ᾄδει ἑκών· Ἕλλησι δὲ ἐδόκει ὑποκριτὴς γεγονέναι μουσικῆς. Πῆ δὴ οὖν μύθοις κενοῖς πεπιστεύκατε, θέλγεσθαι μουσικῇ τὰ ζῶα ὑπολαμβάνοντες· ἀληθείας δὲ ὑμῖν τὸ πρόσωπον τὸ φαιδρὸν μόνον, ὡς ἔοικεν, ἐπίπλαστον εἶναι δοκεῖ, καὶ τοῖς ἀπιστίας (44) ὑποπέπτωκεν (45) ὀφθαλμοῖς; Κιθαιρὼν δὲ ἄρα, καὶ Ἑλικὼν, καὶ τὰ Ὀδρυσῶν ὄρη, καὶ Θρᾳκῶν τελεστήρια, τῆς πλάνης τὰ μυστήρια, τεθείαται καὶ καθύμνηται. Ἐγὼ μὲν, εἰ καὶ μῦθός εἰσι, δυσανασχετῶ τοσαύταις ἐκτραγῳδουμέναις συμφοραῖς· ὑμῖν δὲ, καὶ τῶν κακῶν ἀναγραφαὶ γεγόνασι δράματα (46). Ἀλλὰ γὰρ τὰ μὲν δράματα, καὶ τοὺς ληναΐζοντας ποιητὰς, τέλεον ἤδη παροινοῦντας, κιττῷ (47) που ἀναδήσαντες, ἀφραίνοντας ἐκτόπως τελετῇ βακχικῇ, αὐτοῖς σατύροις, καὶ θιάσῳ μαινάλῃ (48) σὺν καὶ τῷ ἄλλῳ δαιμόνων χορῷ, Ἑλικῶνι καὶ Κιθαιρῶνι κατακλείσωμεν γεγηρακόσιν. Κατάγωμεν (49) δὲ ἄνωθεν ἐξ οὐρανῶν ἀλήθειαν, ἅμα φανωτάτῃ φρονήσει, εἰς ὄρος ἅγιον Θεοῦ καὶ χορὸν τὸν ἅγιον τὸν προφητικόν. Ἡ δὲ ὡς ὅτι μάλιστα τηλαυγὲς ἀποστίλβουσα φῶς, καταυγαζέτω πάντῃ τοὺς ἐν σκότει κυλινδουμένους, καὶ τῆς πλάνης τοὺς ἀνθρώπους ἀπαλλαττέτω, τὴν ὑπερτάτην (50) ὀρέγουσα (51) δεξιὰν, τὴν σύνεσιν, εἰς σωτηρίαν. Οἱ δὲ ἀνανεύσαντες (52) καὶ ἀνακύψαντες, Ἑλικῶνα μὲν καὶ Κιθαιρῶνα καταλειπόντων, οἰκούντων δὲ Σιών· *Ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ·* Λόγος οὐράνιος, ὁ γνήσιος ἀγωνιστὴς (53) ἐπὶ τῷ παντὸς κόσμου θεάτρῳ στεφανούμενος. Ἄδει δέ γε ὁ Εὔνομος ὁ ἐμὸς οὐ τὸν Τερπάνδρου νόμον, οὐδὲ

A stantiorem : tum rupta Locrensi chorda, in citharæ jugum advolat cicada, et instrumento musico tanquam ramo personat : citharœdus autem cicadæ cantui suum attemperans, deficientem chordam supplevit. Cicada ergo Eunomi cantu ducitur, ut in fabulis est, quæ æreum Eunomium, cum ipsa cithara, unaque sociam certaminis Pythone statuerunt : hæc autem sponte advolat, sponte etiam canit; et a gentibus musicam imitata fuisse credita est. Quare ergo vanissimis fabulis eam tribuistis fidem, ut bestias musica demulceri posse credatis : cum interea clarissima veritatis facies, sola vobis fuco esse obducta videatur, sola infidelibus oculis subjecta sit? Proinde Cithæron, et Helicon, et Odrysii montes, et Thracum telesteria, illa deceptionis myste-
B ria, divinum in cultum relata sunt hymnisque celebrantur : quibus ego calamitatibus, quæ tragice decantantur, quamvis fabulas esse noverim, haud leviter perturbor, utcunque inter vos humanæ miseriæ in scenis repræsentari ✠ soleant. Sed has quidem fabularum actiones, una cum poetis, qui tanquam Bacchanalia agentes penitus insaniunt, et ultra modum delirant, hedera redimitis more Bacchico, Satyris quoque ipsis, et furente turba Bacchantium, reliquoque deorum choro, in Heliconem et Cithæronem, qui jam consenuerunt, includamus. Horum loco veritatem, cum sapientia late splendente, in sanctum Dei montem, sanctumque prophetarum chorum e cœlo deducamus. Hæc autem clarissima
C sua luce omnes homines, qui in tenebris volutantur, undique illustret; et intelligentia, tanquam opitulatrice dextra, porrecta, ex erroribus in salutem vindicet. Tum illi, sublatis oculis, e tenebris emicantes, Helicone ac Cithærone desertis, Sion habitent : *Nam ex Sion egredietur lex, et verbum Do-*

✠ P. 3 ED. POTTER.

(42) *Τῷ ᾄσματι ἁρμοσάμενος*. Vult citharœdum cicadæ cantui suum instrumentum sic attemperasse, ut illa chordæ deficientis locum suppleret. Sic pag. 4 : Τὸν ἄνθρωπον ἁγίῳ Πνεύματι ἁρμοσάμενος. Et *Pædag.* lib. I sub finem cap. 12 : Ἡμᾶς ἁρμοσαμένους χρὴ σφᾶς αὐτοὺς πρὸς τὸν παιδαγωγὸν.... τῷ ὄντι ζῆν.

(43) *Ὠδῇ τῇ Εὐνόμου ἄγεται ὁ τέττιξ, ὡς ὁ μῦθος βούλεται, χαλκοῦν*. Hæc omittit ms. Nov. scriptoris haud dubio negligentia, qui sententiam inter voces ὁμοιοτελεύτους, scilicet οὐκοῦν et χαλ-
D κοῦν, positam oculo male festinanti præteriit.

(44) *Τοῖς ἀπιστίας*. Τοῖς τῆς ἀπιστίας, ms. Nov.

(45) *Ὑποπέπτωκεν*. Ὕποπτον, *suspectum*, legere mavult Lowthius. Sed ὑποπίπτειν eodem aut simili sensu adhibent, cum alii scriptores, tum etiam ipse Clemens.

(46) *Δράματα*. Hæc addit ms. Nov. : καὶ τῶν δραμάτων οἱ ὑποκριταὶ θυμηδίας θεάματα, *et fabularum actores jucunda spectacula*. Quæ propter δράματα et θεάματα, voces ὁμοιοτελεύτους, excidisse verisimile est.

(47) *Κιττῷ*. Scilicet more ebriorum et bacchantium, quibus hedera sese coronare, sacra Baccho arbore, solemne olim erat.

(48) *Μαινάλῃ*. Μαινώλῃ ms. Nov. Legendum porro μαινόλῃ. Nam μαινόλης est apud Hesychium et Suidam, et Clemens Bacchum postea vocat Διόνυσον μαινόλην p. 9, idemque in epigrammate μαινόλιος Βάκχος dicitur.

(49) *Κατάγωμεν*. Partes hujus sententiæ totidem præcedentis partibus sunt ἀντίστοιχοι· scilicet ἀλήθεια et φρόνησις Christianorum, τῇ πλάνῃ et ἀφραδίᾳ gentium : Mons Dei, poeticis montibus, Heliconi et Cithæroni : prophetarum denique chorus dæmonum et bacchantium choro respondet.

(50) *Ὑπερτάτην*. Id est, ἰσχυροτάτην. Quemadmodum apud Sophoclem, ἐξ ὑπερτέρας χειρός explicari solet ἰσχυροτέρας, seu μετὰ δυνάμεως μείζονος.

(51) *Ὀρέγουσα*. Ὀρέγουσαν ms. Nov. manifesto errore.

(52) *Οἱ δὲ ἀνανεύσαντες*. Simile est, quod postea dicit hujus libri pag. 66 : Ἀνανεύσατε τῆς γῆς εἰς αἰθέρα, ἀναβλέψατε εἰς οὐρανόν : *a terra in æthérem oculos attollite, in cœlum suspicite*. Nam ἀνανεύειν hoc loco non est ἀνανήφειν, *ad se reverti*, ut Hervetus, et post eum alii putarunt; sed idem fere quod ἀνακύψαι, *sursum oculos attollere*.

(53) *Γνήσιος ἀγων*. Per metaphoram a Græcis certaminibus sumptam, in quibus coronæ victoribus dari solebant, dicit Christum, quem οὐράνιον Logon vocat, universas totius mundi gentes tandem devicisse. Similis locus occurrit hujusce libri, pag. 68, 69. Γνήσιος γὰρ ἦν ἀγωνιστὴς, καὶ τοῦ πλάσματος συναγωνιστής· τάχιστα δὲ εἰς πάντας ἀνθρώπους διαδοθεὶς, θᾶττον ἡλίου ἐξ αὐτῆς ἀνατείλας τῆς πατρικῆς βουλήσεως ῥᾷστα ἡμῖν ἐπέλαμψε τὸν Θεόν. Conf. Strom. VII, pag. 710.

mini de Hierusalem[1]: cœleste, inquam, *Verbum*, ob legitimi certaminis victoriam in theatro totius mundi coronatum. Et meus quidem Eunomus, non Terpandri modum, non Capitonis, non Phrygium, non Lydium, non Doricum canit; sed æternum *canticum*[2], Leviticum,

Leniens dolorem, iramque, et malorum oblivionem
[*inducens omnium.*

Etenim dulce quoddam, et in animis hominum potens pharmacum, cum hoc cantico commistum est. Mihi autem videntur Thracius ille Orpheus, et Thebanus alter, tertiusque Methymnæus, viri quidam, non viri, ✠ impostores fuisse, qui prætextu musicæ labefactarunt humanam vitam, utque mores ingeniosis suis præstigiis corrumperent, dæmoniaco quodam furore stimulati, probra et dolores hominum in religionem, deorumque cæremonias trahendo, eos ad simulacrorum cultum primi converterunt. Quinetiam lapidibus et lignis, hoc est statuis et simulacris, tanquam fundamentis constituendæ inter gentes impuritatis usi, illam vere pulchram libertatem hominum sub cœlo agentium, carminibus suis et incantationibus extremæ servituti illigarunt; non est autem ejusmodi meus cantor, qui, ut servitium **2** dæmonum crudeliter dominantium brevi dissolveret, advenit; nos autem ad mite et facile jugum pietatis traducit, humique

A τὸν Καπίτωνος, οὐδὲ μὴν Φρύγιον, ἢ Λύδιον, ἢ Δώριον, ἀλλὰ τῆς καινῆς ἁρμονίας τὸν ἀΐδιον νόμον, τὸν φερώνυμον τοῦ Θεοῦ, *τὸ ᾆσμα τὸ καιν.ν* (54), τὸ Λευιτικόν,

novæ harmoniæ modum, Dei cognominem, *novum*

Νηπενθές (55) *τ' ἄχολόν τε, κακῶν ἐπίληθες*
[*ἁπάντων.*

Γλυκύ τε καὶ ἀληθινὸν φάρμακον πειθοῦς ἐγκέκραται τῷ ᾄσματι. Ἐμοὶ μὲν οὖν δοκοῦσιν ὁ Θράκιος ἐκεῖνος Ὀρφεὺς καὶ ὁ Θηβαῖος, καὶ ὁ Μηθυμναῖος, ἄνδρες τινὲς, οὐκ ἄνδρες (56), ἀπατηλοὶ γεγονέναι, προσχήματι μουσικῆς (57) λυμηνάμενοι τὸν βίον, ἐντέχνῳ τινὶ γοητείᾳ δαιμονῶντες εἰς διαφθορὰς, B ὕβρεις ὀργιάζοντες, πένθη ἐκθειάζοντες, τοὺς ἀνθρώπους ἐπὶ τὰ εἴδωλα χειραγωγῆσαι πρῶτοι· ναὶ μὴν λίθοις καὶ ξύλοις, τουτέστιν ἀγάλμασι καὶ σκιαγραφίαις, ἀνοικοδομῆσαι τὴν σκαιότητα τοῦ ἔθνους (58)· τὴν καλὴν ὄντως ἐκείνην ἐλευθερίαν τῶν ὑπ' οὐρανὸν πεπολιτευμένων ᾠδαῖς καὶ ἐπῳδαῖς ἐσχάτῃ δουλείᾳ καταζεύξαντες (59)· ἀλλ' οὐ τοιόσδε ὁ ᾠδὸς ὁ ἐμὸς, οὐδ' εἰς μακρὰν καταλύσων (60) ἀφῖκται τὴν δουλείαν τὴν πικρὰν τῶν τυραννούντων δαιμόνων· ὡς δὲ τὸν πρᾶον καὶ φιλάνθρωπον τῆς θεοσεβείας μετάγων ἡμᾶς ζυγὸν, αὖθις εἰς οὐρανοὺς ἀνακαλεῖται τοὺς εἰς γῆν ἐῤῥιμμένους. Μόνος γοῦν τῶν πώποτε τὰ ἀργαλεώτατα θηρία (61), τοὺς ἀνθρώπους, ἐτιθάσσευεν·

✠ P. 4 ED. POTTER, 3 ED. PARIS. [1] Isa. II, 3. [2] Psal. XCV, 1; XCVII, 1.

(54) *Τὸ ᾆσμα τὸ καινόν.* Quia hoc velit, paulo post satis plene explicat p. 5.

(55) *Νηπενθές τ'. ...τ'* omittit ms. Nov. Respicit autem Clemens *Odyss.* Δ, v. 220, quo loco de Circe hæc scribit Homerus:

Αὐτίκ' ἄρ' εἰς οἶνον βάλε φάρμακον, ἔνθεν ἔπινον,
Νηπενθές τ', ἄχολόν τε, κακῶν ἐπίληθες ἁπάντων.

Statim autem in vinum injecit medicamentum, inter
[*bibendum,*
Quod luctum sedat, iramque, et malorum omnium
[*oblivionem inducit.*

Conf. etiam Gregorii Nazianz. *Carm. Nicobuli ad filium*, v. 202.

(56) *Ἄνδρες τινὲς, οὐκ ἄνδρες.* Gatakerus, in *Advers.* cap. 8, ait: Lege οὐκ ἀΐδριες. *Non inscitos, non imperitos*, sed callidos, gnaros, astutos, i. e. ἀπατηλούς, uti continuo sequitur, appellat: utpote qui artificii musici lenocinio, tanquam carmine quodam magico delinitos in fraudem ac perniciem, morumque labem, et simulacrorum cultum, ac dæmonum malignorum servitium, mortales miseros illexerint. Hæc ille. Verumtamen veterem lectionem retinere visum est: quippe cum velit auctor, eos, qui humano generi tantam perniciem intulerunt, non tam *viros* esse, quam dæmones, habendos. Quemadmodum alias homines vitiis deditos dicit θηρία μᾶλλον ἢ ἀνθρώπους, *feras potius bestias, quam homines*, esse, *Strom.* IV, p. 479, homines ἀφελεῖς, *simplices*, ὡς ἄρνας, οὐκ ἄνδρας, *tanquam agnos* habendos esse, non *viros*, *Pædag.* lib. I, cap. 5, p. 86. Denique viros molles et effeminatos, οὐκ ἄνδρας, βατάλους δὲ, καὶ γύνιδας, *non* esse vocandos *viros*, *sed batalos et semiviros*. Simile est, quod de falso dictis philosophis protulit Tatianus pag. 15 ed. Oxon.: Μὴ παρασυρέτωσαν ὑμᾶς αἱ τῶν φιλοσόφων καὶ οὐ φιλοσόφων πανηγύρεις. *Ne vos traducant philosophorum istorum* C *non philosophorum cœtus.* Illud item Euripidis *Ores.* v. 1555.

Δισσοῖν λεόντοιν· οὐ γὰρ ἄνδρ' αὐτὼ καλῶ.
Duorum leonum: non enim viros eos voco.

Et quod dixit *Constit. apost.* auctor, lib. II, cap. 21: Παραδώσεις λύκοις εἰς κατάβρωμα, τουτέστι δαίμοσι καὶ πονηροῖς ἀνθρώποις, μᾶλλον δὲ οὐκ ἀνθρώποις, ἀλλὰ θηρίοις ἀνθρωποειδέσιν, ἐθνικοῖς, καὶ Ἰουδαϊσταῖς καὶ αἱρεσιώταις ἀθέοις. *Devorandum trades lupis, hoc est dæmonibus et pravis hominibus: imo vero non hominibus, sed feris humana forma præditis, ethnicis nempe, judaizantibus et impiis hæreticis.*

(57) *Προσχήματι μουσ.* Προσχήματι μουσικῆς· λυμηνάμενοι τὸν βίον ἐντέχνῳ τινὶ γοητείᾳ δαιμονῶντες· εἰς διαφθορὰς ὕβρεις ὀργιάζ. Ms. Nov. Similia his habet Minutius *Octavio*: *Considera denique sacra ipsa et ipsa mysteria, invenies exitus tristes, fata et funera, et luctus atque planctus.* Athenagoras *Lega-* D *tione*, Τὰ πάθη αὐτῶν, inquit, δεικνύουσι μυστήρια. *Deorum passiones et libidines vocant mysteria.*

(58) *Σκαιότητα τοῦ ἔθνους.* Scribe ἔθους *consuetudinis*, auctoritate ms. Nov. Similiter apud Philonem Judæum, lib. I *De vita Moysis*, pag. 645, pro ἐθνῶν ἰδιότητα, scribendum ex codice ms. G. Wheleri, ἐθῶν ἰδιότητα.

(59) *Καταζεύξαντες.* In exemplari scriptum ambiguo errore κατεξεύξαντες. H. legit κατιξεύσαντες, ut sit, *ceu visco involventes.* Nostrum et H. καταζεύξαντες confirmat continuata ζυγοῦ metaphora, et repetita inferius ejusdem verbi usurpatio: τῶν ἀνθρώπων τὴν συνωρίδα καταζεύξας εἰς τὸν Θεόν. SYLBURG.

(60) *Καταλύσων.* Paria sunt quæ dixit Tatianus, cap. 47, p. 103: ὅτι λύει τὴν ἐν κόσμῳ δουλείαν, καὶ ἀρχόντων μὲν πολλῶν καὶ μυρίων ἡμᾶς ἀποσπᾷ. *A servitute mundi solvunt* (sacræ sc. Scripturæ) *et a multis dominis et innumeris tyrannis liberant.*

(61) *Θηρία.* His similia habes *Strom.* IV, p. 479.

πτηνὰ μὲν, τοὺς κούφους αὐτῶν· ἑρπετὰ δὲ, τοὺς ἀπατεῶνας· καὶ λέοντας μὲν, τοὺς θυμικούς· σύας δὲ, τοὺς ἡδονικούς· λύκους δὲ, τοὺς ἁρπακτικούς. Λίθοι δὲ καὶ ξύλα οἱ ἄφρονες· πρὸς δὲ καὶ λίθων ἀναισθητότερος ἄνθρωπος ἀγνοίᾳ βεβαπτισμένος. Μάρτυς ἡμῖν προφητικὴ παρίτω φωνὴ, συνῳδὸς ἀληθείας, τοὺς ἐν ἀγνοίᾳ καὶ ἀνοίᾳ κατατετριμμένους οἰκτείρουσα· *Δυνατὸς γὰρ* (62) *ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ*· ὃς, κατελεήσας τὴν ἀμαθίαν τὴν πολλὴν καὶ τὴν *σκληροκαρδίαν* τῶν εἰς τὴν ἀλήθειαν λελιθωμένων, ἤγειρεν θεοσεβείας σπέρμα, ἀρετῆς αἰσθόμενον, ἐκ λίθων ἐκείνων, τῶν λίθοις πεπιστευκότων ἐθνῶν. Αὖθις οὖν ἰοβόλους τινὰς καὶ παλιμβόλους ὑποκριτὰς ἐφοδεύοντας δικαιοσύνῃ *γεννήματα ἐχιδνῶν* κέκληκέ που· ἀλλὰ καὶ τούτων εἴ τις τῶν ὄφεων μετανοῆσαι ἑκὼν, ἑπόμενος δὴ τῷ Λόγῳ, *ἄνθρωπος* γίνεται *Θεοῦ*. *Λύκους* δὲ ἄλλους ἀλληγορεῖ *προβάτων κωδίοις ἠμφιεσμένους*, τοὺς ἐν ἀνθρώπων μορφαῖς ἁρπακτικοὺς αἰνιττόμενος. Καὶ πάντα ἄρα ταῦτα τὰ ἀγριώτατα (63) θηρία, καὶ τοὺς τοιούτους λίθους, ἡ οὐράνιος ᾠδὴ μετεμόρφωσεν εἰς ἀνθρώπους ἡμέρους. *Ἦμεν γὰρ*, ἦμέν *ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἡδοναῖς καὶ ἐπιθυμίαις ποικίλαις, ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες, στυγητοὶ, μισοῦντες ἀλλήλους*, ᾗ φησιν ἡ ἀποστολικὴ γραφή. *Ὅτε δὲ ἡ χρηστότης, καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ, ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸ αὐτοῦ ἔλεος ἔσωσεν ἡμᾶς*. Ὅρα τὸ ᾆσμα τὸ καινὸν ὅσον ἴσχυσεν· ἀνθρώπους ἐκ λίθων, καὶ ἀνθρώπους ἐκ θηρίων πεποίηκεν· οἱ δὲ τηνάλλως ὡς νεκροὶ (64), οἱ τῆς ὄντως οὔσης ἀμέτοχοι ζωῆς, ἀκροαταὶ μόνον γενόμενοι τοῦ ᾄσματος, ἀνεβίωσαν. Τοῦτό τοι καὶ τὸ πᾶν ἐκόσμησεν ἐμμελῶς, καὶ τῶν στοιχείων τὴν διαφωνίαν εἰς τάξιν ἐνέτεινεν ἐμφωνίας (65), ἵνα δὴ ὅλος ὁ κόσμος αὐτῷ ἁρμονία γένηται· καὶ θάλασσαν μὲν ἀνῆκε λελυμένην, γῆς δὲ ἐπιβαίνειν κεκώλυκεν (66) αὐτήν. Γῆν δ' ἔμπαλιν ἐστερέωσε, φερομένην, καὶ ὅρον αὐτῇ ἔπηξε θάλασσαν. Καὶ μὴν καὶ πυρὸς (67) ὁρμὴν ἐμάλαξεν ἀέρι, οἱονεὶ Δώριον ἁρμονίαν κεράσας Λυδίῳ· καὶ τὴν ἀέρος ἀπηνῆ ψυχρότητα τῇ παραπλοκῇ τοῦ πυρὸς ἐτιθάσσευσε, τοὺς νεάτους τῶν ὅλων φθόγγους τούτους κιρνὰς ἐμμελῶς. Καὶ δὴ τὸ ᾆσμα τὸ ἀκήρατον, ἔρεισμα τῶν ὅλων, καὶ ἁρμονία τῶν πάντων, ἀπὸ τῶν μέσων ἐπὶ τὰ πέρατα, καὶ ἀπὸ τῶν ἄκρων ἐπὶ τὰ μέσα διαταθὲν, ἡρμόσατο τόδε τὸ πᾶν, οὐ κατὰ τὴν Θρᾴκιον μουσικὴν, τὴν παραπλήσιον Τουβὰλ (68), κατὰ δὲ τὴν πάτριον τοῦ

A abjectos ad cœlum revocat. Solus igitur ille inter omnes, quos adhuc novimus, feras sævissimas, homines, mansuefecit; volucres quidem, qui leves ex illis sunt; reptiles, qui deceptores; leones, qui iracundi; sues, qui voluptatibus dediti; lupos denique, qui rapaces. Lapides autem et ligna sunt insipientes, nisi quod qui ignorantia imbuitur, ipsis quoque lapidibus stupidior esse comperiatur. Testem advoco vocem illam propheticam veritati consonam, qua deploratur eorum miseria, qui ignorantia et amentia conteruntur: *Potens* enim *est Deus de lapidibus istis suscitare filios Abrahæ* [3]. Qui maximam eorum inscitiam et *duricordiam* miseratus, qui ad veritatem plane lapides facti sunt, ex his lapidibus, nempe gentibus, quæ in lapides crediderunt, pietatis semen sensu virtutis B præditum suscitavit. Rursum illos veneficos et versipelles hypocritas, qui justitiæ clam insidiabantur, quodam loco *progeniem viperarum* appellavit [4]: sed tamen horum etiam serpentum si quis voluntaria ductus pœnitentia Verbum sequatur, is *homo Dei* efficitur [5]. Alios item vocat *lupos pellibus ovium indutos* [6], rapaces homines innuens. Has igitur omnes immanissimas feras, et hujusmodi lapides, cœlestis ille cantus in mansuetos homines transformavit. *Eramus enim*, eramus *aliquando et nos insipientes, increduli, errantes, servientes voluptatibus et desideriis variis, in malitia et invidia agentes, odibiles, et odientes invicem* [7], ut ait scriptura apostolica. ✠ *Cum autem benignitas et humanitas* C *apparuit Salvatoris nostri Dei, non ex operibus justitiæ, quæ fecimus nos, sed secundum suam misericordiam salvos nos fecit* [8]. En! quantam habet vim illud novum canticum, quod homines ex lapidibus, homines ex feris formavit; quin et ii, qui alioquin veluti mortui fuerunt, utpote illa, quæ sola vera est vita, privati, audito hoc cantico, statim revixerunt. Hoc et universitatem rerum apteque numeroseque concinnavit, et elementa dissonantia sic docuit servare concentum, ut totus hic mundus harmonia quadam constaret. Mari quidem humidam et instabilem naturam dedit, et tamen terram incursare prohibuit. Terram vero, quæ prius huc illuc fluitabat, immobilem fecit, eique mare pro termino con- D stituit. Quin etiam circumfuso aere vim ignis mollivit, quodammodo Doricos modos Lydiis moderans: et immite frigus aeris ignis complexu lenivit, hujus universi partibus, tanquam extremis sonis, æqualiter temperatis: proinde hoc immortale can-

✠ P. 5 ED. POTTER, 4 ED. PARIS. [3] Matth. III, 9; Luc. III, 8. [4] Matth. III, 7; Luc. III, 7. [5] II Tim. III, 17. [6] Matth. VII, 15. [7] Tit. III, 3. [8] Tit. III, 4, 5.

(62) *Δυνατὸς γάρ*. Hanc interpretationem ex Irenæo forte sumpsit Clemens. Is enim lib. IV, cap. 16, hæc ait: *Potens est enim Deus*, etc. *Hoc autem fecit Jesus a lapidum religione extrahens nos, et a nostris duris et infructuosis cogitationibus transferens nos, et similem Abrahæ fidem in nobis constituens.*

(63) *Τὰ ἀγρ*. Τά omittit ms. Nov.

(64) *Ὡς νεκρ*. Ὡς omittit ms. Nov.

(65) *Ἐνέτεινεν ἐμφωνίας*. Scribe ex ms. Nov. ἐνέτεινε συμφωνίας. Etenim συμφωνία præcedenti διαφωνίᾳ melius respondet quam ἐμφωνία. Quod Sylburgius etiam vidit.

(66) *Κεκώλ*. Κεκώλυκεν αὐτὴν δὴ γῆν ἔμπαλιν, ἐστερέωσε φέρ. Ms. Nov. Idem mox pro ἐτιθάσσευσε habet ἐτιθάσσευεν.

(67) *Πυρός*. Scilicet ignis elementaris, quem supra aerem sub concavo lunæ cum Aristotele ponere videtur.

(68) *Τουβάλ*. Ille, cum e Caini familia esset, musicam invenit; quam proinde Clemens, ut profa-

ticum, totius firmamentum, omniumque partium harmonia, a mediis ad extremos fines, et rursus a finibus ad media pertingens, hoc universum apte disposuit, non quidem secundum Thraciam musicam, quæ similis est ei, quam invenit Tubal; sed secundum eam, quam æmulatus est David, Dei Creatoris voluntatem. Verbum autem Dei, quod ex David natum, ante eum fuit, lyra et cithara, quæ inanima sunt instrumenta, contemptis, mundum hunc, et hominem, qui parvus quidam mundus est, ejusque animam et corpus divino Spiritui attemperans, multarum vocum instrumento Deum celebrat, et huic instrumento, nempe homini, accinit: *Tu enim es cithara, et tibia, et templum meum.* Cithara quidem, propter harmoniam; tibia, propter Spiritum; templum autem, propter Verbum: ut illa resonet, ista inspiret, hoc vero contineat Dominum. Porro David, rex ille citharœdus, paulo ante memoratus, ✠ hortabatur ad veritatem, a dæmoniis abducebat, tantumque ab eorum laudibus celebrandis abfuit, ut eos vera musica expelleret, et Saul malo spiritu vexatum solo cantu sanaret. Nec solum hominem pulchrum et spirans instrumentum Dominus ad sui imaginem effecit; sed ipse, supramundana sapientia, cœlesteque Verbum, est instrumentum Dei numeris omnibus instructum, concinnum, et sanctum. Quid ergo instrumentum hoc, Dominus noster Dei Verbum, quid illud novum canticum volunt? Cæcis visum restituere, surdis aures aperire, et claudos atque errantes in viam justitiæ deducere, Deum insipientibus monstrare, corruptionem tollere, mortem vincere, filios denique immorigeros patri reconciliare. Nam Dei instrumentum amat humanum genus: Dominus miseretur, castigat, hortatur, admonet, conservat, custodit, et doctrinæ

✠ P. 6 ED. POTTER, 5 ED. PARIS.

A Θεοῦ βούλησιν, ἣν ἐζήλωσε Δαβίδ. Ὁ δὲ ἐκ Δαβίδ, καὶ πρὸ αὐτοῦ, ὁ τοῦ Θεοῦ Λόγος, λύραν μὲν καὶ κιθάραν, τὰ ἄψυχα ὄργανα, ὑπεριδὼν, κόσμον δὲ (69) τόνδε, καὶ δὴ καὶ τὸν σμικρὸν κόσμον τὸν ἄνθρωπον, ψυχήν τε καὶ σῶμα αὐτοῦ, ἁγίῳ Πνεύματι ἁρμοσάμενος, ψάλλει τῷ Θεῷ, διὰ τοῦ πολυφώνου ὀργάνου, καὶ προσᾴδει τούτῳ τῷ ὀργάνῳ (70), τῷ ἀνθρώπῳ· *Σὺ γάρ εἶ* (71) *κιθάρα, καὶ αὐλὸς, καὶ ναός ἐμός*· κιθάρα διὰ τὴν ἁρμονίαν· αὐλὸς διὰ τὸ Πνεῦμα· ναὸς διὰ τὸν Λόγον (72)· ἵν' ἡ μὲν κρέκῃ, τὸ δὲ ἐμπνέῃ, ὁ δὲ χωρήσῃ τὸν Κύριον. Καὶ μὴν ὁ Δαβίδ, ὁ βασιλεὺς, ὁ κιθαριστὴς, οὗ μικρῷ πρόσθεν ἐμνήσθημεν, ὃς προὔτρεπεν (73) ὡς τὴν ἀλήθειαν, ἀπέτρεπε δὲ εἰδώλων· πολλοῦ γε ἔδει ὑμνεῖν αὐτὸν τοὺς δαίμονας, ἀληθεῖ πρὸς αὐτοῦ διωκομένους μουσικῇ, ᾗ τῷ Σαοὺλ B ἐνεργουμένῳ (74) ἐκεῖνος ᾄδων μόνον, αὐτὸν ἰάσατο. Καλὸν ὁ Κύριος ὄργανον ἔμπνουν τὸν ἄνθρωπον ἐξειργάσατο κατ' εἰκόνα τὴν ἑαυτοῦ· ἀμέλει καὶ αὐτὸς ὄργανόν ἐστι τοῦ Θεοῦ (75) παναρμόνιον, ἐμμελὲς καὶ ἅγιον, σοφία ὑπερκόσμιος, οὐράνιος Λόγος. Τί δὴ οὖν τὸ ὄργανον, ὁ τοῦ Θεοῦ Λόγος ὁ Κύριος, καὶ τὸ ᾆσμα τὸ καινὸν, βούλεται; Ὀφθαλμοὺς (76) ἀναπετάσαι τυφλῶν, καὶ ὦτα ἀνοῖξαι κωφῶν, καὶ σκάζοντας τὼ πόδε ἢ πλανωμένους εἰς δικαιοσύνην χειραγωγῆσαι· Θεὸν ἀνθρώποις ἀφραίνουσιν ἐπιδεῖξαι, παῦσαι φθορὰν, νικῆσαι θάνατον, υἱοὺς ἀπειθεῖς διαλλάξαι πατρί. Φιλάνθρωπον (77) τὸ ὄργανον τοῦ Θεοῦ· ὁ Κύριος ἐλεεῖ, παιδεύει, προτρέπει, νουθετεῖ, σώζει, φυλάττει, καὶ μισθὸν ἡμῖν τῆς μαθήσεως ἐκ περιουσίας βασιλείαν οὐρανῶν ἐπαγγέλλεται· τοῦτο μόνον ἀπο- C λαύων ἡμῶν, ὃ σωζόμεθα. Κακία μὲν γὰρ τὴν ἀνθρώπων ἐπιβόσκεται φθοράν· ἡ δὲ ἀλήθεια, ὥσπερ ἡ μέλιττα, λυμαινομένη τῶν ὄντων οὐδὲν, ἐπὶ μόνης (78) τῆς ἀνθρώπων ἀγάλλεται σωτηρίας. Ἔχεις οὖν τὴν ἐπαγγελίαν· ἔχεις τὴν φιλανθρωπίαν· τῆς (79) χά-

nam, opponit musicæ τοῦ θεοπνεύστου David.

(69) *Κόσμον δέ. Physici*, inquit Macrobius, l. II, in *Somnium Scipionis*, cap. 12, *mundum, magnum hominem; et hominem brevem mundum esse dixerunt.* Quod sic expressit Philo Judæus libro *Quis rerum divinarum hæres*, pag. 502: Ἐναλλάττοντες, βραχὺν μὲν κόσμον τὸν ἄνθρωπον, μέγαν δὲ ἄνθρωπον ἔφασαν τὸν κόσμον εἶναι. De homine *microcosmo*, κόσμῳ συντόμῳ, ubique legas. Mox τόν omittit ms. Nov. ante σμικρόν.

(70) *Τούτῳ τῷ ὀργάνῳ*. Τούτῳ omittit ms. Nov. His similia habet Clemens *Pædag.*, lib. II, cap. 4, pag. 164, et *Strom.* VI, pag. 658, 659. Plerique veterum Patrum homines θεοπνεύστους *organis* musicis assimilant. Justinus M., *Parænes.*, pag. 61. ed. Oxon.: Αὐτὸ τὸ θεῖον ἐξ οὐρανοῦ κατιὸν πλῆκτρον, ὥσπερ ὀργάνῳ κιθάρᾳ τινὸς ἢ λύρας τοῖς ἀνδράσι δικαίοις χρώμενον, τὴν τῶν θείων ἡμῖν καὶ οὐρανίων ἀποκαλύψῃ γνῶσιν. *Ipsum divinum plectrum cœlitus descendens, quasi instrumento quopiam citharæ alicujus vel lyræ viris justis utens, divinarum nobis et cœlestium rerum cognitionem revelaret.* Athenagoras *Legat.* p. 36 ed. Oxon. de prophetis ait: Συγχρησαμένου τοῦ Πνεύματος, ὡσεὶ καὶ αὐλητὴς, αὐλὸν ἐμπνεῦσαι, *cum Spiritus eodem modo per illos operaretur, quo tibicen inflat fistulam.* Et pag. 56, de toto mundo: Εἰ τοίνυν ἐμμελὲς ὁ κόσμος ὄργανον καὶ κινούμενον ἐν ῥυθμῷ, τὸν ἁρμοσάμενον καὶ πλάσσοντα τοὺς φθόγγους, καὶ τὸ σύμφωνον ἐπᾴδοντα μέλος, οὐ τὸ ὄργανον, προσκυνῶ. *Si ergo mundus instrumentum canorum est, quod movetur ad numerum, ego eum, qui concentum temperat, et sonos evibrat, et congruum succinit carmen, non instrumentum, adoro.* Quæ sunt his, quæ dicit Clemens, persimilia.

(71) *Σὺ γάρ εἶ*. Christi verba, ut videtur, e sacro aliquo hymno citata. Cæterum pro ἐμός Nov. habet ἐμοί.

(72) *Διὰ τὸν Λόγον*. Scilicet ἐνοικοῦντα, propter Dei Verbum in animabus justorum habitantem. Ἀνθρώπου δικαίου ψυχὴ ἐν ᾗ διὰ τῆς τῶν παραγγελμάτων ὑπακοῆς τεμενίζεται καὶ ἐνιδρύεται ὁ πάντων D ἡγεμὼν ... Λόγος αἰώνιος. *Hominis justi anima, in qua per præceptorum obedientiam ut in templo collocatur omnium dux, æternum Verbum.* Strom. VII, pag. 708.

(73) *Ὃς πρ.* Nov. omittit ὅς.

(74) *Ἢ τῷ Σαοὺλ ἐνεργουμένῳ*. Ἤτω ἔναυλος ὁ ἐνεργούμενος, Nov.; ἐνεργουμένῃ edit. Flor.; ἐνεργουμένη Sylburg, mendose omnia.

(75) *Τοῦ Θεοῦ*. Τοῦ abest a Nov.

(76) *Ὀφθαλμούς*. Respicit Matth. XI, 5; Luc. VII, 22.

(77) *Φιλάνθρωπον*. Conf. Pædag., lib. I, principio c. 9, et fine c. 7.

(78) *Ἐπὶ μόνης*. *Strom.* VII, pag. 707, dicit nec sacrificia, nec aliud quidquam nunc a nobis exspectari, nisi ut nosmet Deo dedicemus. Μόνῃ γὰρ τῇ ἡμετέρᾳ σωτηρίᾳ ὁ Θεὸς ἥδεται. *Sola enim nostra salute delectatur Deus.*

(79) *Φιλανθρωπίαν· τῆς*. Φιλανθρωπίαν τῆς χάριτος μεταλάμβανε Nov.

ριτος μεταλάμβανε. Καί μου τὸ ᾆσμα τὸ σωτήριον μὴ καινὸν οὕτως ὑπολάβῃς, ὡς σκεῦος ἢ ὡς οἰκίαν· *Πρὸ ἑωσφόρου* (80) γὰρ ἦν, καὶ *Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος*. Παλαιὰ δὲ ἡ πλάνη, καινὸν δὲ ἡ ἀλήθεια φαίνεται. Εἴτ' οὖν ἀρχαίους τοὺς Φρύγας διδάσκουσιν αἶγες μυθικαί· εἴτε αὖ τοὺς Ἀρκάδας (81) οἱ προσελήνους ἀναγράφοντες ποιηταί· εἴτε μὴν αὖ τοὺς Αἰγυπτίους, οἱ καὶ πρώτην ταύτην ἀναφῦναι (82) τὴν γῆν Θεούς τε καὶ ἀνθρώπους ὀνειρώσσοντες· ἀλλ' οὐ πρό γε τοῦ κόσμου τοῦδε τούτων οὐδὲ εἷς. Πρὸ δὲ τῆς τοῦ κόσμου καταβολῆς ἡμεῖς, οἱ τῷ δεῖν ἔσεσθαι ἐν αὐτῷ πρότερον γεγεννημένοι τῷ Θεῷ· τοῦ Θεοῦ Λόγου τὰ λογικὰ πλάσματα ἡμεῖς· δι' ὃν ἀρχαΐζομεν, ὅτι *ἐν ἀρχῇ ὁ Λόγος ἦν*. Ἀλλ' ὅτι μὲν ἦν ὁ Λόγος ἄνωθεν, ἀρχὴ θεία τῶν πάντων ἦν τε καὶ ἔστιν· ὅτι δὲ νῦν ὄνομα ἔλαβεν τὸ πάλαι καθωσιωμένον, δυνάμεως ἄξιον, ὁ Χριστὸς, καινὸν ᾆσμά μοι κέκληται. Οὗτος γοῦν ὁ Λόγος ὁ Χριστὸς, καὶ τοῦ εἶναι πάλαι ἡμᾶς (ἦν γὰρ ἐν Θεῷ [83]) · καὶ τοῦ εὖ εἶναι, νῦν δὴ ἐπεφάνη ἀνθρώποις αὐτὸς οὗτος ὁ Λόγος, ὁ μόνος ἄμφω, Θεός τε καὶ ἄνθρωπος, ἁπάντων ἡμῖν αἴτιος ἀγαθῶν· παρ' οὗ τὸ εὖ ζῆν ἐκδιδασκόμενοι, εἰς ἀΐδιον ζωὴν παραπεμπόμεθα. Κατὰ γὰρ τὸν θεσπέσιον ἐκεῖνον τοῦ Κυρίου Ἀπόστολον· *Ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις ἐπεφάνη, παιδεύουσα ἡμᾶς, ἵνα, ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως, καὶ δικαίως, καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ*. Τοῦτό ἐστι τὸ ᾆσμα τὸ καινὸν, ἡ ἐπιφάνεια ἡ νῦν ἐκλάμψασα (84) ἐν ἡμῖν τοῦ *ἐν ἀρχῇ* ὄντος καὶ προόντος Λόγου· ἐπεφάνη δὲ ἔναγχος ὁ προὼν Σωτήρ· ἐπεφάνη ὁ ἐν τῷ ὄντι ὤν, ὅτι ὁ Λόγος, ὃς ἦν πρὸς τὸν Θεὸν, *Διδάσκαλος* ἐπεφάνη, ᾧ τὰ πάντα δεδημιούργηται· Λόγος, ὁ καὶ τὸ ζῆν ἐν ἀρχῇ μετὰ τοῦ πλάσαι παρασχὼν, ὡς δημιουργὸς, τὸ εὖ ζῆν (85) ἐδίδαξεν, ἐπιφανεὶς ὡς διδάσκαλος, ἵνα τὸ ἀεὶ ζῆν ὕστερον ὡς Θεὸς χορηγήσῃ. Ὁ δὲ, οὐ νῦν γε πρῶτον ᾤκτειρεν ἡμᾶς τῆς πλάνης, ἀλλ' ἄνωθεν ἀρχῆθεν· νῦν δὲ, ἤδη ἀπολλυμένους, ἐπιφανεὶς περισέσωκε· τὸ γὰρ πονηρὸν καὶ ἑρπυστικὸν θηρίον, γοητεῦον, καταδουλοῦται, καὶ αἰκίζεται εἰσέτι νῦν τοὺς ἀνθρώπους· ἐμοὶ δοκεῖν, βαρβαρικῶς τιμωρούμενον, οἳ νεκροῖς τοὺς αἰχμαλώτους συνδεῖν (86) λέγονται σώμασιν, ἔστ' ἂν αὐτοῖς

ἐλάλησεν ταῦτα. *Μὴ τοίνυν μηκέτι* (59), φησὶν, *υἱέ μου, ὀλιγώρει παιδείας Κυρίου· μηδ' ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος.* Ὦ τῆς ὑπερβαλλούσης φιλανθρωπίας! Οὐδ' ὡς μαθηταῖς ὁ διδάσκαλος, οὐδ' ὡς οἰκέταις ὁ κύριος, οὐδ' ὡς Θεὸς ἀνθρώποις, *πατὴρ δὲ ὥς, ἠπίως* νουθετεῖ υἱούς (60)· εἶτα Μωϋσῆς μὲν ὁμολογεῖ *ἔμφοβος* εἶναι *καὶ ἔντρομος*, ἀκούων περὶ τοῦ Λόγου· Σὺ δὲ, τοῦ Λόγου ἀκροώμενος τοῦ θείου, οὐ δέδιας; οὐκ ἀγωνιᾷς; οὐχὶ ἅμα τε εὐλαβῇ, καὶ σπεύδεις ἐκμαθεῖν, τουτέστι σπεύδεις εἰς σωτηρίαν, φοβούμενος τὴν ὀργὴν, ἀγαπήσας τὴν χάριν, ζηλώσας τὴν ἐλπίδα, ἵνα ἐκκλίνῃς τὴν κρίσιν; Ἥκετε, ἥκετε, ὦ νεολαία ἡ ἐμή· ἢν γὰρ μὴ *αὖθις ὡς τὰ παιδία γενήσεσθε, καὶ ἀναγεννηθῆτε*, ὥς φησιν ἡ Γραφὴ, τὸν ὄντως ὄντα Πατέρα οὐ μὴ ἀπολάβητε, *οὐδ' οὐ μὴ εἰσελεύσησθέ ποτε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν*. Πῶς γὰρ εἰσελθεῖν ἐπιτέτραπται τῷ ξένῳ; Ἀλλ' ὅταν, οἶμαι, ἐγγραφῇ (61), καὶ πολιτευθῇ, καὶ τὸν πατέρα ἀπολάβῃ, τότε ἐν τοῖς (62) τοῦ πατρὸς γενήσεται, τότε κληρονομῆσαι καταξιωθήσεται, τότε τῆς βασιλείας τῆς πατρῴας κοινωνήσει τῷ γνησίῳ, *τῷ ἠγαπημένῳ*. Αὕτη γὰρ *ἡ πρωτότοκος* (63) *Ἐκκλησία*, ἡ ἐκ πολλῶν ἀγαθῶν συγκειμένη *παιδίων*· ταῦτ' ἐστὶ *τὰ πρωτότοκα, τὰ ἐναπογεγραμμένα ἐν οὐρανοῖς* καὶ τοσαύταις *μυριάσιν ἀγγέλων συμπανηγυρίζοντα*. Πρωτότοκοι δὲ παῖδες ἡμεῖς οἱ τρόφιμοι τοῦ Θεοῦ, οἱ τοῦ πρωτοτόκου γνήσιοι φίλοι, οἱ πρῶτοι τῶν ἄλλων ἀνθρώπων τὸν Θεὸν νενοηκότες, οἱ πρῶτοι τῶν ἁμαρτιῶν ἀπεσπασμένοι, οἱ πρῶτοι τοῦ διαβόλου κεχωρισμένοι. Νυνὶ δὲ τοσούτῳ τινές εἰσιν ἀθεώτεροι (64), ὅσῳ φιλανθρωπότερος ὁ Θεός· ὁ μὲν γὰρ ἐκ δούλων υἱοὺς ἡμᾶς γενέσθαι βούλεται, οἱ δὲ, καὶ υἱοὶ γενέσθαι ὑπερηφανήκασιν. Ὦ τῆς ἀπονοίας πολλῆς (65)! τὸν Κύριον ἀπαισχύνεσθε; Ἐλευθερίαν ἐπαγγέλλεται· ὑμεῖς δὲ εἰς δουλείαν ἀποδιδράσκετε. Σωτηρίαν χαρίζεται· ὑμεῖς δὲ εἰς ἄνθρωπον ὑποφέρεσθε (66). Ζωὴν δωρεῖται αἰώνιον· ὑμεῖς δὲ *τὴν κόλασιν* ἀναμένετε· καὶ *τὸ πῦρ* δὲ προσκοπεῖτε (67), *ὃ ἡτοίμασεν* ὁ Κύριος *τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ*. Διὰ τοῦτο ὁ μακάριος Ἀπόστολος, *Μαρτύρο-*

A qui Domini quasi os est, ea est elocutus. *Noli ergo amplius*, inquit, *fili, negligere castigationem Domini, neque deficias, cum ab eo argueris* [59]. O admirabilem erga homines amorem! Non se quemadmodum magister adversus discipulos gerit, nec quemadmodum dominus adversus servos, nec quemadmodum ✠ Deus adversus homines, sed *tanquam pater* filios *mitissime* admonet. Deinde fatetur quidem Moyses se *exterritum ac tremebundum fuisse* [60], cum de Verbo audiret: Tu autem ipsum Verbum audiens, nihil times? nihil admodum commoveris? Nonne simul et ipsum revereris, et ex eo discere festinas; hoc est festinas ad salutem, iram quidem timens, gratiam diligens, spem vero propositam sequens, ut declines judicium? Venite, venite, mei juvenes, nisi B enim *efficiamini rursus pueri*, et *regeneremini*, ut ait Scriptura [61], neque verum Patrem recipere, *neque in regnum cœlorum ingredi* unquam poteritis. Peregrino enim ingredi qua tandem ratione permitti potest? Is tamen, ut ego quidem existimo, cum fuerit inscriptus, et civitate donatus, patremque acceperit, tunc in sui patris domo manebit, tunc hæres instituetur, tunc ingenuo ejus *dilectoque Filio* [62] paterni regni socius atque particeps erit. Hæc enim est *primogenita Ecclesia*, quæ ex multis *pueris* constat. Hi sunt *primogeniti, qui conscripti sunt in cœlis*, et una cum tot *angelorum myriadibus dies festos concelebrant* [63]. Primogeniti autem nos filii, qui sumus Dei alumni, et primogeniti ejus germani amici; C qui primi ex omnibus hominibus Deum agnovimus, primi a peccatis liberati, primi a consortio diaboli separati sumus. Jam vero tanto magis impii sunt nonnulli, quanto benignior est Deus ac humanior. Etenim cum Deus nos ex servis filios fieri voluit, hi in numerum ejus filiorum assumi fastidiunt. O incredibilem amentiam! pudetne vos Domini? Is quidem libertatem pollicetur, vos autem aufugitis in servitutem. Is salutem largitur, vosque in perniciem vestram ruitis. Is æternam salutem donat, et vos *supplicium* exspectatis, et cum præstolamini *ignem*,

✠ P. 69 ED. POTTER, 53-54 ED. PARIS. [59] Prov. III, 11; Hebr. XII, 5. [60] Hebr. XII, 21. [61] Matth. XVIII, 3; Luc. XVIII, 17; Joan. III, 5. [62] Matth. III, 17. [63] Hebr. XII, 22, 23.

(59) *Μὴ τοίνυν μηκέτι*. Μηκέτι τοίνυν Nov.

(60) *Πατὴρ δὲ ὥς, ἠπίως νουθετεῖ υἱούς*. Malim πατὴρ δὲ ὡς ἤπιος, νουθετεῖ υἱούς· *tanquam vero mitis pater, admonet filios*. Quam lectionem præbet Nov. Eidem favet Homerus, cujus hoc hemistichium est,

. . . . *πατὴρ δ' ὡς ἤπιος ἦεν*.

Solet autem hæc vox peculiariter dici de paterno affectu in liberos. Unde apud Homer. Jupiter Minervæ dicit *Il.* Θ, v. 40:

. . . *ἐθέλω δέ τοι ἤπιος εἶναι*.

Item Paulus I Thess. II, 7, 8: Ἀλλ' ἐγενήθημεν ἤπιοι ἐν μέσῳ ὑμῶν ὡς ἂν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα, οὕτως, etc. Mox *Ὡς πατὴρ τέκνα ἑαυτοῦ, παρακαλοῦντες ὑμᾶς καὶ παραμυθούμενοι*.

(61) *Ἐγγραφῇ*. Respicit veterem Atheniensium, aliarumque gentium morem, quo qui civitate donabantur, aliquem e civibus patrem sibi asciscebant, ejusque nomine in publicis tabulis inscribebantur. Conf. *Archæologiæ Græcæ* lib. I, c. 9.

D (62) *Ἐν τοῖς*. Videtur Christi dictum respexisse, quod refert Lucas II, 49: *Οὐκ ᾔδειτε, ὅτι ἐν τοῖς τοῦ Πατρός μου δεῖ εἶναί με; nesciebatis, quia in iis, quæ Patris mei sunt, oportet me esse?*

(63) *Αὕτη γὰρ ἡ πρωτότ*. Respicit Hebr. XII, 22, 23: *Ἀλλὰ προσεληλύθατε Σιὼν ὄρει καὶ πόλει Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ, καὶ μυριάσιν ἀγγέλων, πανηγύρει καὶ Ἐκκλησίᾳ πρωτοτόκων ἐν οὐρανοῖς ἀπογεγραμμένων. Sed accessistis ad Sion montem, et civitatem Dei viventis, Jerusalem cœlestem et multorum millium angelorum frequentiam, et Ecclesiam primitivorum, qui conscripti sunt in cœlis.*

(64) *Ἀθεώτεροι*. Ἀθεώρητοι Nov.

(65) *Τῆς ἀπ. πολλῆς*. Τῆς ἀπ. τῆς πολλῆς Nov. Mox, ἐπαισχύνεσθε pro ἀπαισχύνεσθε substituit Tatiani editor, pag. 45.

(66) *Εἰς ἄνθρωπον ὑποφ*. Sunt qui malint, εἰς ἀπώλειαν ὑποφέρεσθε· ut σωτηρία suum habeat contrarium. SYLBURG.

(67) *Προσκοπεῖτε*. Σκοπεῖτε Nov.

quem paravit Dominus *diabolo et angelis ejus* [64]. Propterea beatus Apostolus, *Obtestor*, inquit, *per Dominum, ne amplius ambuletis sicut et gentes ambulant in vanitate mentis suæ, obtenebratum habentes intellectum, et abalienati a vita Dei propter ignorantiam, quæ est in ipsis ex obduratione cordis ipsorum. Qui, cum dedoluerant, semetipsos dediderunt* ✠ *protervia ad operandam omnem impuritatem et avaritiam* [65]. Cum autem ejusmodi testis hominum amentiam, invocato Dei nomine, arguerit, nunquid aliud restat incredulis, quam judicium et condemnatio? Nec vero curam eorum deponit Dominus, sed instat ipsis assidue hortando, perterrefaciendo, impellendo, excitando, admonendo: et hos quidem, qui erroribus fuerunt impliciti, expergefactos e mediis tenebris excitat. *Expergiscere*, inquit, *qui dormis, et surge a mortuis, et illucescet tibi Christus* Dominus [66], ille Sol resurrectionis, *qui ante luciferum genitus est* [67], suisque radiis vitam præbuit. Ne quis itaque spernat Verbum ac nihili faciat, ne forte semetipsum imprudens contempsisse reperiatur. Dicit enim alicubi Scriptura: *Hodie si vocem ejus audieritis, nolite obdurare corda vestra, sicut in exacerbatione in die tentationis in deserto, ubi tentaverunt me patres vestri in probatione* [68]. Quænam autem est illa *probatio?* Si cupis discere, sanctus tibi Spiritus explicabit: *Et viderunt*, inquit, *opera mea quadraginta annis. Quare infensus fui generationi huic, et dixi, Semper errant corde; ipsi vero non cognoverunt vias meas. Itaque juravi in ira mea, si introibunt in requiem meam* [69]. En minas! en exhortationem! en pœnam! Cur igitur etiamnum iratum nobis Deum ex clementi et benefico facimus? Cur non aures nostras Verbo patefacimus, Deumque hospitem puris et intaminatis animabus excipimus? Ejus enim promissio immensæ sane gratiæ ac beneficii loco erit, *si hodie vocem ejus audierimus;* cæterum illud hodie in dies augetur, quandiu hodie nominatur. Usque enim ad consummationem rerum ultimam et *hodiernus* dies, et discendi tempus permanet. Exinde verum illud *hodie*, Dei scilicet dies nunquam defecturus, in omnia usque sæcula extenditur. Quocirca *voci* divini Verbi semper *pareamus:*

A *καὶ ἐν Κυρίῳ*, φησὶ, *μηκέτι ὑμᾶς περιπατεῖν, καθὼς καὶ τὰ ἔθνη* (68) *περιπατεῖ, ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν, ἐσκοτισμένοι τῇ διανοίᾳ ὄντες, καὶ ἀπηλλοτριωμένοι τῆς ζωῆς τοῦ Θεοῦ διὰ τὴν ἄγνοιαν τὴν οὖσαν ἐν αὐτοῖς, διὰ τὴν πώρωσιν τῆς καρδίας αὐτῶν· οἵτινες ἑαυτοὺς παρέδωκαν ἀπηλγηκότες τῇ ἀσελγείᾳ εἰς ἐργασίαν ἀκαθαρσίας πάσης καὶ πλεονεξίας.* Τοιούτου μάρτυρος ἐλέγχοντος τὴν τῶν ἀνθρώπων ἄνοιαν καὶ Θεὸν (69) ἐπιβοωμένου, τί δὴ ἕτερον ὑπολείπεται τοῖς ἀπίστοις ἢ κρίσις καὶ καταδίκη; Οὐκ ἀμελεῖ δὲ ὁ Κύριος παραινῶν, ἐκφοβῶν, προτρέπων, διεγείρων, νουθετῶν· ἀφυπνίζει γέ τοι, καὶ τοῦ σκότους αὐτοῦ τοὺς πεπλανημένους διανίστησιν. *Ἔγειρε* (70), φησὶν, *ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν· καὶ ἐπιφαύσει*

B *σοι ὁ Χριστὸς* Κύριος, ὁ τῆς ἀναστάσεως Ἥλιος, ὁ *πρὸ ἑωσφόρου γεννώμενος*, ὁ ζωὴν χαρισάμενος ἀκτῖσιν ἰδίαις. Μὴ οὖν περιφρονείτω τις τοῦ Λόγου, μὴ λάθῃ καταφρονῶν ἑαυτοῦ. Λέγει γάρ που ἡ Γραφή· *Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ, οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν ἐν δοκιμασίᾳ* (71). Ἡ δὲ δοκιμασία τίς ἐστιν; Εἰ θέλεις μαθεῖν, τὸ ἅγιόν σοι Πνεῦμα ἐξηγήσεται· *Καὶ εἶδον τὰ ἔργα μου*, φησὶ, *τεσσαράκοντα ἔτη* (72). *Διὸ προσώχθισα τῇ γενεᾷ ταύτῃ, καὶ εἶπον· Ἀεὶ πλανῶνται τῇ καρδίᾳ· αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου. Ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσ-*

C *ελεύσονται εἰς τὴν ἀνάπαυσίν μου.* Ὁρᾶτε τὴν ἀπειλήν. Ὁρᾶτε τὴν προτροπήν· ὁρᾶτε τὴν τιμήν. Τί δὴ οὖν ἔτι τὴν χάριν εἰς ὀργὴν μεταλλάσσομεν, καὶ οὐχὶ ἀναπεπταμέναις ταῖς ἀκοαῖς καταδεχόμενοι τὸν Λόγον, ἐν ἁγναῖς ξενοδοχοῦμεν ταῖς ψυχαῖς (73) τὸν Θεόν; Μεγάλη γὰρ τῆς ἐπαγγελίας αὐτοῦ ἡ χάρις, *ἐὰν σήμερον τῆς* (74) *φωνῆς αὐτοῦ ἀκούσωμεν.* Τὸ δὲ σήμερον καθ' ἑκάστην αὐτοῦ αὔξεται τὴν ἡμέραν, ἔστ' ἂν ἡ σήμερον ὀνομάζηται. Μέχρι δὲ συντελείας καὶ ἡ *σήμερον* καὶ ἡ μάθησις διαμένει· καὶ τότε ἡ ὄντως *σήμερον*, ἡ ἀνελλιπὴς τοῦ Θεοῦ ἡμέρα, τοῖς αἰῶσι συνεκτείνεται. Ἀεὶ οὖν *τῆς φωνῆς ὑπακούωμεν* τοῦ θείου Λόγου· ἡ σήμερον γὰρ ἀΐδιος αἰών ἐστιν εἰκών (75)· σύμβολον δὲ τοῦ φωτὸς, ἡμέρα (76)· φῶς

✠ P. 70 ED. POTTER, 54-55 ED. PARIS. [64] Matth. xxv, 41, 46. [65] Ephes. iv, 17, 18, 19. [66] Ephes. v, 14. [67] Psal. cix, 3. [68] Psal. xciv, 8, 9. [69] Ibid. 9, 10, 11. [70] Joann. x, 3, 16.

(68) *Τὰ ἔθνη.* Τὰ λοιπὰ ἔθνη Bibl. Græc. Mox, καὶ post ὄντες omitt. Oein, ἐν πλεονεξίᾳ pro καὶ πλεονεξίας, ibid.

(69) *Καὶ Θεόν.* Τὸν Θεόν Nov.

(70) *Ἔγειρε.* Ἔγειραι Bibl. Græc.

(71) *Ἐν δοκιμασίᾳ.* Ἐδοκίμασαν Bibl. Græc. Ea, quæ sequuntur, hoc modo distinguit Nov. Ἡ δὲ δοκιμασία τίς ἐστιν εἰ θέλεις μαθεῖν.

(72) *Τεσσαράκοντα ἔτ.* Τεσσαράκοντα ἔτη προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, Bibl. Græc.

(73) *Ταῖς ψυχαῖς.* Ταῖς omittit Nov.

(74) *Ἐὰν σήμερον τ.* Hæc sic distingui possunt: *Ἐὰν σήμερον τῆς φωνῆς αὐτοῦ ἀκούσωμεν (τὸ δὲ σήμερον καθ' ἑκάστην αὐτοῦ αὔξεται τὴν ἡμέραν) ἔς τ' ἂν ἡ σήμερον ὀνομάζηται· Si hodie vocem ejus audierimus (illud autem hodie singulis diebus ei accrescit) quamdiu nominetur hodie.* Po-

D strema verba sumpsit ex Hebr. iii, 13: *Ἀλλὰ παρακαλεῖτε ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν, ἄχρις οὗ τὸ σήμερον καλεῖται.*

(75) *Ἡ σήμερον γὰρ ἀΐδιος αἰών ἐστιν εἰκών.* Sic Flor., Sylb., itemque ms. Nov. In Heinsiana vero editione, quam Parisienses exprimunt, αἰών mutatum est in αἰῶνος. Sylburgius scribi voluit ἀϊδίου αἰῶνός ἐστιν εἰκών, *æterni sæculi imago est.* Quam lectionem dicit firmari a Basil. pag. 665, et Gregor. Naz., p. 229. Fortasse aliquis ad marginem libri sui εἰκών adnotavit, vel, ut interpretamentum vocis σύμβολον, quæ sequitur; vel, quia putabat τὸ σήμερον non esse αἰῶνα, sed tantum αἰῶνος εἰκόνα. Etenim sæpissime fit ut quæ ad marginem adnotata fuere, ab imperitis scriptoribus in textum recipiantur.

(76) *Ἡμέρα.* Ἡ ἡμέρα Nov. recte.

δὲ, ὁ Λόγος ἀνθρώποις, δι' οὗ καταυγαζόμεθα τὸν A Θεόν. Εἰκότως ἄρα πιστεύσασι μὴν καὶ ὑπακούουσιν *ἡ χάρις ὑπερπλεονάσει*· ἀπειθήσασι δὲ καὶ *πλανωμένοις κατὰ καρδίαν, ὁδούς τε τὰς κυριακὰς μὴ ἐγνωκόσιν*, ἃς *εὐθείας ποιεῖν* καὶ εὐτρεπίζειν παρήγγειλεν Ἰωάννης· τούτοις δὲ προσώχθισεν ὁ Θεὸς, καὶ *ἀπειλεῖ*. Καὶ δὴ καὶ τὸ τέλος τῆς ἀπειλῆς αἰνιγματωδῶς ἀπειλήφασιν οἱ παλαιοὶ τῶν Ἑβραίων πλανῆται· *οὐ γὰρ εἰσελθεῖν εἰς τὴν κατάπαυσιν* λέγονται *διὰ τὴν ἀπιστίαν*, πρινὴ (77) σφᾶς αὐτοὺς, κατακολουθήσαντας τῷ Μωϋσέως διαδόχῳ, ὀψέ ποτε ἔργῳ μαθεῖν, οὐκ ἂν ἄλλως σωθῆναι, μὴ οὐχὶ (78) ὡς Ἰησοῖ (79) πεπιστευκότας. Φιλάνθρωπος δὲ ὢν ὁ *Κύριος, πάντας ἀνθρώπους εἰς ἐπίγνωσιν τῆς ἀληθείας* παρακαλεῖ, ὁ τὸν *Παράκλητον* ἀποστέλλων. Τίς B οὖν ἡ ἐπίγνωσις; θεοσέβεια· *θεοσέβεια δὲ πρὸς πάντα ὠφέλιμος*, κατὰ τὸν Παῦλον, *ἐπαγγελίαν ἔχουσα ζωῆς, τῆς νῦν καὶ τῆς μελλούσης*. Πόσου ὁμολογήσαιτε, ὦ ἄνθρωποι, εἰ ἐπιπράσκετο σωτηρία ἀΐδιος, ὠνήσασθαι (80) ἄν; οὐδὲ εἰ τὸν Πάκτωλόν τις ὅλον, τοῦ χρυσίου τὸ ῥεῦμα τὸ μυθικὸν, ἀπομετρήσειε, ἀντάξιον σωτηρίας μισθὸν ἀριθμήσει. Μὴ οὖν ἀποκάμητε· ἔξεστιν ὑμῖν, ἢν ἐθέλητε, ἐξωνήσασθαι τὴν πολυτίμητον σωτηρίαν οἰκείῳ θησαυρῷ, ἀγάπῃ καὶ πίστει ζωῆς (81)· ὅς ἐστιν ἀξιόλογος μισθός. Ταύτην ἡδέως τὴν τιμὴν ὁ Θεὸς λαμβάνει· *Ἠλπίκαμεν* γὰρ *ἐπὶ Θεῷ ζῶντι, ὅς ἐστι σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν*. Οἱ δὲ ἄλλοι, περιπεφυκότες τῷ κόσμῳ, οἷα φύκιά τινα ἐνάλοις πέτραις, ἀθανασίας ὀλιγωροῦσιν· καθάπερ ὁ Ἰθακήσιος γέρων (82), οὐ C τῆς ἀληθείας, καὶ τῆς ἐν οὐρανῷ πατρίδος, πρὸς δὲ καὶ τοῦ ὄντως ὄντος ἱμειρόμενος φωτὸς, ἀλλὰ *τοῦ καπνοῦ*. Θεοσέβεια δὲ, ἐξομοιοῦσα τῷ Θεῷ κατὰ τὸ δυνατὸν τὸν ἄνθρωπον, κατάλληλον ἐπιγράφεται διδάσκαλον Θεὸν, τὸν (83) καὶ μόνον ἀπεικάσαι κατ' ἀξίαν δυνάμενον ἄνθρωπον Θεῷ. Ταύτην Ἀπόστολος (84) τὴν διδασκαλίαν, θείαν ὄντως ἐπιστάμενος, *Σὺ δὲ, ὦ Τιμόθεε* (85), φησὶν, *ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας, τὰ δυνάμενά σε σοφίσαι εἰς σωτηρίαν διὰ πίστεως ἐν Χριστῷ* (86)· ἱερὰ γὰρ ὡς ἀληθῶς τὰ ἱεροποιοῦντα καὶ θεοποιοῦντα (87) *γράμματα*· ἐξ ὧν *γραμμάτων* καὶ συλλαβῶν τῶν *ἱερῶν*

A **25** nam *hodie* illud significat æternitatem: dies vero lucem notat: *lux* autem *hominum* est Verbum [71], cujus ope Deum videmus. Merito igitur his, qui crediderunt, et morigeri fuerunt, *superabundabit gratia* [72]; incredulis autem et contumacibus, qui *errant corde, et non cognoverunt vias* Domini [73], quas Joannes *rectas facere* jussit [74], infensus est et *minatur* Deus. Cujus quidem minationis ✠ finis veteribus illis Hebræis, qui errabant in deserto, ænigmate quodam erat significatus; dicuntur enim *non fuisse in requiem ingressi propter incredulitatem* [75], antequam Moysis successorem secuti, sero tandem ipso usu forent edocti, se non posse aliter salvos fieri, quam si Jesu crediderint. *Dominus* autem, cum sit humani generis amantissimus, *Para-* B *cletum* mittit, qui *omnes homines* hortetur *ad cognoscendam veritatem* [76]. Quæ est igitur ea cognitio? pietas erga Deum. *At pietas ad omnia utilis est*, dicente Paulo [77], *ut quæ promissionem habeat vitæ præsentis ac futuræ*. Si æterna vita venum exponeretur, quanti vos, o homines, eam empturos promitteretis? Ne si Pactolum quidem, qui totus aureo, ut est in fabulis, decurrit flumine, quis dederit, pro salute justum pretium numeraverit. Quamobrem ne vos animus deficiat. Licet vobis, si videtur, hanc pretiosissimam salutem propriis vestris thesauris, charitate, vivaque fide, quæ merces haud injusta reputatur, emere. Hoc pretium Deus lubenter accipit: *Speravimus* enim *in Deo vivo, qui* C *est servator omnium hominum, præcipue* vero *fidelium* [78]. Cæteri autem mundo, velut alga marinis rupibus, circumnati, immortalitatem spernunt: quemadmodum Ithacensis ille senex, haud quidem veræ cœlestisque patriæ, aut veræ lucis, sed *fumi desiderio* flagrabat. Pietas autem, ut hominem Deo, quoad potest, assimilet, idoneum ipsi magistrum Deum ascribit, qui solus hominem, prout est dignum, Deo similem efficere valet. Quam doctrinam cum Apostolus vere divinam esse sciat: *Tu autem*, inquit, *o Timothee, a puero sacras litteras novisti, quæ te possunt sapientem reddere ad salutem per fidem, quæ est in Christo* [79]; fieri enim nequit, ut

✠ P. 71 ED. POTTER, 55-56 ED. PARIS. [71] Joan. I, 9. [72] I Tim. I, 14. [73] Psal. XCIV, 10. [74] Matth. III, 3. [75] Hebr. III, 18, 19. [76] I Tim. II, 4. [77] I Tim. IV, 8. [78] I Tim. IV, 10. [79] II Tim. III, 15.

(77) *Πρινή*. Πρὶν ἢ Nov. Mox, κατακολουθήσαντες D pro κατακολουθήσαντας, idem.

(78) *Οὐχί*. Omittit Nov.

(79) *Ἰησοῖ*. A. Ἰησοῦ mavult Sylburg. Quam conjecturam firmare videtur ms. Nov., qui Ἰησοῦς habet, scil. pro Ἰησοῦ.

(80) *Ὠνήσασθαι*. Hanc vocem quidam perperam in ὠνήσεσθε mutandum putarunt. Paulo ante, πόσον pro πόσου habet Nov.

(81) *Πίστει ζωῆς*. Quidam scribendum putant πίστει ζωρᾷ, *fide mera, sincera* Quod inusitatum esse videtur. Forte ζωῆς juxta πολυτίμητον σωτηρίαν, interpretamenti loco, in margine libri adnotatum, postea in textum irrepsit.

(82) *Ὁ Ἰθακήσιος γέρων*. Ulysses. Respicit autem Clemens *Odyss*. A, vers. 57:

..... *αὐτὰρ Ὀδυσσεὺς,*
Ἱέμενος καὶ καπνὸν ἀποθρώσκοντα νοῆσαι
Ἧς γαίης, θανέειν ἱμείρεται ....

..... *Cæterum Ulysses*
Cupiens vel fumum exsilientem videre
Suæ terræ, mori desiderat .....

(83) *Τόν*. Omittit Nov.

(84) *Ἀπόστολος*. Malim ὁ Ἀπόστολος, cum articulo, ut et alibi passim. SYLBURG. Hanc lectionem firmat Nov.

(85) *Ὦ Τιμόθεε*. Clementis additamentum.

(86) *Πίστεως ἐν Χ*. Πίστεως τῆς ἐν Χ. Bibl. Græc.

(87) *Θεοποιοῦντα*. Clemens, Platonem secutus, sæpe dicit homines per virtutem ac pietatem non solum Deo assimilari, sed etiam deos quodammodo fieri. Conf. hujus libri pag. 71, et quæ ibi adnotata erunt.

illæ *litteræ* non sint *sacræ*, quæ non modo sanctos, sed etiam divinos faciunt. Unde *scripturas* etiam illas, seu volumina, quæ ex his *litteris* syllabisque *sacris* constant, Apostolus appellat [80] *divinitus inspiratas*, ut quæ essent *utiles ad doctrinam, ad redargutionem, ad correctionem, ad institutionem in justitia, ut perfectus sit homo Dei, ad omne opus bonum instructus*. Neminem certe aliorum sanctorum hortationes perinde commovebunt, ac ipse Dominus, qui genus humanum tantopere dilexit. Is enim ✠ aliud nihil agitat, nihil molitur, nisi ut homines sint salvi ac incolumes. Quocirca urget eos ac impellit ad salutem, clamans : *Appropinquavit regnum cœlorum* [81]. Qua voce attentes sibi homines eos facit, qui paulo timidiores erant. Apostolus itidem Domini cohortans Macedonas, divinam vocem interpretatur : *Appropinquavit Dominus*, inquit, *cavete ne deprehendamur vacui* [82]. Vos autem adeone estis metu vacui, adeone potius increduli, ut nec ipsi Domino, nedum Paulo, ne quidem cum *pro Christo obsecrat* [83], fidem habentes, *gustetis ac videatis* [84] Christum esse Deum? Fides vos introducet, experientia docebit, Scriptura instituet, *Venite*, dicens, *o filii, audite me, timorem Domini docebo vos* [85]. Deinde quasi jam fide imbutis breviter subjicit : *Quis est homo qui vult vitam, qui diligit videre dies bonos* [86]? Nos, inquiemus, tales sumus, qui bonum colimus, bonosque sectamur. Audite igitur, qui *procul;* audite, qui *prope* estis [87]. Verbum a nemine unquam celatum fuit, sed, quasi publica lux, illucet *omnibus hominibus* [88], et quod ad ipsum nemo est Cimmerius. Properemus consequi salutem renascendo. Properemus, ad exemplum unitatis unicæ naturæ, uno multi amore conjungi et coalescere : bonæque monadis videndæ studio incensi, qui ejus bonitatis participes sumus, unitatem pariter sequamur. Multorum enim in unum concursus, in divinam quamdam concordiam a variis ac discordibus vocibus

A τὰς συγκειμένας γραφὰς, τὰ συντάγματα, ὁ αὐτὸς ἀκολούθως Ἀπόστολος *θεοπνεύστους* καλεῖ, *ὠφελίμους οὔσας πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν, πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ· ἵνα ἄρτιος ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος, πρὸς πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος*. Οὐκ ἄν τις οὕτως ἐκπλαγείη τῶν ἄλλων ἁγίων τὰς προτροπὰς, ὡς αὐτὸν τὸν Κύριον, τὸν φιλάνθρωπον. Οὐδὲν γὰρ ἀλλ' ἢ τοῦτο ἔργον μόνος ἐστὶν αὐτῷ, σώζεσθαι τὸν ἄνθρωπον. Βοᾷ γοῦν, ἐπείγων εἰς σωτηρίαν αὐτός· *Ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν*· ἐπιστρέφει (88) τοὺς ἀνθρώπους, πλησιάζοντας τῷ φόβῳ. Ταύτῃ καὶ ὁ Ἀπόστολος τοῦ Κυρίου, παρακαλῶν τοὺς Μακεδόνας, ἑρμηνεὺς γίνεται τῆς θείας φωνῆς· *Ὁ Κύριος* (89) *ἤγγικεν*, λέγων, *εὐλαβεῖσθε μὴ καταληφθῶμεν κενοί*. Ὑμεῖς δὲ, ἐς B τοσοῦτον ἀδεεῖς (90), μᾶλλον δὲ ἄπιστοι, μήτε αὐτῷ πειθόμενοι τῷ Κυρίῳ, μήτε τῷ Παύλῳ, καὶ ταῦτα *ὑπὲρ Χριστοῦ δεομένῳ γεύσεσθε* (91), *καὶ ἴδετε ὅτι Χριστὸς ὁ Θεός*; ἡ πίστις εἰσάξει, ἡ πεῖρα διδάξει, ἡ Γραφὴ παιδαγωγήσει, *Δεῦτε, ὦ τέκνα*, λέγουσα· *ἀκούσατέ μου, φόβον Κυρίου διδάξω ὑμᾶς*. Εἶτα, ὡς ἤδη πεπιστευκόσι, συντόμως ἐπιλέγει· *Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν, ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς*; Ἡμεῖς ἐσμὲν, φήσομεν, οἱ τἀγαθοῦ προσκυνηταὶ, οἱ τῶν ἀγαθῶν ζηλωταί. Ἀκούσατε οὖν οἱ *μακρὰν* (92), ἀκούσατε οἱ *ἐγγύς*· οὐκ ἀπεκρύβη τινὰς ὁ Λόγος· φῶς ἐστι κοινὸν, ἐπιλάμπει *πᾶσιν ἀνθρώποις*· οὐδεὶς Κιμμέριος ἐν Λόγῳ. Σπεύσωμεν εἰς σωτηρίαν, ἐπὶ τὴν παλιγγενεσίαν, εἰς μίαν ἀγάπην (93) συναχθῆναι οἱ πολλοὶ, κατὰ τὴν τῆς μοναδικῆς οὐσίας ἕνωσιν· C σπεύσωμεν (94) ἀγαθοεργούμενοι ἀναλόγως ἑνότητα διώκωμεν, τὴν ἀγαθὴν ἐκζητοῦντες μονάδα. Ἡ δὲ ἐκ πολλῶν ἕνωσις, ἐκ πολυφωνίας καὶ διασπορᾶς ἁρμονίαν λαβοῦσα θεϊκὴν, μία γίνεται συμφωνία, ἑνὶ χορευτῇ καὶ διδασκάλῳ τῷ Λόγῳ ἑπομένη, ἐπ' αὐτὴν τὴν ἀλήθειαν ἀναπαυομένη, *Ἀββᾶ* λέγουσα, *ὁ πατήρ*· ταύτην ὁ Θεὸς τὴν φωνὴν τὴν ἀληθινὴν ἀσπάζεται παρὰ τῶν αὐτοῦ παίδων πρώτην καρπούμενος.

✠ P. 72 ED. POTTER, 56-57 ED. PARIS. [80] I Tim. III, 16, 17. [81] Matth. IV, 17. [82] Philipp. IV, 5. [83] II Cor. V, 20. [84] Psal. XXXIII, 9. [85] Ibid. 12. [86] Ibid. 13. [87] Esther. IX, 20. [88] Joann. I, 9.

(88) *Ἐπιστρέψει.* Sic distingue, Ἐπιστρέφει τοὺς ἀνθρώπους πλησιάζοντας, τῷ φόβῳ. *Eos, qui ad se accedunt, per timorem convertit.*

(89) *Ὁ Κύρ.* S. Scripturæ sensum, non verba, recitat. Porro καταλειφθῶμεν pro καταληφθῶμεν habet Nov.

(90) Ἀδεεῖς. Hervetus legit ἐνδεεῖς, quod A. minus placet. SYLBURG.

(91) *Γεύσεσθε.* A. et H. γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ Θεός, ex psalmo XXXIII. Hervetus interpres vulgatam lectionem secutus est : in qua ut interrogatio locum habet, ita in altera non habet. SYLBURG. — Alludit ad psalm. XXXII 9 : Γεύσασθε, καὶ ἴδετε ὅτι χρηστὸς ὁ Κύριος. Sic *Pædag.* lib. I, c. 6, p. 103 illa I Pet. II, recitans, εἰ ἐγεύσασθε ὅτι χρηστὸς ὁ Κύριος, scripsit : Εἰ ἐγεύσασθε ὅτι Χριστὸς ὁ K. *Strom.* V, pag. 579, iterum psalmi verba sic scribit, Γεύσασθε, καὶ ἴδετε ὅτι Χριστὸς ὁ Κύριος. *Protrept.*, p. 76, χρηστὸς ὁ σύμπας ἀνθρώπων βίος, τῶν Χριστὸν ἐγνωκότων. Denique *Strom.* II, similiter in his vocibus ludit : Οἱ εἰς τὸν Χριστὸν πεπιστευκότες, χρηστοί τε εἰσὶ, καὶ λέγονται· *Qui in Christum crediderunt*, χρηστοί, *boni, sunt et dicuntur*. Verum eo loco Χριστοί potius legendum esse, D nonnulli existimant. S. Justinus, *Apol.* I, p. 6 : Ὅσον τε ἐκ τοῦ κατηγορουμένου ἡμῶν ὀνόματος χρηστότατοι ὑπάρχομεν· *Quod ad nomen ipsum* Christianorum *spectat, quod criminis loco nobis objicitur, optimi* (χρηστότατοι) *certe sumus*. Idem paulo post : Χριστιανοὶ γὰρ εἶναι κατηγορούμεθα· τὸ δὲ χρηστὸν μισεῖσθαι οὐ δίκαιον· *Christiani esse deferimur : atqui bonum* (χρηστὸν) *odisse, injustum est*. Gentiles per ignorantiam *Chrestum*, sæpe vocabant Christum. Conf. Suetonius in *Claudio* cap. 25; Lucianus in *Philopatride;* Tertullianus, *Apol.*, cap. 3; Lactantius, lib. IV, cap. 7; Theophilus initio lib. I, *Ad Autolyc.*

(92) *Ἀκούσατε οὖν οἱ μ.* Hæc verba οὖν οἱ μακρὰν ἀκούσατε omittit Nov. Porro respicit Clemens Pauli verba ad Ephes. II, 17 : Εὐηγγελίσατο εἰρήνην ὑμῖν τοῖς μακρὰν, καὶ τοῖς ἐγγύς. Ut mox Joan. I, 9 : Τὸ φῶς τὸ ἀληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον.

(93) *Εἰς μίαν ἀγάπ.* Imitatur Christi dictum, quod refert Joan. XVII, 21, 22, 23.

(94) *Ἕνωσιν· σπεύσ.* Sic distingui possit, ἕνωσιν, σπεύσωμεν· ἀγαθοεργούμενοι, ἀναλόγως ἑνότ.

redacta, unum concentum efficit, eumdemque chori ducem et magistrum sequitur, et in eadem requiescens veritate, *dicit Abba, pater* [89]. Hanc Deus germanam filiorum suorum vocem, quam primam ei offerre solent, amplectitur.

CAPUT X.

Respondens objectioni Gentilium, qua nefas esse aiebant morem patrium deserere, eo impensius hortatur illos ad veritatem amplectendam, qua ab erroribus istis liberentur.

Ἀλλ' ἐκ πατέρων (95), φατὲ, παραδεδομένον ἡμῖν A ἔθος ἀνατρέπειν οὐκ εὔλογον. Καὶ τί δὴ οὐχὶ τῇ πρώτῃ τροφῇ τῷ γάλακτι χρώμεθα, ᾧ δήπουθεν συνείθισαν ἡμᾶς ἐκ γενετῆς αἱ τιτθαί; Τί δαὶ αὔξάνομεν ἢ μειοῦμεν τὴν πατρῴαν οὐσίαν, καὶ οὐχὶ τὴν ἴσην, ὡς παρειλήφαμεν, διαφυλάττομεν; Τί δαὶ οὐκέτι τοῖς κόλποις (96) τοῖς πατρῴοις ἐναποβλύζομεν, ἢ καὶ τὰ ἄλλα, ἃ νηπιάζοντες ὑπὸ μητράσιν τε ἐκτρεφόμενοι, γέλωτα ὤφλομεν, ἐπιτελοῦμεν ἔτι (97)· ἀλλὰ σφᾶς αὐτοὺς, καὶ εἰ μὴ παιδαγωγῶν ἐτύχομεν ἀγαθῶν, ἐπανωρθώσαμεν; εἶτα ἐπὶ τῶν παθῶν αἱ παρεκβάσεις, καίτοι ἐπιζήμιοι καὶ ἐπισφαλεῖς οὖσαι, ὅμως γλυκεῖαι! πως προσπίπτουσιν (98)· ἐπὶ δὲ τοῦ βίου, B οὐχὶ τὸ ἔθος καταλείποντες τὸ πονηρὸν καὶ ἐμπαθὲς καὶ ἄθεον, κἂν οἱ πατέρες χαλεπαίνωσιν, οὐκ ἐπὶ τὴν ἀλήθειαν ἐκκλινοῦμεν, καὶ τὸν ὄντως ὄντα πατέρα ἐπιζητήσομεν (99), οἷον δηλητήριον φάρμακον τὴν συνήθειαν ἀπωσάμενοι; Τοῦτ' αὐτὸ γάρ τοι τὸ κάλλιστον τῶν ἐγχειρουμένων ἐστὶν ὑποδεῖξαι ὑμῖν, ὡς ἀπὸ μανίας καὶ τοῦ τρισαθλίου τούτου ἔθους ἐμισήθη ἡ θεοσέβεια· οὐ γὰρ ἂν ἐμισήθη ποτὲ ἢ ἀπηγορεύθη ἀγαθὸν τοσοῦτον, οὗ μεῖζον (1) οὐδὲν ἐκ Θεοῦ δεδώρηταί πω τῇ τῶν ἀνθρώπων γενέσει, εἰ μὴ συναρπαζόμενοι τῷ ἔθει, εἶτα μέντοι ἀποβύσαντες τὰ ὦτα ἡμῖν, οἷον ἵπποι (2) σκληραύχενες ἀφηνιάζοντες, τοὺς χαλινοὺς ἐνδακόντες, ἀποφεύγετε τοὺς λόγους, ἀποσείσασθαι μὲν (3) τοὺς ἡνιόχους ὑμῶν τοῦ βίου ἡμᾶς ἐπιποθοῦντες, ἐπὶ δὲ τοὺς κρημνοὺς τῆς ἀπωλείας C ὑπὸ τῆς ἀνοίας φερόμενοι, ἐναγῆ τὸν ἅγιον ὑπολαμβάνετε τοῦ Θεοῦ Λόγον. Ἕπεται τοιγαροῦν ὑμῖν, κατὰ τὸν Σοφοκλέα, τὰ ἐπίχειρα τῆς ἐκλογῆς (4)·

Νοῦς φροῦδος, ὦτ' ἀχρεῖα, φροντίδες κεναί.

Καὶ οὐκ ἴστε ὡς παντὸς μᾶλλον τοῦτο ἀληθὲς, ὅτι

At vero, inquitis, evertere consuetudines a majoribus nobis traditas, rationi minime consentaneum est. Proinde cur non lacte etiam utimur, tanquam primo alimento, cui nutrices nostræ, statim ac fuimus in lucem editi, nos assuefecerunt? Cur augemus patrum facultates, vel minuimus; ✠ nec eumdem modum, quem illi nobis reliquere, deinceps perpetuo servamus? Cur nec in sinus patrum cibos nostros regerimus, nec etiam alia adhuc facimus, quibus olim, cum parvuli essemus, et a matribus aleremur, risum commovimus; sed nosmetipsos, etiam nullo præcipiente magistro, corrigimus et emendamus? Quod si in affectibus excessus, etsi sint admodum periculosi et exitiales, tamen aliqua nos voluptate afficiunt: cur non etiam in vita, ex hac flagitiosa, perturbata affectibus atque impia consuetudine ad veritatem, patribus licet ringentibus, deflectemus; et rejecta, tanquam mortifero veneno, consuetudine, verum patrem quæremus? Nam **26** a nobis quidem nihil pulchrius aut præclarius suscipi potest, quam si vobis ostenderimus, hanc insanam ac plane miserrimam consuetudinem esse veræ pietati inimicissimam. Nec enim aut odio haberi, aut omnino repudiari potuit tam eximium beneficium, quo Deus nihil unquam majus humano generi tribuit, nisi consuetudine abrepti, obturatis deinde auribus, tanquam contumaces equi detrectantes habenas, et frenos mordentes, rationes fugeretis, vitæ vestræ nos magistros et aurigas excutere cupientes: et amentia vestra præcipites in exitium acti, sanctum Dei Verbum existimaretis exsecrandum esse ac detestabile. Quamobrem vos electionis vestræ præmia sequuntur, ut ait Sophocles,

Mens vana, aures inutiles, cogitationes irritæ.

Et nescitis veris omnibus hoc esse verius, quod

✠ P. 73 ED. POTTER, 57 ED. PARIS. [89] Marc. xiv. 36; Rom. viii, 15.

(95) *Ἀλλ' ἐκ πατέρ.* Hanc rationem quam ethnici Christianis semper objiciebant, refellit etiam Justinus M. initio *Cohort. ad Græcos.*

(96) *Τοῖς κόλποις.* Respicit verba Phœnicis ad Achillem alumnum, quæ refert Homerus *Iliad.* I, v. 484:

Πρίν γ' ὅτε δή σ', ἐπ' ἐμοῖσιν ἐγὼ γούνασσι καθίσας,
Ὄψου τ' ἄσαιμι προταμὼν, καὶ οἶνον ἐπισχὼν,
Πολλάκι μοι κατέδευσας ἐνὶ στήθεσσι χιτῶνα
Οἴνου, ἀποβλύζων ἐν νηπιέῃ ἀλεγεινῇ.

(97) *Ὤφλομεν, ἐπιτελοῦμεν ἔτι.* Ὑφλῶμεν, ἐπὶ τέλους μὲν ἔτι Nov.

(98) *Γλυκεῖαι π. π.* Lowthius ait: « Locus mancus et corruptus. Sensus videtur esse: *Siquidem officium* esse ducimus, immoderatos animi affectus coercere, cur non pari ratione absurdas consuetudines ab animi perturbationibus profectas rejicimus? » Porro nos alium sensum in Latina versione expressimus.

(99) *Ἐπιζητήσομεν.* H. Ἐπιζητήσωμεν, subjunctivo modo. SYLBURG. — Quam lectionem firmat Nov.

D (1) *Οὗ μεῖζον.* Ad Christianam philosophiam accommodat quod de profana dixit Plato in *Timæo*: Οὗ μεῖζον, inquit, ἀγαθὸν οὔτ' ἦλθεν, οὔθ' ἥξει ποτὲ τῷ θνητῷ γένει δωρηθὲν ἐκ θεῶν. Id Latine vertit Cicero, *Academ. Quæst.* lib. I, c. 2: *Totum igitur illud philosophiæ studium mihi quidem ipse sumo, et ad vitæ constantiam quantum possum, et ad animi delectationem: nec ullam arbitror, ut apud Platonem est, majus aut melius a diis datum munus homini.* Idem lib. xv. epist. 4, extrema, de philosophia dicit: *Qua nec mihi charior ulla unquam res in vita fuit, nec hominum generi majus a diis munus ullum est datum.*

(2) *Οἷον ἵπποι.* Iterum Platonem imitatur Phædri pag. 1226, 1227. Eadem comparatione inferius usus est Clemens *Pædag.* lib. II, cap. 10.

(3) *Μέν.* Μέντοι Nov.

(4) *Τῆς ἐκλογῆς.* Cæcæ nempe ac stolidæ: qua mendacium veritati prætulistis. V. SYLBURG.

boni plique homines, eo quod bonum coluerunt, bonam mercedem consequentur; qui autem contra sunt mali, meritam pœnam. Quin etiam ipsi sceleris principi imminet supplicium; proinde ei minatur Zacharias: *Increpabit te, qui elegit Jerusalem. Nonne ecce hoc est ut torris evulsus ex igne* [90]? Quænam igitur insita est in animis hominum voluntariæ mortis appetitio? Cur ad hunc mortiferum *torrem*, quocum necesse est eos una comburi, ✠ confugerunt: cum integrum ipsis fuerit, honeste ex Dei præcepto, non autem ex consuetudine vivere? nam Deus quidem vitam largitur; prava autem consuetudo, postquam excesserint hac vita, seram illis affert inter supplicia pœnitentiam. *Passus autem vel stultus didicit*, quod superstitio quidem exitium et interitum, pietas vero salutem afferat. Conspiciuntur sæpenumero, qui simulacris se addixerunt, coma quidem sordida et inculta, vestibus laceratis et squalore obsitis deformati, lavationibus prorsus abstinentes, unguibus in immanem longitudinem excrescentibus plane efferati, quamplurimi etiam virilitatem exsecti, qui re quidem ipsa satis ostendunt, sepulcra quædam mortuorum aut carceres fuisse simulacrorum templa. Hi sane mihi lugere deos, non colere videntur: ut qui ea patiantur, quæ misericordia potius digna sunt, quam pietate. Vos autem etiamne estis cæci, nec ad omnium rerum Herum et totius universitatis Dominum oculos attollere curatis? An non ex his carceribus elabi, et ad misericordiam e cœlo demissam confugere vobis in animo est? Deus enim hominem, perinde ac mater ad pullum e nido excidentem advolans, pro sua singulari in eum benevolentia sustentat: quod si serpens aliquis pullo inhiet, *mater circumvolat charissimos natos deflens*; Deus vero pater figmentum suum quærit, et lapsum curat, et feram abigit, et pullum recuperans, ut subvolet in nidum, hortatur. Cæterum canes, cum aberraverunt, sagaci nare dominum persequi et indagare solent. Quin etiam equi excusso insessore, vel uno sibilo edito, domino suo paruerunt. *Novit autem*, inquit, *bos possessorem suum, et asinus præsepe domini sui: Israel autem me non novit* [91]. Quid ergo Dominus? Obliviscitur tantæ injuriæ, etiamnum

A ἄρα οἱ μὲν ἀγαθοὶ καὶ θεοσεβεῖς, ἀγαθῆς τῆς ἀμοιβῆς τεύξονται, τἀγαθὸν τετιμηκότες, οἱ δὲ ἐκ τῶν ἐναντίων πονηροὶ τῆς καταλλήλου τιμωρίας. Καὶ τῷ γε ἄρχοντι τῆς κακίας ἐπήρτηται κόλασις· ἀπειλεῖ γοῦν αὐτῷ ὁ προφήτης Ζαχαρίας· *Ἐπιτιμήσαι ἐν σοὶ ὁ ἐκλεξάμενος τὴν Ἱερουσαλήμ· οὐκ ἰδοὺ τοῦτο ὡς* (5) *δαλὸς ἐξεσπασμένος ἐκ πυρός;* Τίς (6) οὖν ἔτι τοῖς ἀνθρώποις ὄρεξις ἔγκειται θανάτου ἑκουσίου; τί δαὶ τῷ δαλῷ τῷ θανατηφόρῳ τούτῳ προσπεφεύγασιν (7), μεθ' οὗ καταφλεχθήσονται, ἐξὸν βιῶναι καλῶς, κατὰ τὸν Θεὸν, οὐ κατὰ τὸ ἔθος; Θεὸς μὲν γὰρ ζωὴν χαρίζεται, ἔθος δὲ πονηρὸν, μετὰ τὴν ἐνθένδε ἀπαλλαγὴν, μετάνοιαν κενὴν ἅμα τιμωρίᾳ προστρίβεται· *Παθὼν* (8) *δέ τε νήπιος ἔγνω*, ὡς ἀπολλύει δεισιδαιμονία, καὶ σώζει θεοσέβεια. Ἰδέτω B τις ὑμῶν τοὺς παρὰ τοῖς εἰδώλοις λατρεύοντας, κόμῃ ῥυπῶντας, ἐσθῆτι πιναρᾷ καὶ κατεῤῥηγυίᾳ (9) καθυβρισμένους, λουτρῶν μὲν παντάπασιν ἀπειράτους, ταῖς δὲ τῶν ὀνύχων ἀκμαῖς ἐκτεθηριωμένους, πολλοὺς δὲ καὶ τῶν αἰδοίων ἀφῃρημένους, ἔργῳ δεικνύντας τῶν εἰδώλων τὰ τεμένη, τάφους τινὰς ἢ δεσμωτήρια. Οὗτοί μοι δοκοῦσι πενθεῖν, οὐ θρησκεύειν τοὺς θεούς· ἐλέου μᾶλλον ἢ θεοσεβείας ἄξια πεπονθότες. Καὶ ταῦτα ὁρῶντες, ἔτι τυφλώττετε, καὶ οὐχὶ πρὸς τὸν Δεσπότην τῶν πάντων καὶ Κύριον τὸν ὅλων (10) ἀναβλέψετε; οὐχὶ δὲ καταφεύξεσθε ἐκ τῶν ἐνταῦθα δεσμωτηρίων, ἐκφεύγοντες ἐπὶ τὸν ἔλεον τὸν ἐξ οὐρανῶν; Ὁ γὰρ Θεὸς ἐκ πολλῆς τῆς φιλανθρωπίας ἀντέχεται τοῦ ἀνθρώπου, ὥσπερ ἐκ C καλιᾶς ἐκπίπτοντος νεοττοῦ ἡ μήτηρ ὄρνις ἐφίπταται· εἰ δέ που καὶ θηρίον ἑρπυστικὸν περιχάνοι τῷ νεοττῷ, *μήτηρ δ' ἀμφιποτᾶται, ὀδυρομένη φίλα τέκνα* (11)· ὁ δὲ Θεὸς πατὴρ καὶ ζητεῖ τὸ πλάσμα, καὶ ἰᾶται τὸ παράπτωμα, καὶ διώκει τὸ θηρίον, καὶ τὸν νεοττὸν αὖθις ἀναλαμβάνει, ἐπὶ τὴν καλιὰν ἀναπτῆναι παρορμῶν. Εἶτα κύνες μὲν, ἤδη πεπλανημένοι, ὀδμαῖς ῥινηλατοῦντες, ἐξίχνευσαν τὸν δεσπότην· καὶ ἵπποι τὸν ἀναβάτην ἀποσεισάμενοι, ἐν ἵππου συρίγματι ὑπήκουσαν τῷ δεσπότῃ (12)· *Ἔγνω δὲ*, φησὶ, *βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· Ἰσραὴλ δέ με οὐκ ἔγνω*. Τί οὖν ὁ Κύριος; Οὐ μνησικακεῖ, ἔτι ἐλεεῖ, ἔτι τὴν μετάνοιαν ἀπαιτεῖ. Ἐρέσθαι δὲ ὑμᾶς βούλομαι, εἰ D οὐκ ἄτοπον ὑμῖν δοκεῖ, πλάσμα ὑμᾶς τοὺς ἀνθρώ-

✠ P. 74 ED. POTTER, 58 ED. PARIS. [90] Zach. III, 2. [91] Isa. I, 3.

(5) Ὡς. Hæc particula addita ex vulg. Bibl. editione. Sylburg. — Hunc locum Theodoretus explicat de Jesu, Josedec filio, et aliis, qui, cum paulo ante a captivitate rediissent, captivitatis ferebant signa, paupertatem et inopiam. Torris enim semiustulatum lignum est ex igne arreptum. Hieronymus eodem modo explicat. Similis locus est Amos IV, 11, quem reperies lib. I *Pædagogi* cap. 8. Collect.

(6) Τίς. Omittit Nov.

(7) Προσπεφεύγασιν. Προσφεύγουσι Nov. Mox, καταφλεγήσονται pro καταφλεχθήσονται, idem.

(8) Παθών. Hemistichium ex Hesiod. *Oper. et Dier.* lib. I, vers. 216.

(9) Κατεῤῥηγυίᾳ. Scribe κατεῤῥωγυίᾳ, quod habet Nov.

(10) Κύριον τὸν ὅλων. Κύριον τῶν ὅλων rectius, ut supra. Sylburg. — Quam correctionem firmat Nov.

(11) Ὀδυρομένη φίλα τέκνα. Hemistichium est Homeri *Iliad.* B, v. 315, ubi describitur illud auspicium, seu prodigium avicularum, quas draco devoravit,

. . . ἀμφεποτᾶτο ὀδυρομένη φίλα τέκνα.

Collect. — Hic etiam ἀμφεποτᾶτο habet Nov.

(12) Καὶ ἵπποι τὸν ἀναβάτην ἀποσεισάμενοι, ἐν ἵππου συρίγματι ὑπήκουσαν τῷ δεσπότῃ. Hæc vel imprudenti Herveto exciderunt, vel consulto, quod mendosa essent, suppressa sunt. Forte ita corrigi possunt, ἐν ὑποσυρίγματι, vel ἀποσυρίγματι, vel etiam, ut quibusdam placet, ἑνί που συρίγματι, *equi ipsi excusso insessore, vel uno sibilo edito, domino parere solent.* Jul. Pollux Περὶ ἱππασίας· Κλωγμῷ δὲ ἐξεγείρειν (ms. ἐπεγείρειν) τὸν ἵππον ἐρεῖς καὶ ῥοίζῳ· *dicis etiam sibilo et stridore equum excitare.* Collect.

πους ἐπιγεγονότας τοῦ Θεοῦ, καὶ παρ' αὐτοῦ τὴν ψυχὴν εἰληφότας, καὶ ὄντας ὅλως τοῦ Θεοῦ, ἑτέρῳ δουλεύειν δεσπότῃ· πρὸς δὲ καὶ θεραπεύειν ἀντὶ μὲν τοῦ βασιλέως τὸν τύραννον, ἀντὶ δὲ τοῦ ἀγαθοῦ τὸν πονηρόν; Τίς γάρ, ὦ πρὸς τῆς ἀληθείας, σωφρονῶν γε, τἀγαθὸν καταλείπων, κακίᾳ σύνεστιν; Τίς δαί, ὅστις τὸν Θεὸν ἀποφεύγων, δαιμονίοις συμβιοῖ; Τίς δαί, υἱὸς εἶναι δυνάμενος τοῦ Θεοῦ, δουλεύειν ἥδεται; Ἢ τίς οὐρανοῦ πολίτης εἶναι δυνάμενος, ἔρεβον διώκει, ἐξὸν παράδεισον γεωργεῖν, καὶ οὐρανὸν περιπολεῖν, καὶ τῆς ζωτικῆς καὶ ἀκηράτου μεταλαμβάνειν πηγῆς, κατ' ἴχνος (13) ἐκείνης τῆς φωτεινῆς ἀεροβατοῦντα νεφέλης, ὥσπερ ὁ Ἠλίας, θεωροῦντα τὸν ὑετὸν σωτήριον (14); Οἱ δὲ, σκωλήκων δίκην, περὶ τέλματα καὶ βορβόρους, τὰ ἡδονῆς ῥεύματα, καλινδούμενοι, ἀνονήτους καὶ ἀνοήτους ἐκβόσκονται τρυφάς, ὑώδεις τινὲς ἄνθρωποι. Ὕες γάρ, φησὶν (15), *ἥδονται βορβόρῳ μᾶλλον ἢ καθαρῷ ὕδατι·* καὶ *ἐπὶ φορυτῷ* (16) *μαργαίνουσι*, κατὰ Δημόκριτον. Μὴ δῆτα οὖν, μὴ δῆτα ἐξανδραποδισθῶμεν, μηδὲ ὑώδεις γενώμεθα, ἀλλ' ὡς τέκνα φωτὸς γνήσια, ἀναθρήσωμεν καὶ ἀναβλέψωμεν εἰς τὸ φῶς, μὴ νόθους ἡμᾶς (17) ἐξελέγξῃ ὁ Κύριος, ὥσπερ ὁ ἥλιος τοὺς ἀετούς. Μετανοήσωμεν οὖν, καὶ μεταστῶμεν ἐξ ἀμαθίας εἰς ἐπιστήμην, ἐξ ἀφροσύνης εἰς φρόνησιν, ἐξ ἀκρασίας εἰς ἐγκράτειαν, ἐξ ἀδικίας εἰς δικαιοσύνην, ἐξ ἀθεότητος εἰς Θεόν. Καλὸς ὁ κίνδυνος (18) αὐτομολεῖν πρὸς Θεόν· πολλῶν δὲ καὶ ἄλλων ἐστὶν ἀπολαῦσαι ἀγαθῶν τοὺς δικαιοσύνης ἐραστάς, οἳ τὴν ἀΐδιον διώκομεν σωτηρίαν, ἀτὰρ δὴ καὶ ὧν αὐτὸς αἰνίττεταί ὁ Θεὸς διὰ Ἠσαΐου λαλῶν· *Ἔστι κληρονομία τοῖς θεραπεύουσι Κύριον·* καλή γε καὶ ἐράσμιος ἡ κληρονομία, οὐ χρυσίον, οὐκ ἄργυρος, οὐκ ἐσθής, ἔνθα που *σὴς καὶ τὰ τῆς γῆς ληστὴς που* καταδύεται, περὶ τὸν χαμαίζηλον πλοῦτον ὀφθαλμιῶν· ἀλλ' ἐκεῖνος ὁ θησαυρὸς τῆς σωτηρίας, πρὸς ὃν γε ἐπείγεσθαι χρή, φιλολόγους γενομένους. Συναπαίρει (19) δὲ ἡμῖν ἐνθένδε τὰ ἔργα τὰ ἀστεῖα, συνίπταται (20) τῷ τῆς ἀληθείας πτερῷ. Ταύτην ἡμῖν τὴν κληρονομίαν ἐγχειρίζει ἡ ἀΐδιος διαθήκη τοῦ Θεοῦ, τὴν ἀΐδιον δωρεὰν χορηγοῦσα (21)· ὁ δὲ φιλόστοργος

A misereatur, etiamnum exposcit pœnitentiam. Jam vero quærere ex vobis velim, ecquidnam vobis videatur absurdius, quam ut vos, qui a Deo facti estis, qui animas vestras illi debetis acceptas, et toti denique, quanticunque forte estis, ejus estis, alii cuipiam domino serviatis; præterea ut pro rege tyrannum, pro bono pessimum colatis? Quis enim, o per veritatem, cui sana mens inest, bono derelicto, malitiæ adhæret? Quis Deum fugiet, ut dæmoniorum convictu fruatur? Quis, cum Dei filiis annumerari liceat, servitutem ducit potiorem? Aut quis in erebum recipi contendit cum ✠ cœli civis esse possit; cum ei liceat paradisum colere, et cœlos circuire, vitalisque et perennis esse fontis particeps *lucidam* illam *nubem* B per aera sequenti, et salutarem pluviam, velut olim Elias, contemplanti? Cæteri autem, instar vermium, in paludibus ac cœno, voluptatis nempe fluentis, volutantes, stultis ac inutilibus pascuntur deliciis, porcini plane homines. *Solent enim porci*, ut aiunt, *cœno potius quam puriore aqua delectari*, et, quod a Democrito dictum accepimus, *fœdas colluviones insane concupiscunt*. Nequaquam igitur nos mancipari sinamus aut porcis effici similes, sed tanquam germani *lucis filii* [92], sursum oculos attollamus adversus lucem, ne quemadmodum sol aquilas, ita nos Dominus adulterinos arguat. Agamus ergo pœnitentiam, et ab ignoratione transeamus ad scientiam, ab imprudentia ad prudentiam, ab intemperantia ad temperantiam, ab injustitia ad justitiam, C ab impietate ad Deum. Pulchrum est periculum ad Deum transfugere. Nam cum alia bona permulta proposita nobis sint, qui justitiam colimus, vitamque æternam persequimur, tum ea vero præcipue; quæ Deus ipse per Isaiam significavit: *Constat cultoribus Domini hæreditas* [93]: perpulchra sane et amabilis hæreditas, non aurum, non argentum, non vestis, quam *tinea; nec res terrenæ quas latro* subit [94], humilium abjectarumque divitiarum amore captus; verum *thesaurus* ille salutis, ad quem nos oportet contendere, Verbi amatores factos. Hinc

✠ P. 75 ED. POTTER, 59 ED. PARIS. [92] Ephes. v, 8. [93] Isa. LIV, 17. [94] Matth. VI, 19, 20.

(13) *Κατ' ἴχνος*. Respicere videtur III Reg. XVIII, 44, 45: *Ἰδοὺ νεφέλη μικρὰ, ὡς ἴχνος ἀνδρὸς, ἀνάγουσα ὕδωρ.... καὶ ἐγένετο ὑετὸς μέγας*. Et Matth. XVII, 5: *Ἰδοὺ νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτούς*, nempe, Moysem et Eliam.

(14) *Τὸν ὑετὸν σωτήριον*. Malim, articulo geminato, τὸν ὑετὸν τὸν σωτήριον, ut alibi passim, et paulo ante. SYLBURG.

(15) *Φησίν*. A. φασὶν plurali numero: ut alludat ad proverbium. SYLBURG. — Hoc proverbiale dictum rursus laudavit Clemens *Strom*. I, p. 270: Εἰ δὲ μὴ πάντων ἡ γνῶσις, ὄνος λύρας, ἥ φασιν οἱ παροιμιαζόμενοι, τοῖς πολλοῖς τὰ συγγράμματα· ὕες γοῦν βορβόρῳ ἥδονται μᾶλλον ἢ καθαρῷ ὕδατι.

(16) *Ἐπὶ φορυτῷ*. Hervetus vertit, *in paleæ cumulo*: φορυτός licet Hesychio significet ἄχυρα, et quisquilias aridas, sumitur tamen pro colluvione quavis: ut Chrysostomus τὸν φορυτὸν τῶν ἁμαρτιῶν, dixit τὴν ἀκαθαρσίαν. Horatius, ... *amica luto sus*. COLLECT.

D (17) *Ἡμᾶς*. Sic legit Sylburgius, pro ὑμᾶς.

(18) *Καλὸς ὁ κ*. Horatius lib. III, od. 25, v. 18:

. . . *Dulce periculum est,*
O Lenæe, sequi deum.

(19) *Συναπαίρει*. Et hoc Platoni suo debet Clemens. Sane Platonici amorem illum bonum et pudicum, qui a cœlo, ut volebat Socrates, non ab ulla libidine in animum philosophi illabitur, ἀστεῖον dicunt. Alcinous, plane ut hic Clemens, τὸ φαῦλον καὶ τὸ ἀστεῖον opposuit: Ἔστι δὲ ἐρωτικὴ, ἡ μὲν ἀστεία, ἡ τῆς σπουδαίας ψυχῆς, ἡ δὲ φαύλη, ἡ τῆς κακῆς. Ita, ἀστεῖα ἔργα dicit noster, τὰ ἀγαθά. Et Theodorus, ἐν ταῖς *Ἐκλογαῖς*, τὴν ἀστείαν ἀρετὴν dixit: Νοείτω μέγα, καὶ ἀπερινόητον, καὶ κάλλιστον φῶς, ἀπρόσιτον, πᾶσαν δύναμιν ἀγαθὴν, πᾶσαν ἀστείαν ἀρετὴν συγκεκληρωμένον. HEINSIUS.

(20) *Συνίπταται*. Καὶ συνίπταται. Nov. recte.

(21) *Χορηγοῦσα*. Χορηγοῦσαν. Nov.

autem una migrant bona ac præclara opera, pennisque veritatis nobiscum simul evolant. Hanc nobis hæreditatem, æternum sane donum, æternum Dei fœdus in manus tradit. Pater autem ille noster, qui vere est pater, nosque impensius amat, **27** hortari, monere, emendare, diligere nunquam desinit; nec enim desinit servare, verum optimum dat consilium, *Justi efficiamini, inquit Dominus. Qui sititis, ite ad aquam; et quicunque non habetis pecuniam, ite et emite, et bibite, absque pecunia* [95]. Ad lavationem, ad salutem, ad illuminationem hortatur, aperte ✠ propemodum clamans, Do tibi, o fili, terram et mare, atque cœlum: quæque in eis sunt, omnia tibi largior animantia. Tu modo, o fili, patrem *sitias*, Deus tibi gratis ostendetur; veritas enim non *venditur* [96]. Tibi volatilia, tibi aquatilia, tibi, denique, dat quæcunque terram habitant. Hæc eo sunt a Patre condita, ut vos iis grato memorique animo fruamini; quæ pecunia quidem emet nothus, qui *filius* est *perditionis* [97], cuique *mammonæ servire* [98] constitutum est: tibi vero tanquam tua permittit, legitimo scilicet filio, qui Patrem diligis, cujus gratia *adhuc operatur* [99], cuique soli hoc promissum facit: *Et terra extendetur in firmitatem;* nec enim destinata est corruptioni: *mea est enim universa terra* [1], tua vero erit, si Deum receperis. Hinc iis, qui crediderunt, hoc lætissimum nuntium defert Scriptura: *Sancti autem Domini erunt hæredes gloriæ Dei, et potentiæ ejus.* Quænam est ea, dic mihi, o beate, *gloria?* quam *oculus non vidit, nec auris audivit, nec in cor hominis ascendit; et lætabuntur in regno Domini sui in æternum. Amen.* [2] Jam igitur accepistis, o homines, qualem quantamque Deus gratiam polliceatur; ex altera quoque parte, quæ supplicia minatus fuerit, audivistis. His Dominus ad salutem ducit, et metu et gratia hominem instituens. Quid cunctamur? cur non effugimus supplicium? cur non recipimus donum? Cur autem ea, quæ præstantiora sunt, Deum scilicet præ malo, non eligimus, et simulacrorum cultui sapientiam

A οὗτος ἡμῶν πατὴρ, ὁ ὄντως πατὴρ, οὐ παύεται προτρέπων, νουθετῶν, παιδεύων, φιλῶν. Οὐδὲ γὰρ σώζων παύεται· συμβουλεύει δὲ τὰ ἄριστα· *Δίκαιοι γένεσθε* (22), *λέγει Κύριος. Οἱ διψῶντες, πορεύεσθε ἐφ' ὕδωρ· καὶ ὅσοι μὴ ἔχετε ἀργύριον, βαδίσατε, καὶ ἀγοράσατε, καὶ πίετε, ἄνευ ἀργυρίου.* Ἐπὶ τὸ λουτρὸν, ἐπὶ τὴν σωτηρίαν, ἐπὶ τὸν φωτισμὸν (23) παρακαλεῖ, μονονουχὶ βοῶν καὶ λέγων· Γῆν σοι δίδωμι καὶ θάλασσαν, παιδίον, οὐρανόν τε· καὶ τὰ ἐν αὐτοῖς πάντα ζῶά σοι χαρίζομαι. Μόνον, ὦ παιδίον, *δίψησον* τοῦ Πατρός· ἀμισθεί σοι δειχθήσεται ὁ Θεός· οὐ *καπηλεύεται* ἡ ἀλήθεια. Δίδωσί σοι καὶ τὰ πτηνὰ, καὶ τὰ νηκτὰ (24), καὶ τὰ ἐπὶ τῆς γῆς. Ταῦτά σου ταῖς εὐχαρίστοις τρυφαῖς (25) δεδημιούργηκεν ὁ Πατήρ· ἅπερ ἀργυρίῳ μὲν ὠνήσεται ὁ νόθος, ὃς *ἀπωλείας* ἐστὶ *παιδίον*, ὃς *μαμωνᾷ δουλεύειν* B προῄρηται· σοὶ δὲ τὰ σὰ ἐπιτρέπει, τῷ γνησίῳ λέγει, τῷ φιλοῦντι τὸν Πατέρα, δι' ὃν ἔτι ἐργάζεται, ᾧ μόνῳ καὶ ὑπισχνεῖται, λέγων· *Καὶ ἡ γῆ παραταθήσεται* (26) *εἰς βεβαίωσιν*· οὐ γὰρ κυροῦται (27) τῇ φθορᾷ· *Ἐμὴ γάρ ἐστι πᾶσα ἡ γῆ*· ἔστι δὲ σὴ (28), ἐὰν ἀπολάβῃς τὸν Θεόν. Ὅθεν ἡ Γραφὴ εἰκότως εὐαγγελίζεται τοῖς πεπιστευκόσιν· *Οἱ δὲ ἅγιοι* (29) *Κυρίου κληρονομήσουσι τὴν δόξαν τοῦ Θεοῦ καὶ τὴν δύναμιν αὐτοῦ.* Ποίαν, ὦ μακάριε, δόξαν, εἰπέ μοι; *ἣν ὀφθαλμὸς οὐκ εἶδεν, οὐδὲ οὖς ἤκουσεν, οὐδὲ ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη· καὶ χαρήσονται ἐπὶ τῇ βασιλείᾳ τοῦ Κυρίου αὐτῶν εἰς τοὺς αἰῶνας. Ἀμήν.* Ἔχετε, ὦ ἄνθρωποι, τὴν θείαν τῆς χάριτος C ἐπαγγελίαν· ἀκηκόατε καὶ τὴν ἄλλην τῆς κολάσεως ἀπειλήν· δι' ὧν ὁ Κύριος σώζει, φόβῳ καὶ χάριτι παιδαγωγῶν τὸν ἄνθρωπον. Τί μέλλομεν; τί οὐκ ἐκκλίνομεν τὴν κόλασιν; τί οὐ καταδεχόμεθα τὴν δωρεάν; τί δαὶ οὐχ αἱρούμεθα τὰ βελτίονα, Θεὸν ἀντὶ τοῦ πονηροῦ, καὶ σοφίαν εἰδωλολατρίας προκρίνομεν, καὶ ζωὴν ἀντικαταλλασσόμεθα θανάτῳ; *Ἰδοὺ τέθεικα* (30) *πρὸ προσώπου ὑμῶν*, φησὶ, *τὸν θάνατον καὶ τὴν ζωήν.* Πειράζει σε ὁ Κύριος, *ἐκλέξασθαι τὴν ζωήν.* Συμβουλεύει σοι ὡς πατὴρ (31), πείθεσθαι τῷ Θεῷ (32). *Ἐὰν γὰρ ἀκούσητέ μου,*

✠ P. 76 ED. POTTER, 60 ED. PARIS. [95] Isa. LV, 1. [96] II Cor. II, 17. [97] Joan. XVII, 12; II Thess. II, 3. [98] Matth. VI, 24; Luc. XVI, 13. [99] Joan. V, 17. [1] Levit. XXV, 23. [2] I Cor. II, 9.

(22) *Δίκαιοι γένεσθε.* Ἔσεσθέ μοι δίκαιοι Bibl. Græc. Mox, βαδίσαντες ἀγοράσατε pro βαδίσατε καὶ ἀγ. Dein φάγετε pro πίετε. Ibid.

D (23) *Φωτισμόν.* Hac voce Patres baptismum, et gratiam baptizatis collatam ubique denotant, secuti Hebr. VI, 4: Ἀδύνατον γὰρ τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου, καὶ μετόχους γενηθέντας Πνεύματος ἁγίου, etc. Clemens, *Pædag.* lib. I, cap. 6, p. 92, 93: Τελειοῦται δὲ τῷ λουτρῷ μόνῳ, καὶ τοῦ Πνεύματος τῇ καθόδῳ ἁγιάζεται. — Βαπτιζόμενοι, υἱοποιούμεθα· υἱοποιούμενοι, τελειούμεθα.

(24) *Νηκτά.* Νοητά. Nov. mendose.

(25) *Τρυφαῖς.* Hervetus et A. malunt τροφαῖς, *alimentis.* SYLB. — Sed Clemens τρυφαῖς dixit, ut copiam et affluentiam rerum innueret.

(26) *Παραταθήσεται.* Sic Flor., Sylb.; παρασταθήσεται, Heinsiana, et reliquæ post eam editt. Vera lectio videtur fuisse, οὐ πραθήσεται, quam exhibet Nov. Clemens enim respicit Levit. XXV, 23: Ἡ γῆ οὐ πραθήσεται εἰς βεβαίωσιν.

(27) *Κυροῦται.* Aptius κηροῦται *vitiatur, læditur*, a κὴρ *noxa.* Ut apud Hesychium quoque, κεκηρωμένη, κεκακωμένη. SYLBURG.—Sed nulla mutatione opus est.

(28) *Ἔστι δὲ σή.* A. ἔστι δὲ καὶ σὴ, *est vero, et tua.* SYLB.—Quam lectionem firmat Nov. Paulo ante, πᾶσα omittunt Bibl. Græc.

(29) *Οἱ δὲ ἅγ.* Similia quædam occurrunt Prov. III, 35, Isa. LXV, 9. Verba hæc, ut etiam ea, quæ paulo post occurrunt, χαρήσονται ἐπὶ, etc., hactenus frustra quæsivi. Conf. Apoc. XI, 15.

(30) *Ἰδοὺ τέθ.* Hæc Moysis et Isaiæ dicta eodem, quo Clemens, sensu ante illum exhibuit Justin. M. *Apol.* I, c. 56, p. 84, 85. Porro δέδωκα pro τέθεικα habent Bibl. Gr. Neutrum agnoscit Justin.

(31) *Ὡς πατήρ.* Justinus loco superius dicto, Διὰ Ἠσαΐου, τοῦ ἑτέρου προφήτου, ὡς ἀπὸ τοῦ Πατρὸς τῶν ὅλων καὶ δεσπότου Θεοῦ· *per Isaiam, prophetam alium, velut a Patre rerum omnium et dominatore Deo.*

(32) *Πείθεσθαι τῷ Θ.* Πείθεσθε τῷ Θεῷ, Nov.,

φησὶ, *καὶ θελήσητε, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε·* ὑπακοῆς ἡ χάρις. *Ἐὰν δὲ μὴ ὑπακούσητέ μου, μηδὲ θελήσητε, μάχαιρα ὑμᾶς καὶ πῦρ κατέδεται* (33)· παρακοῆς ἡ κρίσις. Τὸ γὰρ στόμα Κυρίου ἐλάλησεν ταῦτα· νόμος ἀληθείας, Λόγος Κυρίου. Βούλεσθε ὑμῖν ἀγαθὸς γένωμαι σύμβουλος; Ἀλλ' ὑμεῖς μὲν, ἀκούσατε· ἐγὼ (34), εἰ δυνατὸν, ἐνδείξομαι· ἐχρῆν μὲν ὑμᾶς, ὦ ἄνθρωποι, αὐτοῦ πέρι ἐννοουμένους τοῦ ἀγαθοῦ, ἔμφυτον ἐπάγεσθαι μάρτυρα ἀξιόχρεων, πίστιν αὐτόθεν οἴκοθεν περιφανῶς αἱρουμένην τὸ βέλτιστον, μηδὲ ζητεῖν εἰ μεταδιωκτέον ἐκπονεῖν (35). Καὶ γὰρ εἴ τῳ μεθυστέον, φέρε εἰπεῖν, ἀμφιβάλλειν χρή· ὑμεῖς δὲ, πρὶν ἢ ἐπισκέψασθε, μεθύετε· καὶ εἰ ὑβριστέον, οὐ πολυπραγμονεῖτε, ἀλλ' ᾗ τάχος (36) ὑβρίζετε. Μόνον δ' ἄρα, εἰ θεοσεβητέον, ζητεῖτε, καὶ εἰ τῷ σόφῳ τούτῳ δὴ τῷ B Θεῷ καὶ τῷ Χριστῷ κατακολουθητέον· τοῦτο δὲ, βουλῆς καὶ σκέψεως ἀξιοῦτε, οὐδ' ὃ πρέπει Θεῷ, ὃ τί ποτέ ἐστι, νενοηκότες. Πιστεύσατε ἡμῖν κἂν ὡς μέθῃ, ἵνα σωφρονήσητε· πιστεύσατε κἂν ὡς ὕβρει, ἵνα ζήσητε. Εἰ δὲ καὶ πείθεσθαι βούλεσθε (37), τὴν ἐναργῆ τῶν ἀρετῶν ὑποπτεύσαντες πίστιν, φέρε ὑμῖν ἐκ περιουσίας τὴν περὶ τοῦ Λόγου παραθήσομαι πειθώ. Ὑμεῖς δὲ (καὶ γὰρ (38) τὰ πάτρια ὑμᾶς ἔτι τῆς ἀληθείας ἀπασχολεῖ ἔθη προκατεσχημένους)· ἀκούοιτ' ἂν ἤδη, τὸ μετὰ τοῦτο ὅπως ἔχει· καὶ δὴ μή τις ὑμᾶς τοῦδε τοῦ ὀνόματος αἰσχύνη προκαταλαμβανέτω, *ἥ τ' ἄνδρασι μέγα σίνεται* (39), παρατρέπουσα σωτηρίας. Ἀποδυσάμενοι δ' οὖν περιφανῶς ἐν τῷ τῆς ἀληθείας σταδίῳ γνησίως ἀγωνιζώμεθα, βραβεύοντος μὲν τοῦ Λόγου τοῦ ἁγίου, ἀγωνοθετοῦν- C τος δὲ τοῦ Δεσπότου τῶν ὅλων. Οὐ γὰρ σμικρὸν ὑμῖν (40) τὸ ἆθλον ἀθανασία πρόκειται. Μὴ οὖν ἔτι φροντίζετε, μηδὲ εἰ ὀλίγον τι (41) ὑμᾶς ἀγορεύουσι σύρφακές τινες ἀγοραῖοι, δεισιδαιμονίας ἄθεοι χορευταὶ, ἀνοίᾳ καὶ παρανοίᾳ ἐπ' αὐτὸ ὠθούμενοι τὸ βάραθρον, εἰδώλων ποιηταὶ, καὶ λίθων προσκυνηταί. Οἵδε γὰρ ἀνθρώπους ἀποθεοῦν τετολμήκασι, τρισκαιδέκατον (42) Ἀλέξανδρον τὸν Μακεδόνα ἀναγράφοντες

βακχεύων ἔλεγέ τις εἰδώλοις, ἀγνοίᾳ μεθύων ἀκράτῳ (66). Ἐγὼ δ' αὐτὸν οἰκτείραιμι παροινοῦντα, καὶ τὸν οὕτω παρανοοῦντα ἐπὶ σωτηρίαν παρακαλέσαιμι σωφρονοῦσαν· ὅτι καὶ Κύριος (67) μετάνοιαν ἁμαρτωλοῦ, καὶ οὐχὶ θάνατον ἀσπάζεται. Ἧκε, ὦ παραπλήξ, μὴ θύρσῳ σκηριπτόμενος, μὴ κιττῷ ἀναδούμενος· ῥῖψον τὴν μίτραν, ῥῖψον τὴν νεβρίδα, σωφρόνησον. Δείξω σοι τὸν Λόγον, καὶ τοῦ Λόγου τὰ μυστήρια, κατὰ τὴν σὴν διηγούμενος εἰκόνα. Ὄρος ἐστὶ τοῦτο Θεῷ πεφιλημένον· οὐ τραγῳδίαις ὡς Κιθαιρὼν ὑποκείμενον, ἀλλὰ τῆς ἀληθείας (68) ἀνακείμενον δράμασιν· ὄρος νηφάλιον, C ἁγναῖς ὕλαις σύσκιον· βακχεύουσι δὲ ἐν αὐτῷ οὐχ αἱ Σεμέλης τῆς κεραυνίας ἀδελφαὶ αἱ Μαινάδες, αἱ δύσαγνον κρεανομίαν μυούμεναι, ἀλλ' αἱ τοῦ Θεοῦ θυγατέρες, αἱ ἀμνάδες αἱ καλαί, τὰ σεμνὰ τοῦ Λόγου θεσπίζουσαι ὄργια, χορὸν ἐγείρουσαι σώφρονα. Ὁ χορὸς οἱ δίκαιοι· τὸ ᾆσμα ὕμνός ἐστι τοῦ πάντων βασιλέως. Ψάλλουσιν αἱ κόραι, δοξάζουσιν ἄγγελοι, προφῆται λαλοῦσιν· ἦχος στέλλεται μουσικῆς, δρόμῳ τὸν θίασον διώκουσι· σπεύδουσιν οἱ κεκλημένοι, Πατέρα ποθοῦντες ἀπολαβεῖν. Ἧκέ μοι, ὦ πρέσβυ, καὶ σύ, τὰς Θήβας λιπών, καὶ τὴν μαντικὴν καὶ τὴν Βακχικὴν ἀποῤῥίψας, πρὸς ἀλήθειαν χειραγωγοῦ. Ἰδού σοι τὸ ξύλον ἐπερείδεσθαι δίδωμι· σπεῦσον, Τειρεσία (69), πίστευσον, ὄψει. Χριστὸς D ἐπιλάμπει φαιδρότερον ἡλίου, δι' ὃν ὀφθαλμοὶ τυ-

[40] I Cor. II, 9. ✠ P. 92 ED. POTTER, 74 ED. PARIS.

eodem versu in iis, quæ ad mores pertinent, Aristoteles II *ad Nicomachum Ethic.* c. 9. Cæterum pro ὑπ' ἀκούσῃς, Nov. habet ἐπακούσῃς.

(61) *Πνεῦμά σε οὐρ.* Pro σέ H. mavult σοί dat. casu, ut alibi. Idem cum A. pro vulg. et corrupto πάραθι, reposuit παράθει, *prætercurre.* Nostrum πάριθι probat etiam C. Ibidem mox rectius cum A. legimus βουκολεῖ, *seducit, seu abducit ab armento.* Sylburg.

(62) *Νόου.* Νόου etsi excusari possit, usitatior tamen est νόον, subaudita præp. κατά, vel simili; atque adeo νόον habent etiam Hesiodi edit. vulgatæ sub finem τῶν Ἔργων. V. Sylburg.—Quam lectionem firmat etiam Nov.

(63) *Τῷ ξύλῳ.* Allusio a malo navis, cui alligatus Ulysses Sirenas evasit, ad lignum crucis.

(64) *Μοῦ.* Pro μοῦ rectius μοί legimus dat. casu ut passim. Sylburg. — Sed mox iterum primam personam adhibet.

(65) *Καὶ μὴν ὁρ.* Verba Penthei a Baccho in furorem acti apud Euripid. *Bacch.* v. 916. Ea rursus laudavit Clemens *Pædag.* lib. II, cap. 2, pag. 153.

(66) Ἀκράτῳ. Alludit ad eos, qui merum, ἄκρατον, bibendo inebriantur.

(67) *Κύριος.* Respicit Ezechielis XXXIII, 11, XVIII, 32. In iis, quæ statim sequuntur, Bacchanalia celebrantes describit. Illi enim, exemplo Bacchi, thyrsum manibus gestantes, hedera redimiti, pellibus induti, insanientium more, montes camposque oberrabant. Conf. Meursii *Dionysia.*

(68) *Τῆς ἀλ.* Τοῖς ἀλ. Nov. His similia superius dixit p. 3.

(69) *Τειρεσία.* Tiresiæ fortasse mentionem injecit, quod versus Euripidis paulo superius laudatos

A φλῶν ἀναβλέπουσιν· νύξ σε φεύξεται, πῦρ φοβηθήσεται, θάνατος οἰχήσεται· ὄψει τοὺς οὐρανοὺς, ὦ γέρον (70), ὁ Θήβας μὴ βλέπων. Ὦ τῶν ἁγίων ὡς ἀληθῶς μυστηρίων! ὦ φωτὸς ἀκηράτου! Δᾳδουχοῦμαι (71), τοὺς οὐρανοὺς καὶ τὸν Θεὸν ἐποπτεύσας· ἅγιος γίνομαι, μυούμενος. Ἱεροφαντεῖ δὲ ὁ Κύριος, καὶ τὸν μύστην σφραγίζεται (72) φωταγωγῶν· καὶ παρατίθεται τῷ Πατρὶ τὸν πεπιστευκότα, αἰῶσι τηρούμενον. Ταῦτα τῶν ἐμῶν μυστηρίων τὰ βακχεύματα· εἰ βούλει, καὶ σὺ μυοῦ· καὶ χορεύσεις μετ' ἀγγέλων ἀμφὶ τὸν ἀγέννητον καὶ ἀνώλεθρον καὶ μόνον ὄντως Θεὸν, συνυμνοῦντος ἡμῖν τοῦ Θεοῦ Λόγου. Ἀΐδιος οὗτος, Ἰησοῦς εἷς, ὁ μέγας (73) ἀρχιερεὺς Θεοῦ τε ἑνὸς τοῦ αὐτοῦ καὶ Πατρὸς, ὑπὲρ ἀνθρώπων εὔχεται, καὶ ἀνθρώποις ἐγκελεύεται. *Κέκλυτε* (74)· *μυρία φῦλα*, μᾶλλον δὲ ὅσοι τῶν ἀνθρώπων λογικοὶ, καὶ βάρβαροι, B καὶ Ἕλληνες· τὸ πᾶν ἀνθρώπων γένος καλῶ, ὧν ἐγὼ δημιουργὸς θελήματι Πατρός· ἥκετε ὡς ἐμὲ, ὑφ' ἕνα ταχθησόμενοι Θεὸν, καὶ τὸν ἕνα Λόγον τοῦ Θεοῦ· καὶ μὴ μόνον τῶν ἀλόγων ζώων πλεονεκτεῖτε τῷ λόγῳ· ἐκ δὲ τῶν θνητῶν ἁπάντων ὑμῖν ἀθανασίαν μόνοις καρπώσασθαι δίδωμι. Ἐθέλω γὰρ, ἐθέλω καὶ ταύτης ὑμῖν μεταδοῦναι τῆς χάριτος· ὁλόκληρον χορηγῶν τὴν εὐεργεσίαν, ἀφθαρσίαν· καὶ Λόγον χαρίζομαι ὑμῖν τὴν γνῶσιν τοῦ Θεοῦ, τέλειον ἐμαυτὸν χαρίζομαι. Τοῦτό εἰμι ἐγὼ, τοῦτο βούλεται ὁ Θεὸς, τοῦτο συμφωνία ἐστὶ, τοῦτο ἁρμονία Πατρὸς, τοῦτο Υἱὸς, τοῦτο Χριστὸς, τοῦτο ὁ Λόγος τοῦ Θεοῦ, βραχίων Κυρίου, δύναμις τῶν ὅλων, τὸ θέλημα τοῦ Πατρός· ὧν πάλαι μὲν εἰκόνες, οὐ πᾶσαι δὲ ἐμφερεῖς· C διορθώσασθαι ὑμᾶς πρὸς τὸ ἀρχέτυπον βούλομαι, ἵνα μοι καὶ ὅμοιοι γένησθε. Χρίσω ὑμᾶς τῷ πίστεως ἀλείμματι, δι' οὗ τὴν φθορὰν ἀποβάλλετε· καὶ γυμνὸν δικαιοσύνης ἐπιδείξω τὸ σχῆμα, δι' οὗ πρὸς τὸν Θεὸν ἀναβαίνετε. *Δεῦτε πρός με* (75) *πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς· ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πραΰς* (76) *εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστὸς, καὶ φορτίον μου ἐλαφρόν ἐστιν*. Σπεύσωμεν, δράμωμεν, ὦ θεοφιλῆ καὶ

A be, visum recipies. Christus, per quem cæcorum visus restituitur, sole splendidius illucet. Nox te fugiet, ignis extimescet, mors abibit. Qui Thebas, o senex, contueri non potes, cœlos videbis. O vere sancta mysteria! O puram lucem! Prælatis mihi facibus, cœlos ac Deum conspicio. Dum initior, sanctus fio. Dominus autem est interpres sacrorum, qui mystam illuminatum obsignat, et eum, qui crediderit, Patri commendat in sæcula servandum. Hæc sunt meorum mysteriorum bacchanalia. Tu quoque, si videatur, initiare. Tum circa eum, qui ortus et interitus immunis solusque verus Deus est, una cum angelis, hymnum nobiscum canente Deo Verbo, chorum duces. Æternus ✠ hic Jesus, unus magnus pontifex unius Dei, qui est B idem Pater, orat pro hominibus, idemque homines hortatur. *Attendite, gentes innumerabiles;* seu potius quotquot estis inter homines ratione præditi, tam barbari quam Græci. Universum hominum genus voco, quorum ego voluntate Patris opifex sum. Venite ad me, sub uno Deo et uno Dei Verbo ordinandi. Nec sufficiat vobis animalia rationis expertia sola ratione superasse, cum vobis ex universo genere mortalium solis liceat meo munere immortalitatem consequi. Volo enim, volo hanc vobis impertire gratiam: integrum beneficium, immunitatem corruptionis, tribuens. Sed et Verbum vobis largior, Dei scilicet cognitionem, memetipsum integrum largior. Hoc sum ego, hoc vult Deus, hoc symphonia est, hoc concentus Patris, hoc Filius, hoc Christus, hoc Verbum Dei, brachium Domini, potestas rerum omnium, voluntas Patris. Quarum quidem rerum olim exhibitæ sunt imagines, verum illæ nequaquam omnes similes. Proinde volo vos ad exemplar primigenium corrigere, ut similes etiam mihi efficiamini. Fidei vos unguento, per quod corruptionem exuetis, ungam, et nudam justitiæ figuram, per quam ad Deum ascendetis, repræsentabo. *Venite ad me, omnes qui fatigati estis et onerati; et ego reficiam vos. Tollite jugum meum super vos, et discite a me, quod mitis sim et humilis*

✠ P. 93 ED. POTTER, 75 ED. PARIS.

ab illo pronuntiatos putaverit. Quo errore lapsus est *Perdag.*, lib. II, cap. 2, p. 153: Καὶ μὴν ὁρᾷν μοι δύο μὲν ἡλίους δοκῶ, μεθύων ὁ Θηβαῖος ἔλεγε γέρων· *Atque duos soles videre mihi videor, ebrius dicebat Thebanus senex.* Hæc porro sic scribit, distinguit Nov. Τειρεσίᾳ πίστευσον· ὄψει Χριστὸς ἐπιλάμπει φαιδρ. *Tiresiæ fidem habe: Christus visum tuum illuminabit sole splendidius.* Perperam in vulgatis edit. πίστευσον ὄψει, *visui tua crede*, conjuncte dicitur.

(70) *Ὦ γέρον. Odyss.* M. et K. H. SYLBURG.

(71) *Δᾳδουχοῦμαι.* Alludit ad ritus mysteriorum Eleusiniorum; in quibus erat δᾳδοῦχος, qui *facem manu ferebat;* ἱεροφάντης, qui *sacra monstrabat*, μύσται et ἐπόπται, quibus *mysteriis* initiari, eaque *intueri* permissum est. Hinc Alcibiades impietatis a guebatur, referente Plutarcho in *Alcibiade*, ἀπομιμούμενος τὰ μυστήρια, καὶ δεικνύων τοῖς ἑαυτοῦ ἑταίροις ἐν τῇ οἰκίᾳ τῇ ἑαυτοῦ, ἔχων στολὴν, οἵανπερ Ἱεροφάντης ἔχων δεικνύει τὰ ἱερὰ, καὶ ὀνομάζων αὑτὸν μὲν ἱεροφάντην, Πολυτίωνα δὲ δᾳδοῦχον, κήρυκα δὲ Θεόδωρον. *Quod imitatus mysteria,* D *ea domi suæ sociis ostendisset, indutus vestem, qualem habens Hierophantes ostendit sacra, et appellasset se quidem Hierophantam, Polytionem vero Daduchum, Theodorum vero præconem.*

(72) *Σφραγίζεται.* Alludit ad sigillum baptismi, et signum, seu characterem, qui deorum quorumdam cultoribus imprimi solebat. Unde illud Apocal. XIII, 17: *Ne quis possit emere aut vendere*, εἰ μὴ ὁ ἔχων τὸ χάραγμα, ἢ τὸ ὄνομα τοῦ θηρίου, ἢ τὸν ἀριθμὸν τοῦ ὀνόματος αὐτοῦ. Conf. *Archæologiæ Græcæ*, lib. I, c. 10; lib III, c. 2.

(73) *Ἀΐδιος οὗτος, Ἰησοῦς εἷς, ὁ μ.* Potes et sic distinguere: Ἀΐδιος οὗτος Ἰησοῦς, εἷς ὁ μέγας ἀρχιερεύς. Interpres Hervetus post εἷς distinguit, *æternus hic est Jesus unus.* SYLBURG. Est porro hoc insigne testimonium adversus Arianos.

(74) *Κέκλυτε.* Hemistichium ex *Iliad.* P, v. 220.

(75) *Πρός μέ.* Omittit Nov.

(76) *Πραΰς.* Πρᾶος Bibl. Græc. Mox, Χρηστός ἐστι Nov. Dein, καὶ τὸ φορτίον, Bibl. Græc. et Nov.

corde; et invenietis requiem animabus vestris. Jugum enim meum facile. et onus meum leve est [41]. Festinemus, curramus, o homines Dei amantia, Deo vere similia, simulacra. Festinemus, curramus, *tollamus jugum ejus*, suscipiamus bonum aurigam, a quo homines ad immunitatem corruptionis aguntur. Christum diligamus. Is pullum ac vetulum asinum sub idem jugum duxit; et juncta nunc hominum biga ad immortalitatem dirigit currum; id evidenter implere festinans, quod olim obscure significaverat, tunc quidem ad Jerusalem, nunc vero ad cœlos contendens. Pulcherrimum sane Patri spectaculum, æternus ipsius Filius victoriam reportans. Fiamus igitur in bona ambitiosi, Deique amantes homines; et earum rerum quæ nihil a quoquam pati possunt, maximas, Deum ac vitam, consequamur. Est autem Verbum adjutor: in eo sit nobis fiducia. Nec nos unquam tantum argenti ac ✠ auri, vel gloriæ subeat desiderium, quantum ipsius Verbi veritatis. **34** Nequaquam enim Deo gratum erit, si nos ea quidem, quæ maximi sunt pretii, minimi facimus; amentiæ autem, et ignorantiæ, et socordiæ, et cultus simulacrorum apertissima probra, et extremam impietatem plurimi habemus. Etenim haud abs re philosophorum filii, quæcunque faciunt stulti, nefarie ac impie eos gerere existimant. Quin etiam dum ignorantiam adnumerant in speciebus insaniæ, nil aliud quam insanire vulgus hominum fatentur. Non est ergo dubitandum, inquiet Verbum, utrum sit melius, sobrium esse, vel insanire. Oportet autem veritatem mordicus tenentes, et sobriam gerentes mentem, Deum totis viribus sequi; et sicuti sunt, res universas existimare ejus esse. Præterea, adverten-

A θεοείκελα τοῦ Λόγου ἄνθρωποι ἀγάλματα· σπεύσωμεν, δράμωμεν, *ἄρωμεν τὸν ζυγὸν αὐτοῦ*, ὑπολάβωμεν (77) ἀφθαρσίᾳ καλὸν ἡνίοχον ἀνθρώπων, τὸν Χριστόν. Ἀγαπήσωμεν (78) τὸν πῶλον· ὑποζύγιον ἤγαγε σὺν τῷ παλαιῷ· καὶ τῶν ἀνθρώπων τὴν συνωρίδα καταζεύξας εἰς τὸν Θεὸν, πρὸς ἀθανασίαν κατιθύνει (79) τὸ ἅρμα, σπεύδων πληρῶσαι ἐναργῶς, ὃ ᾐνίξατο πρότερον μὲν εἰς Ἱερουσαλὴμ, νῦν δὲ εἰσελαύνων. οὐρανούς. Κάλλιστον θέαμα τῷ Πατρὶ, Υἱὸς ἀΐδιος νικηφόρος. Φιλότιμοι τοίνυν πρὸς τὰ καλὰ, καὶ θεοφιλεῖς ἄνθρωποι γενώμεθα, καὶ τῶν ἀπαθῶν τὰ μέγιστα, Θεὸν καὶ ζωὴν, κτησώμεθα. Ἀρωγὸς δὲ ὁ Λόγος· θαῤῥῶμεν αὐτῷ· καὶ μήποτε ἡμᾶς τοσοῦτος ἀργύρου καὶ χρυσοῦ, μὴ δόξης ἐπέλθῃ (80) πόθος, ὅσος αὐτοῦ τοῦ τῆς ἀληθείας Λόγου. Οὐδὲ γὰρ οὐδὲ
B τῷ Θεῷ αὐτῷ ἀρεστὸν, εἰ ἡμεῖς τὰ μὲν πλείστου ἄξια ὑπὲρ ἐλαχίστου ποιούμεθα, ἀνοίας δὲ, καὶ ἀμαθίας, καὶ ῥαθυμίας, καὶ εἰδωλολατρείας ὕβρεις περιφανεῖς, καὶ τὴν ἐσχάτην δυσσέβειαν, περὶ πλείονος τιθέμεθα (81). Οὐ γὰρ ἀπὸ τρόπου φιλοσόφων παῖδες (82) πάντα ὅσα πράττουσιν οἱ ἀνόητοι, ἀνοσιουργεῖν καὶ ἀσεβεῖν νομίζουσιν, καὶ αὐτήν γε ἔτι τὴν ἄγνοιαν μανίας εἶδος (83) ὑπογράφοντες, οὐδὲν ἄλλο ἢ μεμηνέναι τοὺς πολλοὺς ὁμολογοῦσιν. Οὐ δὴ οὖν ἀμφιβάλλειν (84), ἐρεῖ ὁ Λόγος, ὁπότερον αὐτοῖν ἄμεινον, σωφρονεῖν ἢ μεμηνέναι· ἐχομένους δὲ ἀπρὶξ τῆς ἀληθείας, παντὶ σθένει ἕπεσθαι χρὴ τῷ Θεῷ, σωφρονοῦντας, καὶ πάντα αὐτοῦ νομίζειν, ὥσπερ ἐστὶ· πρὸς δὲ καὶ ἡμᾶς, τὸ κάλλιστον τῶν κτημάτων, μεμαθηκότας ὄντας αὐτοῦ, σφᾶς αὐτοὺς ἐπιτρέπειν τῷ
C Θεῷ, ἀγαπῶντας Κύριον τὸν Θεὸν, καὶ τοῦτο παρ' ὅλον τὸν βίον ἔργον ἡγουμένους. Εἰ δὲ κοινὰ τὰ φίλων, θεοφιλὴς δὲ ὁ ἄνθρωπος τῷ Θεῷ· καὶ γὰρ οὖν φίλος (85), μεσιτεύοντος τοῦ Λόγου· γίνεται δὴ οὖν τὰ

[41] Matth. xi, 28, 29, 30. ✠ P. 94 ED. POTTER, 76 ED. PARIS.

(77) *Ὑπολάβωμεν*. H. ὑποβάλωμεν, *subjiciamus*. Sylburg. — Quam emendationem firmat Nov.

(78) *Τὸν Χριστόν*. Ἀγ. H. ita distinguit, τὸν Χριστὸν ἀγαπήσωμεν· τὸν πῶλον ὑποζύγιον ἤγαγε. Allusio autem ad Matth. xxi, 5. Sylburg. — Quem sensum in Latina versione secuti sumus. Lowthius ait: Locus ita forsan corrigendus: Τὸν Χριστὸν ἀγαπήσωμεν (τὸν πῶλον, quod sequitur, inducendo) ὑποζύγιον ἤγαγε σὺν τῷ πώλῳ. Nisi quis legere malit, ἀγαπήσωμεν τὸν πωλοδάμνην, quo titulo Christum compellat lib. i *Pædag.*, cap. 5, p. 87.

(79) *Καταζεύξας εἰς τὸν Θεὸν, πρὸς ἀθ. κ.* Scribi posset καταζεύξας, εἰς ἀθανασίαν κατιθύνει τὸ ἅρμα, omissis intermediis vocibus τὸν Θεὸν πρός, quæ non sunt necessariæ. Et quidem in Nov. hoc loco omissæ, mox reperiuntur, σπεύδων πρὸς τὸν Θεὸν πληρῶσαι.

(80) *Ἐπέλθῃ*. Ἐπέλθοι Nov.

(81) *Τιθέμεθα*. Αἱρώμεθα Nov.

(82) *Φιλοσόφων π.* Stoicos intelligit. Hi enim statuebant, referente Stobæo in *Eclogis ethic.*, c. 4, p. 170: ἱερέα μόνον εἶναι τὸν σοφόν, *solum sapientem esse sacerdotem*; illum solum esse εὐσεβῆ, καὶ ἔμπειρον τῆς θεῶν θεραπείας, *pium, et divini cultus scientia præditum*. E contra dicebant πάντας τοὺς ἄφρονας εἶναι ἀσεβεῖς, *omnes insipientes esse impios*; eosdemque vocabant φαύλους, ἀνοσίους, ἀκαθάρτους, μιαρούς· *pravos, profanos, impuros, sceleratos*. Denique πάντ' εἶναι τὸν ἄφρονα θεοῖς ἐχθρόν· *omnem stultum esse diis inimicum*, affirmabant, ut ibidem refertur pag. 181.

(83) *Ἄγνοιαν μανίας εἶδος*. Stoici, referente Stobæo pag. 170, dicebant malum omnem insanire, ἄγνοιαν ἔχοντα αὐτοῦ, καὶ τῶν καθ' αὐτὸν, ὅπερ ἐστὶ μανία· *ignorantia* nempe *sui, eorumque quæ ad se pertinent, laborantem, quæ insania est*. Diogenes Laertius lib. ii, seg. 224, memorat Zenonem, Stoicæ sectæ patrem, tradidisse πάντας ἄφρονας μαίνεσθαι, *stultos omnes insanire*. Quod Cicero disputavit in *Paradox*. 3, cui titulus est, Ὅτι πάντες οἱ μωροὶ μαίνονται.

D (84) *Οὐ δὴ οὖν ἀμ.* A. mavult δεῖ οὖν. Sed et δὴ οὖν retineri potest, subaudito impersonali δεῖ, χρή, aut simili: ut alibi sæpe præsertim apud poetas. Stoica porro hæc paradoxa tractata etiam a Cicerone. Sylburg. — Porro χρὴ statim sequitur.

(85) *Θεοφιλὴς δὲ ὁ ἄνθρωπος τῷ Θεῷ καὶ γὰρ οὖν φ.* Scribe, θεοφιλὴς δὲ ὁ ἄνθρωπος, καὶ φίλος τῷ Θεῷ. Hoc est, ἤγουν φίλος τῷ Θεῷ. Et est interpretatio alterius, quod est ambiguum. Siquidem θεοφιλὴς ὁ φιλῶν τὸν Θεὸν, ὅ τε ὑπὸ τοῦ Θεοῦ φιλούμενος. Heinsius. — Verum sola interpunctione mutata, qua et alibi sensus auctoris passim depravatus est, sic scribendum: θεοφιλὴς δὲ ὁ ἄνθρωπος· τῷ Θεῷ καὶ γὰρ οὖν (vel καὶ γὰρ οὖν τῷ Θεῷ) φίλος, μεσιτεύοντος τοῦ Λόγου, γίνεται δὴ οὖν, etc. Quem sensum Latine expressimus. Porro hanc sententiam Clemens e Philone Judæo sumpsit, qui lib. i *De vita Moysis*, pag. 626, hæc dicit:

Nam si, juxta proverbium, « Amicorum omnia sunt communia, » propheta autem Dei amicus dicitur; inde consequitur, ut divinæ possessionis usum habeat.

πάντα τοῦ ἀνθρώπου, ὅτι τὰ πάντα τοῦ Θεοῦ· καὶ κοινὰ ἀμφοῖν τοῖν φίλοιν τὰ πάντα, τοῦ Θεοῦ καὶ ἀνθρώπου. Ὥρα οὖν ἡμῖν μόνον τὸν θεοσεβῆ Χριστιανὸν εἰπεῖν πλούσιόν τε (86), καὶ σώφρονα, καὶ εὐγενῆ· καὶ ταύτῃ εἰκόνα τοῦ Θεοῦ μεθ' ὁμοιώσεως (87) καὶ λέγειν καὶ πιστεύειν, δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως γενόμενον ὑπὸ Χριστοῦ Ἰησοῦ, καὶ εἰς τοσοῦτον ὅμοιον ἤδη καὶ Θεῷ. Οὐκ ἀποκρύπτεται γοῦν ὁ προφήτης τὴν χάριν, λέγων· *Ἐγὼ εἶπον, ὅτι θεοί* (88) *ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες.* Ἡμᾶς γὰρ, ἡμᾶς εἰσπεποίηται, καὶ ἡμῶν ἐθέλει μόνων κεκλῆσθαι πατὴρ, οὐ τῶν ἀπειθούντων. Καὶ γὰρ οὖν ὧδέ πως ἔχει τὰ ἡμέτερα τῶν Χριστοῦ ὀπαδῶν· *Οἷαι μὲν αἱ* (89) *βουλαὶ, τοῖοι καὶ οἱ λόγοι· ὁποῖοι δὲ οἱ λόγοι, τοιαίδε καὶ αἱ πράξεις· καὶ ὁποῖα τὰ ἔργα, τοιοῦτος ὁ βίος·* χρηστὸς ὁ σύμπας (90) ἀνθρώπων βίος τῶν Χριστὸν ἐγνωκότων. Ἅλις, οἶμαι, τῶν λόγων, εἰ καὶ μακροτέρω προῆλθον ὑπὸ φιλανθρωπίας, ὅτι περ εἶχον ἐκ Θεοῦ ἐκχέων, ὡς ἂν ἐπὶ τὸ μέγιστον τῶν ἀγαθῶν, τὴν σωτηρίαν, παρακαλῶν· περὶ γάρ τοι τῆς παύλης (91) οὐδαμῇ οὐδαμῶς ἐχούσης ζωῆς (92), οὐκ ἐθέλουσιν οὐδ' οἱ λόγοι παύσασθαί ποτε ἱεροφαντοῦντες. Ὑμῖν δὲ ἔτι τοῦτο περιλείπεται πέρας, τὸ λυσιτελοῦν ἑλέσθαι, ἢ κρίσιν, ἢ χάριν. Ὡς ἔγωγε οὐδ' ἀμφιβάλλειν ἀξιῶ, πότερον ἄμεινον αὐτοῖν· οὐδὲ μὴν συγκρίνεσθαι θέμις ζωὴν ἀπωλείᾳ.

A tes nos possessionum Dei omnium esse pulcherrimam, nosmetipsos in illius tutelam committamus, diligentes Dominum Deum, et id nobis negotii per totum vitæ spatium incumbere putantes. Quod si communia sunt amicorum omnia, et homo Dei amicus est (Verbi quippe interventu is Dei factus est amicus), igitur homini jus in omnia competit, quod ad Deum omnia jure pertineant : et sunt omnia utriusque amici, Dei et hominis, communia. Restat igitur, ut solum pium Christianum appellemus divitem, et sobrium, et generosum ; et ideo imaginem Dei, effictam ad ipsius similitudinem, dicamus ipsum ac credamus : ut qui justus sanctusque et prudens a Christo sit factus, et proinde Deo similis. Hanc itaque gratiam his verbis
B expressit propheta, ubi dicit : *Ego dixi, quod dii estis, et filii Altissimi, omnes* [42]. Nos enim, nos adoptavit filios : et noster solummodo pater haberi ✠ vult, non autem eorum, qui ei non obtemperant. Res ergo nostræ, qui Christi nos asseclas profitemur, ita se quodammodo habent : *Qualia consilia, tales sermones nostri sunt ; quales autem sermones, tales etiam actiones ; et qualia opera, talis demum vita :* bona est universa hominum vita, qui Christum cognoverunt. Satis jam, opinor, verborum est; quin imo id quod mihi a Deo concessum est, effundens, amore hominum longius processi, eo quod ad salutem, bonorum omnium extremum, hortarer. Sermones enim, quibus vita nullum finem habitura declaratur, ægre tandem finiri solent. Hoc demum vobis reliquum est, ut quod utilius fuerit, sive judicium, sive gratiam, eligatis. Nam mihi ne dubitandum quidem videtur, utrum eorum sit melius; sed neque fas est, vitam cum exitio comparare.

ΣΥΓΚΕΚΡΟΤΗΤΑΙ (93) *ΚΡΗΠΙΣ ΑΛΗΘΕΙΑΣ, Ω ΠΑΙΔΕΣ ΥΜΕΙΣ, ΥΜΙΝ* (94) *ΑΥΤΟΙΣ, ΑΓΙΟΥ ΝΕΩ ΜΕΓΑΛΟΥ ΘΕΟΥ ΘΕΜΕΛΙΟΣ ΓΝΩΣΕΩΣ ΑΡΡΑΓΗΣ, ΠΡΟΤΡΟΠΗ ΚΑΛΗ, ΔΓ ΥΠΑΚΟΗΣ ΕΥΛΟΓΟΥ ΖΩΗΣ ΑΙΔΙΟΣ ΟΡΕΞΙΣ* (95) *ΝΟΕΡΩ ΚΑΤΑΒΛΗΘΕΙΣΑ ΧΩΡΙΩ.*

CONSTRUCTA EST VOBIS, O PUERI, VERITATIS BASIS, SACRI TEMPLI MAGNI DEI FIRMUM COGNITIONIS FUNDAMENTUM, PRÆCLARA COHORTATIO, VITÆ PER OBEDIENTIAM RATIONABILEM ÆTERNA APPETITIO INTELLIGENTI SOLO JACTA.

[42] Psal. LXXXI, 6. ✠ P. 95, 96 ED POTTER, 77, 78 ED. PARIS.

C Ante Philonem Diogenes Cynicus eodem modo ratiocinatus est, referente Laertio lib. VI, seg. 37 : *Ratiocinabatur autem hunc in modum : Omnia deorum sunt ; diis autem amici sapientes sunt ; sunt autem amicorum omnia communia ; omnia igitur sapientum sunt.* Idem hæc inferius repetit ejusdem libri seg. 72. Similia dicit Clemens *Strom.* II, p 367 et 403.

(86) *Πλούσιόν τε, καὶ σ.* Hæc epitheta Stoici suo sapienti, eique soli tribuerunt ; quod apud Stobæum et Laertium locis superius laudatis videre licet. Conf. *Strom.* II, p. 367, et quæ ibi adnotata sunt.

(87) *Εἰκόνα τοῦ Θεοῦ μεθ' ὁμοιώσεως.* Cum Moyses dixerit in Gen. I, Deum hominem creasse κατ' εἰκόνα καὶ ὁμοίωσιν, *secundum imaginem et similitudinem suam*, Clemens hæc duo sic distinguit, ut Dei *similitudo* sit ejus *imagine* perfectior ; et hæc quidem omni homini conveniat, illa solum ei, qui secundum Dei leges vitam instituit, nec in hac vita plena perfectaque unquam sit. Conf. *Pædag.* lib. I principio c. 12, et quæ ibi adnotata sunt.

D (88) *Ἐγὼ εἶπον, ὅτι θεοί.* Ἐγὼ εἶπα, θεοί Bibl. Græc. Clemens infra *Pædag.*, lib. I, cap. 6, p. 93; *Str.* II, p. 414 ; *Str.* IV, p. 534.

(89) *Οἷαι μὲν αἱ.* Hæc poetica sunt, et facile in iambicos versus transeunt :

Οἷαι μὲν αἱ βουλαὶ, τοιοίδε χ' οἱ λόγοι·
Ὁποῖοι δ' οἱ λόγοι, τοιαίδε χ' αἱ πράξεις·
Χ' ὁποῖα τἄργα, τοιοῦτός δ' ἔσθ' ὁ βίος.

Οἷος ὁ λόγος, τοῖος ὁ βίος· Qualis sermo, talis vita, bis inferius dixit Clemens, *Strom.* III, p. 444, et *Str.* VII, p. 760. Philo Judæus hos etiam versus in prosam vertit, lib. *De præmiis et pœnis* p. 922 : *Nam si qualia sunt consilia, tales sint sermones ; et qualia dicta, talia facta : omniaque hæc inter se respondeant, conjuncta insolubili harmoniæ vinculo*, etc.

(90) *Χρηστὸς ὁ σ.* Ludit in vocibus χρηστός et Χριστός, ut superius pag. 72, ubi conf. not.

(91) *Παύλης.* Rectius H. παῦλαν. SYLBURG.

(92) *Ἐχούσης ζωῆς.* Ἐχούσης τῆς ζωῆς Nov.

(93) *Συγκεκρότηται.* Hanc periochen nonnulli *Protreptico*, alii *Pædagogo* adnectunt. Videtur autem de *Protreptico* dicta, viam quasi parare ad *Pædagogum*. Porro κεκρότηται pro συγκεκρότηται habet ms. codex in Bibliotheca Regia, et alius in Bodleiana asservatus. Hæc vero sententia, cum primo libro *Pædagogi*, excidit e Nov.

(94) *Ὑμῖν.* Ἡμῖν Reg. Bodl.

(95) *Ἀΐδιος ὄρεξις. Æterna appetitio*, id est permanens, quæ usque ad finem vitæ non interit. Sic superius dixit philosophiam ingenerare σοφίας ἀΐδιον ἔρωτα, *sapientiæ æternum amorem*. Et *Pædag.* lib. I, cap. 7, p. 108, παιδαγωγίαν ait esse πράξεων ἁγίων ὑποτύπωσιν ἐν αἰωνίῳ διαμονῇ, *descriptionem sanctarum actionum in æterna perseverantia*.

ΚΛΗΜΕΝΤΟΣ
ΤΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ
ΠΑΙΔΑΓΩΓΟΣ

—

CLEMENTIS ALEXANDRINI
PÆDAGOGUS

—

CAPITULA LIBRI PRIMI

—

α'. Τί ἐπαγγέλλεται ὁ Παιδαγωγός. A

β'. Ὅτι διὰ τὰς ἁμαρτίας ἡμῶν ὁ Παιδαγωγὸς ἐπιστατεῖ.

γ'. Ὅτι φιλάνθρωπος ὁ Παιδαγωγός.

δ'. Ὅτι ἐπίσης ἀνδρῶν καὶ γυναικῶν ὁ Λόγος Παιδαγωγός ἐστι.

ε'. Ὅτι πάντες οἱ περὶ τὴν ἀλήθειαν καταγινόμενοι παῖδες παρὰ τῷ Θεῷ.

ϛ'. Πρὸς τοὺς ὑπολαμβάνοντας τὴν τῶν παιδίων καὶ νηπίων προσηγορίαν τὴν τῶν πρώτων μαθημάτων αἰνίττεσθαι διδαχήν.

ζ'. Τίς ὁ Παιδαγωγός· καὶ περὶ τῆς παιδαγωγίας αὐτοῦ.

η'. Πρὸς τοὺς ἡγουμένους μὴ εἶναι ἀγαθὸν τὸ δίκαιον.

θ'. Ὅτι τῆς αὐτῆς δυνάμεως καὶ εὐεργετεῖν καὶ κολάζειν δικαίως· ἐν ᾧ τίς ὁ τρόπος τῆς παιδαγωγίας τοῦ Λόγου. B

ι'. Ὅτι ὁ αὐτὸς Θεὸς διὰ τοῦ αὐτοῦ Λόγου καὶ ἀπείργει τῶν ἁμαρτιῶν, ἀπειλῶν· καὶ σώζει τὴν ἀνθρωπότητα, παρακαλῶν.

ια'. Ὅτι διὰ νόμου καὶ προφητῶν ὁ Λόγος ἐπαιδαγώγει.

ιβ'. Ὅτι ἀναλόγως τῇ πατρικῇ διαθέσει κέχρηται ὁ Παιδαγωγὸς αὐστηρίᾳ καὶ χρηστότητι.

ιγ'. Ὅτι ὡς τὸ κατόρθωμα κατὰ τὸν ὀρθὸν γίνεται λόγον, οὕτως ἔμπαλιν τὸ ἁμάρτημα παρὰ τὸν λόγον.

1. *Quid profiteatur Pædagogus.*
2. *Quod propter peccata nostra nos moderetur Pædagogus.*
3. *Quod sit benignus et hominum amans Pædagogus.*
4. *Quod Verbum ex æquo virorum et mulierum Pædagogus sit.*
5. *Quod omnes qui circa veritatem versantur, sint apud Deum pueri.*
6. *Adversus eos, qui existimant puerorum et infantium appellationem significare primarum disciplinarum doctrinam.*
7. *Quis sit Pædagogus: de ejus Pædagogia.*
8. *Adversus eos qui existimant non esse bonum id quod justum est.*
9. *Quod ejusdem sit potestatis et benefacere et juste punire; in quo etiam dicitur, quis sit modus Pædagogiæ Verbi.*
10. *Quod idem Deus per idem Verbum et a peccatis arceat, minans; et humanæ naturæ salutem det, adhortans.*
11. *Quod per legem et prophetas Verbum Pædagogi functus fuerit officio.*
12. *Quod Pædagogus convenienter paternæ affectioni severitate et benignitate usus sit.*
13. *Quod quemadmodum id, quod recte et ex virtute geritur, fit ex recta ratione, ita rursus peccatum præter rationem.*

(96)ΛΟΓΟΣ ΠΡΩΤΟΣ.

A

ΚΕΦ. Α'.

Τί ἐπαγγέλλεται ὁ Παιδαγωγός.

Τριῶν γέ τοι τούτων περὶ τὸν ἄνθρωπον ὄντων, ἠθῶν, πράξεων, παθῶν, ὁ προτρεπτικὸς εἴληχε τὰ ἤθη αὐτοῦ, θεοσεβείας καθηγεμὼν, ὁ τροπιδίου δίκην ὑποκείμενος λόγος (97) εἰς οἰκοδομὴν πίστεως· ἐφ' ᾧ μάλα γαννύμενοι, καὶ τὰς παλαιὰς ἀπομνύμενοι δόξας, πρὸς σωτηρίαν νεάζομεν (98), ψαλλούσῃ συνᾄδοντες προφητείᾳ· *Ὡς ἀγαθὸς τῷ Ἰσραὴλ ὁ Θεὸς* (99), *τοῖς εὐθέσι τῇ καρδίᾳ!* πράξεών τε ἁπασῶν (1) ὁ λόγος ἐπιστατεῖ ὁ ὑποθετικός· τὰ δὲ πάθη ὁ παραμυθητικὸς ἰᾶται· εἷς ὢν πᾶς ὁ αὐτὸς οὗτος λόγος, τῆς συντρόφου καὶ κοσμικῆς συνηθείας ἐξαρπάζων τὸν ἄνθρωπον, εἰς δὲ τὴν μονότροπον τῆς (2) εἰς Θεὸν πίστεως σωτηρίαν παιδαγωγῶν. Ὁ γοῦν οὐράνιος ἡγεμὼν, ὁ Λόγος, ὁπηνίκα μὲν ἐπὶ σωτηρίαν παρεκάλει, προτρεπτικὸς (3) ὄνομα αὐτῷ ἦν· ἰδίως οὗτος παρορμητικὸς, ἐκ μέρους τὸ πᾶν, προσαγορευόμενος λόγος· προτρεπτικὴ γὰρ ἡ πᾶσα θεοσέβεια (4), ζωῆς τῆς νῦν καὶ τῆς μελλούσης ὄρεξιν ἐγγεννῶσα τῷ συγγενεῖ λογισμῷ. Νυνὶ δὲ θεραπευτικός τε ὢν καὶ ὑποθετικὸς ἅμα ἄμφω, ἑπόμενος αὐτὸς αὐτῷ παραινεῖ τὸ προτετραμμένον κεφάλαιον (5), τῶν ἐν ἡμῖν παθῶν ὑπισχνούμενος τὴν ἴασιν· κεκλήσθω δ' ἡμῖν ἑνὶ προσφυῶς οὗτος ὀνόματι *Παιδαγωγός*· πρακτικὸς, οὐ μεθοδικὸς ὢν ὁ *Παιδαγωγός*· ᾗ καὶ τὸ τέλος αὐτοῦ βελτιῶσαι τὴν ψυχήν ἐστιν, οὐ διδάξαι· σώφρονός τε, οὐκ ἐπιστημονικοῦ καθηγήσασθαι βίου. Καίτοι καὶ διδασκαλικὸς ὁ αὐτός ἐστι λόγος, ἀλλ' οὐ νῦν. Ὁ μὲν γὰρ ἐν τοῖς δογματικοῖς (6) δηλωτικὸς καὶ ἀποκαλυπτικὸς, ὁ διδασκαλικός· πρακτικὸς δὲ ὢν ὁ *Παιδαγωγός*, πρότερον μὲν εἰς διάθεσιν ἠθοποιίας προὐτρέψατο, ἤδη δὲ καὶ εἰς τὴν τῶν δεόντων ἐνέργειαν παρακαλεῖ, τὰς ὑποθήκας τὰς ἀκηράτους παρεγγυῶν, καὶ τῶν πεπλανημένων πρότερον τοῖς ὕστερον ἐπιδεικνὺς τὰς εἰκόνας. Ἄμφω δὲ

* LIBER PRIMUS.

35 CAP. I.

Quid profiteatur Pædagogus.

Cum hæc tria sint in homine, mores, actiones et affectus : mores sermo sibi vindicat *cohortatorius*, pietatis dux ac religionis, qui instar carinæ subjectus est ad fidei ædificationem : quo quidem nos valde exsultantes, et opiniones veteres abjurantes, ad salutem capessendam juvenes alacresque reddimur, cum psallente prophetia concinentes : *Quam bonus Israel Deus iis qui recto sunt corde* [43]! Omnibus vero actionibus præest sermo, qui versatur in tradendis præceptis; animi autem affectibus medetur sermo ad suadendum comparatus : cum in-
B terea unus sit omnis hic sermo, a mundana, in qua educatus est, consuetudine hominem abripiens, et in simplici uniusque modi fidei in Deum salute instituens. Dux itaque cœlestis, Verbum, ad salutem quidem quando cohortabatur hominem, *cohortatorius* vocatus est; et hic sermo proprie ad incitandum aptus, ex parte scilicet totum, appellatus est. Est enim cohortatoria universa religio, ut quæ et vitæ hic recte degendæ, et futuræ desiderium menti cognatæ ingeneret. Nunc autem, cum in medendo et præcipiendo versetur, et ad utrumque simul eum, quem admonet, ipse seipsum sequens, adhortetur, affectuum nostrorum curationem in summa promittens, hic a nobis apposite uno appelletur
C nomine, *Pædagogus*. Is autem *Pædagogus* in actione, non in tradenda disciplinæ ratione, versatur : ejusque finis est, animam meliorem reddere, non doctrina imbuere : et in vita honesta et prudenti, non quæ sit scientia prædita, instituere. Quanquam hic ipse quoque ad docendum aptus sit sermo; licet nunc aliter sumatur. Qui enim quæ ad dogmata pertinent declarat et revelat, is sermo est, qui in docendo versatur. Cum autem in actione

[43] Psal. LXXII, 1. * P. 97, 98 ED. POTTER, 79 ED. PARIS.

(96) Pro his, Κλήμ. τοῦ Ἀλεξ. Παιδαγωγός, quæ supra in titulo exscripsimus, A. Palat. cod. habet, Κλήμεντος Στρωματέως *Παιδαγωγός*· λόγοι γ'. Itemque in *Excerptis mss.*, *Ἐκ τῶν τοῦ Κλήμεντος Στρωματέως λόγων παιδαγωγικῶν*· quasi Στρωματεύς cognomen sit Clementis. Sed libros qui hos παιδαγωγικούς sequuntur, *Στρωματεῖς* inscriptos esse, et quæ nominis ratio sit, infra ostendetur latius ad p. 267. *Παιδαγωγοῦ* vero nomen probat ipse statim auctor, primo hujus libri capite, et rursum infra initio sexti *Stromat.* SYLBURG. — Eumdem titulum, quem Palatinus codex, exhibent mss. Reg, Bod.

(97) *Λόγος*. Omittunt hanc vocem *Excerpta mss.* SYLBURG.

(98) *Νεάζομεν*. Hesychius, Νεάζομεν, ἀφικνούμεθα, ἢ νεωστὶ ἥκομεν. Proinde Clemens hæc opposuit, παλαιὰς ἔχειν δόξας, et νεάζειν πρὸς σωτηρίαν.

(99) *Τῷ Ἰσραὴλ ὁ Θεός*. Ὁ Θεὸς τῷ Ἰσραήλ, Bod. Mox τῇ ante καρδίᾳ omitt. Bibl. Græc.

(1) *Πράξεών τε ἁπ.* Δέ pro τέ, *Excerpt. mss.* SYLBURG.

(2) *Τῆς*. Τὴν Bod.

(3) *Προτρεπτ.* Hic locus sic distingui possit, auctoritate Reg. et Bod. *Προτρεπτικὸς* ὄνομα αὐτῷ ἦν ἰδίως· οὗτος παρορμητικὸς, ἐκ μ. *Proprio nomine* Cohortatorius *appellabatur : idem sermo ad incitandum aptus, ex p.*

(4) *Ἡ πᾶσα θεοσέβεια*. Πᾶσα ἡ θεοσέβ. SYLBURG. — Mox νῦν pro νυνί, Bod.

D (5) *Παραινεῖ τὸ προτετραμμένον κ.* Scribe προγεγραμμένον, *præscriptum* : quam lectionem confirmat epilogus infra pag. 264. SYLBURG. — Hervetus vertit, ac si legisset τὸν προτετραμμένον. Dein κεφάλαιον cum sequentibus connectit. Sed retenta veteri lectione, quam mss. codd. firmant, exp. *suadet ac præcipit idem caput*, id est, eamdem rerum summam, *ad quod cohortabatur*. Vult enim idem Dei Verbum, primo in *Protreptico* ad Christi religionem *cohortari*, dein in *Pædagogo* ejusdem præceptorum observationem *suadere*; quem in finem τῶν ἐν ὑμῖν παθῶν ὑπ. *affectuum nostrorum curationem pollicetur.* Paria sunt, quæ paulo post infert, Ὁ Παιδαγωγὸς πρότερον εἰς διάθεσιν ἠθοποιίας προὐτρέψατο· ἤδη δὲ καὶ εἰς τὴν τῶν δεόντων ἐνέργειαν παρακαλεῖ.

(6) *Δογματικοῖς*. Δηλωτικοῖς Reg., sed aliquis in margine δογματικοῖς scripsit.

versetur *Pædagogus*, postquam ad componendos mores prius cohortatus sit, jam ad ea, quæ oportet, agenda incitat, pura incorruptaque præcepta tradens, et eorum, qui erraverunt, imagines posteris ostendens. Sunt autem ambo utilissima : præceptivum quidem genus ad parendum; alterum autem, imaginis instar assumptum, quod ipsum quoque est duplex, sicut prior conjugatio : ac partim quidem in eo consistit, ut bonum eligentes imitemur; partim autem, ut malum repudiantes aversemur. Affectuum itaque hinc sequitur curatio, cum, adhibitis imaginum suasionibus, animos confirmat *Pædagogus*, benignis præceptis, tanquam lenibus medicamentis, ad perfectam veritatis cognitionem eos, qui morbo laborant, deducens. Inter sanitatem autem et cognitionem permultum interest; nam hæc quidem disciplina, illa vero curatione comparatur. Qui itaque laborat, non prius aliquid eorum, quæ ad doctrinam pertinent, discat, quam perfecte sanus fuerit. Neque enim discentibus ac laborantibus unumquodque præceptum similiter traditur; sed illis quidem id, quod ad cognitionem; his vero, quod ad medelam confert. Quemadmodum ergo, quorum corpus ægrotat, iis medico opus est : ita quorum æger est animus, ii pædagogo opus habent, qui nimirum affectibus nostris medeatur; deinde vero doctore, qui puram deducat animam ad cognitionis aptitudinem, ✠ ut possit relationem sermonis percipere. Porro autem dum salutari gradu, efficaci disciplinæ convenienti, nos studet perfectos et consummatos reddere, pulchra utitur œconomia semper benignum et hominum amans Verbum. primum *cohortans*, deinde fungens *Pædagogi* officio, tandem *docens*.

A ὠφελιμώτατα· τὸ μὲν εἰς ὑπακοὴν τὸ παραινετικὸν εἶδος, τὸ δὲ ἐν εἰκόνος μέρει παραλαμβανόμενον, διττὸν καὶ αὐτὸ, παραπλησίως τῇ προτέρᾳ συζυγίᾳ· τὸ μὲν αὐτοῦ, ἵνα μιμώμεθα αἱρούμενοι τὸ ἀγαθὸν, τὸ δὲ, ὅπως ἐκτρεπώμεθα, παραιτούμενοι τὸ θάτερον (7). Ἴασις οὖν τῶν παθῶν ἐνθένδε ἕπεται κατὰ τὰς παραμυθίας τῶν εἰκόνων, ἐπιῤῥωννύντος τοῦ *Παιδαγωγοῦ* τὰς ψυχὰς, καθάπερ ἠπίοις φαρμάκοις (8), ὑποθήκαις φιλανθρώποις εἰς τὴν παντελῆ τῆς ἀληθείας γνῶσιν τοὺς κάμνοντας διαιτωμένου. Ἴσαι δ' οὐκ ἐστὸν ὑγίεια καὶ γνῶσις· ἀλλ' ἡ μὲν μαθήσει, ἡ δὲ ἰάσει περιγίνεται. Οὐκ ἂν οὖν τις νοσῶν ἔτι πρότερόν τι τῶν διδασκαλικῶν ἐκμάθοι, πρὶν ἢ τέλεον ὑγιᾶναι· οὐδὲ γὰρ ὡσαύτως πρὸς τοὺς μανθάνοντας ἢ κάμνοντας ἀεὶ τῶν παραγγελμάτων ἕκαστον λέ- B γεται, ἀλλὰ πρὸς οὓς μὲν εἰς γνῶσιν, πρὸς οὓς δὲ εἰς ἴασιν. Καθάπερ οὖν τοῖς νοσοῦσι τὸ σῶμα ἰατροῦ χρῄζει, ταύτῃ καὶ τοῖς ἀσθενοῦσι τὴν ψυχὴν παιδαγωγοῦ δεῖ, ἵν' ἡμῶν ἰάσηται τὰ πάθη· εἶτα δὲ εἰς διδασκάλου (9), ὃς καθηγήσεται καθαρὰν πρὸς γνώσεως ἐπιτηδειότητα εὐτρεπίζων τὴν ψυχὴν, δυναμένην χωρῆσαι τὴν ἀποκάλυψιν τοῦ λόγου. Σπεύδων δὲ ἄρα τελειῶσαι σωτηρίῳ ἡμᾶς βαθμῷ καταλλήλῳ εἰς παίδευσιν ἐνεργῆ, τῇ καλῇ συγχρῆται οἰκονομίᾳ ὁ πάντα φιλάνθρωπος Λόγος, *προτρέπων* (10) ἄνωθεν, ἔπειτα *παιδαγωγῶν*, ἐπὶ πᾶσιν *ἐκδιδάσκων*.

C

CAPUT II.

Quod propter peccata nostra nos moderetur Pædagogus.

Pædagogus autem noster, o vos pueri, Deo Patri suo est similis, cujus est Filius, in quem nullum omnino cadit peccatum, estque nulli reprehensioni affinis, et animo impatibilis: Deus in figura hominis impollutus, paternæ voluntati serviens, Verbum Deus, qui est in Patre, qui est a dextris Patris, et cum figura Deus est. Hic nobis est imago, in qua nulla est macula. Ei omnibus viribus tentandum est animam similem efficere. Et ille quidem ab omnibus humanis animi perturbationibus est liber.

ΚΕΦ. Β'.

Ὅτι διὰ τὰς ἁμαρτίας ἡμῶν ὁ Παιδαγωγὸς (11) *ἐπιστατεῖ.*

Ἔοικε δὲ ὁ Παιδαγωγὸς ἡμῶν, ὦ παῖδες ὑμεῖς, τῷ Πατρὶ αὐτοῦ τῷ Θεῷ, οὗπέρ ἐστιν Υἱὸς ἀναμάρτητος, ἀνεπίληπτος, καὶ ἀπαθὴς τὴν ψυχήν· Θεὸς ἐν ἀνθρώπου σχήματι ἄχραντος, πατρικῷ θελήματι διάκονος, Λόγος Θεὸς, ὁ ἐν τῷ Πατρὶ, ὁ ἐκ δεξιῶν τοῦ Πατρὸς, σὺν καὶ τῷ σχήματι Θεός (12). Οὗτος ἡμῖν εἰκὼν ἡ ἀκηλίδωτος· τούτῳ παντὶ σθένει πειρατέον ἐξομοιοῦν τὴν ψυχήν. Ἀλλ' ὁ μὲν ἀπόλυτος εἰς τὸ παντελὲς ἀνθρωπίνων παθῶν· διὰ τοῦτο γὰρ καὶ μόνος κριτὴς, ὅτι ἀναμάρτητος μόνος (13)· ἡμεῖς δὲ.

✠ P. 99 ED. POTTER, 80 ED. PARIS.

(7) *Τὸ θάτερον*. *A. Excerpta mss.* τὸ θατέρου· non absurde, quia in θάτερον jam inest articulus. Θάτερον enim contracte idem est, quod τὸ ἕτερον. SYLBURG.

(8) *Ἠπίοις φαρμάκοις*. Phrasis Homerica ex *Iliad.* Δ, v. 218 :

.... *ἐπ' ἄρ' ἤπια φάρμακα εἰδὼς*
Πάσσε...
Lenia medicamenta peritus inspersit.

(9) *Εἶτα δὲ εἰς διδασκάλου*. Εἰς redundat. SYLBURG., LOWTH. — Mox scribe, ὃς καθηγήσεται πρὸς καθαρὰν γνώσεως ἐπιτηδειότητα εὐτρεπ. SYLBURG.

(10) *Προτρέπων*. Tribus verbis trium Operum rationem aperit. Nam primo ὁ προτρέπων λόγος est, qui se Christo addicere, rejecto dæmonum cultu, *cohortatur*. Secundo ὁ παιδαγωγῶν, qui Christianum νεόφυτον vitæ secundum veræ religionis normam agendæ præceptis imbuit. Tertio ὁ ἐκδιδάσκων, qui Christianæ fidei dogmata plenius explicat. Primum præstat ὁ *Προτρεπτικός*, secundum ὁ *Παιδαγωγός*, tertium ὁ *Στρωματεὺς* λόγος. Conf. quæ D ad principium *Cohortationis ad Gentes* adnotata sunt.

(11) *Ἡμῶν ὁ Π.* Ἡμῶν καὶ ὁ Π. Bod. Καί etiam super has voces scriptum est in Reg.

(12) *Τῷ σχήματι Θεός*. Ἐν μορφῇ Θεοῦ ὑπάρχων, etc. Philip. II, 6.

(13) *Ἀναμάρτητος μόνος*. Infra *Pædag.* lib III, cap. ult., pag. 262 : Μόνος γὰρ ἀναμάρτητος αὐτὸς ὁ Λόγος. *Solum enim Verbum sine peccato est*. Aperte profitetur neminem, excepto Christo, esse ἀναμάρτητον et ἀπαθῆ. Idem vero alias sæpenumero hortatur ad ἀπάθειαν, et perfectos Christianos in hac vita ἀπαθεῖς esse tradit : quo loquendi modo nil aliud intelligit, quam, quod hic clarius explicat, eos esse pravis affectibus liberos, ὅση δύναμις, *pro suis viribus*. *Strom.* II, p. 401 : Ἥ γε μὲν καρτερία καὶ αὐτὴ εἰς τὴν θείαν ἐξομοίωσιν βιάζεται, δι' ὑπομονῆς ἀπάθειαν καρπουμένη. *Tolerantia etiam ipsa ad Dei similitudinem contendit, per patientiam quo-*

A ὅση δύναμις, ὡς ὅτι ἐλάχιστα ἁμαρτάνειν πειρώμεθα. Κατεπείγει γὰρ τοσοῦτον οὐδὲν, ὡς ἡ τῶν παθῶν καὶ νοσημάτων ἀπαλλαγὴ πρῶτον· ἔπειτα δὲ καὶ ἡ κώλυσις τῆς εἰς τὴν συνήθειαν τῶν ἁμαρτημάτων εὐεμπτωσίας. Ἄριστον μὲν οὖν τὸ μηδ' ὅλως ἐξαμαρτάνειν κατὰ μηδένα τρόπον· ὃ δή φαμεν εἶναι Θεοῦ· δεύτερον δὲ μηδενὸς τῶν κατὰ γνώμην ἐφάψασθαί ποτε ἀδικημάτων· ὅπερ οἰκεῖον σοφοῦ· τρίτον, μὴ πάνυ πολλοῖς τῶν ἀκουσίων περιπεσεῖν· ὅπερ ἴδιον παιδαγωγουμένων εὐγενῶς. Τὸ μηδὲ ἐπιμήκιστον διατρίψαι (14) τοῖς ἁμαρτήμασι, τελευταῖον τετάχθω. Ἀλλὰ καὶ τοῦτο δὲ τοῖς εἰς μετάνοιαν ἀνακαλουμένοις, ἀναμαχέσασθαι, σωτήριον. Καί μοι δοκεῖ παγκάλως διὰ Μωϋσέως φάσκειν *ὁ Παιδαγωγός· Ἐάν τις ἀποθάνῃ ἐπ' αὐτῷ αἰφνίδιον* (15), *παραχρῆμα μιανθήσεται ἡ κεφαλὴ εὐχῆς αὐτοῦ, καὶ ξυρήσεται·* B τὴν ἀκούσιον ἁμαρτίαν, *αἰφνίδιον θάνατον* προσειπών. Μιαίνειν δὲ αὐτὸν λέγει κηλιδοῦντα τὴν ψυχήν· διὸ καὶ τὴν θεραπείαν, ᾗ τάχος, ὑποτίθεται, *ξυρᾶσθαι* παραχρῆμα *τὴν κεφαλὴν* συμβουλεύων, τὰς ἐπισκιαζούσας τῷ λογισμῷ τῆς ἀγνοίας κόμας ἀποψήξασθαι παραινῶν, ὡς γυμνὸν δασείας καταληφθέντα (16) ὕλης τῆς κακίας τὸν λογισμὸν (ἐνθρονίζεται δὲ οὗτος ἐν ἐγκεφάλῳ) ἐπὶ τὴν μετάνοιαν παλινδρομῆσαι. Ἔπειτα ὀλίγα προσειπὼν ἐπιφέρει· *Αἱ δὲ ἡμέραι αἱ πρότεραι ἄλογοι·* δι' ὧν δῆλον, ὅτι αἱ ἁμαρτίαι μηνύονται, αἱ μὴ γεγονυῖαι κατὰ λόγον. Καὶ τὸ μὲν ἀκούσιον *αἰφνίδιον* προσεῖπε, τὸ δὲ ἁμαρτάνειν *ἄλογον*· οὗ δὴ χάριν ὁ λόγος ὁ Παιδαγωγὸς τὴν ἐπιστασίαν εἴληχεν εἰς τὴν ἀλόγου κώ- C λυσιν ἁμαρτίας. Σκόπει δὲ ἐνθένδε ἀπὸ τῆς Γραφῆς· *Διὰ τοῦτο τάδε λέγει Κύριος·* τὸ ἁμάρτημα ἐλεγκτικῶς τὸ προϋπάρξαν διὰ τῆς ἑπομένης δείκνυται ῥήσεως· *καθὸ* ἡ δικαία κρίσις ἕπεται. Καὶ τοῦτο ἐμφανὲς διὰ τῶν προφητῶν καταφαίνεται· *Ὡς εἰ μὴ ἥμαρτες*, λεγόντων (17), *οὐκ ἂν τάδε ἠπείλησε·*

Propterea enim vel solus est judex, quod solus sit, in quem peccatum non cadit. Nos autem, quoad fieri poterit, ut quam minimum peccemus, videamus. Nihil enim majori curæ ac studio esse debet, quam ut ab affectibus morbisque primum liberemur; deinde vero, ut prohibeamus, ne in peccatorum consuetudinem facile prolabamur. Atque optimum quidem est nullo modo peccare penitus: quod Dei esse dicimus. Secundum autem, nullum ex voluntariis attingere maleficiis, quod est proprium sapientis. Tertium est, in involuntariorum non adeo multa incidere, quod est proprium eorum qui a Pædagogo præclare instituti fuere. Peccatis autem non diu ✠ immorari, loco ultimo ponatur. Sed hoc iis, qui ad pœnitentiam revocantur, **36** salutare est, pugnam instaurare. Atque mihi quidem per Moysem videtur pulcherrime dicere *Pædagogus: Si quis in eo fuerit repente mortuus, statim polluetur caput voti ejus, et radetur*[44], peccatum involuntarium, *mortem repentinam* appellans. Eam autem dicit polluere, ut quæ animam macula aspergat: et ideo quam citissime ei adhibet medicinam, consulens ut statim ei *caput radatur*, nempe ignorantiæ comas, quæ umbram rationi offendunt, amovere et abstergere suadens, ut a densa vitii materia nuda relicta ratio (ea autem sedem suam collocat in cerebro) quam ocissime redeat ad pœnitentiam. Deinde cum pauca adjecisset, subjungit: *Priores autem dies, irrationales*[45]. Per quæ clarum est significari peccata, quæ facta non sunt secundum rationem. Et involuntarium quidem appellavit *repentinum*; peccare autem *irrationale*. Quamobrem sermo Pædagogus sortitus est moderamen, quo prohibeat irrationale peccatum. Id autem hinc ex Scriptura considera: *Propterea hæc dicit Dominus*; quod prius fuerit peccatum, arguendo ostenditur per sequentem di-

[44] Num. vi, 9. [45] Ibid., 12. ✠ P. 100 ED. POTTER, 81 ED. PARIS.

dammodo impatibilitatem consecuta. Strom. IV, p. 490: Τῷ Θείῳ καθαρῶς ὁμιλῶν ὁ γνωστικῶς μετέχων τῆς ἁγίας ποιότητος, προσεχέστερον ἐν ἕξει γίνεται ταυτότητος ἀπαθοῦς. *Cum Deo puram habens consuetudinem, qui per cognitionem sanctæ qualitatis particeps est. propinquius accedit in habitu identitatis impatibilis.* Ibid., p. 496: Οἱ παλαιοὶ δίκαιοι ἀπάθειαν ψυχῆς καὶ ἀταραξίαν καρπούμενοι. *Veteres justi immunitatem affectuum et tranquillitatem animi consecuti.* Ibid., p. 529, dicit perfectum hominem *non amplius esse* ἐγκρατῆ, *continentem.* sed ἐν ἕξει ἀπαθείας. *in habitu impatibilitatis* exsistentem. σχῆμα θεῖον ἐπενδύσασθαι ἀναμένειν, *exspectare divina figura indui.* Ibid., p. 535: Εἰς δὲ τὴν ἀπάθειαν θεούμενος ἄνθρωπος ἀχράντως, μοναδικὸς γίνεται. *Homo autem, qui per impatibilitatem ad divinam naturam elevatus est absque ullo inquinamento, unicus fit.* Conf. præterea, p. 533, 650, 651, 652, 666, 683, 703. 705, 706, 750, 752, etc. Solent porro ἀπάθεια et ἀναμαρτησία laxius a sanctis Patribus usurpari pro eo statu, in quo positus vir sanctus per gratiam Dei minus crebris minoribusque tentationibus obnoxius est, nec gravioribus peccatis succumbit. Maximus *De charitate* Centur. I, cap. 36: Ἀπάθεια, inquit, ἐστὶν εἰρηνικὴ κατάστασις ψυχῆς, καθ' ἣν δυσκίνητος γίνεται ψυχὴ πρὸς κακίαν. *Est* ἀπάθεια, *impatibilitas, pacatus animæ status, secundum quem difficulter moveatur anima erga malitiam.* Δυσκίνητος non ἀκίνητος. Hanc loquendi formam invexerunt Stoici, qui Sapientem suum dicebant esse ἀπαθῆ, ἀναμάρτητον, ἀβλαβῆ. Conf. Diogenes Laertius, lib. VII, seg. 122, 123; Stobæus, *Eclog. Ethic.*, lib. II, p. 181, 182.

(14) *Διατρίψαι.* Rectius H. ἐνδιατρίψαι. Mox idem H. μὴ ἀναμαχέσασθαι· ut item A. οὐκ ἀναμαχέσασθαι· et Hervetus interpres, *si iis, qui vocant ad pœnitentiam, minime repugnaverit.* Sed non videtur D opus negativam asciscere. Sensus enim est: *Sed hoc iis, qui ad pœnitentiam revocantur, salutare est, pugnam instaurare;* id est, ut non succumbant peccatis, sed pugnam adversus ea redintegrent: lectionemque hanc confirmat similis infra locus p. 124 et p. 261. SYLBURG.

(15) *Ἐπ' αὐτῷ αἰφνίδιον.* Αἰφνίδιον ἐπ' αὐτῷ Reg. H. αἰφνιδίως scribere jussit: ἐξάπινα habent Bibl. Græc. Mox παραχρῆμα omittit Bod.

(16) *Καταληφθέντα.* H. καταλειφθέντα, *relictum.* Quod sequitur de ratiocinationis, sive λογισμοῦ, sede, repetitur infra *Pædagogi* lib. II, et legitur apud Philonem quoque p. 104. Sed Hippocrates in corde locum ei assignat, ut et Gregor. Nyss. orat. 1 *Pasch.*: Ἑστία τίς ἐστι τοῦ νοῦ ἡ καρδία· ἐν ταύτῃ γὰρ τὸ ἡγεμονικὸν εἶναι πεπίστευται. SYLBURG.

(17) *Λεγόντων.* Hæc quoad sensum, cum alibi, tum præcipue Jerem. VII exstant. Vult autem Clemens, per ejusmodi prophetarum dicta ἐλέγχεσθαι

ctionem, *propterea*, eo quod justum judicium sequitur. Idque per prophetas aperte ostenditur, dum dicunt: *Si non peccasses, non hæc esset minatus*; et: *Propterea sic dicit Dominus. Propterea quod hos sermones non audiistis, ideo hæc dicit Dominus*; et: *Ecce propterea dicit Dominus*. Propterea enim est prophetia, propter obedientiam scilicet et inobedientiam. Propter illam quidem, ut servemur; propter hanc autem, ut castigemur. Pædagogus igitur noster, Verbum, præternaturales animæ affectiones curat per admonitiones. Morborum enim corporis auxilium proprie vocatur medicina, quæ docetur humana sapientia. Verbum autem paternum, solus est humanarum ægritudinum Pæonius medicus, et sanctus ægrotantis animæ incantator. *Salvum fac servum tuum*, inquit, *Deus meus, sperantem in te. Miserere mei, Domine, quia ad te clamabo toto die* [46]. *Medicina* enim, ut ait Democritus, *medetur morbis corporis; sapientia autem liberat animam a perturbationibus*; bonus autem Pædagogus, ✠ qui Sapientia, qui Verbum est Patris, qui fabricatus est hominem, totius creaturæ curam gerit, ejusque corpori et animæ medetur, qui est omni ex parte sufficiens medicus humanæ naturæ, Servator. *Surge*, inquit paralytico, *et sublato, in quo jaces, grabato, vade domum* [47]: et qui prius erat infirmus, extemplo sanus et firmus evasit. Et mortuo, *Lazare* [48], dixit, *egredere*. Ille vero mortuus, ex sepulcro exiit, qualis erat ante quam moreretur, meditatus resurrectionem. Quin etiam per se quoque medetur animæ præceptis, et donis. Sed præceptis quidem id facere utique differt; donis autem dives, *Dimittuntur tibi peccata tua* [49], nobis dicit peccatoribus. Nos autem, simul ac ipse cogitavit, facti sumus infantes, optimum ac stabilissimum locum ab optima et præclare ordinata ejus gubernatione adepti: quæ primum quidem in mundi et cœli solisque ambitibus circumagitur, inque cæterorum astrorum motibus versatur, propter hominem; deinde vero in ipso homine, in quem omne

A καί· *Διὰ τοῦτο οὕτω λέγει Κύριος. Ἀνθ' ὧν οὐκ ἠκούσατε τῶν λόγων τούτων, διὰ τοῦτο τάδε λέγει Κύριος*· καὶ, *Διὰ τοῦτο ἰδοὺ λέγει Κύριος*. Διὰ τοῦτο γὰρ ἡ προφητεία, δι' ὑπακοὴν καὶ παρακοήν· δι' ἣν μὲν, ἵνα σωθῶμεν, δι' ἣν δὲ, ἵνα παιδευθῶμεν. Ἔστιν οὖν ὁ Παιδαγωγὸς ἡμῶν Λόγος διὰ παραινέσεων θεραπευτικὸς τῶν παρὰ φύσιν τῆς ψυχῆς παθῶν. Κυρίως μὲν γὰρ ἡ τῶν τοῦ σώματος νοσημάτων βοήθεια ἰατρικὴ (18) καλεῖται τέχνη, ἀνθρωπίνῃ σοφίᾳ (19) διδακτή· Λόγος δὲ ὁ πατρικὸς μόνος ἐστὶν ἀνθρωπίνων ἰατρὸς ἀῤῥωστημάτων Παιώνιος, καὶ ἐπῳδὸς (20) ἅγιος νοσούσης ψυχῆς. *Σῶσον τὸν δοῦλόν σου*, φησὶν, *ὁ Θεός μου, τὸν ἐλπίζοντα ἐπὶ σοί. Ἐλέησόν με, Κύριε, ὅτι πρὸς σὲ κεκράξομαι ὅλην τὴν ἡμέραν*. Ἰατρικὴ (21) μὲν γὰρ, κατὰ Δημόκριτον, B *σώματος νόσους ἀκέεται, σοφίη δὲ ψυχὴν παθῶν ἀφαιρεῖται*· ὁ δὲ ἀγαθὸς Παιδαγωγὸς, ἡ σοφία, ὁ Λόγος τοῦ Πατρὸς, ὁ δημιουργήσας τὸν ἄνθρωπον, ὅλου κήδεται τοῦ πλάσματος· καὶ σῶμα καὶ ψυχὴν ἀκεῖται αὐτοῦ ὁ παναρκὴς (22) τῆς ἀνθρωπότητος ἰατρὸς, ὁ Σωτήρ. *Ἀνάστα*, φησὶ τῷ παρειμένῳ, *τὸν σκίμποδα, ἐφ' ὃν κατάκεισαι, λαβὼν, ἄπιθι οἴκαδε*· παραχρῆμα δὲ ὁ ἄῤῥωστος ἐῤῥώσθη. Καὶ τῷ τεθνεῶτι, *Λάζαρε*, εἶπεν, *ἔξιθι*· ὁ δὲ ἐξῆλθε τῆς σοροῦ ὁ νεκρὸς, οἷος ἦν πρὶν ἢ παθεῖν (23), μελετήσας τὴν ἀνάστασιν. Ναὶ μὴν καὶ καθ' αὑτὴν ἰᾶται τὴν ψυχὴν ἐντολαῖς καὶ χαρίσμασιν· ἀλλὰ ταῖς μὲν ὑποθήκαις τάχα δὴ μέλλει (24), χαρίσμασι δὲ πλούσιος, *ἀφέωνταί σοι αἱ ἁμαρτίαι*, τοῖς ἁμαρτωλοῖς ἡμῖν λέγει. C Ἡμεῖς δὲ ἅμα νοήματι νήπιοι (25) γεγόναμεν, τὴν ἀρίστην καὶ βεβαιοτάτην τάξιν παρὰ τῆς αὐτοῦ εὐταξίας μεταλαμβάνοντες, ἣ πρῶτον μὲν ἀμφὶ τὸν κόσμον, καὶ τὸν οὐρανὸν, τάς τε ἡλιακὰς περιδινήσεις κυκλεῖται, καὶ τῶν λοιπῶν ἄστρων τὰς φορὰς ἀσχολεῖται, διὰ τὸν ἄνθρωπον· ἔπειτα δὲ περὶ τὸν ἄνθρωπον αὐτὸν, περὶ ὃν ἡ πᾶσα σπουδὴ καταγίνεται· καὶ τοῦτον ἔργον ἡγουμένη μέγιστον (26), ψυχὴν μὲν αὐτοῦ φρονήσει καὶ σωφροσύνῃ κατηύθυνε, τὸ δὲ σῶμα κάλλει καὶ εὐρυθμίᾳ συνεκεράσατο· περὶ δὲ τὰς πράξεις τῆς ἀνθρωπότητος, τό τε ἐν αὐταῖς κατορ-

[46] Psal. LXXXV, 2, 3. ✠ P. 101 ED. POTTER, 82 ED. PARIS. [47] Marc. II, 11. [48] Joan. XI, 43. [49] Matth. IX, 5.

τὸ προϋπάρξαν ἁμάρτημα, *prævia* Judæorum *peccata coargui*.

(18) *Ἰατρική*. Conf. Philonis Larissæi verba, apud Stobæum *Eclog. Eth.*, c. 1, p. 160, quibus philosophiam medicinæ confert.

(19) *Ἀνθρωπίνῃ σοφίᾳ*. Sunt qui scribant ἀνθρωπίνη σοφία, nominativo casu.

(20) *Ἐπῳδός*. Respicit Græcorum veterum morem, qui vulnera ac morbos incantationibus sanabant. Homerus, *Odyss*. T, v. 456, de Autolyci filiis ait:

Ὠτειλὴν δ' Ὀδυσῆος ἀμύμονος ἀντιθέοιο
Δῆσαν ἐπισταμένως· ἐπαοιδῇ δ' αἷμα κελαινὸν
Ἔσχεθον. . .

Vulnus autem Ulyssis præclari divini
Perite ligarunt; incantatione autem nigrum sanguinem
Cohibuerunt. . . .

Conf. *Archæologiæ Græcæ* lib. II, c. 18. Mox ἐπὶ σέ pro ἐπὶ σοί, Bibl. Græc.

(21) *Ἰατρική*. Ionismus postulat, Ἰητρικὴ μὲν σώματος νούσους ἀκέεται, σοφίη δὲ ψυχὴν παθῶν D ἀπαιρέεται. SYLBURG. — Similia multa dixit Cicero *Tusculan. Quæst.* lib. III, quale est, quod exstat cap. 3: *Est profecto animi medicina, philosophia*.

(22) *Παναρκής*. Hanc lectionem non damno; sed haud scio tamen an non verius παναχής. SYLBURG.

(23) *Παθεῖν*. A. θανεῖν. ID.

(24) *Μέλλει*. Respicit paralyticum, de quo modo locutus est. Nam eum Christus prius corporis morbo liberavit, quam salutari doctrina et S. Spiritus donis imbuit.

(25) *Νήπιοι*. Respicit Christi verba, quibus discipulos suos νηπίους et παιδία vocat, et hujusmodi homines solos Deo acceptos esse dicit.

(26) *Μέγιστον*. Hervetus legisse videtur μέγιστόν τε καὶ κάλλιστον, dum vertit, *eumque maximum ac pulcherrimum esse opus existimans*. In quam sententiam multa etiam Plinius lib. VII per totum; Lactantius *De opificio Dei*, cap. 1, et Ambrosius lib. *Hexaem*. lib. VI, cap. 7, 8, 9. SYLBURG.

θοῦν, καὶ τὸ εὔτακτον ἐνεπνεύσατο τὸ αὐτῆς (27). A ejus studium confertur: eumque maximum ac pulcherrimum esse opus existimans, prudentia quidem ac moderatione et temperantia animam ejus direxit; corpus vero pulchritudine justaque membrorum proportione temperavit; in humanis denique actionibus, quodque in eis recte et ex virtute geritur, pulchrumque qui est in eis ordinem, ex suo eis inspiravit.

ΚΕΦ. Γ'.

Ὅτι φιλάνθρωπος ὁ Παιδαγωγός.

Πάντα ὀνίνησιν ὁ Κύριος, καὶ πάντα ὠφελεῖ, καὶ ὡς ἄνθρωπος, καὶ ὡς Θεός· τὰ μὲν ἁμαρτήματα ὡς Θεὸς ἀφιείς, εἰς δὲ τὸ μὴ ἐξαμαρτάνειν παιδαγωγῶν (28) ὡς ἄνθρωπος. Εἰκότως ἄρα φίλος ὁ ἄνθρωπος τῷ Θεῷ, ἐπεὶ καὶ πλάσμα αὐτοῦ ἐστι. Καὶ τὰ μὲν ἄλλα κελεύων μόνον πεποίηκε, τὸν δὲ ἄνθρωπον δι' αὐτοῦ ἐχειρούργησε, καί τι αὐτῷ ἴδιόν ἐνεφύσησε. Τὸ οὖν ὑπ' αὐτοῦ καὶ πρὸς αὐτὸν ἀπεικονισμένον, ἢ ὡς δι' αὐτὸ (29) αἱρετὸν τῷ Θεῷ, ὑπ' αὐτοῦ δεδημιούργηται τοῦ Θεοῦ, ἢ ὡς ἕνεκεν ἄλλου αἱρετὸν διαπέπλασται. B Εἰ μὲν οὖν δι' αὐτὸ αἱρετὸν, ὁ ἀγαθὸς (30) ὢν ἀγαθὸν ἠγάπησε· καὶ τὸ φίλτρον ἔνδον ἐστὶν ἐν τῷ ἀνθρώπῳ τοῦθ', ὅπερ ἐμφύσημα λέγεται Θεοῦ· εἰ δὲ ἕνεκεν τῶν ἄλλων ὁ ἄνθρωπος αἱρετὸν γέγονεν, οὐκ ἄλλην αἰτίαν ἔχει (31) τοῦ ποιεῖν αὐτὸν ὁ Θεὸς, ἢ ὡς οὐκ ἄνευ αὐτοῦ οἵου τε ὄντος, τὸν μὲν γενέσθαι δημιουργὸν ἀγαθὸν, τὸν δὲ εἰς γνῶσιν ἀφικέσθαι Θεοῦ. Οὐ γὰρ ἄλλως (32) ἂν τὸ, οὗ ἕνεκεν ἄνθρωπος γέγονεν, ἐποίησεν ὁ Θεός, εἰ μὴ ἄνθρωπος ἐγεγόνει· καὶ ἣν εἶχεν ἐναποκεκρυμμένην ἰσχὺν τῷ βούλεσθαι ὁ Θεὸς, διὰ τῆς ἔξωθεν τοῦ (33) πεποιηκέναι προσανεπλήρωσε δυνάμεως, λαβὼν παρὰ ἀνθρώπου ὃ πεποίηκεν ἄνθρωπον· καὶ ὃν εἶχεν, εἶδεν, C καὶ γέγονεν, ὃ ἠθέλησεν· οὐδὲν δὲ, ὃ μὴ δύναται Θεός. Ὁ ἄνθρωπος ἄρα, ὃν πεποίηκεν ὁ Θεὸς, δι' αὑτὸν αἱρετόν ἐστιν· τὸ δὲ δι' αὑτὸν αἱρετὸν, οἰκεῖόν ἐστιν ὅτῳ περ ἂν ᾖ δι' αὑτὸν αἱρετόν· τοῦτο δὲ καὶ ἀσμενιστὸν καὶ φιλητόν. Ἀλλὰ καὶ φιλητὸν (34) μέν τί ἐστιν, οὐχὶ δὲ καὶ φιλεῖται ὑπ' αὐτοῦ· φιλητὸς δὲ ὁ ἄνθρωπος ἀποδέδεικται. Φιλεῖται ἄρα πρὸς τοῦ Θεοῦ ὁ ἄνθρωπος. Πῶς γὰρ οὐ φιλεῖται, δι' ὃν ὁ Μονογενὴς ἐκ κόλπων Πατρὸς καταπέμπεται, Λόγος τῆς πίστεως, ἡ πίστις ἐκ περιουσίας, αὐτὸς σαφῶς ὁ Κύριος ὁμολογῶν καὶ λέγων· *Αὐτὸς γὰρ ὁ Πατὴρ φιλεῖ ὑμᾶς, ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε*· καὶ πάλιν ὁ αὐτός· *Καὶ ἠγάπησας αὐτοὺς, καθὼς ἐμὲ ἠγάπησας*. Τί μὲν οὖν ὁ Παιδαγωγὸς βούλεται, καὶ τί ἐπαγγέλλεται, ἐν ἔργῳ καὶ λόγῳ διακείμενος, καὶ D

CAP. III.

Quod sit benignus et hominum amans Pædagogus.

In omnibus prodest, et in omnibus juvat Dominus, et tanquam homo, et tanquam Deus: peccata quidem remittens, ut Deus; ne peccemus autem, Pædagogi ritu instituens, ut homo. Jure ergo homo est Deo charus, quoniam ejus figmentum homo est. Et alia quidem solo jussu fecit; hominem autem per se manu fabricatus est, et quid sibi proprium inspiravit. Quod ergo ab ipso et ad ejus imaginem factum est, vel tanquam propter se Deo eligendum, ab ipso Deo fabricatum est, vel tanquam propter aliud eligendum, effictum est. Si ✠ ergo homo est propter se res eligenda, tum qui bonus est, bonum amavit: et intus est in homine id philtrum, quod Dei *inspiratio* dicitur. Si autem res propter alias eligenda factus est, non alia fuit Deo causa, cur hunc faceret, quam quod absque eo neque Deus poterat esse bonus opifex, neque homo pervenire ad Dei cognitionem. Non enim aliter id, cujus causa homo factus est, Deus fecisset, si non homo factus esset: et quam habuit reconditam volendo potentiam, per externam implevit faciendi potestatem Deus, ab homine accipiens quod fecit hominem. Et vidit quem habuit, et factum est quod voluit. Nihil est autem quod Deus non possit. Homo ergo, quem fecit Deus, res est per se eligenda. Res autem, quæ per se est eligenda, ei est conjuncta, cui per se est eligenda. Ea autem res est expetenda et diligenda. Sed et si quid est diligendum, non potest id ab ipso non diligi; diligendum autem esse hominem ostensum est; homo ergo a Deo diligitur. Qui enim fieri 37 potest, ut non diligatur, propter quem Unigenitus ex sinu Patris demittitur, Verbum fidei, fides ex superabundantia, ipse Dominus, qui aperte confitetur et dicit: *Ipse enim Pater vos diligit, quia vos me dilexistis*[30]? et ipse rursus: *Et dilexisti ipsos, quemadmodum me dilexisti*[31]. Quidnam ergo vult Pædagogus, et quid profitetur, et quomodo factis et dictis affectus sit, et in iis

✠ P. 102 ED. POTTER, 83 ED. PARIS. [30] Joan. XVI, 27. [31] Joan. XVII, 23.

(27) *Ἐνεπνεύσατο τὸ αὐτῆς*. A. dubitat an legendum ἐνεπνεύσατο αὐταῖς. Vulgata lectio retineri potest, si τὸ αὐτῆς accipiamus pro τὸ ἐν αὐτῇ. SYLBURG. — Pro αὐτῆς malim αὑτῆς. Sensus est, quod modo memorata Verbi εὐταξία humanis actionibus τὸ εὔτακτον ἐνεπνεύσατο τὸ αὑτῆς, *suum pulchrum ordinem inspiravit*. Sæpe alias αὐτός pro αὑτός irrepsit, exempla in sequenti capite occurrunt.

(28) *Παιδαγωγῶν*. Hanc lectionem præbet Palat. ms. SYLBURG. — Eamdem habent Reg. Bod. Sed παραπαιδαγωγῶν editt. Flor. Sylb. Florentinum cod. secutæ.

(29) Αὐτό. Hic et alibi non semel αὑτό scribendum.

(30) *Ὁ ἀγαθ*. Particula ὁ redundat: nec eam agnoscunt Reg., Bod.

(31) *Αἰτίαν ἔχει*. Legendum ἔσχε, quam lectionem, præter Sylburgium, præbent Reg., Bod.

(32) *Ἄλλως*. Ἄλλος Bod.

(33) *Τοῦ*. Τό Reg. sed in margine aliquis τῷ scripsit.

(34) *Ἀλλὰ καὶ φ*. Hæc sententia efferenda est interrogative: *An vero est aliquid, quod sit diligendum, quod ab ipso non diligitur?* vel addita negativa particula: ἀλλ' οὐ καὶ φιλητὸν μέν τί ἐστ. *Sed nequit fieri, ut aliquid sit diligendum, ab ipso autem non diligatur*. Nec enim probare possum Heinsii conjecturas: « Non est dubium, inquit, quin scripserit auctor, ἀλλὰ καὶ ὁ φιλητὸν μὲν ἔστι, vel φιλητὸν μὲν τί ἐστιν, οὐχὶ δὲ φιλεῖται ὑπό τινός. *Estne aliquid, quod sit diligendum, et non diligitur ab aliquo?* »

quæ sunt agenda præcipiendis, et prohibendis iis quæ sunt contraria, jam utique clarum est. Manifestum est autem, esse alterum genus sermonis, cujus est institutum docere, quod quidem est subtile et spirituale, et accuratam tractandi rationem sequitur, et in arcanis contemplandis mysteriis versatur. Id autem in præsentia differatur. Par est autem eum nos redamare, qui pro suo in nos amore dux est nobis vitæ optime degendæ: ex ejus autem voluntatis jussis vivere, non ea solum quæ jubentur exsequendo, vel quæ prohibentur cavendo; sed etiam has quidem imagines aversando, illas vero, quoad fieri poterit, imitando, Pædagogi factorum similitudinem operando referre: ut quod *secundum imaginem et similitudinem est*, impleat. In vita enim tanquam in profundis errantes tenebris, optimo et qui nunquam aberret ac offendat duce habemus ✠ opus. Optimus autem dux non *cæcus*, ut dicit Scriptura, *cæcos in foveas ducens* [52], sed Verbum, cujus est visus perspicacissimus, et qui cordis intima pervidet. Quemadmodum ergo non est lux, quæ non illuminat; neque movens, quod non movet; nec diligens, quod non diligit; ita nec bonum, quod non prodest, et ad salutem deducit. Faciamus ergo præcepta per opera et facta Domini. *Verbum* enim ipsum aperte *caro factum* [53], eamdem simul virtutem activam et contemplativam esse ostendit. Quare legem existimantes Verbum, præcepta ejus atque monita, breves et directas ad æternitatem vias, agnoscamus. Persuasione enim sunt plena præcepta, non timore.

A ὑπαγορεύσει μὲν τῶν πρακτέων, ἀπαγορεύσει δὲ τῶν ἐναντίων, ἤδη που δῆλον. Σαφὲς δὲ ὡς ἄρα θάτερον εἶδος τῶν λόγων τὸ διδασκαλικὸν ἰσχνόν (35) τέ ἐστι καὶ πνευματικὸν, ἀκριβολογίας ἐχόμενον, τὸ ἐποπτικόν· ὃ δὴ ὑπερκείσθω τανῦν. Καθήκει δ' ἡμῖν ἀνταγαπᾷν μὲν τὸν καθηγούμενον ἀγαπητικῶς ἀρίστου βίου, βιοῦν δὲ πρὸς τὰ διατάγματα τῆς αὐτοῦ προαιρέσεως (36)· οὐ μόνον ἐπιτελοῦντας τὰ προσταττόμενα, ἢ παραφυλάττοντας τὰ ἀπαγορευόμενα, ἀλλὰ καὶ τῶν εἰκόνων (37) τὰς μὲν ἐκτρεπομένους, τὰς δὲ, ὡς ἔνι μάλιστα μιμουμένους, ἐπιτελεῖν καθ' ὁμοίωσιν τὰ ἔργα τοῦ Παιδαγωγοῦ· ἵνα δὴ τὸ *κατ' εἰκόνα* (38) *καὶ καθ' ὁμοίωσιν* πληρώσῃ. Ὡς γὰρ ἐν σκότῳ βαθεῖ ἀλώμενοι τῷ βίῳ, ἀπταίστου καὶ ἀκριβοῦς καθοδηγοῦ δεόμεθα· ὁδηγὸς δὲ ἄριστος, οὐχὶ τυφλὸς, καθά φησιν
B ἡ Γραφὴ, *τυφλοὺς εἰς τὰ βάραθρα χειραγωγῶν*· ὀξὺ δὲ ὁ βλέπων καὶ διορῶν τὰ ἐγκάρδια Λόγος. Καθάπερ οὖν οὐκ ἔστι φῶς ὃ μὴ φωτίζει, οὐδὲ κινοῦν ὃ μὴ κινεῖ, οὐδὲ φιλοῦν ὃ μὴ φιλεῖ, οὐδὲ ἀγαθόν ἐστιν ὃ μὴ ὠφελεῖ, καὶ εἰς σωτηρίαν καθοδηγεῖ. Ἄγωμεν οὖν τὰς ἐντολὰς (39) δι' ἔργων τοῦ Κυρίου· καὶ γὰρ *ὁ Λόγος* αὐτὸς ἐναργῶς *σὰρξ γενόμενος*, τὴν αὐτὴν ἀρετὴν πρακτικὴν ἅμα καὶ θεωρητικὴν ἐπιδεικνύς· καὶ δὴ νόμον ὑπολαμβάνοντες τὸν Λόγον, τὰς ἐντολὰς καὶ τὰς ὑποθημοσύνας αὐτοῦ, τὰς συντόμους ὁδοὺς καὶ συντόνους εἰς ἀϊδιότητα, γνωρίσωμεν· πειθοῦς
C γὰρ ἀνάπλεω, οὐ φόβου, τὰ προστάγματα.

CAP. IV.

Quod Verbum ex æquo virorum et mulierum Pædagogus sit.

Hanc ergo bonam obedientiam magis magisque amplectentes, nos ipsos Domino tradamus, firmissimum ejus fidei rudentem appendentes, cogitantes eamdem esse virtutem viri et mulieris. Si enim utrisque unus Deus est, utrisque etiam unus est Pædagogus, una Ecclesia, una moderatio ac temperantia, una verecundia, alimentum commune, conjugales nuptiæ, respiratio, visus, auditus, cognitio, spes, obedientia, charitas, omnia similia. Quorum autem est vita quidem communis, communis autem gratia, et salus communis: eorum quoque communis est dilectio et educatio. *In hoc enim*, inquit, *sæculo uxores ducunt et nubunt* [54], in quo solo femininum a masculo discernitur; *in illo autem*

ΚΕΦ. Δ'.

Ὅτι ἐπίσης ἀνδρῶν καὶ (40) *γυναικῶν ὁ Λόγος Παιδαγωγός ἐστιν.*

Ταύτην (41) τοίνυν πλέον τὴν ἀγαθὴν ἀσπασάμενοι πειθαρχίαν, σφᾶς αὐτοὺς ἐπιδῶμεν Κυρίῳ, τὸ βεβαιότατον τῆς πίστεως αὐτοῦ ἐξαψάμενοι κάλων, τὴν αὐτὴν ἀρετὴν ἀνδρὸς καὶ γυναικὸς εἶναι νενοηκότες. Εἰ γὰρ ἀμφοῖν ὁ Θεὸς εἷς, εἷς δὲ καὶ ὁ Παιδαγωγὸς ἀμφοῖν· μία Ἐκκλησία, μία σωφροσύνη, αἰδὼς μία, ἡ τροφὴ κοινὴ, γάμος συζύγιος, ἀναπνοὴ, ὄψις, ἀκοὴ, γνῶσις, ἐλπὶς, ὑπακοὴ, ἀγάπη, ὅμοια πάντα. Ὧν δὲ κοινὸς μὲν ὁ βίος, κοινὴ δὲ ἡ χάρις, κοινὴ δὲ καὶ ἡ σωτηρία· κοινὴ τούτων καὶ ἡ ἀγάπη καὶ ἡ ἀγωγή.
D *Ἐν γὰρ τῷ αἰῶνι τούτῳ*, φησὶ, *γαμοῦσι καὶ γαμίσκονται*, ἐν ᾧ δὴ μόνῳ τὸ θῆλυ τοῦ ἄῤῥενος διακρίνεται· *ἐν ἐκείνῳ δὲ οὐκέτι*· ἔνθα τοῦ κοινωνικοῦ καὶ ἁγίου τούτου βίου τοῦ ἐκ συζυγίας τὰ ἔπαθλα,

✠ P. 103 ED. POTTER, 84 ED. PARIS. [52] Matth. xv, 14. [53] Joan. i, 14. [54] Luc. xx, 34.

(35) *Ἰσχνόν*. Scribi possit ἰσχύον, *potens*, quod habet Reg., ἰσχνόν quidem habet Bod. Sed aliquis ῡ super ν̄ primam scripsit.

(36) *Τῆς αὐτοῦ π.* Scribi possit τῆς δι' αὐτοῦ προαιρέσεως, *instituti, quod per eum accepimus*: vel, *sectæ, cujus ille auctor fuit*. Quam lectionem præbet Reg.

(37) *Εἰκόνων*. Conf. quæ prius dixit, hujus libri cap. 1, p. 98.

(38) *Τὸ κατ' εἰκόν.* Respicit Gen. i, 26: *Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν*. Conf. quæ adnotata sunt ad finem *Protreptici* pag. 94, n.

(39) *Ἄγωμεν οὖν τὰς ἐντ.* Locutio minus usitata. SYLBURG. — In *Indice Græco* exp. ἄγωμεν τὰς ἐντολὰς δι' ἔργων, *in effectum mandata producamus*. Forte scribendum, ἄγωμεν οὖν εἰς τὰς ἐντολὰς δι' ἔργων Κυρίου· *tendamus ad præcepta per opera Christi*. Nam Christi præcepta optime implebit, qui ejus opera imitatur. Agit autem auctor de bonæ vitæ εἰκόσιν, *exemplaribus*.

(40) *Ἀνδρῶν καί*. Ἀνδρῶν τε καί Reg. Mox Λόγος omittit idem.

(41) *Ταύτην*. Idem argumentum copiose tractavit *Strom.* iv, p. 497 seq. et p. 521 seq.

οὐχ ἄῤῥενι καὶ θηλείᾳ, ἀνθρώπῳ δὲ ἀπόκειται, ἐπιθυμίας διχαζούσης αὐτὸν κεχωρισμένον (42). Κοινὸν οὖν καὶ τοὔνομα ἀνδράσι καὶ γυναιξὶν, ὁ ἄνθρωπος. Ταύτῃ μοι δοκοῦσιν οἱ Ἀττικοὶ *παιδάριον* ἐπικοίνως (43) οὐ μόνον τὸ ἄῤῥεν, ἀλλὰ καὶ τὸ θῆλυ κεκληκέναι· εἴτῳ πιστὸς καταφαίνεται ὁ κωμικὸς (44) ἐν *Ῥαπιζομένῃ* Μένανδρος, ὧδέ πως λέγων·

Τοὐμὸν θυγάτριον (45)· *πάνυ γάρ ἐστι τῇ φύσει*
Φιλάνθρωπον τὸ παιδάριον σφόδρα.

Ἄρνες δὲ δὴ ἐπίκοινόν ἐστιν ἀφελείας (46) ὄνομα ἄῤῥενός τε καὶ θήλεος ζώου. Αὐτὸς δὲ ἡμᾶς ὁ Κύριος ποιμαίνει εἰς τοὺς αἰῶνας. Ἀμήν. Ἄνευ δὲ ποιμένος οὔτε πρόβατα, οὔτε ἄλλο οὐδέν πω βιωτέον· οὐδὲ δὴ παῖδας ἄνευ τοῦ Παιδαγωγοῦ· οὐδὲ μὴν οἰκέτας ἄνευ τοῦ Δεσπότου.

ΚΕΦ. Ε'.

Ὅτι πάντες οἱ περὶ τὴν ἀλήθειαν καταγινόμενοι, παῖδες παρὰ τῷ Θεῷ.

Ὅτι μὲν οὖν ἡ παιδαγωγία *παίδων* ἐστὶν ἀγωγὴ, σαφὲς ἐκ τοῦ ὀνόματος. Λοιπὸν δέ ἐστι τοὺς παῖδας ἐπιθεωρῆσαι, οὓς αἰνίττεται ἡ Γραφή· εἶτα τὸν Παιδαγωγὸν αὐτοῖς ἐπιστῆσαι. Οἱ παῖδες, ἡμεῖς. Πολλαχῶς δὲ (47) ἡμᾶς ἐξυμνεῖ, πολυτρόπως τε ἀλληγορεῖ (48) ὀνόμασι ποικίλοις τὸ ἀφελὲς τῆς πίστεως ἐξαλλάττουσα ἡ Γραφή. Ἐν γοῦν τῷ Εὐαγγελίῳ· *Σταθεὶς* (49), φησὶν, *ὁ Κύριος ἐπὶ τῷ αἰγιαλῷ, πρὸς τοὺς μαθητὰς* (ἁλιεύοντες δὲ ἔτυχον) *ἐπεφώνησέν τε· Παιδία, μή τι ὄψον ἔχετε;* τοὺς ἤδη ἐν ἕξει τῶν γνωρίμων, παῖδας προσειπών. *Προσήνεγκάν τε αὐτῷ*, φησὶ, *παιδία εἰς χειροθεσίαν εὐλογίας. Κωλυόντων δὲ τῶν γνωρίμων, εἶπεν ὁ Ἰησοῦς· Ἄφετε τὰ παιδία, καὶ μὴ κωλύετε αὐτὰ ἐλθεῖν πρός μέ·*

A *non amplius:* ubi socialis et sanctæ hujus vitæ, quæ ex conjunctione proficiscitur, præmia non masculo ac feminæ, sed homini proponuntur, cum eum, quandiu est separatus, sejungat cupido. Viris itaque et mulieribus commune nomen homo est. Ea ratione mihi videntur Attici παιδάριον epicœno genere non solum masculum, sed etiam feminam vocasse; si cui fide dignus videtur ✠ esse comicus Menander in *Rhapizomena*, qui sic dicit:

Filiola mea: admodum enim natura
Benevolum est παιδάριον, *puella.*

Jam vero ἄρνες quoque, quod *agnos* significat, est epicœnum simplicitatis nomen, animali mari et feminæ conveniens. Ipse autem Dominus nos pascit in sæcula sæculorum. Amen. Sine pastore autem, nec B oves, nec quidquam potest aliud vivere; neque pueri sine Pædagogo, nec ministri sine Domino.

CAP. V.

Quod omnes, qui circa veritatem versantur, sint apud Deum pueri.

Quod itaque pædagogia quidem sit *puerorum eductio*, ex ipso nomine clarum est. Restat autem, ut pueros, quos Scriptura significat, consideremus, deinde Pædagogum eis præficiamus. Nos pueri sumus. Multifariam autem nos celebrat, multisque modis ac variis nominibus allegorice utitur Scriptura, simplicitatem fidei diversis rationibus immutans. In Evangelio itaque: *Cum in littore*, inquit, *stetisset Dominus, discipulos* (piscabantur autem) *allocutus est: Puelli, numquid obsonium habetis* [**]? C eos pueros appellans, quos loco discipulorum habebat. *Et adduxerunt ei*, inquit, *pueros ad impositionem manuum benedictionis. Cum autem ejus discipuli prohiberent, dixit Jesus: Sinite puellos, et ne pro-*

✠ P. 104 ED. POTTER, 85 ED. PARIS. ** Joan. xxi, 4, 5.

(42) *Ἐπιθυμίας δ. αὐτ. κεχωρισμένον.* Rectius forte legatur κεχωρισμένης, in hanc sententiam: *Cupiditate quæ ipsum divisit*, nempe in marem et feminam, *ablata.* LOWTHIUS.

(43) *Ἐπικοίνως.* Post hanc vocem, οἱ Ἀττικοὶ addit Bod. quod videtur e margine irrepsisse. De voce παιδάριον audiendus Suidas: Παιδάριον· οὐ μόνον ἐπὶ τῶν ἀῤῥένων κέχρηνται τῷ ὀνόματι οἱ ῥήτορες, ἀλλὰ καὶ ἐπὶ τῶν παρθένων. *Oratores non solum pueros, sed etiam puellas* παιδάρια *appellant.* Exemplum statim addit ex Hyperidis oratione in Timandrum. Παιδός similem usum observavit Hesychius, Παῖδες, τὸ πάλαι μὲν τέκνα ἀρσενικὰ καὶ θηλυκά. D Omnes voces. usque ad παιδαρίων ætatem, communes esse refert Pollux lib. III, cap. 2: Ἐπὶ δὲ θηλειῶν τὰ μὲν πρῶτα μέχρι παιδαρίου κοινά· καὶ γὰρ τοῦτο κοινὸν ἀμφοῖν, θηλειῶν τε καὶ ἀῤῥένων. *Feminis communia sunt prima infantium nomina usque ad* παιδάριον, *quod etiam ipsum commune est utrisque, et feminis et masculis.* Dein Menandri locum allegat, qui mox apud Clementem sequitur. Porro in margine Reg. et Bod. aliquis hoc scholium adnotavit: Πιστωσάμενος τὸν λόγον, ὡς ἀδιάφορον ἀνὴρ καὶ γυνὴ πρὸς ἀρετῆς ἐργασίαν· ἄμφω γὰρ ἄνθρωποι ὀνομάζονται· ὧν δὲ κοινὸν ὄνομα, τούτων καὶ ἡ πρᾶξις κοινή· καὶ ἀπὸ Μενάνδρου τοῦ ποιητοῦ τὴν πίστιν αὖθις καταδησάμενος, ὡς καὶ ἐπὶ ἄῤῥενος καὶ θήλεος κοινῶς Ἀττικῶν τὸ παιδάριον κατηγορούντων· πιστοῦται τὸν λόγον ἀπ' αὐτοῦ τοῦ Κυρίου, πρόβατα καὶ ἀρνία τοὺς ἑαυτοῦ πιστοὺς ἀποκαλοῦντος, ἐν οἷς ἄνδρες τε καὶ γυναῖκες ἀπολαμβάνονται.

(44) *Κωμικός.* Κοινωνικός Reg. perperam.

(45) *Τοὐμὸν θυγάτριον.* Claudicant Menandri versus, quamvis non sint σκάζοντες. Una voce opus est, quæ τὸ χεχηνὸς τοῦ μέτρου suppleat:

Τοὐμὸν θυγάτριον· πάνυ γάρ ἐστι τῇ φύσει
Χαρίεν, φιλάνθρωπον τὸ παιδάριον σφόδρα.

Nam illud τηρησείδιον de ipsa voce, ὅτι ἐπικοίνως παιδάριον οὐ μόνον τὸ ἄῤῥεν, ἀλλὰ καὶ τὸ θῆλυ οἱ Ἀττικοὶ καλοῦσι, tribus Grammaticorum ad oratores trahunt, quibus hoc esse usitatum notant: ὅτι οὐ μόνον ἐπὶ ἀῤῥένων κέχρηνται τῷ ὀνόματι, ἀλλὰ καὶ ἐπὶ τῶν παρθένων. HEINSIUS.

(46) *Ἀφελείας.* Ὠφελείας Pal. ms. perperam. SYLBURG. — Eamdem lectionem in textu præbet Reg., sed aliquis ἀφελείας in margine adnotavit.

(47) *Δέ.* Omittit Reg.

(48) *Πολυτρόπως τε ἀλ.* Πολύτροπος Bod. itemque Reg. Sed cum in hoc accentus penultimæ insideat, videtur scriptoris errore pro πολυτρόπως positum fuisse. Porro Sylburgius in *Græco indice* ἀλληγορεῖ αὐτοὺς ὀνόμασι ποικίλοις exp. *variis nominibus eos per allegoriam appellat.* Verum hæc verba sic distingui et explicari debent: Πολλαχῶς δὲ ἡμᾶς ἐξυμνεῖ, πολυτρόπως τε ἀλληγορεῖ, ὀνόμασι ποικίλοις τὸ ἀφελὲς τῆς πίστεως ἐξαλλάττουσα ἡ Γραφή. *Multifariam nos celebrat Scriptura, multisque modis significat, fidei simplicitatem variis nominibus immutans.*

(49) *Σταθείς.* Hoc loco, et seq. Evangeliorum sensum potius quam verba exprimit.

hibete eos venire ad me: talium enim est regnum cœlorum [56]. Quid autem sibi vult, quod dictum est, ipse declarabit Dominus, dicens: *Nisi conversi fueritis, et efficiamini sicut hi pueri, non intrabitis in regnum cœlorum* [57]; non regenerationem allegorice hic significans, sed eam, quæ in pueris inest, simplicitatem, ut ejus similitudinem referamus, commendans. Pueros quoque nos eligit Spiritus propheticus: *Cum carpsissent*, inquit, *pueri ramos oleæ vel palmarum, exierunt obviam Domino, et clamaverunt, dicentes: Hosanna Filio David; Benedictus qui venit in nomine Domini* [58]; *Lux et gloria et laus cum supplicatione Domino*; hoc ✠ enim significat *Hosanna*, si Latine explicetur. **38** Mihi autem videtur Scriptura, hanc prophetiam innuens, quæ modo dicta est, probri loco ignavis objicere: *Nunquam legistis, ex ore infantium et lactentium perfecisti laudem* [59-60]? Hac itidem ratione Dominus suos discipulos stimulat, ut ipsum diligenter attenderent incitans, ut qui jam ad Patrem properaret: auditores, ut majore desiderio eum audirent, præparans, fore ut paulo post abesset præsignificans; oportere eos ex veritate uberius quam unquam antea fructum colligere innuens, quia Verbum mox se in cœlum reciperet. Rursus ergo eos vocat puellos. Ait enim: *Puelli, adhuc modicum sum vobiscum* [61]. Et rursus assimilat regnum cœlorum *puellis in foro sedentibus et dicentibus: Tibia vobis cecinimus, et non saltastis; lamentati sumus, et non planxistis* [62]; et quæcunque alia subjunxit his consentanea. Neque vero ita solum sentit Evangelium, sed prophetia quoque est ejusdem sententiæ. Dicit itaque David: *Laudate, pueri, Dominum, laudate nomen Domini* [63]. Porro autem dicit etiam per Isaiam: *Ecce ego, et pueri, quos dedit mihi Deus* [64]. Miraris, dum audis viros, qui sunt in gentibus, a Domino vocari pueros? Non mihi dialectum videris intelligere Atticam, a qua discere poteris, elegantes et speciosas adole-

A *τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν*. Τί βούλεται τὸ λεχθὲν, αὐτὸς διασαφήσει ὁ Κύριος, λέγων· *Ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία ταῦτα, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν*· οὐ τὴν ἀναγέννησιν ἐνταῦθα ἀλληγορῶν, ἀλλὰ τὴν ἐν παισὶν ἁπλότητα εἰς ἐξομοίωσιν παρακατατιθέμενος ἡμῖν. Τοὺς παῖδας ἡμᾶς καὶ τὸ προφητικὸν ἐκλέγεται Πνεῦμα· *Δρεψάμενοι*, φησὶ, *κλάδους ἐλαίας ἢ φοινίκων οἱ παῖδες, ἐξῆλθον εἰς ἀπάντησιν Κυρίῳ, καὶ ἐκέκραγον, λέγοντες· Ὡσαννὰ τῷ Υἱῷ Δαβίδ· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου· Φῶς καὶ δόξα καὶ αἶνος μεθ' ἱκετηρίας τῷ Κυρίῳ*· τουτὶ γὰρ ἐμφαίνει ἑρμηνευόμενον Ἑλλάδι φωνῇ τὸ *Ὡς ἀννά* (50)· καί μοι δοκεῖ ἡ Γραφὴ ταύτην αἰνιττομένη τὴν

B προφητείαν, τὴν προειρημένην, ἐν ὀνείδους μέρει τοῖς ῥαθύμοις ἐγκαλεῖν· *Οὐδέ ποτε ἀνέγνωτε, ὅτι ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον*; τοῦτό τοι καὶ ὁ Κύριος ἐν τῷ Εὐαγγελίῳ μυωπίζει (51) τοὺς γνωρίμους, προσέχειν αὐτῷ παρορμῶν, ὡς ἤδη σπεύδων πρὸς τὸν Πατέρα· ὀρεκτικωτέρους παρασκευάζων τοὺς ἀκροατὰς, μετ' ὀλίγον ἀπεῖναι (52) προμηνύων, ὡς δέον αὐτοῖς ἀποκαρπίζεσθαι τῆς ἀληθείας ἀφειδέστερον δηλῶν, καὶ ὅσον οὐδέπω, ἀπαίροντος εἰς οὐρανὸν τοῦ Λόγου. Πάλιν οὖν αὐτοὺς παιδία καλεῖ· φησὶ γάρ· *Παιδία* (53), *ἔτι μικρὸν μεθ' ὑμῶν εἰμι*. Αὖθις τε *παιδίοις ὁμοιοῖ* τὴν βασιλείαν τῶν οὐρανῶν, *ἐν ἀγοραῖς καθημένοις καὶ λέγουσιν· Ηὐλήσαμεν* (54) *ὑμῖν, καὶ οὐκ ὠρ-*

C *χήσασθε· ἐθρηνήσαμεν, καὶ οὐκ ἐκόψασθε*· καὶ ὅσα ἄλλα τούτοις οἰκείως ἐπήγαγεν. Καὶ οὔτι γε μόνον τὸ Εὐαγγέλιον ταύτῃ φρονεῖ· ὁμοδοξεῖ δὲ αὐτῷ καὶ ἡ προφητεία. Λέγει γοῦν Δαβίδ· *Αἰνεῖτε, παῖδες, Κύριον· αἰνεῖτε τὸ ὄνομα Κυρίου*. Λέγει δὲ καὶ διὰ Ἠσαΐου· *Ἰδοὺ ἐγὼ, καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός*. Θαυμάζεις ἀκούων τοὺς ἄνδρας τοὺς ἐν ἔθνεσι παῖδας παρὰ Κυρίῳ; Οὔ μοι δοκεῖς Ἀττικῆς ἐπαΐειν φωνῆς, παρ' ἧς ἔστιν ἐκμαθεῖν τὰς καλὰς καὶ

✠ P. 105 ED. POTTER, 85-86 ED. PARIS. [56] Matth. XIX, 14. [57] Matth. XVIII, 3. [58] Matth. XXI, 9. [59-60] Ibid. 16; Psal. VIII, 3. [61] Joan. XIII, 33. [62] Matth. XI, 16, 17. [63] Psal. CXII, 1. [64] Isa. VIII, 18.

(50) *Ἑλλάδι φωνῇ τὸ Ὡς ἀννά*. Auctor operis imperfecti in Matthæum, homil. 38: *Hosanna autem quidam interpretantur gloriam, alii redemptionem, alii salvifica, sive salvum fac*. Hieronymus ad Damasum, *Alii opinati sunt Osanna gloriam dici, nonnulli gratiam*. Multi super hoc nomine diversa finxerunt, e quibus Hilarius ita posuit: *Osanna Hebraico sermone significatur redemptio Domus David*. C. Jansenius in *Concordiam Evangelicam* ait, Ambrosium secutum Hilarium idem tradere, cap. XIX in Lucam, non tamen tam crassum errorem imponendum Hilario, aut Ambrosio, quam imponitur, quod credendum sit eos existimasse hæc omnia comprehensa in significatione vocabuli Hosanna, sed populum ejusmodi acclamatione petiisse redemptionem. Deinde addit conjecturas, quibus probabile in speciem videri posset, Osanna laudem vel gloriam et gratiam significare. Primo, quod apud omnes Evangelistas per duas dictiones scribatur ὡς ἀννά, dictio autem ὡς, si Hebraice ita scribatur עז, laudem significare possit: *anna* autem, si scribatur חנה, significare *gratiam*. Deinde, quod Christus subjecerit, *Nunquam legistis, quod ex ore infantium et lacten-*

tium perfecisti laudem; sed certum esse tamen, Hieronymi sententiam esse desumptam ex hoc Ps. CXVII.

D הושיעה נא, *O Domine, salvum fac*: atque hunc versum in acclamationibus festi Tabernaculorum usurpatum, ut apud Græcos *Io Pæan*, et apud Latinos *Io Triumphe*, et ut *Halleluja*, quod *laudate Dominum* significat. Leo item Castrus in cap. IX Isaiæ, eos, qui putarunt Osanna significare gloriam, tuetur auctoritate D. Lucæ, qui acclamationem puerorum apud Matthæum et Marcum, *Osanna in excelsis*, reddiderit, *Pax in cœlo et gloria in excelsis*, qui cum præditus esset dono linguarum, haud dubium, quin Hebraice sciverit. COLLECT.

(51) *Μυωπίζει*. In margine Reg. et Bod. juxta hanc vocem aliquis scripsit, ὑποκινεῖ· ἢ ἀντὶ τοῦ μαστίζει· μύωψ γὰρ ἡ μάστιξ.

(52) Ἀπεῖναι. C. ἀπιέναι mavult; sed εἶναι pro ἰέναι in aliis quoque compositis usurpatum infra; sicut etiam ἀπουσία pro *abscessu*, et παρουσία pro *adventu*. SYLBURG.

(53) *Παιδία*. Τεκνία Evang.

(54) *Ηὐλήσαμεν*. Ηὔλισαμεν, Bod. Mox ἐθρηνήσαμεν ὑμῖν Evang.

ὡραίας (55), ἔτι δὲ καὶ ἐλευθέρας νεάνιδας, *παιδίσκας* καλουμένας, *παιδισκάρια* δὲ, τὰς δούλας· καὶ νεάνιδας δὲ καὶ αὐτὰς, πρὸς τὸ εὐθαλὲς τῆς παιδικῆς ἡλικίας, ὑποκοριστικῶς τιμωμένας. Καὶ *Τὰ ἀρνία* (56) *δέ μου*, ὅταν λέγῃ, *στήτω ἐκ δεξιῶν*, τοὺς ἀφελεῖς αἰνίττεται παῖδας, ὡς ἄρνας, οὐχ ἄνδρας, καὶ πρόβατα ὄντας κατὰ γένος· τὰ δὲ ἀρνία προνομίας ἠξίωσεν, τὴν ἐν ἀνθρώποις ἁπαλότητα καὶ ἁπλότητα τῆς διανοίας, τὴν ἀκακίαν προτιμῶν. Αὖθίς τε ὅταν φῇ, *ὡς μοσχάρια γαλαθηνὰ* (57), ἡμᾶς πάλιν ἀλληγορεῖ· καὶ, *ὡς περιστερὰν ἄκακον καὶ ἄχολον*, πάλιν ἡμᾶς. Νεοττούς τε ἔτι δύο περιστερῶν, ἢ *τρυγόνων ζεῦγος*, ὑπὲρ ἁμαρτίας κελεύει διὰ (58) Μωϋσέως προσφέρεσθαι· τὸ ἀναμάρτητον τῶν ἁπαλῶν, καὶ ἄκακον, καὶ ἀμνησίκακον, τῶν νεοττῶν, εὐπρόσδεκτον εἶναι λέγων τῷ Θεῷ· καὶ τὸ ὅμοιον τοῦ ὁμοίου καθάρσιον ὑφηγούμενος. Ἀλλὰ καὶ τὸ δειλὸν τῶν τρυγόνων, τὴν πρὸς τὰς ἁμαρτίας εὐλάβειαν ὑποτυποῦται. Ὅτι δὲ ἡμᾶς τοὺς νεοττοὺς λέγει, μάρτυς ἡ Γραφή· *Ὃν τρόπον ὄρνις συνάγει τὰ νεόσσια* (59) *ὑπὸ τὰς πτέρυγας αὐτῆς*· οὕτως ἐσμὲν νεοττοὶ Κυρίου· θαυμαστῶς πάνυ καὶ μυστικῶς τοῦ Λόγου τὴν ἁπλότητα τῆς ψυχῆς εἰς ἡλικίαν ὑπογραφομένου παιδικήν. Πῇ μὲν γὰρ παῖδας ἡμᾶς καλεῖ· πῇ δὲ, νεοττούς· ἔσθ' ὅτε δὲ *νηπίους*, *υἱοὺς* δὲ ἀλλαχόθι· καὶ *τέκνα* πολλάκις καὶ *λαὸν νέον*, καὶ *λαὸν καινόν*· *Τοῖς δὲ δούλοις μου* (60), φησὶ, *κληθήσεται ὄνομα καινὸν* (νέον ὄνομα λέγει, τὸ καινὸν καὶ ἀΐδιον, ἄχραντον καὶ ἁπλοῦν, καὶ νήπιον, καὶ ἀληθινόν) ὃ *εὐλογηθήσεται ἐπὶ τῆς γῆς*. Ἀλληγορῶν (61) δὲ αὖθις ἡμᾶς πώλους καλεῖ, τοὺς ἀζυγεῖς (62) κακίᾳ, τοὺς ἀδαμάστους πονηρίᾳ· ἀφελεῖς δὲ, καὶ πρὸς αὐτὸν μόνον τὸν Πατέρα σκιρτητικούς· οὐχὶ τοὺς ἐπὶ ταῖς τῶν πλησίον γυναιξὶ χρεμετίζοντας ἵππους, τοὺς ἱπποζυγίους (63) καὶ θηλυμανεῖς, ἀλλὰ τοὺς ἐλευθέρους, καὶ

A scentulas et præterea ingenuas, appellari παιδίσκας, ancillas autem παιδισκάρια: et has etiam, adolescentulæ cum sint, propter ætatis puerilis florem assentatorie *puellarum* nomine honorari. Jam vero, cum dicit, *Agnelli stent a dextris* [65], simplices pueros significat, tanquam agni et oves sint genere, non viri. Agnellos autem privilegio dignos censuit, in hominibus facilitatem ac teneritudinem, et simplicitatem animi, innocentiam nempe, præferens. Et rursus quando dicit, *Tanquam vituli lactentes*, nos rursus allegorice significat. ✠ Et quando, *Tanquam columbam simplicem et felle carentem* [66], rursus nos intelligit; jubet etiam per Moysem, *duos pullos columbarum vel par turturum pro peccato offerre* [67]; eorum, quæ sunt tenera, nempe pullorum, immunitatem a peccato, innocentiam, et B acceptarum injuriarum oblivionem dicens esse Deo acceptam, et simile simili expiari exponens. Quin etiam turturum timiditas, eam, quæ ne peccetur adhibenda est, cautionem significat. Quod autem nos pullos dicat, testis est Scriptura: *Quemadmodum gallina congregat pullos sub alis suis* [68]; ita nos sumus pulli Domini, sane quam admirabiliter et mystice animæ simplicitatem ex puerili ætate describente Verbo. Alicubi enim nos vocat *pueros*, alicubi vero *pullos*, nonnunquam autem *infantes*, alicubi autem *filiolos*, et sæpe *filios*, *et populum recentem*, et *populum novum*. *Servis autem meis*, inquit, *imponetur nomen novum* [69] (nomen *novum* dicit, quod est recens et æternum, impollutum et C simplex, et infantile, et verum) *quod benedicetur in terra*. Per allegoriam autem nos rursus pullos vocat, qui vitii jugum non subimus, qui ab improbitate minime domiti sumus; sed sumus simplices, et ad ipsum solum Patrem exsilimus; non equos

✠ P. 106 ED. POTTER. [65] Matth. xxv, 33. [66] Matth. x, 16. [67] Levit. xv, 29, xii, 8; Luc. ii, 24. [68] Matth. xxiii, 37. [69] Isa. lxv, 15, 16.

(55) *Καλὰς καὶ ὡραίας*. Hesychius, Παιδισκάριον Ἀττικοὶ ἐπὶ τῆς ἡλικίας: Varinus, Παιδίσκη, ἡ ἐλευθέρα, καὶ ἡ δούλη, καὶ παιδισκάριον· παιδάριον δὲ, Ἀττικῶς μὲν τὸ θυγάτριον, Ἑλληνικῶς δὲ τὸ ἄῤῥεν. Pollux, lib. iii, cap. 8: Παιδίσκην τὴν θεραπαινίδα Λυσίας ὠνόμασεν, εἰ μὴ (sic enim manusc. non εἰ γὰρ) ἀμφίβολόν ἐστι, πότερον ἡλικίας ἢ τύχης. « Ἐξελθοῦσα αὐτοῦ παιδίσκη τὴν θύραν ἀνοίγνυσι. » *Lysias puellam vocat famulam, nisi ambiguum sit num ætatis, an fortunæ nomen sit; ita enim loquitur:* Egrediens puella, ejus fores aperit. Collect.

(56) *Ἀρνία*. Apud Joann. xxi, 15, Christus Petro dicit, Βόσκε τὰ ἀρνία μου: *Pasce agnos meos*. Eo vero loco, quem Clemens respicit, non ἀρνία, sed πρόβατα exstat: Καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, Matth. xxv, 33.

(57) *Μοσχάρια γαλ.* Μοσχάρια γαλαθηνά sæpius dixerunt LXX interpretes, ut II Reg. xvii, 2, Amos vi, 4. Sed eo sensu, quem hic tradit Clemens, nondum occurrit hæc phrasis. Quemadmodum neque hæc verba in S. Scriptura exstant, καὶ ὡς περιστερὰν ἄκακον καὶ ἄχολον. Forte respicit Christi verba: Γίνεσθε ἀκέραιοι ὡς αἱ περιστεραί, Matth. x, 16. Hunc porro locum sic distinguunt Bod. et Herv. interpres, καὶ ὥσπερ ἄκακον καὶ ἄχολον· πάλιν ἡμᾶς νεοτ. Perperam.

(58) *Διά*. Καὶ διὰ Reg. Juxta hunc locum in margine Reg. et Bod. aliquis hoc scholion adnotavit: Διὰ μὲν τῶν περιστερῶν τὸ πολύγονον αἰνιττόμενος τοῦ γένους· διὰ δὲ τῶν τρυγόνων τὸ ἄζυγὲς καὶ ἀνεπίμικτον πρὸς τὰ μὴ ὁμογενῆ ἔθνη· τοιοῦτο γὰρ καὶ ἡ τρυγὼν, τοῦ ὁμοζύγου ἀπολωλότος, οὐκ ἔστιν ἔτι ἑτέρῳ συζυγῆναι τὸν ἐγκαταλειφθέντα.

(59) *Νεόσσια*. Νόσσια Bod.

(60) *Δούλοις μου*. Δουλεύουσί μοι. Bib. Græc.

(61) *Ἀλληγορῶν*. Nulli, opinor, alii pulli quærendi sunt in bonam partem in sacris Litteris, neque illi equini, sed asinini, quamvis in editione Antuerpiensi vertatur Zachariæ ix, *super subjugalem et* D *pullum equinum novum*, καὶ πῶλον νέον. Apsyrtus xvi *Geoponic.*: Φιλοκαλώτερον δὲ ποιοῦντές τινες, ταῖς θηλείαις ἵπποις ὑποβάλλουσι τοὺς τῶν ὄνων πώλους. Varro, *De re rustica* c. 6 de asinis: *Secundum partum pullos anno non removent a matre*. Dicitur ergo et de asinis, et de onagris, et de elephantis πῶλος et pullus. Adverte autem hic citari in loco Zachariæ δίκαιος πραΰς καὶ σώζων, cum sit in Antuerpiensi δίκαιος καὶ σώζων, nempe illud ex Evangelio Matthæi, ut et apud Justinum *Dialogo cum Tryphone*. Proverb. v, 19: *Cerva charissima et gratissimus hinnulus*. LXX: Ἔλαφος φιλίας, καὶ πῶλός σου χαρίτων ὁμιλείτω σοι. *Cerva amicitiæ et pullus gratiarum conversetur tecum*. Collect.

(62) *Ἀζυγεῖς*. Aliquis in margine Reg. annotavit ἀπὸ εὐθείας τῆς ἀζυγής.

(63) *Ἱπποζυγίους*. Scribe ὑποζυγίους, quos opponit τοῖς ἐλευθέροις. Itaque mox dicit ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον. Utriusque vocis vestigia apparent in Reg. ut etiam, teste Sylburgio in Pal. ms.

subjugales, qui *ad propinquorum uxores hinniunt, et feminarum insano amore tenentur* [70], sed liberos et recenter genitos, qui propter fidem exsultant, qui celeriter currunt ad veritatem, qui sunt veloces ad salutem, qui mundana proterunt et conculcant. *Lætare valde, filia Sion: annuntia, filia Jerusalem: ecce rex tuus venit tibi justus, mansuetus, et servans, et ipse mitis, et qui ascendit subjugalem et pullum novum* [71]. Non satis habuit solum dixisse *pullum*, sed etiam *novum* ei adjecit, humanitatis, quæ in Christo est, novitatem, et senii expertem cum simplicitate æternitatem ostendens. Tales autem nos novos pullos, qui infantes sumus, divinus noster alit pullorum domitor. Quod si asinus quoque novus est in Scriptura, pullus tamen est hic quoque asinus. *Et pullum*, ✠ inquit, *alligavit vineæ;* hunc simplicem et infantem populum Verbo alligans, quod vocat allegorice vitem. Fert enim vinum vitis, sicut Verbum sanguinem. Est autem utrumque poculentum hominibus ad salutem: vinum quidem corpori, sanguis vero spiritui. Quod autem nos quoque *agnos* dicit, fide dignus testis est Spiritus, loquens per Isaiam: *Sicut pastor pascet gregem suum, et brachio suo colliget agnos* [72]: ubi ovium tenerrimas, agnos vocat, simplicitatem allegorice significans. Atque adeo nos quidem certe earum, quæ sunt in vita, longe pulcherrimas et perfectissimas possessiones appellatione puerili honorantes, doctrinam et disciplinam, Græce παιδείαν et παιδαγωγίαν vocavimus. Pædagogiam autem esse confitemur bonam a pueris in virtute institutionem. Nobis itaque Dominus apertius ac evidentius revelans, quid ex appellatione puerorum significetur, cum orta esset quæstio inter apostolos, *quisnam ex eis major esset, statuit Jesus puellum in medio dicens: Qui se humiliaverit ut hic puellus, is major est in regno cælorum* [73]. Non ergo puerorum appellatione usus est, tanquam hi per ætatem essent inconsiderati, et ratione minime uti possent, quemadmodum nonnulli sensere: neque si dixerit, *nisi fueritis sicut hi puelli, non intrabitis in regnum Dei* [74], id inerudite

νεογνούς· τοὺς γαύρους διὰ τὴν πίστιν· τοὺς εἰς ἀλήθειαν εὐδρόμους· τοὺς ταχεῖς πρὸς σωτηρίαν· τοὺς καταπατοῦντας καὶ χροαίνοντας τὰ κοσμικά. *Χαῖρε σφόδρα, θύγατερ Σιών· κήρυσσε, θύγατερ Ἰερουσαλήμ· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος, πραΰς, καὶ σώζων· καὶ αὐτὸς πρᾶος καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον.* Οὐκ ἤρκει τὸν *πῶλον* εἰρηκέναι μόνον, ἀλλὰ καὶ τὸν *νέον* προσέθηκεν αὐτῷ, τὴν ἐν Χριστῷ νεολαίαν τῆς ἀνθρωπότητος, καὶ ἀγήρω μετὰ ἁπλότητος ἀϊδιότητα ἐμφαίνων. Τοιούτους δὲ ἡμᾶς νέους πώλους, τοὺς νηπίους, ὁ θεῖος ἡμῶν πωλοδάμνης ἀνατρέφει. Εἰ δὲ καὶ ὄνος εἴη ὁ νέος ἐν τῇ Γραφῇ, πλὴν ἀλλὰ πῶλος ὄνος καὶ οὗτος. *Καὶ τὸν πῶλον* (64), φησὶ, *προσέδησεν ἀμπέλῳ*· ἁπλοῦν (65) τοῦτον καὶ νήπιον λαὸν τῷ Λόγῳ προσδήσας, ὃν ἄμπελον ἀλληγορεῖ. Φέρει γὰρ οἶνον ἡ ἄμπελος, ὡς αἷμα ὁ Λόγος· ἄμφω δὲ ἀνθρώποις ποτὸν εἰς σωτηρίαν· ὁ μὲν οἶνος τῷ σώματι, τὸ δὲ αἷμα τῷ πνεύματι. Ὡς δὲ καὶ *ἄρνας* ἡμᾶς λέγει, ἐχέγγυος μάρτυς διὰ Ἡσαΐου τὸ Πνεῦμα· *Ὡς ποιμὴν, ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ, καὶ τῷ βραχίονι αὐτοῦ συλλέξει* (66) *ἄρνας*· τὸ ἔτι ἁπαλώτερον τῶν προβάτων εἰς ἀφέλειαν ἄρνας ἀλληγορῶν. Ἀμέλει καὶ ἡμεῖς τὰ κάλλιστα καὶ τελειότατα τῶν ἐν τῷ βίῳ κτημάτων, παιδικῇ προσηγορίᾳ τιμήσαντες, *παιδείαν* καὶ *παιδαγωγίαν* κεκλήκαμεν. Παιδαγωγίαν δὲ ὁμολογοῦμεν εἶναι ἀγωγὴν ἀγαθὴν ἐκ παίδων πρὸς ἀρετήν. Ἐμφαντικώτερον δ' οὖν ἡμῖν ἀποκαλύπτων ὁ Κύριος τὸ σημαινόμενον ἐκ τῆς παιδίων προσηγορίας, γενομένης ζητήσεως ἐν τοῖς ἀποστόλοις, *ὅστις αὐτῶν εἴη μείζων, ἔστησεν ὁ Ἰησοῦς ἐν μέσῳ παιδίον, εἰπών· Ὃς ἐὰν ἑαυτὸν ταπεινώσῃ ὡς τὸ παιδίον τοῦτο, οὗτος μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.* Οὐκ ἄρα καταχέχρηται τῇ τῶν παιδίων προσηγορίᾳ, ὡς ἀλογίστων ἡλικίᾳ, ᾗ τισιν ἔδοξεν· οὐδ' ἂν εἴπῃ, *ἢν μὴ γένησθε ὡς τὰ παιδία ταῦτα, οὐκ εἰσελεύσεσθε εἰς τὴν βασιλείαν τοῦ Θεοῦ*, ἀμαθῶς ἐκδεκτέον. Οὐκ ἄρ' ἔτι κυλιόμεθα οἱ νήπιοι χαμαί· οὐδὲ ἕρπομεν ὡς τὸ πρόσθεν ἐπὶ γῆς, ὄφεων δίκην (67) ὅλῳ τῷ σώματι περὶ τὰς ἀνοήτους ἐπι-

✠ P. 107 ED. POTTER, 87 ED. PARIS. [70] Jerem. v, 8. [71] Zach. IX, 9; Genes. XLIX, 11. [72] Isa. XL, 11. [73] Matth. XVIII, 1 seq. [74] Ibid.

(64) *Καὶ τὸν πῶλον.* Pulli ad vitem alligati aliam Theodoretus allegoriam affert, ut indicavi *Notationibus* ad Gregorii Naz. homiliam in *Nat. Christi*, p. 520. H. SYLBURG.—Justinus in *Dialogo cum Tryphone* pag. 67, hunc ipsum locum ita explicat: Τὸ δὲ αἷμα τῆς σταφυλῆς εἰπεῖν τὸν Λόγον, διὰ τῆς τέχνης δεδήλωκεν, ὅτι αἷμα μὲν ἔχει ὁ Χριστὸς οὐκ ἐξ ἀνθρώπου σπέρματος, ἀλλ' ἐκ τῆς τοῦ Θεοῦ δυνάμεως. *Quod autem dicit Verbum uvæ sanguinem, arte quadam declaravit sanguinem quidem habere Christum, non ex hominis semine, sed vi divinitatis.* S. Chrysostomus, hom. 67 in *Genes.*: Ὅρα πῶς ἂν ἡμῖν τὸ μυστήριον ἐνταῦθα ἠνίξατο· ἴσασιν οἱ μεμυημένοι τὸ λεγόμενον· *Πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν*, στολὴν, οἶμαι, τὸ σῶμα λέγων, ὃ διὰ τὴν οἰκονομίαν φορέσαι κατηξίωσεν· εἶτα, ἵνα μάθῃς ἀκριβῶς οἶνον τί προσηγόρευσεν, ἐπήγαγεν· *Καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ.* Ὅρα πῶς τῷ τοῦ αἵματος ὀνόματι τὴν σφαγὴν ἡμῖν, καὶ τὸν σταυρὸν ἠνίξατο, καὶ πᾶσαν τῶν μυστηρίων τὴν οἰκονομίαν. *Vide quo modo nobis sacramentum insinuavit* (vox *totum* non agnoscitur a Græco manuscripto). *Sciunt qui initiati sunt, quod dicitur: «Lavabit in vino stolam suam.» Stolam puto corpus dici, quod propter dispensationem ferre dignatus est. Deinde ut accurate discas vinum quid appellarit, subdit: «et in sanguine uvæ amictum suum.» Vide quomodo sanguinis nomine crucem nobis et occisionem significet, et omnem mysteriorum dispensationem.* Eadem ratione et pullum significare ait gentium adductionem et obedientiam, quod magnæ sit mansuetudinis sustinere se ad vitis palmitem ligari. Vide etiam Eusebium lib. VIII *De demonstrat.* cap. 1. COLLECT.

(65) *Ἁπλοῦν.* Pro hac voce in Pal. ms. erat spatium vacuum. SYLBURG. — Item in Bod. Deest etiam in Reg.

(66) *Συλλέξει.* Συνάξει, Bibl. Græc.

(67) *Ὄφεων δίκην.* Historiam Serpentis simili plane modo in allegoriam trahit Philo Judæus lib. II *Legis allegor.*, et aliis locis.

θυμίας ἰλυσπώμενοι· ἀνατεινόμενοι δὲ ἄνω τῇ ἐννοίᾳ, A κόσμῳ καὶ ἁμαρτίαις ἀποτεταγμένοι, ὀλίγῳ ποδὶ ἐφαπτόμενοι τῆς γῆς, ὅσον ἐν κόσμῳ εἶναι δοκεῖν, σοφίαν μεταδιώκομεν ἁγίαν· μωρία (68) δὲ αὕτη τοῖς εἰς πανουργίαν ἠκονημένοις δοκεῖ. Παῖδές οὖν εἰκότως, οἱ Θεὸν μόνον ἐγνωκότες πατέρα, ἀφελεῖς, καὶ νήπιοι, καὶ ἀκέραιοι, οἱ κεράτων μονοκεράτων (69) ἐρασταί. Τοῖς γοῦν προβεβηκόσιν ἐν τῷ Λόγῳ, ταύτην ἐπεκήρυξε τὴν φωνὴν, ἀφροντιστεῖν κελεύων τῶν τῇδε πραγμάτων, καὶ μόνῳ προσέχειν τῷ Πατρὶ παραινῶν, μιμουμένους τὰ παιδία. Διὸ κἂν τοῖς ἐχομένοις (70) λέγει· *Μὴ μεριμνᾶτε περὶ τῆς αὔριον· ἀρκετὸν γὰρ τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς*. Οὕτως ἀποθεμένους τὰς τοῦ βίου φροντίδας, ἐξέχεσθαι μόνου τοῦ Πατρὸς παραγγέλλει. Καὶ ὁ πληρῶν τὴν ἐντολὴν ταύτην, τῷ ὄντι νήπιός τέ ἐστι καὶ παῖς Θεῷ τε καὶ B τῷ κόσμῳ· τῷ μὲν (71), ὡς πεπλανημένος (72), τῷ δὲ, ὡς ἠγαπημένος. Εἰ δὲ *εἷς διδάσκαλος ἐν οὐρανοῖς*, ὥς φησιν ἡ Γραφή; ὁμολογουμένως οἱ ἐπὶ γῆς εἰκότως ἂν πάντες κληθήσονται μαθηταί· ἔχει γὰρ οὕτως τὸ ἀληθές· τὸ μὲν τέλειον εἶναι παρὰ τῷ Κυρίῳ, τῷ διδάσκοντι ἀεὶ, τὸ δὲ παιδικὸν καὶ νήπιον παρ' ἡμῖν, τοῖς ἀεὶ μανθάνουσι. Ταύτῃ τοι ἡ προφητεία τὸ τέλειον τῇ τοῦ ἀνδρὸς τετίμηκε προσηγορίᾳ. Καὶ διά γε τοῦ Δαβὶδ ἐπὶ μὲν τοῦ διαβόλου, *Ἄνδρα αἱμάτων*, φησὶ, *βδελύσσεται Κύριος*· ἄνδρα αὐτὸν; ὡς τέλειον ἐν κακίᾳ, καλεῖ. Λέγεται δὲ καὶ ὁ Κύριος *ἀνὴρ*, διὰ τὸ εἶναι αὐτὸν τέλειον ἐν δικαιοσύνῃ. Αὐτίκα γοῦν ὁ Ἀπόστολος, ἐπιστέλλων πρὸς Κορινθίους, φησίν· *Ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ*· C εἴτε ὡς νηπίους καὶ ἁγίους, πλὴν ἀλλὰ τῷ μόνῳ Κυρίῳ. Σαφέστατα δὲ, Ἐφεσίοις γράφων, ἀπεκάλυψε τὸ ζητούμενον, ὧδέ πως λέγων· *Μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ Θεοῦ* (73), *εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ· ἵνα μηκέτι ὦμεν νήπιοι, κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀνέμῳ τῆς διδασκαλίας, ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων, ἐν πανουργίᾳ πρὸς τὴν μεθοδείαν τῆς πλάνης· ἀληθεύοντες δὲ ἐν ἀγάπῃ, αὐξήσωμεν εἰς αὐτὸν τὰ πάντα*· ταῦτα λέγων εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ, ὅς ἐστι κεφαλὴ καὶ ἀνὴρ, ὁ μόνος ἐν δικαιοσύνῃ τέλειος· ἡμεῖς δὲ νήπιοι, τοὺς παραφυσῶντας (74) εἰς φυσίωσιν φυλα-

accipiendum est. Qui enim infantes sumus, humi non adhuc volutamur: neque ut antea, serpentum more, in terra serpimus, toto corpore in stultis cupiditatibus provoluti; sed mente **39** sursum erecti, mundoque et peccatis renuntiantes, suspenso pede eatenus solum terram tangentes, ut in mundo esse videamur, sanctam persequimur sapientiam. Hæc autem videtur esse stultitia iis, qui se ad calliditatem et versutiam exacuerunt. Jure ergo sunt pueri, qui Deum solum patrem noverunt, simplices et infantes, integri ac innocentes, qui sunt unicornium cornuum amatores. Iis itaque, qui in Verbo processerunt, hanc vocem annuntiavit, rerum ac negotiorum, quæ hic sunt, jubens curam abjicere, et suadens solum Patrem attendere, pueIlos imitantes. ✠ Et ideo dicit in iis, quæ consequuntur: *Ne sitis solliciti de crastino, sufficit enim diei malitia sua* [75]. Ita curis hujus vitæ depositis, soli Patri adhærere præcipit. Qui autem hoc implet præceptum, revera infans ac puer Deo est, et mundo: huic quidem, tanquam seductus ac errabundus; illi vero, tanquam dilectus. Jam vero, si *unus est*, ut dicit Scriptura, *magister in cœlis* [76]; in confesso est, qui in terra sunt, omnes appellari discipulos. Ita enim habet veritas; id quidem quod est perfectum, esse apud Dominum, qui semper docet: quod puerile autem est et infantile, apud nos, qui semper discimus. Porro autem itidem prophetia id, quod perfectum est, honoravit *viri* appellatione. Et per David quidem, de diabolo, *Virum*, inquit, *sanguinum abominatur Dominus* [77]. Virum vocat, ut qui sit perfectus in vitio. Dicitur *vir* quoque Dominus, ut qui sit perfectus in justitia. Ecce enim Apostolus ad Corinthios scribens, dicit: *Despondi enim vos uni viro virginem castam exhibere Christo* [78]; sive tanquam infantes et sanctos, veruntamen soli Domino. Ad Ephesios autem scribens, apertissime revelavit, quod quæritur, dicens hoc modo: *Donec occurramus omnes in unitatem fidei et agnitionis Dei in virum perfectum, in mensuram ætatis plenitudinis Christi, ut non simus amplius infantes, qui fluctibus agitemur, et circumferamur omni vento doctrinæ, in præstigiis hominum, in versutia ad insidias erroris; vera autem dicentes in dilectione, augeamus in ipsum omnia* [79]: hæc dicens

✠ P. 108 ED. POTTER, 88 ED. PARIS. [75] Matth. vi, 34. [76] Matth. xxiii, 8 seq. [77] Psal. v, 7. [78] II Cor. xi, 2. [79] Eph. iv, 13, 14, 15.

(68) *Μωρία*. Respicit I Cor. ii, 14: *Μωρία γὰρ αὐτῷ ἐστι*, sc. S. Spiritus sapientia; et psal. LI, 4: *Ὡσεὶ ξυρὸν ἠκονημένον ἐποίησε δόλον*.

(69) *Μονοκεράτων*. Μονοκερώτων Reg. recte. Nam a μονόκερως fit μονοκερώτων. Psal. xxi, 22: *Σῶσον... ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου*. Psal. xci, 11: *Ὑψωθήσεται ὡς μονοκέρωτος τὸ κέρας μου*. Ad quem locum Theodoretus, pag. 796, ea dicit, quæ Clementi explicando inservire possunt. Ea recitavit Suidas: Μονόκερως· ζῶον, ὃ παρὰ τῆς φύσεως ἓν κέρας ἔλαβεν· οὕτω καὶ οἱ τῆς εὐσεβείας τρόφιμοι μίαν προσκυνοῦσι θεότητα. Δαβίδ· *Καὶ ὑψωθήσεται ὡς μονοκέρωτος τὸ κέρας μου*. Unicornis. *Animal, quod unicum cornu a natura accepit. Sic et pietatis alumni unum adorant* D *numen. David: « Et cornu meum extolletur ut unicornis. »*

(70) *Τοῖς ἐχομένοις*. Memoria lapsus est. Nam ea, quæ recitat, non ἐν τοῖς ἐχομένοις, *deinceps*, occurrunt, sed alio loco.

(71) *Τῷ μὲν... τῷ δέ*. Pal. ms. ᾧ μὲν... ᾧ δέ. Sed vulgata lectio convenientior, hoc quidem in loco. Sylburg.

(72) *Ὡς πεπλανημένος*. Id est, qui quoad hujusce mundi res πλανᾶται, *errat* ac decipitur. Vel, qui *hospes*, et quasi *erro*, est in hoc mundo. Suidæ πλανήτης est ξένος.

(73) *Τοῦ Θεοῦ*. *Τοῦ Υἱοῦ τοῦ Θεοῦ*, Ephes. iv.

(74) *Τοὺς παραφυσῶντας*. Conf. Coloss. ii, 18; Ephes. iv, 14.

ad ædificationem corporis Christi, *qui est caput et vir*, qui solus in justitia perfectus; nos autem infantes, qui ad inflationem nos sufflant, hæresium ventos vitantes, et iis, qui nos aliter docent quam patres, fidem non habentes, tunc perfecti efficimur quando sumus Ecclesia, capite, Christo scilicet, recepto. Hic autem par est attendere, appellationem hujus vocabuli νήπιος, quod infantem significat, ut intelligatur τὸ νήπιον non dici de insipientibus. Qui est enim insipiens, dicitur νηπύτιος; νήπιος autem, qui est νεήπιος; nam ἤπιος dicitur, qui est leni ac molli animo. Quo fit, ut is dicatur νήπιος, qui *lenis* ac mansuetus ✠ *recenter* evasit. Hoc autem manifestissime significavit beatus Paulus, dicens : *Cum possemus oneri esse sicut Christi apostoli, fuimus mites in medio vestri, sicut nutrix fovet filios suos* [80]. Mitis ergo est infans, et ea ratione magis mollis, et tener ac simplex, doli ac fraudis expers, et remotus a simulatione, rectoque et integro animo. Hoc autem simplicitatis ac veritatis est fundamentum. *Super quem enim*, inquit, *respiciam, nisi super mansuetum et quietum* [81]? Talis enim est sermo virginalis, mollis et minime fictus. Unde etiam virginem *mollem sponsam*, et puerum *mollis animi*, vocare consuevimus. Sumus autem nos molles, qui per-

A ξάμενοι τῶν *αἱρέσεων* ἀνέμους, καὶ μὴ καταπιστεύοντες τοῖς ἄλλως ἡμῖν νουθετοῦσι πατέρας (75), τελειούμεθα τότε, ὅτε ἐσμὲν Ἐκκλησία, τὴν κεφαλὴν τὸν Χριστὸν ἀπειληφότες. Ἐνταῦθα ἐπιστῆσαι δίκαιον τῇ προσηγορίᾳ *τοῦ νηπίου* (76), ὅτι οὐκ ἐπὶ ἀφρόνων τάττεται *τὸ νήπιον· νηπύτιος* μὲν γὰρ οὗτος· *νήπιος* δὲ *ὁ νεήπιος*· ὡς *ἤπιος* ὁ ἁπαλόφρων, οἷον *ἤπιος* νεωστὶ καὶ πρᾶος τῷ τρόπῳ γενόμενος. Τοῦτό τοι (77) σαφέστατα ὁ μακάριος Παῦλος ὑπεσημήνατο εἰπών· *Δυνάμενοι ἐν βάρει εἶναι ὡς Χριστοῦ ἀπόστολοι, ἐγενήθημεν* (78) *ἤπιοι* (79) *ἐν μέσῳ ὑμῶν, ὡς ἂν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα*. Ἤπιος οὖν ὁ νήπιος, καὶ ταύτῃ μᾶλλον ἀταλὸς (80), ἁπαλὸς καὶ ἁπλοῦς, καὶ ἄδολος καὶ ἀνυπόκριτος, ἰθὺς τὴν γνώμην καὶ ὀρθός· τὸ δέ ἐστιν
B ἁπλότητος καὶ ἀληθείας ὑπόστασις· *Ἐπὶ τίνα γὰρ*, φησὶν, *ἐπιβλέψω, ἢ ἐπὶ τὸν πρᾶον* (81) *καὶ ἡσύχιον;* Τοιοῦτος γὰρ ὁ παρθένιος λόγος, ἀταλὸς καὶ ἄπλαστος· διὸ καὶ τὴν παρθένον ἀταλὴν νύμφην (82), καὶ τὸν παῖδα *ἀταλόφρονα* κεκλῆσθαι ἔθος· ἀταλοὶ δὲ ἡμεῖς, οἱ ἁπαλοὶ πρὸς πειθὼ, καὶ εὐέργαστοι πρὸς ἀγαθωσύνην, ἄχολοί τε καὶ ἀνεπίμικτοι κακοφροσύνῃ καὶ σκολιότητι· ἡ μὲν γὰρ *γενεὰ* (83) ἡ *παλαιὰ σκολιὰ* καὶ *σκληροκάρδιος*, χορὸς δὲ νηπίων, *ὁ καινὸς* ἡμεῖς *λαός*, τρυφερὸς ὡς παῖς. Ἐπὶ δὲ ταῖς καρδίαις

[80] I Thess. II, 6, 7. [81] Isa. LXVI, 2.

✠ P. 109 ED. POTTER, 89 ED. PARIS.

(75) *Πατέρας*. Pal. ms. a vulg. editt. nihil differt, nisi quod abbreviate habet πράς· qui casus stare non potest, nisi, adverbio in nomen verso legas, μὴ καταπιστεύοντες τοῖς ἄλλους ἡμῖν νουθετοῦσι πατέρας, *non credentes iis, qui alios mentibus nostris ingerunt patres*. Hervetus interpres legit, τοῖς ἄλλως ἡμᾶς νουθετοῦσιν ἢ πατέρες, *non fidem habentes iis, qui nos aliter docent quam parentes*. SYLBURG. — In Reg. ms. aliquis super πατέρας scripsit πατράσι, *patribus:* ut sensus sit, *fidem non habentes iis patribus*, seu patrum auctoritatem sibi arrogantibus, *qui nos aliter docent*.

(76) *Νηπίου*. Hesychius tamen, Νηπύτιον, νήπιον, ἄφωνον. At Eustathius in *Iliad*. E, v. 932: Νηπύτιος, ὁ μὴ φρονῶν, ἀλλ' ἐστερημένος τοῦ πεπνύσθαι καὶ πινυτότητος, ἤγουν φρονήσεως. Sed et νήπιον addit posse deduci inde cum significat insipientem, quasi dicatur per contractionem quamdam pro νηπύτιος. Suidas vero etymologiam sinceram tradit : Νήπια τὰ βρέφη, παρὰ τὸ *νὴ* στερητικὸν καὶ τὸ *ἔπος*, a privativa νή et nomine ἔπος, quod nondum fari possint, ut infantes Latine; alii deducunt quasi valde benignum νὴ ἤπιον, vel etiam quasi νήδιον, vel etiam quasi νέον πῖον. Sed, ut diximus alibi, hæc etymologias quærendi ratio lubrica est, et sæpe argumento, et τῇ ὑποθέσει in ea servimus, non Grammatico veriloquio. COLLECT. — Etymologici auctor: Νήπιος παρὰ τὸ *ἤπιος*, πλεονασμῷ τοῦ ν, ὁ πρᾶος καὶ προσηνής. Mox, ἢ ἤπιον, πρᾶον, καὶ μὴ ἔχον ὀργήν. Suidas deducit a *νὴ* ἐπιτατικὸν καὶ τὸ *ἤπιον*· ut νήπιον sit τὸ παρὰ δέον ἤπιον, *id quod mansuetius est quam oportet*. Mox scribendum, ὡς νήπιος ὁ ἀπαλόφρ.

(77) *Τοῦτό τοι*. Τοῦτό σοι, *hoc tibi*. Pal. ms. SYLBURG.

(78) *Ἐγεννήθημεν*. Ἀλλ' ἐγεν. Thess.

(79) *Ἤπιοι*. Νήπιοι Bod. Reg. Quam lectionem sensus exigere videtur; nam e Pauli verbis colligit Clemens, νήπιον esse eum, qui ἤπιος, *mansuetis* moribus est. Νήπιοι habent alii præterea plures, quos memorat Cl. Millius.

(80) *Ἀταλός*. Hesychius, Ἀταλά, νήπια, ἁπαλά. Ἀταλοῖς, νηπίοις, ἁπαλοῖς, ἁπλοῖς. Ἀταλόφρονα, νήπια, ἁπαλόφρονα.

(81) *Πρᾶον*. Ταπεινόν Bib. Græc.

C (82) *Ἀταλὴν νύμφην*. Ἁπαλὴν νύμφ. Flor. Sed ἀταλὴν νύμφην scribendum potius videtur, ut mox παῖδα ἀταλόφρονα· aut ut ἁπαλὴν νύμφην in priore, sic in posteriore item παῖδα ἁπαλόφρονα legendum. Editio Florentina ἁπαλάφρονα, Pal. ms. ἀταλάφρονα habet, utrobique α in tertia syllaba posito pro ο. sicut et *Iliad*. Z, v. 400 :

Παῖδ' ἐπὶ κόλπον ἔχουσ' ἀταλάφρονα, νήπιον αὔτως·

contra compositionis normam usitatam. per allusionem ad adverbium, quo idem Homerus soluta compositione utitur, *Il*., Σ, *ἠΐθεοι ἀταλὰ φρονέοντες*· et Hesiod., παῖδ' ἀταλὰ φρονέοντα· quæ sententia ut Eustathio placuit, ita Hesychius maluit regulare ἀταλόφρονα. Est autem ἀταλός magis in prosa usitatum : et illud quidem, derivatum ab ἀτάλλειν, hoc vero compositi formam gerit quasi οὐ παλαίων, absque obluctatione obsequentem ac morigerum se præbens. SYLBURG. — Ἁπαλὴν νύμφην. *Virginem*
D *teneram sponsam*. Vulgata Lexica docent ab Apollonio νύμφας vocari puellas. Jam vero Synesius ita locutus est initio hymnorum,

Ἁπαλαῖς οὐκ ἐπὶ νύμφαις,
Ἀφροδίσιον γελώσαις.

Teneras non in virgines,
Venustum ridentes.

Eustathius in *Il*., Λ, v. 834 : Οὐ μόνον ἦτορ ἁπαλὸν, ἀλλὰ καὶ ἁπαλαὶ φρένες. Hesiodus sub finem *Theog*. παῖδ' ἁπαλὰ φρονέοντα vocat Phaethontem Cephali filium, et apud Pollucem inter comicas personas est ἁπαλὸς νεανίσκος, λευκὸς, σκιατροφίας ἁπαλότητα δηλῶν. *Juvenis tener, albus, educationis in umbra teneritatem præ se ferens*. COLLECT. — Ἀταλάφρονα Reg. Dein, Ἀταλοὶ δὲ ἡμεῖς Reg., Bod. Mox, ἄλοχοι pro ἄχολοι, Reg.

(83) *Γενεά*. Judæi dicuntur γενεὰ σκολιά et σκληροκάρδιος Act. II, 40; Philip. II, 15; Matth. XII, 39;

τῶν ἀκάκων ἐν τῇ πρὸς Ῥωμαίους Ἐπιστολῇ χαίρειν ὁ Ἀπόστολος ὁμολογεῖ· καὶ δὴ ὅρον τινὰ νηπίων, ὡς εἰπεῖν, ἀποδίδωσιν, εἰπών· *Θέλω δὲ ὑμᾶς σοφοὺς εἶναι εἰς τὸ ἀγαθὸν, ἀκεραίους δὲ εἰς τὸ κακόν*. Καὶ γὰρ οὐδέ ἐστι τὸ ὄνομα *τοῦ νηπίου*, κατὰ στέρησιν ἡμῖν νοούμενον, ἐπεὶ τὸ *νὴ* στερητικὸν γραμματικῶν νομοθετοῦσι παῖδες. Εἰ γὰρ (84) ἄφρονας ἡμᾶς οἱ τῆς νηπιότητος κατατρέχοντες καλοῦσιν, ὁρᾶτε πῶς βλασφημοῦσιν ἐπὶ τὸν Κύριον, τοὺς εἰς Θεὸν καταπεφευγότας, ἄφρονας ὑπολαμβάνοντες· εἰ δὲ, ὅπερ καὶ μᾶλλον ἐξακουστέον, τοὺς νηπίους καὶ αὐτοὶ ἐπὶ τῶν ἁπλῶν ἐκδέξονται, χαίρομεν τῇ προσηγορίᾳ· νήπιαι γὰρ αἱ νέαι φρένες εἰσὶν ἐν παλαιᾷ τῇ ἀφροσύνῃ, αἱ νεωστὶ συνεταὶ, αἱ κατὰ τὴν Διαθήκην τὴν Καινὴν ἀνατείλασαι. Ἔναγχος γοῦν (85) ἔγνωσται ὁ Θεὸς κατὰ τὴν Χριστοῦ παρουσίαν. *Θεὸν γὰρ οὐδεὶς ἔγνω, εἰ μὴ ὁ Υἱὸς, καὶ ᾧ ἂν ὁ Υἱὸς ἀποκαλύψῃ*. Νέοι τοίνυν ὁ *λαὸς ὁ καινὸς* πρὸς ἀντιδιαστολὴν τοῦ πρεσβυτέρου λαοῦ, τὰ νέα μαθόντες ἀγαθά· καὶ ἔστιν ἡμῖν τὸ οὖθαρ τῆς ἡλικίας ἡ ἀγήρως αὕτη νεότης, ἐν ᾗ πρὸς νόησιν ἀεὶ ἀκμάζομεν, ἀεὶ νέοι, καὶ ἀεὶ ἤπιοι, καὶ ἀεὶ καινοί· χρὴ γὰρ εἶναι καινοὺς τοὺς Λόγου καινοῦ (86) μετειληφότας. Τὸ δὲ ἀϊδιότητος μετειληφὸς ἐξομοιοῦσθαι φιλεῖ τῷ ἀφθάρτῳ· ὡς εἶναι ἡμῖν τῆς παιδικῆς ἡλικίας τὴν προσηγορίαν ἔαρ παντὸς τοῦ ζῆν, διὰ τὸ (87) ἀγήρω εἶναι τὴν ἐν ἡμῖν ἀλήθειαν, καὶ τῇ ἀληθείᾳ τὸν ἀνακεχυμένον ἡμῶν τρόπον. Σοφία δὲ ἀειθαλὴς, ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχουσα, καὶ οὔ ποτε μεταβάλλουσα. *Τὰ παιδία*, φησὶν, *αὐτῶν ἐπ' ὤμων ἀρθήσονται, καὶ ἐπὶ γονάτων παρακληθήσονται· ὡς εἴ τινα μήτηρ παρακαλέσει, οὕτως κἀγὼ ὑμᾶς παρακαλέσω*. Ἡ μήτηρ προσάγεται τὰ παιδία, καὶ ἡμεῖς ζητοῦμεν τὴν μητέρα τὴν Ἐκκλησίαν. Τὸ μὲν τοίνυν καὶ ἀσθενὲς καὶ ἁπαλὸν ἅπαν, ἅτε δι' ἀσθένειαν ᾗ βοηθείας δεόμενον, κεχαρισμένον τέ ἐστι, καὶ ἡδὺ, καὶ τερπνὸν, τοῦ θυμικοῦ ἱσταμένου (88) τοῦ τηλικῷδε τὴν βοήθειαν· ὡς γὰρ οἱ πατέρες καὶ αἱ μητέρες ἥδιον ὁρῶσι τῶν μὲν ἵππων τοὺς πώλους, τῶν δὲ βοῶν τὰ μικρὰ μοσχάρια, καὶ λεόντων σκύμνον, καὶ ἐλάφου νεβρὸν, καὶ ἀνθρώπου παιδίον· οὕτω (89) καὶ τῶν ὅλων ὁ Πατὴρ τοὺς εἰς αὐτὸν (90) καταπε-

A suasioni non reluctamur, et a bonitate non difficulter colimur, bileque vacui, et malitia ac perversitate minime permisti sumus. Vetus enim *generatio perversa* est et *duro corde*. Chorus autem infantium, nos, inquam, qui sumus *novus populus*, mollis est, et delicatus ut puer. Propter innocentum autem corda, fatetur se gaudere Apostolus in Epistola ad Romanos, et quamdam, ut ita dicam, infantium definitionem tradit, dicens : *Volo autem vos sapientes quidem esse ad bonum, simplices autem ad malum* [81]. Neque enim nomen τοῦ νηπίου a nobis intelligitur per privationem, quamvis a grammaticis statuitur νὴ esse privativam particulam. Si qui enim infantiam insectantes, nos vocant insipientes, videte quomodo Dominum blasphemiis et maledi- B ctis impetunt, dum eos existimant insipientes, qui ad Deum confugerunt. Sin autem, quod magis quoque intelligendum est, ipsi de simplicibus infantes acceperint, gaudemus appellatione. Infantes enim sunt mentes novæ in veteri insipientia, quæ nuper evaserunt prudentes, quæ secundum Novum Testamentum exortæ sunt. Quippe cum Deus per Christi adventum nuper cognitus sit. *Deum enim nemo novit nisi Filius, et cui Filius revelaverit* [82]. Juvenes ergo *populus novus*, ut distinguantur a veteri populo, ii sunt, qui nova bona didicerunt : et est ※ nobis uber ætatis ipsa juventus expers senii, in qua semper vigemus ad intelligentiam et mentis agitationem, semper juvenes, et semper mansueti, et C semper recentes ac novi. Oportet enim novos esse, qui Novi Verbi fuerunt participes. Quod autem æternitatis est particeps, ei, quod est incorruptum, solet assimilari : ut puerilis ætatis appellatio sit nobis ver totius vitæ, propterea quod sit senii expers, quæ est in nobis veritas, et mores nostri, qui sunt veritate perfusi : Sapientia autem semper germinans, quæ semper similiter et eodem modo se habet, et nunquam mutatur : *Puelli*, inquit, *eorum super humeros tollentur, et super genua consolationem accipient ; perinde ac si mater aliquem console-*

※P. 110 ED. POTTER, 90 ED. PARIS. [81] Rom. XVI, 19. [82] Matth. XI, 27; Luc. X, 22.

Marc. VIII, 38. Christiani, *novus populus*, II Cor. V, 17, et alias sæpe καινὴ κτίσις, καινὸς ἄνθρωπος, καινὴ Διαθήκη.

(84) *Εἰ γάρ*. Οἱ γάρ Bod. Reg.

(85) *Γοῦν*. Οὖν Reg. Mox, κατὰ τὴν τοῦ Χριστοῦ. Idem.

(86) *Λόγου καινοῦ*. Hoc repositum e Pal. ms. In Flor. edit. perperam est χρὴ γὰρ εἶναι καινοὺς τοὺς λόγους, καινοῦ μετειληφότας, SYLBURG. Καινοῦ λόγου Bod., κοινοῦ λόγου Reg. Sed super priorem syllabam τοῦ κοινοῦ aliquis scripsit καί.

(87) *Τό*. Τοῦ, Reg.

(88) *Τοῦ θυμικοῦ ἱστ*. Paulo melius, τοῦ θυμικοῦ ἱσταμένου τῷ τηλικῷδε τὴν βοήθειαν, seu εἰς βοήθειαν. Hervetus vertit, *animosa animi parte ei, quod est tantillum, auxilium ferente*. SYLBURG. Nullo modo satisfaciunt in loci hujus emendatione viri eruditi. Nam quid sibi volunt illa, quæ hic afferunt? Ostendit Clemens, omne illud, quod est imbecille per ætatem, omnibus jucundum esse et gratum : iram quoque nostram, cum in tales intuemur, in auxilium converti, καὶ βοήθειαν. Scribe, Τὸ μὲν τοίνυν καὶ ἀσθενὲς καὶ ἁπαλὸν ἅπαν, ἅτε δι' ἀσθένειαν, ᾗ βοηθείας δεόμενον, κεχαρισμένον τέ ἐστι, καὶ ἡδὺ, καὶ τερπνόν· τοῦ θυμικοῦ, vel, καὶ τοῦ θυ- D μικοῦ, μεθισταμένου τῷ τηλικῷδε εἰς βοήθειαν. Quod planum est et expeditum. HEINSIUS. — In margine Bod. et Reg. aliquis hæc verba sic emendavit, τοῦ Θεοῦ μὴ περιισταμένου τῷ τηλικῷδε τὴν βοήθειαν, *Deo huic tantulo auxilium non detrectante*. Scribi etiam possit, τοῦ Θεοῦ περιισταμένου τῷ τηλικῷδε τὴν βοήθειαν, *Deo quidem hunc tantulum auxilio circumdante*. Tum optime sequetur, quod sicut in omni animalium genere parentes liberos amore complectuntur, οὕτω καὶ τῶν ὅλων ὁ Πατὴρ τοὺς εἰς αὐτὸν καταπεφευγότας προσίεται, *sic universorum Pater eos recipit, qui ad ipsum confugiunt*. Et quidem θῦ μέν, quo modo θεοῦ μέν in mss. codd. scribi solet, per librariorum negligentiam in θυμικοῦ facile transire potuit.

(89) *Οὕτω*. Οὕτως, Bod. Reg.

(90) *Εἰς αὐτόν*. A. mavult Attice ὡς αὐτόν *ad ipsum*. Mox haud scio an νηπίους οἶδε, *infantes novit*, verius sit quam ἠπίους οἶδε. SYLBURG.

tur, ita ego quoque consolabor [84]. Mater quidem ad se pueros adducit, et nos matrem **40** quærimus Ecclesiam. Quidquid itaque est imbecillum et tenerum, ut quod propter imbecillitatem auxilio egeat, gratum est, jucundum et delectabile, animosa animæ parte ei, quod est tantillum, auxilium ferente. Quemadmodum enim patres et matres lubentius vident, equorum quidem, pullos; boum vero, parvos vitulos; et leonum, leonculum; et cervi hinnulum; et hominis, puellum : ita etiam universorum Pater eos, qui ad ipsum confugiunt, recipit, et in filiorum adoptionem Spiritu regeneratos novit mansuetos, et eos solos diligit, eisque fert auxilium, et pro eis pugnat, eosque defendit : et ideo *puellum* nominat. Ego vero Isaac quoque ad puerum refero. Isaac, *risus* exponitur. Eum vidit ludentem cum uxore et auxiliatrice Rebecca rex curiosus [85]. Rex autem, cui nomen erat Abimelech, mihi ✠ videtur esse quædam supramundana sapientia, quæ ludi considerabat mysterium. Interpretantur autem Rebeccam, tolerantiam. O prudentem ludum! Risus et a tolerantia adjuvatus : et rex spectator est : gaudet vero et exsultat spiritus eorum, qui sunt puelli in Christo, qui in tolerantia vitam agunt. Et hic est divinus ludus. Talem ludum ludere suum Jovem, dicit Heraclitus. Quid enim aliud vero sapienti et perfecto magis convenit, quam ludere et collætari cum honestarum rerum tolerantia, et bonorum administratione, dies festos cum Deo cele-

A φευγότας προσίεται· καὶ ἀναγεννήσας Πνεύματι εἰς υἱοθεσίαν, ἠπίους οἶδε· καὶ φιλεῖ τούτους μόνους, καὶ βοηθεῖ καὶ ὑπερμαχεῖ· καὶ διὰ τοῦτο ὀνομάζει *παιδίον*. Ἐγὼ (91) καὶ τὸν Ἰσαὰκ εἰς παῖδα ἀναφέρω· *γέλως* ἑρμηνεύεται ὁ Ἰσαάκ. Τοῦτον ἑώρακε παίζοντα (92) μετὰ τῆς γυναικὸς καὶ βοηθοῦ, τῆς Ῥεβέκκας, ὁ περίεργος βασιλεύς. Βασιλεύς μοι δοκεῖ· Ἀβιμέλεχ ὄνομα αὐτῷ· σοφία τις εἶναι ὑπερκόσμιος, κατασκοποῦσα τῆς παιδείας τὸ μυστήριον· Ῥεβέκκαν (93) δὲ ἑρμηνεύουσιν ὑπομονήν. Ὦ τῆς φρονίμου παιδείας· γέλως καὶ δι' ὑπομονῆς βοηθούμενος· καὶ ἔφορος, ὁ βασιλεύς. Ἀγαλλιᾶται τὸ Πνεῦμα τῶν ἐν Χριστῷ παιδίων, ἐν ὑπομονῇ πολιτευομένων· καὶ αὕτη ἡ θεία παιδεία. Τοιαύτην τινὰ παίζειν παιδείαν τὸν ἑαυτοῦ Δία, Ἡράκλειτος λέγει. Τί γὰρ ἄλλο εὐπρεπὲς ἔργον
B σοφῷ καὶ τελείῳ, ἢ παίζειν καὶ συνευφραίνεσθαι τῇ (94) τῶν καλῶν ὑπομονῇ, καὶ τῇ διοικήσει τῶν καλῶν, συμπανηγυρίζοντα τῷ Θεῷ; ἔστι καὶ ἄλλως ὑπολαβεῖν τὸ ὑπὸ τῆς προφητείας μηνυόμενον, χαίροντας ἡμᾶς καὶ γελῶντας ἐπὶ σωτηρίᾳ, ὡς τὸν Ἰσαάκ. Ἐγέλα δὲ κἀκεῖνος τοῦ θανάτου λελυμένος (95), παίζων καὶ ἀγαλλιώμενος σὺν τῇ νύμφῃ, τῇ εἰς σωτηρίαν ἡμῶν βοηθῷ, τῇ Ἐκκλησίᾳ, ᾗ *Ὑπομονὴ* ὄνομα πάγιον τέθειται· ἤτοι ἐπεὶ μόνη αὕτη εἰς τοὺς αἰῶνας μένει χαίρουσα ἀεί· ἢ (96) ἐξ ὑπομονῆς τῶν πιστευόντων συνέστηκεν, οἵ ἐσμεν μέλη Χριστοῦ· καὶ ἡ τῶν εἰς τέλος ὑπομεινάντων μαρτυρία, καὶ ἡ ἐπὶ τούτοις εὐχαριστία· αὕτη δέ ἐστιν ἡ μυστικὴ παιδεία (97), καὶ ἡ σὺν τῇ σεμνῇ θυμη-

✠ P. 111 ED. POTTER, 90-91 ED. PARIS.

C [84] Isa. LXVI, 12, 13. [85] Gen. XXVI, 7.

(91) *Ἐγώ*. Hæc Clemens sumpsit e fine libri Philonis Judæi *De plantatione Noe*, pag. 238 : Κατὰ γοῦν τὸν ἱερώτατον Μωϋσῆν τέλος ἐστὶ σοφίας παιδιὰ καὶ γέλως, ἀλλ' οὐχ ἃ τοῖς νηπίοις ἄνευ φρονήσεως καὶ παισὶ μελετᾶται, ἀλλὰ τοῖς ἤδη πολιοῖς, οὐ χρόνῳ, ἀλλὰ καὶ βουλαῖς ἀγαθαῖς γεγονόσιν. Οὐχ ὁρᾷς, ὅτι τὸν αὐτηκόου, καὶ αὐτομαθοῦς, καὶ αὐτουργοῦ τῆς ἐπιστήμης ἀρυσάμενον, οὐ μετέχοντα γέλωτος, ἀλλ' αὐτὸν εἶναι γέλωτά φησιν; Οὗτός ἐστιν Ἰσαὰκ, ὃς ἑρμηνεύεται *γέλως*, ὃν παίζειν μετὰ τῆς ὑπομονῆς, ἣν Ῥεβέκκαν Ἑβραῖοι καλοῦσιν, ἁρμόττει. Τὴν δὲ θείαν παιδιὰν τῆς ψυχῆς ἰδιώτῃ μὲν οὐ θέμις ἰδεῖν, βασιλεῖ δὲ ἔξεστιν, ᾧ πάμπολυν χρόνον παρῴκησεν, εἰ καὶ μὴ πάντ' ἐνῴκησεν τὸν αἰῶνα, σοφία. Προσαγορεύεται οὗτος Ἀβιμέλεχ· ὃς διακύψας τῇ θυρίδι, τῷ διοιχθέντι καὶ φωσφόρῳ τῆς διανοίας ὄμματι, τὸν Ἰσαὰκ εἶδε παίζοντα μετὰ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ. Τί γὰρ ἄλλο ἐμπρέπει ἔργον σοφῷ ἢ τὸ παί-
D ζειν, καὶ γανοῦσθαι, καὶ συνευφραίνεσθαι τῇ τῶν καλῶν ὑπομονῇ; *Certe juxta sanctissimi Moysis opinionem sapientiæ finis lusus et risus est, non iste, quo pueri ac infantes delectantur, sed quo homines cani, qui non tam tempore, quam bonis consiliis consenuerunt. Non vides, quod illum a nemine alio quam a seipso præceptore scientiam, in qua sese exerceret, edoctum, non risibilem, sed ipsum risum dicit? Is est Isaac, qui* risus *explicatur, quem convenit ludere cum* tolerantia, *Rebecca Hebræis nominata. Divinum autem lusum animo plebeio non est fas videre, soli regi licet, cum quo diu habitavit, etiamsi non toto ævo, sapientia. Is appellatur Abimelech, qui prospiciens per fenestram, scilicet apertum et luciferum mentis oculum, vidit Isaac ludentem cum Rebecca uxore sua. Quod enim aliud negotium sapientem decet, quam ludere, gaudere, hilarescere cum honesta tolerantia?* Hinc præterea clarum est, per hanc totam periochen Clementis, παιδιᾶς, *lusus*, vocem semper substitui debere pro παιδείᾳ, *doctrina*.

(92) *Τοῦτον ἑώρακε παίζοντα*. Alludit ad locum Geneseos (XXVI, 7) : *Καὶ παρακύψας Ἀβιμέλεχ ὁ βασιλεὺς Γεράρων διὰ τῆς θυρίδος, εἶδε τὸν Ἰσαὰκ παίζοντα μετὰ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ*. Unde facile apparet, in sequentibus ubique legendum esse, παιδιᾶς, et παιδιά, non autem παιδείας. Quanquam autem Clemens lusum istum patriarchæ cum uxore, ἐς τὸ μυστικόν τι, suo more, καὶ τὸν ἀναγωγικόν trahit sensum, recte scholiastes Græcus notat, εὐσχημόνως esse dictum. Neque enim, sicut recte quoque notat divus Augustinus, simplicem fuisse oportet lusum, sed qui aliquid a carne traheret, e quo rex cognosceret, uxorem ejus esse, quod dissimularat patriarcha. *Quid enim* (inquit ille contra Faustum) *absurdum, imo quid non convenienter futurorum prænuntiationi accommodatum, si propheta Dei carnale aliquid lusit, ut eum caperet affectus uxoris, cum ipsum Verbum Dei caro factum sit, ut habitaret in nobis?* Memento igitur, scribendum quoque esse in sequentibus, καὶ αὕτη ἡ θεία παιδιά· τοιαύτην τινὰ παίζειν παιδιὰν τὸν ἑαυτοῦ Δία, Ἡράκλειτος λέγει. HEINSIUS.

(93) *Ῥεβέκκαν*. Conf. *Str.* I, p. 284, et quæ ibi adnotata sunt.

(94) *Τῇ*. Hanc particulam, quam inseruit Sylburgius, omittunt omnes mss.

(95) *Θανάτου λελυμένος*. Mortem intelligit, quam Rebeccæ gratia Isaac sibi ab Abimelecho timebat, Gen. XXVI, 7, etc. : proinde Rebecca ei erat εἰς σωτηρίαν βοηθός, quod de Ecclesia dicit auctor, cujus typum gessisse Rebeccam putat.

(96) *Ἤ*. Disjunctivam ἢ habet etiam Pal. ms., et Hervetus interpres, sed forsan convenientius relativa ᾗ, *quæ*. SYLB.

(97) *Παιδεία*. Scribe παιδιά, ut superius.

δίᾳ βοηθοῦσα σωτηρία. Ὁ γοῦν βασιλεὺς ὁ Χριστὸς, ἄνωθεν ἡμῶν ἐπισκοπεῖ τὸν γέλωτα, καὶ διακύψας (98) τῆς θυρίδος, ὥς φησιν ἡ Γραφὴ, τὴν εὐχαριστίαν, καὶ τὴν εὐλογίαν, ἀγαλλίασίν τε καὶ εὐφροσύνην, ἔτι τε ὑπομονὴν συνεργοῦσαν (99); καὶ τὴν τούτων συμπλοκὴν, τὴν Ἐκκλησίαν ἐποπτεύει (1) τὴν ἑαυτοῦ μόνον· ἐπιδεικνὺς τὸ πρόσωπον τὸ αὐτοῦ, τὸ λεῖπον τῇ Ἐκκλησίᾳ, βασιλείῳ τελειουμένῃ κεφαλῇ. Καὶ ποῦ ἄρα ἦν ἡ θυρὶς, δι' ἧς ὁ Κύριος ἐδείκνυτο; ἡ σὰρξ, δι' ἧς πεφανέρωται. Αὐτός ἐστιν ὁ Ἰσαὰκ (καὶ γὰρ ἔστιν ἑτέρως ἐκλαβεῖν) τύπος ὅς ἐστι (2) τοῦ Κυρίου, παῖς μὲν, ὡς υἱός· καὶ γὰρ υἱὸς ἦν Ἀβραὰμ, ὡς ὁ Χριστὸς τοῦ Θεοῦ· ἱερεῖον δὲ, ὡς ὁ Κύριος· ἀλλ' οὐ κεκάρπωται (3) ὡς ὁ Κύριος· μόνον ἐβάστασε τὰ ξύλα τῆς ἱερουργίας ὁ Ἰσαὰκ, ὡς ὁ Κύριος τὸ ξύλον. Ἐγέλα δὲ μυστικῶς, ἐμπλῆσαι ἡμᾶς προφητεύων χαρᾶς τὸν Κύριον, τοὺς αἵματι Κυρίου ἐκ φθορᾶς λελυτρωμένους. Οὐκ ἔπαθεν (4) δὲ μόνον εἰκότως ἄρα ὁ Ἰσαὰκ, τὰ πρωτεῖα τοῦ πάθους παραχωρῶν τῷ Λόγῳ· ἀλλὰ καὶ τοῦ Κυρίου τὴν θεότητα αἰνίττεται, μὴ σφαγείς· ἀνέστη γὰρ μετὰ τὴν κηδείαν ὁ Ἰησοῦς μὴ παθὼν (5), καθάπερ ἱερουργίας ἀφειμένος ὁ Ἰσαάκ. Μέγιστον δὲ εἰς συνηγορίαν καὶ ἄλλο παραθήσομαι τοῦ προκειμένου. Τὸν Κύριον αὐτὸν ὀνομάζει παιδίον, τοῦτο διὰ Ἡσαΐου θεσπίζον τὸ Πνεῦμα· *Ἰδοὺ* (6) *παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς Ἄγγελος*. Τί οὖν τὸ παιδίον τὸ νήπιον; οὗ κατ' εἰκόνα ἡμᾶς οἱ νήπιοι. Διὰ τοῦ αὐτοῦ (7) προφήτου διηγεῖται τὸ μέγεθος αὐτοῦ· *Θαυμαστὸς σύμβουλος* (8), *Θεὸς δυνάστης, Πατὴρ αἰώνιος, Ἄρχων εἰρήνης· τῷ πληθύνειν τὴν παιδείαν· καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστι πέρας*. Ὦ τοῦ μεγάλου Θεοῦ (9)· ὦ τοῦ τελείου παιδίου. Υἱὸς ἐν Πατρὶ, καὶ Πατὴρ ἐν Υἱῷ. Καὶ πῶς οὐ τέλειος ἡ παιδεία τοῦ παιδίου ἐκείνου, ἣ ἐπὶ πάντας διήκει, τοὺς παῖδας ἡμᾶς παιδαγωγοῦσα, τοὺς νηπίους αὐτοῦ; οὗτος εἰς ἡμᾶς ἐξεπέτασε τὰς χεῖρας, τὰς ἐναργῶς πεπιστευμένας. Τούτῳ προσμαρτυρεῖ τῷ παιδίῳ καὶ Ἰωάννης, *ὁ μείζων ἐν γεννη-*

✠ P. 112 ED. POTTER, 91-92 ED. PARIS.

A brantem? Potest etiam aliter accipi, quod a prophetia significatur, nos scilicet lætari et ridere propter salutem, quemadmodum Isaac. Risit autem ille quoque a morte solutus, ludens et exsultans cum sponsa, quæ nostra est ad salutem auxiliatrix, scilicet Ecclesia, cui firmum ac solidum nomen impositum est, *Tolerantia*; vel quoniam ea manet in sæcula, semper gaudens; vel quod constet ex tolerantia credentium, qui sumus membra Christi, et eorum sit, qui ad finem sustinuerunt, testimonium, et quæ fit propterea gratiarum actio. Hic est ludus mysticus, et salus, quæ cum honesto solatio fert auxilium. Rex itaque Christus e superis risum nostrum speculatur, et *e fenestra*, ut dicit Scriptura, *prospiciens* [86], gratiarum actionem, et benedictio- B nem, et exsultationem, et lætitiam, et simul etiam iis auxiliantem tolerantiam, et eorum conjunctionem, solam suam respicit Ecclesiam: ostendens faciem suam, quæ deerat Ecclesiæ, quæ regali capite perfecta efficitur. Ubi erat autem fenestra, per quam ostendebatur Dominus? Caro, per quam fuit manifestatus. Ipse est Isaac (aliter enim accipere possumus) qui est typus ac figura Domini. Puer quidem, ut filius: erat enim filius Abrahæ, quemadmodum Christus Dei; hostia autem, sicut Dominus; sed non oblatus est, ut Dominus. Ligna solum sacrificii portavit Isaac, ut lignum Dominus. Mystice autem risit, prædicens fore ut Dominus nos risu impleret, qui sanguine Domini ab interitu et ✠ corruptione redempti sumus. Solummodo au- C tem jure Isaac non passus est, qui primas passionis partes Verbo cesserit. Quin etiam significat Domini divinitatem, dum non fuit occisus. Surrexit enim post justa facta funeris Jesus non passus, quemadmodum Isaac dimissus est e sacrificio. Porro autem ad ejus quod propositum est defensionem, maximum quoque aliud afferam. Ipsum Dominum *puellum* nominat, id per Isaiam prædicens Spiritus: *Ecce puellus natus est nobis, et filius datus est nobis, cujus principatus super humerum ejus, et voca-*

[86] Genes. xxvi, 8.

(98) *Διακύψας*. Παρακύψας, A. Sylburg.
(99) *Συνεργοῦσαν*. Ἐνεργοῦσαν Reg. Sed aliquis συνεργοῦσαν in margine scripsit.
(1) *Ἐποπτεύει*. Ἐποπτεύειν Reg. Sic porro distingui debet hic locus cum Bod. τὴν Ἐκκλησίαν ἐποπτεύει τὴν ἑαυτοῦ, μόνον ἐπιδεικνὺς τὸ πρ.: *suam respicit Ecclesiam, nil aliud quam solam faciem ostendens.*
(2) *Τύπος ὅς ἐστι*. Usitatiore structura A. ὅς ἐστι τύπος. Sylburg. Typum hunc iterum declarat, *Str.* ii, p. 367.
(3) *Ἀλλ' οὐ κεκάρπωται*. *Sed non est oblatus*. Hesychius: Κάρπωμα, κέρδος, προσφορὰ, θυσία. Suidas, Ἁγιάσαι, καρπῶσαι, καῦσαι ἁγίως. Ita Levitici, iv: τὸ θυσιαστήριον τῆς καρπώσεως, *altare holocausti*, vers. 10, et v. 34: τοῦ θυσιαστηρίου τῆς ὁλοκαρπώσεως. Verte igitur hic: *sed non immolatus est*, vel *mactatus, ut Dominus*. Collect.
(4) *Οὐκ ἔπαθ*. Sensus est, *Isaac in omnibus Dominum repræsentasse præter solam passionem, in qua ipse Christus primas habere debebat.* At Lowthius ait, « Lege, οὐκ ἔπαθεν δὲ εἰκότως ἄρα ὁ Ἰσαὰκ, οὐ μόνον τὰ πρωτεῖα τοῦ πάθ. »

(5) *Μὴ παθών*. *Non passus*, sc. quoad τὴν θεότητα, de qua loquitur Clemens.
(6) *Ἰδού*. Ὅτι Bibl. Græc. Dein, ἀρχὴ ἐγενήθη D ἐπὶ τ. ibid. Mox καλεῖται τὸ ὄνομα, ibid.
(7) *Διὰ τοῦ αὐτοῦ*. Δι' αὐτοῦ τοῦ Evang.
(8) *Θαυμαστὸς σύμβουλος*. *Admirabilis consiliarius*. Apud D. Hieronymum in Isaiam redditur ex Hebræo *admirabilis consiliarius*, quod efferunt LXX *magni consilii nuntius*. In Antuerpiensi editione utrumque habetur in textu Græco LXX, at in editione Procopii in Isaiam, interprete J. Curterio, LXX viris tribuitur lectio μεγάλης βουλῆς ἄγγελος, altera autem θαυμαστὸς σύμβουλος Aquilæ, ut Theodotioni θαυμαστὸς βουλεύων, hic apud Clementem utrumque vides: reliqua autem partim Symmacho, partim Theodotioni, cujus est etiam illud, τῷ πληθύνειν τὴν παιδείαν, *quod multiplicet disciplinam*; sic enim vertendum est potius, quam *quod ludum multiplicet*, usque ad illud καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔσται πέρας, quod est Theodotionis et Symmachi. LXX: οὐκ ἔσται ὅριον, vel apud alios τέλος. Collect.
(9) *Ὦ τοῦ μ*. Locus insignis adversus Arianos.

tum est nomen ejus, magni consilii Angelus [87]. Quid est ergo puellus infans? Is, ad cujus imaginem nos infantes sumus. Per eumdem prophetam narrat ejus magnitudinem: *Admirabilis, Consiliarius, Deus potens, Pater æternus, Princeps pacis: eo quod disciplinam impleat: et pacis ejus non est finis* [88]. O magnum Deum! o perfectum puerum! Filius in Patre, et Pater in Filio. Et quomodo non est perfecta hujus pueri puerilis disciplina et institutio, quæ omnes pervadit, pædagogi ritu nos pueros instituens, qui sumus ejus infantes? Is manus in nos expandit, quæ aperte et evidenter fuere creditæ. De hoc puello fert quoque testimonium Joannes, *qui est major propheta inter natos mulierum* [89]: *Ecce Agnus Dei* [90]. Quoniam enim Scriptura pueros infantes, agnos nominat, Deum Verbum, qui propter nos homo factus est, qui nobis in omnibus assimilari volebat, vocavit Agnum Dei, Filium nempe Dei, infantem Patris.

A *τοῖς γυναικῶν προφήτης*· Ἰδοὺ (10) ὁ Ἀμνὸς τοῦ Θεοῦ. Ἐπεὶ γὰρ ἄρνας ὀνομάζει ἡ Γραφὴ τοὺς παῖδας τοὺς νηπίους, τὸν Θεὸν τὸν Λόγον, τὸν δι' ἡμᾶς ἄνθρωπον γενόμενον, κατὰ πάντα ἡμῖν ἀπεικάζεσθαι βουλόμενον, ἀμνὸν κέκληκε τοῦ Θεοῦ, τὸν Υἱὸν τοῦ Θεοῦ, τὸν νήπιον τοῦ Πατρός.

CAP. VI.

Adversus eos, qui existimant puerorum et infantium appellationem significare primarum disciplinarum doctrinam.

Licet autem nobis veluti ex abundanti eos aggredi, qui in reprehendendis aliis delectantur. Non enim nos pueri et infantes appellati sumus, quod sit puerilis et contemnenda nostra disciplina, ut nos calumniati sunt, qui sunt inflati scientia. Statim itaque regenerati recipimus perfectionem cujus causa festinabamus. ✠ Fuimus enim illuminati, id autem est Deum agnoscere. Non est ergo imperfectus, qui quod perfectum est, cognovit. Nec me reprehenderitis, quod fatear **41** me Deum nosse. Ipsi enim Verbo ita dicere visum est: is vero, *liber* est. Jam enim dum tingeretur Dominus, vox e cœlis testis dilecti resonuit: *Tu es Filius meus dilectus, ego hodie genui te.* Sapientes ergo hos rogemus; Christus hodie regeneratus, jam est perfectus, vel, quod est absurdissimum, ei aliquid deest? Si posterius ita est, ut aliquid disceret, opus fuit. Jam vero Deus cum esset, nihil didicisse fuit consentaneum. Neque enim quis Verbo major fuerit. Sed neque magister est ejus, qui solus est magister. Annon ergo vel inviti fatebuntur, Verbum perfectum ex perfecto Patre natum, ex œconomica præordinatione esse perfecte regeneratum? Et si erat perfectus, cur qui erat perfectus tingebatur? Oportebat, inquiunt, implere humanam professionem. Optime. Concedo hoc enim. Simul ac ergo a Joanne tingitur, fit perfectus. Recte. Nihil ergo ab eo amplius didicit? Nequaquam. Solo autem lavacro perficitur, et Spiritus adventu sanctificatur? Ita habet. Hoc ipsum nobis quoque evenit, quorum fuit exemplar Dominus.

ΚΕΦ. Ϛʹ.

B *Πρὸς τοὺς ὑπολαμβάνοντας τὴν τῶν παιδίων καὶ νηπίων* (11) *προσηγορίαν τὴν τῶν πρώτων μαθημάτων αἰνίττεσθαι διδαχήν.*

Ἔξεστι δὲ ἡμῖν ἐκ περιουσίας πρὸς τοὺς φιλεγκλήμονας ἐπαποδύσασθαι. Οὐ γὰρ παῖδες ἡμεῖς καὶ νήπιοι πρὸς τὸ παιδαριῶδες καὶ εὐκαταφρόνητον τῆς μαθήσεως προσηγορεύμεθα, καθὼς οἱ εἰς γνῶσιν (12) πεφυσιωμένοι διαβεβλήκασιν. Ἀναγεννηθέντες (13) γοῦν εὐθέως, τὸ τέλειον ἀπειλήφαμεν, οὗ ἕνεκεν ἐσπεύδομεν. Ἐφωτίσθημεν γάρ· τὸ δέ ἐστιν ἐπιγνῶναι τὸν (14) Θεόν. Οὔκουν ἀτελὴς ὁ ἐγνωκὼς τὸ τέλειον. Καί μου μὴ λάβησθε (15), ὁμολογοῦντος ἐγνωκέναι τὸν Θεόν· ὧδέ πως γὰρ ἔδοξεν εἰπεῖν τῷ Λόγῳ. Ὁ δὲ *ἐλεύθερος* (16). Αὐτίκα γοῦν βαπτιζομένῳ τῷ Κυρίῳ ἀπ' οὐρανῶν ἐπήχησε φωνὴ μάρτυς ἠγαπημένου· *Υἱός μου* (17) *εἶ σὺ ἀγαπητὸς, ἐγὼ σήμερον γεγέννηκά σε.* C Πυθώμεθα οὖν τῶν σοφῶν· σήμερον ἀναγεννηθεὶς ὁ Χριστὸς, ἤδη τέλειός ἐστιν, ἤ, ὅπερ ἀτοπώτατον, ἐλλιπής; Εἰ δὲ τοῦτο, προσμαθεῖν τι αὐτῷ δεῖ· ἀλλὰ προσμαθεῖν μὲν αὐτὸν εἰκὸς οὐδὲ ἕν, Θεὸν ὄντα (18). Οὐ γὰρ μείζων τις εἴη τοῦ Λόγου· οὐδὲ μὴν διδάσκαλος τοῦ μόνου διδασκάλου. Μή τι οὖν ὁμολογήσουσιν ἄκοντες τὸν Λόγον τέλειον ἐκ τελείου φύντα τοῦ Πατρὸς, κατὰ τὴν οἰκονομικὴν προδιατύπωσιν ἀναγεννηθῆναι τελείως (19); Καὶ εἰ τέλειος ἦν, τί ἐβαπτίζετο ὁ τέλειος; Ἔδει, φασὶ, πληρῶσαι τὸ ἐπάγγελμα τὸ ἀνθρώπινον. Παγκάλως. Φημὶ γάρ· ἅμα τοίνυν τῷ βαπτίζεσθαι αὐτὸν ὑπὸ Ἰωάννου, γίνεται τέλειος; δῆλον ὅτι. Οὐδὲν οὖν πρὸς αὐτοῦ προσέμαθεν. Οὐ γάρ· τελειοῦται δὲ τῷ λουτρῷ μόνῳ, καὶ τοῦ Πνεύματος τῇ καθόδῳ (20) D ἁγιάζεται; Οὕτως ἔχει. Τὸ δὲ αὐτὸ συμβαίνει τοῦτο καὶ περὶ ἡμᾶς, ὧν γέγονεν ὑπογραφὴ ὁ Κύριος.

✠ P. 113 ED POTTER, 92-93 ED. PARIS. [87] Isa. IX, 6. [88] Ibid. [89] Luc. VII, 28. [90] Joan. I, 29, 36.

(10) *Ἰδού.* Ἴδε Evang.

(11) *Τῶν παιδίων καὶ νηπίων.* Τῶν νηπίων καὶ τῶν παιδίων Reg.

(12) *Οἱ εἰς γν.* Respicit I Cor. VIII, 1: ἡ γνῶσις φυσιοῖ.

(13) *Ἀναγ.* Sic distingue: ἀναγεννηθέντες γοῦν, εὐθέως τὸ τέλειον ἀπειλήφαμεν: *cum igitur regenerati fuimus, statim perfectionem recepimus.*

(14) *Τόν.* Hunc articulum omittunt Reg., Bod.

(15) *Λάβησθε.* Sunt qui putarint λωβῆσθε legendum; sed λάβησθε in corripiendi et reprehendendi significatione hic retinere, non video quid vetet. Sylburg.

(16) *Ἐλεύθερος.* Respicere videtur Joan. VIII, 35, 36.

(17) *Υἱός μου.* Hic Clemens memoriæ lapsu varia S. Scripturæ loca miscet et confundit, *Σὺ εἶ ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν σοὶ ηὐδόκησα*, Luc. III, 22; Matth. III, 17; Marc. I, 11, ubi de Christi baptismo agunt. *Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε*, Psal. II, 7; Act. XIII, 33; Hebr. I, 5; V, 5.

(18) *Θεὸν ὄντα.* Locus insignis de perfecta Christi divinitate.

(19) *Τελείως.* Τελέως Reg., Bod.

(20) *Καθόδῳ.* Hæc vox pro vulg. μεθόδῳ reposita est e Pal. ms. Sylburg. Consentiunt Reg., Bod.

Βαπτιζόμενοι, φωτιζόμεθα· φωτιζόμενοι, υἱοποιούμεθα· υἱοποιούμενοι, τελειούμεθα· τελειούμενοι, ἀπαθανατιζόμεθα. Ἐγὼ, φησὶν, *εἶπα· Θεοί ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες*. Καλεῖται (21) δὲ πολλαχῶς τὸ ἔργον τοῦτο χάρισμα, καὶ φώτισμα, καὶ τέλειον, καὶ λουτρόν· λουτρὸν μὲν, δι' οὗ τὰς ἁμαρτίας ἀποῤῥυπτόμεθα, χάρισμα δὲ, ᾧ τὰ ἐπὶ τοῖς ἁμαρτήμασιν ἐπιτίμια ἀνεῖται· φώτισμα δὲ, δι' οὗ τὸ ἅγιον ἐκεῖνο φῶς τὸ σωτήριον ἐποπτεύεται, τουτέστιν δι' οὗ τὸ Θεῖον ὀξυωποῦμεν· τέλειον δὲ τὸ ἀπροσδεές φαμεν. Τί γὰρ ἔτι λείπεται τῷ Θεὸν ἐγνωκότι; Καὶ γὰρ ἄτοπον ὡς ἀληθῶς, χάρισμα κεκλῆσθαι Θεοῦ τὸ μὴ πεπληρωμένον. Τέλειος δὲ ὢν, τέλεια χαριεῖται δήπουθεν. Ὡς δὲ ἅμα τῷ κελεῦσαι αὐτὸν πάντα γίνεται· οὕτως ἕπεται τῷ χαρίσασθαι μόνον βουληθῆναι αὐτὸν πεπληρῶσθαι τὴν χάριν. Τὸ γὰρ μέλλον τοῦ χρόνου τῇ δυνάμει τοῦ θελήματος προσλαμβάνεται (22). Πρὸς δὲ καὶ ἡ τῶν κακῶν (23) ἀπαλλαγὴ σωτηρίας ἐστὶν ἀρχή. Μόνοι δὲ ἄρα οἱ πρῶτον (24) ἀρξάμενοι τῶν ὅρων τῆς ζωῆς ἤδη τέλειοι· ζῶμεν δὲ ἤδη οἱ θανάτου κεχωρισμένοι. Σωτηρία τοίνυν τὸ ἕπεσθαι Χριστῷ. *Ὃ γὰρ γέγονεν* (25) *ἐν αὐτῷ ζωή ἐστιν* (26). *Ἀμὴν, ἀμὴν λέγω ὑμῖν*, φησὶν, *ὁ τὸν* (27) *λόγον μου ἀκούων, καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον, καὶ εἰς κρίσιν οὐκ ἔρχεται· ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν*. Οὕτω τὸ πιστεῦσαι μόνον καὶ ἀναγεννηθῆναι τελείωσίς ἐστιν ἐν ζωῇ· οὐ γάρ ποτε ἀσθενεῖ ὁ Θεός. Ὡς γὰρ τὸ θέλημα αὐτοῦ ἔργον ἐστὶ, καὶ τοῦτο κόσμος ὀνομάζεται· οὕτω καὶ τὸ βούλημα αὐτοῦ ἀνθρώπων ἐστὶ σωτηρία· καὶ τοῦτο Ἐκκλησία κέκληται. Οἶδεν οὖν οὓς κέκληκεν, οὓς σέσωκεν· κέκληκεν (28) δὲ ἅμα, καὶ σέσωκεν. *Αὐτοὶ γὰρ ὑμεῖς*, φησὶν ὁ Ἀπόστολος, *θεοδίδακτοί ἐστε*. Οὐκ ἄρα θεμιτὸν ἡμῖν ἀτελὲς τὸ ὑπ' αὐτοῦ διδασκόμενον νοεῖν· τὸ δὲ μάθημα ἀΐδιος σωτηρία ἀϊδίου Σωτῆρος· *ᾧ ἡ χάρις εἰς τοὺς αἰῶνας αἰώνων, ἀμήν*. Καὶ ὁ μόνον ἀναγεννηθεὶς, ὥσπερ οὖν καὶ τοὔνομα ἔχει, καὶ φωτισθεὶς ἀπήλλακται μὲν παραχρῆμα τοῦ σκότους, ἀπείληφε δὲ αὐτόθεν τὸ φῶς.

✠ P. 114 ED. POTTER, 93-94 ED. PARIS.

[94] I Thess. IV, 9.

A Tincti, illuminamur; illuminati, in filios adoptamur; adoptati, perficimur; perfecti, immortales reddimur. *Ego*, inquit, *dixi : Dii estis et filii Excelsi omnes* [91]. Multis autem modis vocatur hoc opus, gratia, illuminatio, perfectum, et lavacrum. Lavacrum quidem, per quod peccata abstergimus. Gratia autem, qua remittuntur pœnæ, quæ peccatis debentur. Illuminatio autem, per quam sanctam illam et salutarem lucem intuemur, hoc est per quam Deum perspicimus. Perfectum autem dicimus, cui nihil deest. Quid enim ei desit, qui Deum novit? Est enim revera absurdum, Dei vocari gratiam, quæ non sit perfecta et undequaque plena. Nam qui est perfectus, perfecta utique largietur. Quemadmodum autem simul ac ipse jussit, fiunt omnia;

B ita sequitur, ut eo quod solum gratificari voluerit, plena fuerit gratia. Quod enim futurum est temporis, id per voluntatis potentiam anticipatur. His accedit, quod liberatio a malis est initium salutis. ✠ Soli ergo, qui primum vitæ fines attigimus, jam perfecti sumus. Jam autem vivimus, qui sumus a morte separati. Christum ergo sequi, salus est. *Quod enim factum est, in ipso vita est* [92]. *Amen, amen dico vobis*, inquit, *qui sermones meos audit et credit ei qui me misit, habet vitam æternam, et in judicium non venit, sed transiit a morte ad vitam* [93]. Ita solum credidisse et generatum esse, est in vita perfectio. Nunquam est enim Deus imbecillus. Quemadmodum enim ejus voluntas est opus, et id mun-

C dus nominatur; ita etiam ejus propositum est hominum salus, et ea vocata est Ecclesia. Novit ergo quos vocavit, quos servavit; simul autem vocavit et servavit. *Ipsi* enim *vos*, inquit Apostolus [94], *a Deo docti estis*. Nefas est ergo imperfectum judicare, quod ab ipso docetur. Quod autem ab eo discitur, est æterni Servatoris æterna salus : *cui gratia in sæcula sæculorum. Amen*. Et qui est solummodo regeneratus et illuminatus, quemadmodum ipsum nomen indicat, et protinus a tenebris

[91] Psal. LXXXI, 6. [92] Joan. I, 4. [93] Joan. V, 24.

(21) *Καλεῖται*. De variis baptismi nominibus etiam Gregorius Nazianz., Oratione in S. baptisma p. 238. H: SYLBURG.

(22) *Προσλαμβάνεται*. *Assumitur*, *acquiritur*. Sed Lowthius mavult προλαμβάνεται, *anticipatur*; quam lectionem agnoscit interpres. Quod vero solo volendi actu Deus omnia fecerit, superius dixit, *Protrept*. p. 55, ubi conf. n.

(23) *Ἡ τῶν κακῶν*. Liberationem a malis, salutis esse initium tradit et Philo p. 104, et Basil. p. 56, 94 et 580. H. SYLBURG.

. . . . . *Sapientia prima est*
Stultitia caruisse. . . . .

(24) *Πρῶτον*. Πρῶτοι Pal. ms., Sylburg., Reg.

(25) *Ὃ γὰρ γ*. Sic distinguendum : Ὃ γὰρ γέγονεν ἐν αὐτῷ, ζωή ἐστιν· *nam quod est in ipso, vita est*. Quod sensum auctoris optime exprimere videtur. Iterum *Pædag*. lib. II, c. 9, pag. 185, 186 : Ἐγρήγορεν ἄρα πρὸς τὸν Θεὸν ὁ πεφωτισμένος· ὁ δὲ τοιοῦτος ζῇ· ὃ γὰρ γέγονεν ἐν αὐτῷ ζωὴ ἦν. At in vulg. Novi Testamenti editionibus hodie legitur, Καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονεν. Ἐν αὐτῷ ζωὴ ἦν, Joan. I, 3, 4. Clementis lectionem tuentur Cyrillus, Gregor. Nyssen. lib. I *adv. Eunomium*, Hilarius, Augustinus, Gregor. Nazianz., Stephani codex quidam ms., teste Cl. Millio in not. ad hunc locum : item hæretici, qui S. Spiritus θεότητα negabant, ut refert Joannes Chrysostomus in Comment. Hos fuisse Macedonianos tradit Theophy-

D lactus pag. 560, edit. Paris. Ἐν αὐτῷ ζωή, etc. *Pneumatomachi, qui Spiritum negant esse Deum, hunc particulam sic legunt, « Et sine ipso factum est nihil. » Deinde, hoc loco facto puncto, legunt quasi ab altero principio : « Quod factum est in ipso, vita erat, » et interpretantur locum juxta suam mentem, dicentes quod hoc loco de Spiritu sancto evangelista disserat, dicens : « Quod factum est in ipso, » hoc est Spiritus sanctus, « vita erat. » Hæc autem dicunt Macedoniani, conantes ostendere Spiritum sanctum esse creaturam, et annumerare eum his, quæ facta sunt. Nos autem non sic, sed puncto facto postquam dixit : « Quod factum est, » a novo principio legimus*, Ἐν αὐτῷ ζωὴ ἦν.

(26) *Ἐστιν*. Ἦν, Evang., Bod.

(27) *Ὁ τῶν*. Ὅτι ὁ τῶν, Evang.

(28) *Κέκληκεν*. Aliquis in marg. Reg. scripsit οὓς, ac si hoc loco deesset.

liberatur, et ab eo tempore lucem accipit. Quemadmodum ergo, qui somnum excusserunt, et ab eo tempore protinus intus vigilant; vel potius, quemadmodum qui oculorum suffusionem conantur amovere, non extrinsecus eis lucem suppeditant, quam non habent, sed quod oculis impedimentum afferebat depellentes, liberam efficiunt pupillam; ita etiam qui tingimur, abstersis peccatis, quæ divino Spiritui quodammodo tenebras offundebant, liberum, ab omnique impedimento vacuum, et lucidum habemus Spiritus oculum: quo quidem solo quod divinum est intuemur, cœlitus influente nobis sancto Spiritu. Hæc est æterna aciei temperatura, quæ videre potest æternam lucem; quandoquidem quod simile est, est amicum simili; quod sanctum est autem, amicum est ei, ex quo sanctum est, quod lux proprie appellatum est. *Eratis enim aliquando tenebræ, nunc autem lux in Domino* [95]. Hinc puto ab antiquis Græcis hominem vocatum ✠ esse φῶτα, id est *lucem*. At nondum, inquiunt, perfectum donum accepit. Ego quoque assentior; sed est in luce, et tenebræ ipsum non comprehendunt [96]. Inter lucem autem et tenebras, nihil est intermedium. In resurrectione autem credentium, finis est repositus. Is autem non est aliquid aliud adipisci, quam id, quod promissum erat prius, assequi. Non enim eodem tempore ambo simul consistere dicimus, nempe et accessum ad finem, et accessus anticipationem. Non est enim idem, ævum et tempus; sed neque idem est appetitio et finis. Non certe. Circa unum autem ambo, et unus circa ambo versatur. Est autem, ut ita dicam, appetitio, fides, quæ in tempore generatur; finis autem, promissi assecutio firma ac stabilis in sæcula. Ipse autem Dominus salutis æqualitatem

A Ὥσπερ οὖν οἱ τὸν ὕπνον ἀποσεισάμενοι εὐθέως ἔνδοθεν ἐγρηγόρασιν· μᾶλλον δὲ, καθάπερ οἱ τὸ ὑπόχυμα τῶν ὀφθαλμῶν (29) κατάγειν πειρώμενοι οὐ τὸ φῶς αὐτοῖς (30) ἔξωθεν χορηγοῦσιν, ὃ οὐκ ἔχουσιν, τὸ δὲ ἐμπόδιον ταῖς ὄψεσι καταβιβάζοντες, ἐλευθέραν ἀπολείπουσι τὴν κόρην· οὕτως καὶ οἱ βαπτιζόμενοι, τὰς ἐπισκοτούσας ἁμαρτίας τῷ θείῳ Πνεύματι ἀχλύος δίκην ἀποτριψάμενοι, ἐλεύθερον καὶ ἀνεμπόδιστον καὶ φωτεινὸν ὄμμα τοῦ Πνεύματος ἴσχομεν· ᾧ δὴ μόνῳ τὸ θεῖον ἐποπτεύομεν, οὐρανόθεν ἐπεισρέοντος ἡμῖν τοῦ ἁγίου Πνεύματος. Κρᾶμα τοῦτο αὐγῆς ἀΐδιον, τὸ ἀΐδιον φῶς ἰδεῖν δυναμένης (31)· ἐπεὶ τὸ ὅμοιον (32) τῷ ὁμοίῳ φίλον· φίλον δὲ τὸ ἅγιον τῷ ἐξ οὗ τὸ ἅγιον· ὃ δὴ κυρίως κέκληται φῶς. *Ἦτε γάρ ποτε σκότος, νῦν δὲ φῶς ἐν Κυ-* B *ρίῳ*. Ἐντεῦθεν τὸν ἄνθρωπον ὑπὸ τῶν παλαιῶν ἡγοῦμαι κεκλῆσθαι *φῶτα*. Ἀλλ' οὐδέ πω, φασὶν, ἀπείληφε (33) τὴν τελείαν δωρεάν· σύμφημι κἀγώ· πλὴν ἐν φωτί ἐστι, καὶ τὸ σκότος (34) αὐτὸν οὐ καταλαμβάνει· φωτὸς δὲ ἀνὰ μέσον καὶ τοῦ σκότους, οὐδὲ ἕν. Ἐν δὲ τῇ ἀναστάσει τῶν πιστευόντων ἀπόκειται τὸ τέλος· τὸ δὲ οὐκ ἄλλου τινός ἐστι μεταλαβεῖν, ἀλλ' ἢ τῆς προωμολογημένης ἐπαγγελίας (35) τυχεῖν. Μὴ γὰρ κατὰ τὸν αὐτὸν χρόνον ἅμα ἄμφω συνίστασθαί φαμεν, τήν τε πρὸς τὸ πέρας ἄφιξιν καὶ τῆς ἀφίξεως τὴν πρόληψιν· οὐ γάρ ἐστι ταὐτὸν αἰὼν καὶ χρόνος· οὐδὲ μὴν ὁρμὴ καὶ τέλος, οὐκ ἔστι· περὶ ἓν δὲ ἄμφω· καὶ περὶ ἄμφω ὁ εἷς καταγίνεται. Ἔστι γοῦν, ὡς εἰπεῖν, ὁρμὴ μὲν ἡ πίστις ἐν χρόνῳ γεννω- C μένη· τέλος δὲ τὸ τυχεῖν τῆς ἐπαγγελίας, εἰς αἰῶνας βεβαιούμενον. Αὐτὸς δὲ ὁ Κύριος σαφέστατα τῆς σωτηρίας τὴν ἰσότητα (36) ἀπεκάλυψεν, εἰπών· *Τοῦτο γάρ ἐστι τὸ θέλημα τοῦ Πατρός μου* (37), *ἵνα πᾶς ὁ θεωρῶν τὸν Υἱὸν, καὶ πιστεύων ἐπ' αὐτὸν ἔχῃ ζωὴν αἰώνιον· καὶ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχά-*

✠ P. 115 ED. POTTER, 94-95 ED. PARIS.

[95] Ephes. v, 8. [96] Joan. i, 5.

(29) *Τὸ ὑπόχυμα τῶν ὀφθαλμῶν. Oculorum suffusionem.* C. Plinius *De re medica* 15: *Suffusiones et albugines.* Celsus lib. vi, cap. 6: *Suffusio, quam Græci* ὑπόχυσιν *nominant, interdum oculi potentiæ, qua cernit, se opponit; sanguinem ex fronte, vel naribus mittere, in temporibus venas adurere expedit.* Definitur ab Ægineta lib. vi, cap. 21: Ἀργοῦ ὑγροῦ σύστασις ἐπὶ τὸν κερατοειδῆ χιτῶνα κατὰ τὴν κόρην, ἐμποδίζουσα τὸ ὁρᾶν, ἢ τὸ τρανῶς ὁρᾶν. *Suffusio, pigri humoris concretio juxta pupillam in cornea membrana, quæ visum impedit, aut certe, ne oculus clare cernat, efficit.* Collect.

(30) *Αὐτοῖς.* Scribe αὐτοῖς, *sibi*.

(31) *Δυναμένης.* Malim δυναμένοις, quod habet Reg.

(32) *Τὸ ὅμοιον.* Dictum proverbiale. Hesiodus:

Αἰεὶ γὰρ τὸν ὅμοιον ἄγει Θεὸς ἐς τὸν ὅμοιον.

Semper enim similem ducit Deus ad similem.

(33) *Ἀπείληφε.* Ἐπείληφε, Reg.

(34) *Καὶ τὸ σκότος.* Respicit Joan. i, 5: *Καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβε.*

(35) *Προωμολογημένης ἐπαγγελίας. Prius professæ promissionis*; in baptismate scilicet, ut explicat Langbainius in epist. ad *Usserium*, inter *Usserianas* num. 216. Lowth.

(36) *Τὴν ἰσότητα.* Quid? an eodem gradu omnes beati futuri sunt? Non id dicit; sed tantum, fideles omnes *æque* salvos fieri; quod negabant hæretici quidam, se solos γνωστικοὺς et πνευματικούς, cæteros vero omnes ψυχικούς appellantes. Quo pertinet, quod paulo inferius dicit, pag. 116: Οὐκ ἄρα οἱ μὲν γνωστικοί, οἱ δὲ ψυχικοὶ ἐν αὐτῷ τῷ Λόγῳ· ἀλλ' οἱ πάντες ἀποθέμενοι τὰς σαρκικὰς ἐπιθυμίας ἴσοι καὶ πνευματικοὶ παρὰ τῷ Κυρίῳ. *Non ergo in eodem Verbo, alii sunt Gnostici, alii vero Psychici; sed omnes, qui concupiscentias carnales deposuerunt, sunt æquales et spirituales apud Dominum.* Hi porro Valentiniani erant, quos Irenæus lib. i, cap. 11, 14, D refert homines in tria genera distribuisse. 1. Horum primum erat ὑλικόν seu χοϊκόν, *materiale* ac *terrenum*, cui salutem penitus impossibilem esse dicebant. 2. Ψυχικόν, *animale*; in quo sunt οἱ δι' ἔργων καὶ πίστεως ψιλῆς βεβαιούμενοι, καὶ μὴ τὴν τελείαν γνῶσιν ἔχοντες· εἶναι δὲ τούτους ἀπὸ τῆς Ἐκκλησίας ἡμᾶς λέγουσι. *Qui per opera et fidem nudam firmantur, et non habent* cognitionem *perfectam; esse autem hos, nos qui sumus in Ecclesia.* 3. Πνευματικόν, *spirituale*, quod iis constat, qui τελείαν γνῶσιν, *perfectam cognitionem*, habent: unde se *Gnosticos* appellabant; et se non fide vel operibus quibusvis, sed natura salvos fieri, et præterea majori gloria, quam reliqui homines consequi posse, dignandos fore jactabant. Proinde adversus hos Clemens asserit, salutem ad omnes, qui vera fide præditi sunt, æqualiter pertinere.

(37) *Τοῦ Πατρός μου.* Τοῦ πέμψαντός με, Evang. Mox, εἰς αὐτόν pro ἐπ' αὐτόν, ibid. Dein, αὐτὸν ἐγὼ τῇ pro αὐτὸν ἐν τῇ. Ibid.

A τῇ *ἡμέρᾳ*. Καθόσον (38) μὲν οὖν δυνατὸν ἐν τῷδε τῷ κόσμῳ, ὃν ἐσχάτην ἡμέραν ᾐνίξατο, εἰς τότε τηρούμενον ὅτε παύσηται, τελείους ἡμᾶς γενέσθαι πιστεύομεν. Πίστις γὰρ μαθήσεως τελειότης· διὰ τοῦτό φησιν· *Ὁ πιστεύων εἰς τὸν Υἱὸν* (39), *ἔχει ζωὴν αἰώνιον*. Εἰ τοίνυν οἱ πιστεύσαντες ἔχομεν τὴν ζωὴν, τί περαιτέρω τοῦ κεκτῆσθαι ζωὴν ἀΐδιον (40) ὑπολείπεται; Οὐδὲν δὲ ἐνδεῖ τῇ πίστει, τελείᾳ οὔσῃ ἐξ αὐτῆς (41) καὶ πεπληρωμένῃ. Εἰ δὲ ἐνδεῖ τι αὐτῇ, οὐκ ἔστιν ὁλοτελής· οὐδὲ πίστις ἐστὶ σκάζουσα περί τι· οὐδὲ μετὰ τὴν ἐνθένδε ἀποδημίαν ἀναμένει (42) τοὺς πεπιστευκότας, ἀδιακρίτως (43) ἐνταῦθα ἠῤῥαβωνισμένους. Ἐκεῖνο (44) δὲ τὸ πιστεῦσαι ἤδη προειληφότες ἐσόμενον μετὰ τὴν ἀνάστασιν ἀπολαμβάνομεν γενόμενον· ὅπως τ' ἂν ἐκεῖνο πληρωθῇ τὸ λεχθέν· B *Γενηθήτω κατὰ τὴν πίστιν σου*. Οὗ δὲ ἡ πίστις, ἐνταῦθα ἡ ἐπαγγελία· τελείωσις δὲ ἐπαγγελίας ἡ ἀνάπαυσις. Ὥστε ἡ μὲν γνῶσις ἐν τῷ φωτίσματι, τὸ δὲ πέρας τῆς γνώσεως, ἡ ἀνάπαυσις· ὃ δὴ ἔσχατον νοεῖται ὀρεκτόν. Καθάπερ οὖν τῇ πείρᾳ ἡ ἀπειρία καταλύεται, καὶ τῷ πόρῳ ἡ ἀπορία· οὕτως ἀνάγκη τῷ φωτισμῷ ἐξαφανίζεσθαι τὸ σκότος· ἡ ἄγνοια δὲ τὸ σκότος, καθ' ἣν περιπίπτομεν τοῖς ἁμαρτήμασιν, ἀμβλυωποῦντες περὶ τὴν ἀλήθειαν· φωτισμὸς ἄρα ἡ γνῶσίς ἐστιν, ὁ ἐξαφανίζων τὴν ἄγνοιαν, καὶ τὸ διορατικὸν ἐντιθείς. Ἀλλὰ καὶ ἡ τῶν χειρόνων ἀποβολὴ τῶν κρειττόνων ἐστὶν ἀποκάλυψις (45). Ἃ γὰρ ἡ ἄγνοια συνέδησε (46) κακῶς, ταῦτα διὰ τῆς ἐπιγνώσεως ἀναλύεται καλῶς· τὰ δὲ δεσμὰ ταῦτα, ᾗ τάχος, ἀνίεται· πίστει μὲν ἀνθρωπίνῃ, θεϊκῇ δὲ τῇ C χάριτι· ἀφιεμένων τῶν πλημμελημάτων ἑνὶ Παιωνίῳ φαρμάκῳ, Λογικῷ βαπτίσματι. Πάντα μὲν οὖν ἀπολουόμεθα τὰ ἁμαρτήματα, οὐκέτι δὲ ἐσμὲν παρὰ πόδας κακοί. Μία χάρις αὕτη τοῦ φωτίσματος, τὸ μὴ τὸν αὐτὸν εἶναι τῷ πρὶν ἢ λούσασθαι τὸν τρόπον. Ὅτι δὲ ἡ γνῶσις συνανατέλλει τῷ φωτίσματι, περιαστράπτουσα τὸν νοῦν, καὶ εὐθέως ἀκούομεν (47) μαθηταὶ οἱ ἀμαθεῖς· πότερόν ποτε τῆς μαθήσεως ἐκείνης προσγενομένης; οὐ γὰρ ἂν ἔχοις εἰπεῖν τὸν χρόνον· ἡ μὲν γὰρ κατήχησις εἰς πίστιν περιάγει, πίστις δὲ, ἅμα βαπτίσματι ἁγίῳ παιδεύεται Πνεύματι· ἐπεὶ ὅτι γε μία καθολικὴ τῆς ἀνθρωπότητος σωτηρία, ἡ πίστις, ἰσότης δὲ καὶ κοινωνία τοῦ δικαίου καὶ φιλανθρώπου Θεοῦ, ἡ αὐτὴ πρὸς πάντας, ὁ Ἀπόστολος σαφέστατα ἐξηγήσατο, ὧδέ πως εἰπών· D *Πρὸ τοῦ δὲ ἐλθεῖν τὴν πίστιν, ὑπὸ νόμον ἐφρουρούμεθα*,

✠ P. 116 ED. POTTER, 95 ED. PARIS.

A apertissime revelavit, cum dixit: *Hæc est enim voluntas Patris mei, ut omnis qui contemplatur Filium et credit in ipsum, habeat vitam æternam, et resuscitabo ipsum in novissimo die* [97]. Quatenus ergo fieri potest in hoc mundo, quem per *novissimum diem* significavit, qui eousque servatur, dum cessaverit, nos perfectos factos esse credimus. Fides enim est doctrinæ perfectio. Et ideo dicit: *Qui credidit in Filium, habet vitam æternam* [98]. Si ergo qui credidimus, habemus vitam, quid reliqui est ultra vitæ æternæ **42** possessionem? Fidei autem, cum ex se perfecta et plena sit, nihil deest. Sin autem ei aliquid deest, non est undequaque perfecta. Neque fides in ulla re claudicat; neque postquam ex hoc loco excesserint, exspectare facit eos qui crediderunt, B cum absque ullo discrimine hic arrham acceperint. Sed cum illud, quod futurum est, post resurrectionem præceperimus credere, quod factum est recipimus, ut illud impleatur, quod dictum est: *Fiat secundum fidem tuam* [99]. Ubi autem fides, hic promissio; promissionis autem perfectio est requies. Quapropter cognitio ✠ quidem est in illuminatione; finis autem cognitionis, requies. Quod quidem extremum expetendum intelligitur. Quemadmodum ergo imperitia, peritia solvitur, et inventa certa via, dubitatio: ita illuminatione tenebras deleri necesse est. Tenebræ autem sunt ignoratio, per quam in peccata incidimus, circa veritatem hallucinantes. Cognitio ergo est illuminatio, C quæ delet ignorationem, et perspicacem videndi facultatem inserit. Quinetiam eorum, quæ sunt deteriora, rejectio, est meliorum revelatio. Quæ enim male colligavit ignoratio, ea pulchre resolvit agnitio. Hæc autem vincula quam celerrime remittuntur, humana quidem fide, divina vero gratia: cum nimirum remittuntur peccata uno medicamento Pæonio, nempe baptismo secundum Verbum. Omnia ergo peccata eluimus, et e vestigio mali non sumus amplius. Una enim est hæc gratia illuminationis, quod non sunt iidem mores, qui erant antequam lavaremur. Quoniam autem cognitio una oritur cum illuminatione, circa mentem refulgens, et qui rudes et ignari eramus, protinus vocamur D discipuli: utrumne id factum est, cum aliquando adventasset disciplina? non enim poteris tempus dicere. Catechesis enim ad fidem deducit. Fides

[97] Joan. VI, 40. [98] Joan. III, 36. [99] Matth. IX, 29.

(38) *Καθόσον*. Sensus est: « Igitur quatenus fieri potest in hoc mundo, quem *novissimum diem* ideo vocavit, quod certo tempore, ad quod servatur, periturus sit, nos esse perfectos credimus. » Τηρεῖσθαι hoc modo non semel usurpatum a Petro, II Epist. II, 4, 9; III, 7.

(39) *Υἱόν*. Ἰησοῦν, Reg.

(40) *Ἀΐδιον*. Αἰώνιον, Reg., Bod.

(41) *Αὐτῆς*. Scribe αὑτῆς, *se*.

(42) *Ἀναμένει*. *Exspectare facit, differt, dilationem interponit*. Sed an hæc vox alibi isto sensu sumatur, nescio. LOWTH.

(43) *Ἀδιακρίτως*. Ignatius in principio Epist. ad Romanos, *Πεπληρωμένοις χάριτος Θεοῦ ἀδιακρίτως*, *impletis gratia Dei indivisim*.

(44) *Ἐκεῖνο*. Sic scribe et distingue: Ἐκεῖνο δὲ διὰ τὸ πιστεῦσαι ἤδη προειληφότες ἐσόμενον, μετὰ τὴν ἀνάστ. Vel, Ἐκεῖνο δὲ τῷ πιστ., ut vult Lowthius. Vel, Ἐκεῖνο δὲ πιστ. Sensus est: *Futurum autem illud, quod fide jam præcepimus, post resurrectionem præsens referemus*.

(45) *Ἀποκάλυψις*. Legi possit ἀπόληψις. Gregorius Nyssen.: Ἡ τοῦ κακοῦ παῦσις ἀρχὴ τῆς κατ' ἀρετὴν ἐστιν ὁρμῆς. H. SYLBURG.

(46) *Συνέδησε*. Isa. LVIII, 6: *Λύε πάντα σύνδεσμον ἀδικίας*.

(47) *Καὶ εὐθέως ἀκ*. Hæc sic scribi posse videntur: Καὶ εὐθέως ἀκούομεν μαθηταὶ οἱ ἀμαθεῖς, πό-

autem simul cum baptismo docetur a divino Spiritu. Quod enim fides una sit generalis salus humanæ naturæ, eadem sit autem justi et benigni Dei erga omnes æqualitas et communicatio, Paulus manifestissime exposuit, sic dicens : *Priusquam autem veniret fides, custodiebamur sub lege, conclusi sub fide, quæ erat revelanda. Quare lex fuit noster pædagogus in Christo, ut ex fide justificemur. Postquam autem venit fides, non sumus amplius sub pædagogo* [1]. Non auditis nos non esse amplius sub illa lege, quæ erat cum timore, sed sub Verbo, qui est Pædagogus liberi arbitrii ? Deinde subjunxit vocem, quæ est remota ab omni personarum acceptione : *Omnes enim filii estis per fidem Dei in Christo Jesu. Quicunque enim in Christum baptizati estis, Christum induistis. Non est Judæus nec Græcus, non est servus nec liber, non est masculus et femina. Omnes enim vos unus estis in Christo Jesu* [2]. Non ergo alii quidem sunt cognitione præditi, alii autem animales, in eodem Verbo; sed omnes, qui concupiscentias carnales deposuerunt, sunt æquales et spiritales apud Dominum. Et ✠ rursus alibi scribit : *Etenim uno spiritu omnes nos in unum corpus baptizati sumus, sive Judæi, sive Græci, sive servi, sive liberi : et omnes ex uno poculo bibimus* [3]. Neque vero absurdum fuerit illorum quoque ipsorum verbis uti, qui meliorum recordationem, percolationem esse dicunt Spiritus. Percolationem autem dicunt, pejorum, quæ meliorum recordatione fit, separationem. Eum itaque, qui meliora revocavit in memoriam, necessario sequitur pœnitentia propter deteriora. Ipsum ergo Spiritum pœnitentia adductum recurrisse fatentur. Eodem modo nos quoque nostrorum peccatorum moti pœnitentia, delictis renuntiantes, baptismo percolati, ad æternam quoque lucem recurrimus, filii ad patrem. Exsultans itaque in Spiritu Jesus, *Confiteor tibi, Pater*, inquit, *Deus cœli et terræ, quod abscondisti hæc a sapientibus et intelligentibus, et revelasti ea parvulis* [4]. Infantes nos ac *parvulos* Pædagogus et magister appellans, qui sapientibus ,

✠ P. 117 ED. POTTER, 96 ED. PARIS.
[3] I Cor. XII, 13. [4] Luc. X, 21.

A *συγκλειόμενοι* (48) *εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι. Ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστὸν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν· ἐλθούσης δὲ τῆς πίστεως, οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμεν*. Οὐκ ἀκούετε, ὅτι ὑπ' ἐκεῖνον τὸν νόμον οὐκέτι ἐσμὲν, ὃς ἦν μετὰ φόβου· ὑπὸ δὲ τὸν Λόγον, τῆς προαιρέσεως τὸν Παιδαγωγόν; Εἶτα μέντοι ἐπήγαγε τὴν ἀπάσης ἐκτὸς προσωποληψίας φωνήν· *Πάντες γὰρ υἱοί ἐστε* (49) *διὰ πίστεως Θεοῦ ἐν Χριστῷ Ἰησοῦ· ὅσοι γὰρ εἰς Χριστὸν* (50) *ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε· οὐκ ἔνι Ἰουδαῖος οὔτε Ἕλλην· οὐκ ἔνι δοῦλος, οὔτε ἐλεύθερος· οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ*. Οὐκ ἄρα (51) οἱ μὲν γνωστικοὶ, οἱ δὲ ψυχικοὶ ἐν αὐτῷ τῷ Λόγῳ, ἀλλ'
B οἱ πάντες ἀποθέμενοι τὰς σαρκικὰς ἐπιθυμίας, ἴσοι καὶ πνευματικοὶ (52) παρὰ τῷ Κυρίῳ. Καὶ ἀλλαχόθι πάλιν γράφει· *Καὶ γὰρ ἐνὶ* (53) *πνεύματι ἡμεῖς πάντες εἰς ἓν σῶμα ἐβαπτίσθημεν*, εἴτε Ἰουδαῖοι, εἴτε Ἕλληνες, εἴτε δοῦλοι, καὶ ἐλεύθεροι· *καὶ πάντες ἑνὶ πόματι ἐπίομεν*. Οὐκ ἄτοπον δὲ καὶ τοῖς αὐτῶν ἐκείνων συγχρήσασθαι (54) ῥήμασιν, οἳ διυλισμὸν (55) μὲν τοῦ πνεύματος, τὴν μνήμην τῶν χρειττόνων εἶναί φασιν, διυλισμὸν δὲ νοοῦσι τὸν ἀπὸ τῆς ὑπομνήσεως τῶν ἀμεινόνων τῶν χειρόνων χωρισμόν. Ἕπεται δὲ ἐξ ἀνάγκης τῷ ὑπομνησθέντι (56) τῶν βελτιόνων ἡ μετάνοια ἡ ἐπὶ τοῖς ἥττοσιν· αὐτὸ γοῦν τὸ πνεῦμα ὁμολογοῦσι μετανοῆσαν ἀναδραμεῖν. Τὸν αὐτὸν οὖν τρόπον καὶ ἡμεῖς ἐπὶ τοῖς ἡμαρτη-
C μένοις μετανενοηκότες, ἀποταξάμενοι τοῖς ἐλαττώμασιν αὐτῶν, διυλιζόμενοι βαπτίσματι, καὶ (57) πρὸς τὸ ἀΐδιον ἀνατρέχομεν φῶς, οἱ παῖδες πρὸς τὸν πατέρα. Ἀγαλλιασάμενος γοῦν ἐν τῷ Πνεύματι ὁ (58) Ἰησοῦς, *Ἐξομολογοῦμαί σοι, Πάτερ*, φησὶν, *ὁ Θεὸς* (59) *τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις*· νηπίους ἡμᾶς ὁ Παιδαγωγὸς καὶ διδάσκαλος ἀποκαλῶν, τοὺς τῶν ἐν κόσμῳ σοφῶν ἐπιτηδειοτέρους εἰς σωτηρίαν· οἳ, σοφοὺς (60) σφᾶς ἡγούμενοι, τετύφωνται (61)· καὶ ἐπιβοᾶται ἀγαλλιώμενος καὶ ὑπερευφραινόμενος, οἱονεὶ συν-

[1] Galat. III, 23, 24, 25. [2] Ibid. 26, 27, 28.

τερόν ποτε τῆς μαθήσεως ἐκείνης προσγενομένης· οὐ γὰρ ἂν ἔχ. Scilicet πότερον mutato in πρότερον, et (quod consequens est) sublata interrogationis nota. Ut sensus sit : *Statim etiam discipuli audimus, qui Doctrinæ expertes fuimus, illa doctrina prius aliquando accedente; nam certum tempus definiri haud potest.*

(48) *Συγκλειόμενοι*. *Συγκεκλεισμένοι*, Galat.

(49) *Υἱοί ἐστε*. *Υἱοὶ Θεοῦ ἐστε διὰ τῆς πίστεως ἐν Χρ.*, Galat. Mox, οὐδέ bis occurrit pro οὔτε.

(50) *Εἰς Χριστόν*. Ἐν Χριστῷ, Reg. Sed aliquis in margine scripsit εἰς Χριστόν.

(51) *Οὐκ ἄρα*. Conf. quæ superius adnotata sunt, p. 115, not.

(52) *Πνευματικοί*. Πνευματικάς, Reg., Bod. In utroque porro codice juxta hunc locum plures lacunæ apparent, verbis, quæ hic occurrunt, supplendæ.

(53) *Ἑνί*. Ἐν ἑνί apud Paulum. Mox, εἴ τε ἐλεύθεροι. Ibid.

(54) *Συγχρήσασθαι*. Συγχρίσασθαι Reg.

(55) *Διυλισμόν*. Valentiniani dicebant animam ac spiritum quodammodo defæcari et percolari,
D id est a vitiis ex ὕλη, *materia*, secundum eorum placita, ortis, purgari. Irenæus, lib. I, sub finem cap. 11 : Ἔν τε πόνοις καὶ ταλαιπωρίαις ψυχὴ γενομένη εἰς διυλισμὸν αὐτῆς, *Cum in doloribus et calamitatibus anima fuerit ad percolationem suam*. Πνεύματα ἀκάθαρτα συμπεπλεγμένα τῇ ψυχῇ διυλίζεσθαι, *impuri spiritus cum anima complicati percolatione facta separari*, dicuntur in Clementis Epit. Theod. pag. 801, col. 1.

(56) *Ὑπομνησθέντι*. Μνησθέντι, Reg. Bod.

(57) *Καί*. Hanc particulam supplevit Sylburg. Eam mss. codd. omittunt. Et quidem recte.

(58) *Ὁ*. Hic articulus additus e Pal. ms. SYLBURG. — Eumdem agnoscunt Reg. Bod.

(59) *Ὁ Θεός*. *Κύριε*, Luc. item Matth. XI, 25.

(60) *Σοφούς*. Rom. I, 22 : *Φάσκοντες εἶναι σοφοὶ, ἐμωράνθησαν*.

(61) *Τετύφωνται*. Aliqui scribunt, τετύφλωνται, *excæcati sunt*.

τραυλίζων τοῖς νηπίοις· *Ναὶ, ὁ Πατὴρ, ὅτι οὕτως* A *εὐδοκία ἐγένετο* (62) *ἔμπροσθέν σου*. Διὰ τοῦτο τὰ κεκρυμμένα ἀπὸ σοφῶν καὶ συνετῶν τοῦ νῦν αἰῶνος, ἀπεκαλύφθη τοῖς νηπίοις. Ἄρα εἰκότως οἱ παῖδες τοῦ Θεοῦ, οἱ τὸν μὲν παλαιὸν (63) ἀποθέμενοι ἄνθρωπον, καὶ τῆς κακίας ἐκδυσάμενοι τὸν χιτῶνα, ἐπενδυσάμενοι δὲ τὴν ἀφθαρσίαν τοῦ Χριστοῦ, ἵνα καινὸς γενόμενος λαὸς ἅγιος ἀναγεννηθέντες, ἀμίαντον φυλάξωμεν τὸν ἄνθρωπον. Καὶ νήπιος μὲν, ὡς βρέφος τοῦ Θεοῦ, κεκαθαρμένος πορνείας καὶ πονηρίας. Σαφέστατα γοῦν ὁ μακάριος Παῦλος ἀπήλλαξεν ἡμᾶς τῆς ζητήσεως, ἐν τῇ προτέρᾳ πρὸς Κορινθίους Ἐπιστολῇ ὡδέ πως γράφων· *Ἀδελφοί, μὴ παιδία γίνεσθε ταῖς φρεσὶν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε, ταῖς δὲ φρεσὶν τέλειοι γίνεσθε*. Τὸ δὲ, *Ὅτε ἤμην νήπιος, ἐφρόνουν* (64) *ὡς νήπιος*, B *ἐλάλουν ὡς νήπιος*· τὴν κατὰ νόμον ἀγωγὴν αἰνίττεται, καθ' ἣν οὐχ ὡς ἁπλοῦς ἤδη, ἀλλ' ὡς ἔτι ἄφρων, νήπια μὲν (65) φρονῶν, ἐδίωκε, νήπια δὲ λαλῶν, ἐβλασφήμει τὸν Λόγον. Δύο γὰρ σημαίνει τὸ *νήπιον*. *Ἐπειδὴ* (66) *γέγονα*, φησὶν, *ἀνὴρ*, πάλιν ὁ Παῦλος λέγει, *κατήργηκα τὰ τοῦ νηπίου*. Οὐχ ἡλικίας μέγεθος ἀτελὲς, ἀλλ' οὐδὲ μὴν χρόνου μέτρον ὡρισμένον, ἀλλ' οὐδὲ ἀνδρικῶν καὶ ἐντελεστέρων μαθημάτων διδαχὰς ἄλλας ἀπορρήτους αἰνίττεται, τὴν νηπιότητα ὑπερόριον ἀποστέλλων, ὁ καταγγέλλειν αὐτὴν ὁμολογῶν Ἀπόστολος· ἀλλὰ νηπίους μὲν τοὺς ἐν νόμῳ λέγει, οἳ τῷ φόβῳ, καθάπερ οἱ παῖδες τοῖς μορμολυκείοις, ἐκταράττονται· ἄνδρας δὲ, τοὺς (67) Λόγῳ πειθηνίους καὶ αὐτεξουσίους κέκληκεν· οἳ πεπιστεύ- C καμεν, ἑκουσίῳ προαιρέσει σωζόμενοι, ἐμφρόνως, οὐκ ἀφρόνως δεδιττόμενοι τῷ φόβῳ. Αὐτὸς περὶ τούτου μαρτυρήσει ὁ Ἀπόστολος, τοὺς Ἰουδαίους κατὰ τὴν προτέραν Διαθήκην κληρονόμους λέγων, κατ' ἐπαγγελίαν δε ἡμᾶς. *Λέγω δὲ*, φησὶν, *ἐφ' ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου, κύριος πάντων ὤν, ἀλλὰ ὑπὸ ἐπιτρόπους ἐστὶ καὶ οἰκονόμους ἄχρι τῆς προθεσμίας τοῦ πατρός· οὕτως* (68) *καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι· ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ γενόμενον* (69) *ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν δι' αὐτοῦ* (70). Ὅρα πῶς ὡμολόγησεν εἶναι νηπίους τοὺς D ὑπὸ φόβον καὶ ἁμαρτίας (71)· τοὺς δὲ ὑπὸ τὴν πίστιν, υἱοὺς καλῶν, ἀπήνδρωσεν, ὡς πρὸς ἀντιδιαστολὴν

A qui sunt in mundo, sumus aptiores ad salutem, qui sapientes seipsos existimantes, superbia inflati sunt; exclamat exsultans, et mirandum in modum lætus, tanquam una cum infantibus balbutiens : *Recte, o Pater, quia sic complacuit ante te* [5]. Propterea quæ absconsa sunt a sapientibus et intelligentibus hujus, quod nunc est, sæculi, revelata sunt infantibus. Merito ergo Dei sumus pueri, qui veterem quidem hominem deposuimus, et vitii tunicam exuimus, Dei autem incorruptionem induimus, ut novus facti populus sanctus, regenerati, impollutum hominem custodiamus. Et infans quidem, tanquam Dei puellus, a fornicatione et improbitate est expurgatus. Manifestissime itaque beatus Paulus nos ab hac quæstione expedivit, in B priore Epistola ad Corinthios sic scribens : *Fratres, ne pueri efficiamini mentibus, sed sitis vitio infantes, mentibus autem estote perfecti* [6]. Illud autem : *Quando eram parvulus, cogitabam ut parvulus, loquebar ut parvulus* [7], quam sub lege egit vitam significat in qua non ut jam simplex, sed ut adhuc insipiens, stulta quidem animo agitans, persequebatur : stulta autem loquens, blasphemiis Verbum incessebat. Duo enim significat τὸ νήπιον, *infantem* ✠ videlicet, et *stultum*. *Postquam factus sum*, inquit, *vir* (rursus dicit Paulus [8]) *feci ut cessarent ea, quæ erant infantis*. Non ætatis imperfectam magnitudinem, sed nec temporis præfinitam mensuram, neque virilium et perfectiorum disciplinarum **43** arC canas significat doctrinas, cum infantiam relegat, qui se eam annuntiare profitetur Apostolus. Sed infantes quidem dicit eos, qui sunt in lege, qui, non secus ac larvis pueri, timore perturbantur; viros autem, qui Verbo paremus, nostrique sumus juris et arbitrii vocavit nos, qui credidimus, spontanea electione servati, sapienter, non insipienter metu territi. De hac re testimonium feret ipse Apostolus, Judæos secundum prius Testamentum dicens hæredes, nos autem secundum promissionem. *Dico autem*, inquit, *quandiu hæres est infans, nihil differt a servo, cum sit dominus omnium, sed est sub tutoribus et curatoribus usque ad patris præfinitum tempus : ita et nos, quando eramus sub elementis mundi, in servitute eramus; quando autem venit plenitudo* D *temporis, misit Deus Filium suum factum ex muliere, factum sub lege, ut eos, qui erant sub lege, redimeret, ut adoptionem filiorum per ipsum reciperemus* [9]. Vide

✠ P. 118 ED. POTTER, 97 ED. PARIS.

[5] Luc. x, 21. [6] I Cor. xiv, 20. [7] I Cor. xiii, 11. [8] Ibid. [9] Gal. iv, 1, 2, 3, 4, 5.

(62) *Εὐδοκία ἐγένετο*. *Ἐγένετο εὐδοκία*, Luc., Matth.

(63) *Παλαιόν*. Diversa S. Scripturæ loca, ut sæpe alias, sic hoc etiam loco, in unum confudit. Ephes. iv, 22 : *Ἀποθέσθαι ὑμᾶς κατὰ τὴν προτέραν ἀναστροφὴν τὸν παλαιὸν ἄνθρωπον*. Jud. 23 : *Μισοῦντες καὶ τὸν ἀπὸ τῆς σαρκὸς ἐσπιλωμένον χιτῶνα*. II Cor v, 4 : *Ἐφ' ᾧ οὐ θέλωμεν ἐκδύσασθαι, ἀλλ' ἐπενδύσασθαι, ἵνα καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς*. I Cor. xv, 53 : *Δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν*. Ephes. iv, 24 : *Καὶ ἐνδύσασθαι καινὸν ἄνθρωπον*.

(64) *Ἐφρόνουν*. *Ὡς νήπιος ἐλάλουν, ὡς νήπιος ἐφρόνουν*, apud Paulum.

(65) *Μέν*. Δέ, Cod.

(66) *Ἐπειδή*. Ὅτι δέ apud Paulum.

(67) *Τούς*. Τῷ, Reg.

(68) *Οὕτως*. Οὕτω, Galat.

(69) *Γενόμενον*. Γεννώμενον, Reg. Quam lectionem Irenæus, lib. iii, cap. 18, Augustinus, et Novi Testamenti mss. codd. multi ac versiones sequuntur. Mox, ὑπὸ νόμου, Reg.

(70) *Δι' αὐτοῦ*. Additum a Clemente.

(71) Ἁμαρτίας. Ἁμαρτίαις, Reg.

quomodo confessus est esse infantes, qui timori et peccatis subjecti sunt; eos autem, qui sub fide sunt, filios vocans, viros effecit, ut eos distingueret ab infantibus, qui sunt in lege. *Non est enim*, inquit, *amplius servus, sed filius. Sin autem filius, et hæres per Deum* [10]. Quid ergo filio deest post hæreditatem? Eleganter ergo sic exponi potest illud: *Quando eram infans*, hoc est, quando eram Judæus (erat enim origine Hebræus), *cogitabam ut infans*, quoniam sequebar legem: *postquam autem factus sum vir, non amplius quæ sunt infantis*, hoc est, quæ sunt legis, sed quæ sunt viri, *cogito*; hoc est, quæ sunt Christi, quem solum virum Scriptura vocat, ut ante diximus: *Cessare feci, quæ sunt infantis*. Quæ est autem in Christo infantia, est perfectio. Itaque hac in parte contra legem patrocinari nostræ infantiæ debemus. Est præterea interpretandum id quoque, quod ab Apostolo dictum est: *Lac vobis potum dedi, tanquam infantibus in Christo, non cibum: nondum enim poteratis, sed neque adhuc nunc potestis* [11-12]. Non enim mihi videtur Judaice accipiendum, quod dicit. Nam illam Scripturam ei ex adverso ✠ opponam: *Inducam vos in terram bonam, lacte et melle fluentem* [13]. Exoritur itaque maxima dubitatio harum Scripturarum collationem attendentibus. Si enim fidei in Christum principium est, quæ per lac designatur infantia; ea autem, tanquam puerilis et imperfecta, vili penditur: quomodo ejus, qui est perfectus et scientia præditus, post cibum requies, infantili rursus lacte honorata est? Nunquid ergo hoc, ut quod quamdam parabolam declarat, tale quid significat; et est utique hoc dictum ita legendum: *Lac vobis potum dedi in Christo*; et parvo interjecto spatio subjungamus, *tanquam infantibus*: ut per lectionis distinctionem, talem sensum accipiamus: Catechizavi vos in Christo, simplici et vero et per se naturali alimento spiritali; talis est enim lactis, quæ est altrix animalium, substantia, ex amantibus uberibus scaturiens: ita ut universum sic intelligatur: Quemadmodum nutrices recenter natos infantes lacte nutriunt, ita ego Christi lacte, nempe Verbo, vobis spiritale nutrimentum instillans. Ita ergo perfectum est alimentum lac perfectum, et ad finem, qui nunquam cessaturus est, deducit. Quocirca in Requie quoque idem ipsum lac et mel promittitur. Jure enim rursus justis lac Dominus pollicetur, ut aperte Verbum esse utrumque ostendatur, *A et Ω, principium et*

A τῶν ἐν τῷ νόμῳ νηπίων. *Οὐκ ἔτι γὰρ* (72), φησὶ, *δοῦλος εἶ, ἀλλὰ υἱός· εἰ δὲ υἱὸς* (73), *καὶ κληρονόμος διὰ Θεοῦ*. Τί οὖν ἐνδεῖ τῷ υἱῷ μετὰ τὴν κληρονομίαν; χάριεν τοίνυν οὕτως ἐξηγήσασθαι τό· *Ὅτε ἤμην νήπιος*, τουτέστιν (74), ὅτε ἤμην Ἰουδαῖος (Ἑβραῖος γὰρ ἄνωθεν ἦν), *ὡς νήπιος ἐφρόνουν*, ἐπειδὴ εἱπόμην τῷ νόμῳ· *ἐπεὶ δὲ γέγονα ἀνὴρ, οὐκέτι τὰ τοῦ νηπίου*, τουτέστι τὰ τοῦ νόμου, ἀλλὰ τὰ τοῦ ἀνδρὸς φρονῶ, τουτέστι τὰ τοῦ Χριστοῦ· ὃν μόνον ἄνδρα ἡ Γραφὴ, καθὼς (75) προειρήκαμεν, καλεῖ· *κατήργηκα τὰ τοῦ νηπίου*. Ἡ δὲ ἐν Χριστῷ (76) νηπιότης, τελείωσίς ἐστιν. Ὡς πρὸς τὸν νόμον ἐνταῦθα γενομένοις τῇ νηπιότητι ἡμῶν συνηγορητέον. Ἔτι καὶ τὸ πρὸς τοῦ Ἀποστόλου εἰρημένον ἐπεξηγητέον· *Γάλα ὑμᾶς ἐπότισα*, B *ὡς νηπίους ἐν Χριστῷ* (77), *οὐ βρῶμα· οὔπω γὰρ ἐδύνασθε, ἀλλ' οὐδὲ ἔτι νῦν δύνασθε*. Οὔ μοι γὰρ δοκεῖ Ἰουδαϊκῶς ἐκδέχεσθαι δεῖν τὸ ῥητόν. Ἀντιπαραθήσω γὰρ κἀκείνην τὴν Γραφήν· *Εἰσάξω ὑμᾶς εἰς τὴν γῆν τὴν ἀγαθὴν, τὴν ῥέουσαν γάλα καὶ μέλι*. Ἀνακύπτει τοίνυν ἀπορία μεγίστη κατὰ τὴν τῶν Γραφῶν τῶνδε συμβολὴν νοοῦσιν. Εἰ γὰρ ἀρχὴ τῆς εἰς Χριστὸν πίστεως ἡ διὰ τοῦ (78) γάλακτος νηπιότης ἐστὶν, ἐξευτελίζεται δὲ αὕτη ὡς παιδαριώδης καὶ ἀτελής· πῶς ἡ τοῦ τελείου καὶ γνωστικοῦ μετὰ τὴν βρῶσιν ἀνάπαυσις αὖθις νηπίῳ τετίμηται γάλακτι; μήτι οὖν τὸ ὡς παραβολῆς ὂν δηλωτικὸν τοιοῦτόν τι ἐμφαίνει, καὶ δὴ ἀναγνωστέον ὧδέ πως ῥητόν· *Γάλα ὑμᾶς ἐπότισα ἐν Χριστῷ·* καὶ διαστήσαντες ὀλίγον ἐπαγάγωμεν *ὡς νηπίους*; C ἵνα κατὰ τὴν διαστολὴν τῆς ἀναγνώσεως, τοιαύτην ἀποδεξώμεθα διάνοιαν. Κατήχησα ὑμᾶς ἐν Χριστῷ ἁπλῇ καὶ ἀληθεῖ καὶ αὐτοφυεῖ τροφῇ τῇ πνευματικῇ· τοιαύτη γὰρ ἡ τοῦ γάλακτος ζωοτρόφος οὐσία, φιλοστόργοις πηγάζουσα μαστοῖς· ὡς νοεῖσθαι τὸ πᾶν τῇδε· Ὥσπερ τῷ γάλακτι αἱ τιτθαὶ τοὺς παῖδας τοὺς νεογνοὺς ἐκτρέφουσιν, κἀγὼ δὲ οὕτω τοῦ Χριστοῦ τῷ γάλακτι, Λόγῳ, πνευματικὴν ὑμῖν ἐνστάζων τροφήν. Οὕτω γοῦν τελεία τροφὴ τὸ γάλα ἐστὶ τὸ τέλειον, καὶ εἰς τέλος ἄγει τὸ ἀκατάπαυστον. Διὸ κἀν τῇ ἀναπαύσει (79) τὸ αὐτὸ τοῦτο ἐπήγγελται γάλα καὶ μέλι. Εἰκότως γάλα αὖθις ὑπισχνεῖται τοῖς δικαίοις ὁ Κύριος, ἵνα δὴ σαφῶς ὁ Λόγος ἄμφω δειχθῇ, *ἄλφα καὶ ὠμέγα, ἀρχὴ καὶ τέλος*· ὁ Λόγος ἀλ- D ληγορούμενος γάλα. Τοιοῦτόν τι καὶ Ὅμηρος ἄκων μαντεύεται, τοὺς δικαίους τῶν ἀνθρώπων *γαλακτοφάγους* (80) καλῶν· ἔξεστι δὲ καὶ οὕτως ἐκλαμβάνειν τὴν Γραφήν· *Κἀγὼ* (81) *δὲ, ἀδελφοὶ, οὐκ ἐδυνή-*

✠ P. 119 ED. POTTER, 98 ED. PARIS.

17, et sæpe alibi.

[10] Gal. IV, 7. [11-12] I Cor. III, 2. [13] Exod. III, 8,

(72) *Οὐκ ἔτι γάρ*. Ὥστε οὐκ ἔτι, Galat.

(73) *Εἰ δὲ υἱός*. Εἰ δὲ καὶ υἱός, Bod. Mox, *κληρονόμος Θεοῦ διὰ Χριστοῦ*, Galat.

(74) *Τουτέστιν*. Τό addunt post τουτέστιν, Bod., Reg.

(75) *Καθώς*. Ὡς, Reg.

(76) *Ἡ δὲ ἐν Χρ*. Sic distingui debet: Ἡ δὲ ἐν Χριστῷ νηπιότης τελείωσίς ἐστιν, ὡς πρὸς τὸν νόμον. Ἐνταῦθα γενομέν. *Ea vero infantia, quæ in Christo est, si cum lege conferatur, est perfectio. Hoc loco cum simus, infantiæ nostræ patrocinandum est.*

(77) *Ὡς νηπίους ἐν Χριστῷ*. Clementis additamentum. Mox οὔτε pro οὐδέ apud Paulum.

(78) *Διὰ τοῦ*. Διὰ τὴν τοῦ, Reg., Bod.

(79) *Ἀναπαύσει*. Id est Chanaanitide terra, quæ dicebatur esse γῆ ῥέουσα γάλα, et cœlestis requiei typus erat.

(80) *Γαλακτοφάγους*. Sic vocat Abios, Scythiæ gentem, Homerus, *Iliad*. N, vers. 6:
Γλακτοφάγων Ἀβίων τε, δικαιοτάτων ἀνθρώπων.

(81) *Κἀγώ*. Καὶ ἐγώ, apud Paulum.

θην λαλῆσαι ὑμῖν ὡς πνευματικοῖς, ἀλλ' ὡς σαρκικοῖς (82), *ὡς νηπίοις ἐν Χριστῷ·* ὡς δύνασθαι σαρκικοὺς νοεῖσθαι τοὺς νεωστὶ κατηχουμένους, καὶ νηπίους ἔτι ἐν Χριστῷ. Πνευματικοὺς μὲν γὰρ τοὺς πεπιστευκότας ἤδη τῷ ἁγίῳ Πνεύματι προσεῖπεν· σαρκικοὺς δὲ τοὺς νεοκατηχήτους, καὶ μηδέπω κεκαθαρμένους (83)· οὓς ἔτι σαρκικοὺς εἰκότως λέγει, ἐπίσης τοῖς ἐθνικοῖς τὰ σαρκὸς ἔτι φρονοῦντας· *Ὅπου γὰρ ἐν ὑμῖν ζῆλος καὶ ἔρις* (84), *οὐχὶ σαρκικοί ἐστε, καὶ κατὰ ἄνθρωπον περιπατεῖτε; Διὸ καὶ γάλα ὑμᾶς ἐπότισα*, φησίν· τὴν γνῶσιν ὑμῖν ἐνέχεα, λέγων, τὴν ἐκ κατηχήσεως ἀνατρέφουσαν εἰς ζωὴν ἀΐδιον. Ἀλλὰ καὶ τὸ *ἐπότισα* ῥῆμα τελείας μεταλήψεως σύμβολόν ἐστι. Πίνειν μὲν γὰρ οἱ τέλειοι λέγονται, θηλάζειν δὲ οἱ νήπιοι. *Τὸ αἷμά μου γάρ*, φησὶν ὁ Κύριος, *ἀληθής* (85) *ἐστι πόσις*. Μήτι οὖν *Γάλα*, εἰπὼν, *ἐπότισα*, τὴν ἐν Λόγῳ γάλακτι τελείαν εὐφροσύνην, τὴν γνῶσιν τῆς ἀληθείας, ᾐνίξατο; Τὸ δ' ἐπαγόμενον ἑξῆς, *Οὐ βρῶμα· οὔπω γὰρ ἐδύνασθε·* τὴν ἐν τῷ μέλλοντι αἰῶνι ἐναργῆ ἀποκάλυψιν, βρώματος δίκην, πρόσωπον πρὸς πρόσωπον, αἰνίττεσθαι δύναται. *Βλέπομεν* (86) *γὰρ ὡς δι' ἐσόπτρου νῦν*, ὁ αὐτὸς Ἀπόστολος λέγει· *τότε δὲ πρόσωπον πρὸς πρόσωπον*. Διὸ κἀκεῖνο ἐπήγαγεν· *Ἀλλ' οὐδὲ ἔτι νῦν δύνασθε· ἔτι γὰρ σαρκικοί ἐστε*, τὰ τῆς σαρκὸς φρονοῦντες, ἐπιθυμοῦντες (87), ἐρῶντες, ζηλοῦντες, μηνιῶντες, φθονοῦντες. *Οὐ γὰρ ἔτι ἐν σαρκί ἐσμεν*, ὥς ὑπειλήφασί τινες· σὺν αὐτῇ (88) γὰρ τὸ πρόσωπον ἰσάγγελον ἔχοντες, πρόσωπον πρὸς πρόσωπον τὴν ἐπαγγελίαν ὀψόμεθα. Πῶς δὲ, εἰ ἐκείνη ὄντως ἐστὶν ἡ ἐπαγγελία μετὰ τὴν ἐνθένδε ἀπαλλαγὴν, *ἣν ὀφθαλμὸς οὐκ οἶδεν* (89), *οὐδὲ ἐπὶ νοῦν ἀνθρώπου οὐκ ἀνέβη*, εἰδέναι φασὶν, οὐ πνεύματι ἐννενοηκότες, ἀλλὰ ἐκ μαθήσεως παρειληφότες, ὃ οὓς οὐχ ἤκουσέ ποτε, ἢ μόνον ἐκεῖνο τὸ *ἐν τρίτῳ ἁρπασθὲν οὐρανῷ*, ἀλλὰ κἀκεῖνο ἐχεμυθεῖν ἐκελεύετο τότε; Εἰ δὲ ἀνθρωπίνη σοφία ἐστὶν, ὅπερ ὑπολείπεται νοεῖν, ἡ μεγαλαυχία τῆς γνώσεως, ἄκουε τὸν νόμον τῆς Γραφῆς· *Μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ· καὶ μὴ καυχάσθω ὁ ἰσχυρὸς ἐν τῇ ἰσχύϊ αὐτοῦ· ὁ δὲ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω*. Ἡμεῖς δὲ θεοδίδακτοι (90) καὶ τῷ Χριστοῦ ὀνόματι καυχώμενοι. Πῶς οὖν οὐ ταύτῃ νοεῖν τὸν Ἀπόστολον ὑποληπτέον *τὸ γάλα τῶν νηπίων;* εἴ γε ποιμένες (91) ἐσμὲν οἱ τῶν Ἐκκλησιῶν προηγούμενοι, κατ' εἰκόνα τοῦ *ἀγαθοῦ ποιμένος* (92)· τὰ δὲ πρόβατα ἡμεῖς (93)· μὴ οὐχὶ καὶ γάλα τῆς ποίμνης

A *finis* [14]; Verbum, inquam, quod lac allegorice dicitur. Tale quid Homerus vel invitus divinat, justos homines γαλακτοφάγους, hoc est, qui lacte vescuntur, appellans. Potest etiam ita Scriptura accipi: *Et ego, fratres, non potui loqui vobis tanquam spiritalibus, sed tanquam carnalibus, tanquam infantibus in Christo* [15]. Ut possint *carnales* intelligi, qui recenter fuerunt instituti, et catechumeni facti, et adhuc infantes in Christo. Spiritales enim eos, qui sancto Spiritui jam crediderunt, appellavit; carnales autem, eos, qui nuper catechizati sunt, nec adhuc sunt expurgati; quos merito *adhuc carnales* dicit [16], ut qui æque ac gentes ea, quæ erant carnis, cogitabant. *Ubi enim inter vos æmulatio et lis, annon carnales estis, et secundum hominem ambula-*
B *tis?* Quocirca etiam, *Lac vobis*, inquit [17], *potum dedi*; cognitionem, dicens, vobis infudi, quæ ex catechesi data est, quæ nutrit in vitam æternam. Quin etiam hoc verbum, *Potum dedi*, est symbolum ac signum perfectæ participationis. Qui enim perfecti sunt, dicuntur bibere; infantes autem sugere. *Sanguis enim meus*, inquit Dominus, ✠ *verus est potus* [18]. Nunquid ergo, cum dixit, *Lac potum dedi*, significavit perfectam in Verbo, lacte, lætitiam, veritatis scilicet cognitionem? Quod autem deinceps subjungitur, *Non cibum; nondum enim poteratis*, evidentem quæ erit in futuro sæculo revelationem, instar cibi, *facie ad faciem*, potest significare. *Videmus enim nunc tanquam per speculum*, dicit idem Apostolus [19], *tunc autem facie ad faciem*. Quocirca
C illud quoque subjunxit: *Sed neque nunc potestis, adhuc enim carnales estis*, quæ sunt carnis cogitantes, concupiscentes, amantes, æmulantes, irascentes, invidentes: *Non enim in carne amplius sumus* [20], ut quidam existimarunt: cum ea enim faciem angelis æqualem habentes, promissum facie ad faciem videbimus. Quomodo autem, si vere est illud promissum, postquam hinc excesserimus, *quod oculus non vidit, neque in mentem hominis ascendit* [21], se id novisse dicunt, cum spiritu non intellexerint **44**, sed ex disciplina acceperint, quod auris nunquam audivit, præterquam illa sola, quæ *in tertium cœlum rapta est* [22], et illa quoque silentio obtegere jubebatur? Sin autem humana sapien-
D tia, quod quidem restat intelligendum, sit cognitionis gloriatio, audi legem Scripturæ: *Ne glorietur sapiens in sapientia sua; et non glorietur fortis*

✠ P. 120 ED. POTTER, 99 ED. PARIS. [14] Apoc. I, 8; XXI, 6; XXII, 13. [15] I Cor. III, 1. [16] Ibid. 3. [17] Ibid. 2. [18] Joan. VI, 56. [19] I Cor. XIII, 12. [20] Rom. VIII, 9. [21] I Cor. II, 9. [22] II Cor. XII, 2, 3, 4.

(82) *Σαρκικοῖς*. Σαρκίνοις, Reg., Bod. Mox, σαρκίνους pro σαρκικούς, idem.
(83) *Κεκαθαρμένους*. Sc. aqua baptismi.
(84) *Ἔρις*. Καὶ διχοστασίαι addunt vulg. Novi T. codd.
(85) *Ἀληθής*. Ἀληθῶς, Evang.
(86) *Βλέπομεν*. Βλέπομεν γὰρ ἄρτι δι' ἐσόπτρου, ἐν αἰνίγματι, τότε δὲ πρ., apud Paulum.
(87) *Ἐπιθυμοῦντες*. Respicit Gal. v, 19, 20, 21, ubi opera carnis enumerat Apostolus.
(88) *Σὺν αὐτῇ*. Hæc eorum ratio est, qui ἐν σαρκὶ ἡμᾶς εἶναι ὑπειλήφασι, cui Clemens mox occurrit.
(89) *Οἶδεν*. Rectius εἶδεν, *vidit*, I Cor. II, ubi etiam mox ἐπὶ καρδίαν pro ἐπὶ νοῦν. Atque adeo ita est etiam infra *Stromateon* p. 565. SYLBURG.
(90) *Ἡμεῖς*. Respicit I Thess. IV, 9: *Αὐτοὶ γὰρ ὑμεῖς θεοδίδακτοι.*
(91) *Ποιμένες*. Hinc patet Clementem, non solum ætate, ut quibusdam visum est, sed etiam officio πρεσβύτερον fuisse.
(92) *Ἀγαθοῦ ποιμένος*. Hoc est Christi, qui dixit: Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός, Joan. x, 11, 14.
(93) *Ἡμεῖς*. Rectius ὑμεῖς, *vos*. SYLBURG.

in fortitudine sua; sed qui gloriatur, in Domino glorietur [23]. Nos autem a Deo docti sumus, et in Christi nomine gloriamur. Quomodo ergo non est existimandum, Apostolum hoc modo intelligere *lac infantium?* siquidem pastores sumus, qui Ecclesiis præsumus ad imaginem *boni Pastoris*, vos autem oves; annon eum, qui lac quoque gregis dicit Dominum, servare consequentiam in allegoria? Jam vero dictum rursus huic sensui applicare debemus. *Lac vobis potum dedi, non cibum, nondum enim poteratis;* non aliquid aliud quam lac cibum existimantes, sed idem substantia. Similiter enim idem ipsum quoque Verbum vel est laxum et mite, ut lac; vel concretum et coactum, ut cibus. Verum enim vero si sic acceperimus, potest a nobis lac intelligi prædicatio, quæ plurimum diffusa est; cibus autem, fides, quæ a catechesi in fundamentum coacta et conversa est; quæ cum sit auditione solidior, cibo assimilatur in ipsa anima, tale alimentum in substantiam convertens. ✠ Alibi quoque Dominus in Evangelio secundum Joannem aliter hoc per symbola ac signa exposuit, cum dixit: *Comedite carnes meas, et bibite meum sanguinem* [24]*;* evidens fidei et promissionis symbolum innuens id esse, quod est poculentum, per quæ Ecclesia, tanquam homo, ex multis constans membris, irrigatur et augetur, et ex utrisque conflatur et coalescit, corpore quidem, fide; anima vero, spe; quemadmodum Dominus quoque ex carne et sanguine. Revera enim sanguis fidei est spes, qua continetur fides tanquam ab anima; cum autem spes exspiraverit, perinde ac si sanguis effluxerit, vitalis fidei facultas dissolvitur. Quod si velint nonnulli contendere, dicentes *lac primas significare disciplinas, tanquam prima nu-*

A τὸν Κύριον (94) λέγοντα, τὴν ἀκολουθίαν φυλάττειν ἀλληγοροῦντα; Καὶ δὴ τὸ ῥητὸν αὖθις τῇ διανοίᾳ ἐφαρμοστέον· *Γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα· οὔπω γὰρ ἐδύνασθε*, οὐκ ἄλλο τι παρὰ τὸ γάλα τὸ βρῶμα ὑπολαμβάνοντας, ταὐτὸν δὲ τῇ οὐσίᾳ· ὡσαύτως γὰρ καὶ ὁ Λόγος ὁ αὐτὸς, ἢ ἀνειμένος καὶ ἤπιος ὡς γάλα· ἢ πεπηγὼς καὶ συνεστραμμένος (95), ὡς βρῶμα. Οὐ μὴν ἀλλὰ καὶ τῇδε ἐκλαμβάνουσιν ἡμῖν, γάλα νοεῖσθαι τὸ κήρυγμα δύναται τὸ ἐπιπλεῖστον κεχυμένον· βρῶμα δὲ, ἡ πίστις εἰς θεμέλιον ἐκ κατηχήσεως συνεστραμμένη· ἢ δὴ στερεμνιωτέρα τῆς ἀκοῆς ὑπάρχουσα, βρώματι ἀπεικάζεται, ἐν αὐτῇ σωματοποιουμένη (96) τῇ ψυχῇ τὴν τοιάνδε τροφὴν (97). Ἀλλαχόθι δὲ καὶ ὁ Κύριος ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ ἑτέρως ἐξήνεγκεν B διὰ συμβόλων· *Φάγεσθέ* (98) *μου τὰς σάρκας* (99), εἰπὼν, *καὶ πίεσθέ μου τὸ αἷμα*· ἐναργὲς τῆς πίστεως καὶ τῆς ἐπαγγελίας τὸ πότιμον ἀλληγορῶν, δι' ὧν ἡ Ἐκκλησία, καθάπερ ἄνθρωπος, ἐκ πολλῶν συνεστηκυῖα μελῶν, ἄρδεταί τε καὶ αὔξεται, συγκροτεῖταί τε καὶ συμπήγνυται ἐξ ἀμφοῖν· σώματος μὲν, τῆς πίστεως, ψυχῆς δὲ, τῆς ἐλπίδος· ὥσπερ καὶ ὁ Κύριος ἐκ σαρκὸς καὶ αἵματος· τῷ γὰρ ὄντι αἷμα τῆς πίστεως ἡ ἐλπὶς, ἐφ' ἧς συνέχεται, καθάπερ ὑπὸ ψυχῆς, ἡ πίστις. Διαπνευσάσης δὲ τῆς ἐλπίδος, δίκην ἐκρυέντος αἵματος, τὸ ζωτικὸν τῆς πίστεως ὑπεκλύεται. Εἰ δὲ ἄρα προσφιλονεικεῖν ἐθέλοιέν τινες, τὰ πρῶτα μαθήματα τὸ γάλα μηνύειν λέγοντες, ὡσανεὶ πρώτας τροφὰς, τὸ δὲ βρῶμα τὰς πνευματικὰς ἐπιγνώσεις, ἐφ' ἃς αὐτοὺς (1) ἀνάγουσιν εἰς γνῶσιν C ἴστωσαν ὡς ἄρα *στερεὰν τροφὴν* τὸ βρῶμα λέγοντες καὶ σάρκα καὶ αἷμα τοῦ Ἰησοῦ, ὑποφέρονται τῇ σφῶν αὐτῶν μεγαλαύχῳ σοφίᾳ ἐπὶ τὴν ἁπλότητα τὴν ἀληθῆ· πρωτόγονον γὰρ τὸ αἷμα εὑρίσκεται ἐν ἀνθρώπῳ· ὃ δή τινες οὐσίαν εἰπεῖν ψυχῆς (2) τετολμή-

✠ P. 121 ED. POTTER, 100 ED. PARIS.

[23] Jer. ix, 23; I Cor. i, 31; II Cor. x, 17.

[24] Joan. vi, 54.

(94) *Κύριον*. Nempe is, cujus corpus et sanguinem pastores ovibus, hoc est presbyteri Christiano populo, in cibum dispensant, κατ' ἀκολουθίαν, et allegorice *lac* dici potest.

(95) *Συνεστραμμένος*. *Contortus*, a συστρέφω. Forte συνεσταμένος, *compactus*, a συνίσταμαι. Sed συνεστηκώς plerumque dicitur.

(96) *Σωματοποιουμένη*. Hæc vox de nutritione dici solet, qua alimentum in corporis nutriti substantiam convertitur.

(97) *Τὴν τοιάνδε τροφήν*. Quidam hæc referunt ad ea, quæ sequuntur.

(98) *Φάγεσθε*. Φάνετε, et mox πίετε, Bod., Reg.

(99) *Τὰς σάρκας*. A. ex vulg. Bibl. mavult τὴν σάρκα, singul. numero. Sylburg.

(1) *Ἐφ' ἃς αὐτούς*. Ἐφ' ἃς agnoscit etiam Herveti versio: *Ad quas seipsos propter scientiam erigunt*. Sed procul dubio pro duabus illis vocibus, librariorum vitio divulsis, reponenda una σφᾶς, et belle constabit structura pariter ac sensus. Sylburg. — Ἀνάγουσιν, quod sequitur, quomodo irrepserit, haud scio. In Heinsiana editione primum apparuit. Sed ἀνάγοντες, præter mss. cod. habent Flor. Sylburg. Scribendum igitur, σφᾶς αὐτοὺς ἀνάγοντες εἰς γνῶσιν, *seipsos ad cognitionem evehentes*. Agit enim auctor de hæreticis, qui, vana scientiæ suæ opinione inflati, Gnosticos sese vocabant.

(2) *Οὐσίαν εἰπεῖν ψυχῆς*. Perantiqua opinio erat, sanguinem esse animam. Proinde non pauci e veteribus hominum prudentiam sanguini inesse, et pro diverso illius statu mutari fingebant. Stobæus, *Eclog. physic.* lib. i, pag. 131: Τειρεσίας δὲ ἔχει μὲν λογισμὸν τῶν ἀνθρωπίνων, μαντεύεται δὲ οὐδ' αὐτὸς περὶ τῶν εἱμαρμένων τοῖς ζῶσιν πρὶν πιεῖν τοῦ αἵματος. Οἴεται γὰρ καὶ Ὅμηρος, καθὰ καὶ πλεῖστοι τῶν μετ' αὐτὸν ὑπέλαβον, ἐν τῷ αἵματι εἶναι ἀνθρώποις τὴν περὶ τὰ θνητὰ φρόνησιν· ἐπεὶ καὶ τῶν μετ' αὐτὸν πολλοὶ τούτων πιστοῦνται, δεικνύντες, ὅπερ καὶ ὑποθερμανθὲν ὑπὸ πυρετοῦ καὶ χολῆς, ἀφραί- D νειν ποιεῖν, καὶ ἀνοητεῖν. Ἐμπεδοκλῆς τε οὕτω φαίνεται ὡς ὄργανον προσύνεσιν (leg. πρὸς σύνεσιν) τοῦ αἵματος, οὕτως λέγων·

Αἵματος ἐν πλάγεσιν τετραμμένου ἀντιθρῶντος,
Τῇ τε νόημα μάλιστα κικλήσκεται ἀνθρώποισιν·
Αἷμα γὰρ ἀνθρώποις περικάρδιόν ἐστι νόημα.

Tiresias quoque (scilicet, in Homerica νεκυομαντείᾳ) *tametsi rerum humanarum sensu præditus, non tamen ante vivis vaticinatur, quam sanguinem hauserit. Existimat enim Homerus, quod etiam multi post ipsum sunt arbitrati, in sanguine prudentiam humanam consistere; quemadmodum id posteriorum plerique confirmant, docentes eumdem febri vel bili succensum, stultitiam et insaniam parere. Empedocles vero sanguinem pro instrumento prudentiæ habet:*

Sanguinis in sedibus nutriti refluí,
Ubi intelligentiam præcipue esse dicunt homines.
Sanguis enim cor ambiens prudentia cuique est.

κασι. Τοῦτο δὴ (3) τὸ αἷμα, φυσικῇ τρεπόμενον πέψει, κυησάσης τῆς μητρὸς, φιλοστοργίᾳ συμπαθεῖ, ἐξανθεῖ, καὶ γηράσκει, πρὸς τὸ ἄφοβον τοῦ παιδίου· καὶ ἔστι μὲν τῆς σαρκὸς ὑγρότερον τὸ αἷμα, οἷον ὑγρά τις οὖσα σὰρξ, τοῦ δὲ αἵματος νοστιμώτερον τὸ γάλα καὶ λεπτομερέστερον. Εἴτε γὰρ τὸ ἐπιχορηγούμενον αἷμα τῷ ἐμβρύῳ, καὶ διὰ μητρῴου πρότερόν ἐστι πεμπόμενον ὀμφαλοῦ, εἴτε αὖ τὸ καταμήνιον αὐτὸ, ἀποκλεισθὲν τῆς οἰκείας φορᾶς, κατὰ φυσικὴν ἀνάχυσιν χωρεῖν κελεύεται πρὸς τοῦ παντρόφου (4) καὶ γενεσιουργοῦ Θεοῦ ἐπὶ τοὺς φλεγμαίνοντας ἤδη μαστοὺς, καὶ ὑπὸ πνεύματος ἀλλοιούμενον θερμοῦ, ποθεινὴ σκευάζεται τῷ νηπίῳ τροφή· αἷμα τὸ μεταβάλλον ἐστί· μάλιστα γὰρ πάντων μελῶν μαστοὶ συμπαθεῖς μήτρᾳ. Ἐπὰν οὖν (5) κατὰ τοὺς τόκους ἀποκοπὴν λάβῃ τὸ ἀγγεῖον, δι' οὗ πρὸς τὸ ἔμβρυον τὸ αἷμα ἐφέρετο, μύσις μὲν γὰρ τοῦ πόρου, τὴν δὲ ὁρμὴν ἐπὶ τοὺς μαστοὺς τὸ αἷμα λαμβάνει· καὶ πολλῆς τῆς ἐπιφορᾶς γενομένης, διατείνονται, καὶ μεταβάλλει τὸ αἷμα εἰς γάλα, ἀναλόγως τῇ ἐπὶ τῆς ἑλκώσεως εἰς πῦον τοῦ αἵματος μεταβολῇ· εἴτε αὖ ἀπὸ τῶν ἐν μαστοῖς παρακειμένων φλεβῶν ἀναστομουμένων κατὰ τὰς διατάσεις τῆς κυήσεως, τὸ αἷμα μεταχεῖται εἰς τὰς φυσικὰς τῶν μαστῶν σήραγγας· τούτῳ δὲ ἀνακιρνάμενον τὸ ἀπὸ τῶν γειτνιουσῶν καταπεμπόμενον ἀρτηριῶν πνεῦμα, μενούσης ἔτι τῆς ὑποκειμένης ἀκεραίου τοῦ αἵματος οὐσίας, ἐκχυμαινόμενον λευκαίνεται· καὶ τῇ τοιαύτῃ ἀνακοπῇ κατ' ἐξαφρισμὸν μεταβάλλεται, παραπλήσιόν τι πεπονθὸς τῇ θαλάττῃ, ἥν δὴ κατὰ τὰς ἐμβολὰς τῶν πνευμάτων οἱ ποιηταί φασιν *ἀποπτύειν* (6) *ἁλὸς ἄχνην*· πλὴν ἀλλὰ αἷμα ἔχει τὴν οὐσίαν. Τούτῳ τῷ τρόπῳ καὶ οἱ ποταμοὶ ῥόθῳ φερόμενοι, τῇ ἐμπεριλήψει τοῦ περικεχυμένου ἀέρος ξαινόμενοι, ἀφρὸν μορμύρουσι (7)· καὶ τὸ ἐνστόμιον (8) ἡμῶν ὑγρὸν, τῷ πνεύματι ἐκλευκαίνεται. Τίς οὖν ἡ ἀποκλήρωσις (9), μὴ οὐχὶ καὶ τὸ αἷμα ἐπὶ τὸ φωτεινότατον καὶ λευκότατον ὑπὸ τοῦ πνεύματος τρέπεσθαι ὁμολογεῖν; Πάσχει δὲ τὴν μεταβολὴν κατὰ ποιότητα, οὐ κατ' οὐσίαν. Ἀμέλει γοῦν οὐ τροφιμώτερον ἄλλο τι, οὐδὲ μὴν γλυκύτερον, ἀλλ' οὐδὲ λευκότερον εὕροις ἂν γάλακτος. Πάντη δὲ ἔοικε τοῦτο τῇ πνευματικῇ τροφῇ· γλυκεῖα μὲν διὰ τὴν χάριν ὑπάρχουσα, τρόφιμος δὲ ὡς ζωή· λευκὴ δὲ ὡς ἡμέρα Χριστοῦ· καὶ τὸ αἷμα τοῦ Λόγου πεφανέρωται ὡς γάλα. Ταύτῃ τοίνυν περὶ τὴν ἀποκύησιν οἰκονομούμενον, τῷ βρέφει τὸ γάλα χορηγεῖται· καὶ οἱ μαστοὶ οἱ τέως (10) τὸν ἄνδρα περιβλεπό-

A trimenta; cibum autem, spiritales cognitiones, ad quas seipsos propter scientiam erigunt; sciant quod cum utique cibum dicant *nutrimentum solidum*, et carnem et sanguinem Jesu, gloriabunda sua sapientia ad veram simplicitatem deferantur. Sanguis enim invenitur primum genitus in homine, quem nonnulli dicere ausi sunt substantiam animæ. Hic autem sanguis naturali conversus concoctione, postquam mater concepit, et uterum gerit, per naturalem quamdam sympathiam deflorescit et senescit, ut sit infans absque metu; et carne quidem humidior est sanguis, ut qui sit veluti quædam caro humida; sanguine autem lac est jucundius et subtilius. Sive enim est sanguis, qui fetui, qui est in utero, suppeditatur, et per maternum prius umbilicum

B mittitur; sive ipsa menstrua a proprio motu exclusa, naturali diffusione ab almo et generationis auctore Deo ad ubera jam turgentia se conferre jubentur et a calore convertuntur spirituum, atque ita efficitur jucundum et suave nutrimentum; id quod mutatur, sanguis est; ex omnibus enim membris maximum habent consensum ubera cum matrice. Ubi enim in partu vas abscissum fuerit, per quod sanguis ad fetum deferebatur, obstruitur quidem meatus, sanguis ✠ autem ad ubera impellitur, et cum illuc permultum defluxerit, extenduntur, et sanguis in lac mutatur, non secus ac mutatur sanguis in pus in ulceratione; sive a venis, quæ sitæ sunt in mamillis, per fetus

C distensiones apertis, in naturales mamillarum cavernas sanguis transfunditur; ei autem commistus, qui ex vicinis arteriis emittitur, spiritus, manente integra quæ subjicitur sanguinis substantia, undæ instar agitatus albescit, et tali interruptione ritu spumæ mutatur affectione quadam ei, qui mari evenit, non absimili, quod quidem poetæ dicunt ventorum concitum insultibus, *salis aspergine exspuere;* verumtamen adhuc habet sanguinis substantiam. Eodem modo fluvii quoque, dum magno feruntur impetu, circumfusi aeris interceptione lancinati, spumam cum murmure exprimunt; et quod in ore nostro est humidum, spiritu exalbescit. Quam est ergo absurdum non fateri sanguinem in eum fulgorem, eamque albedinem a spiritu con-

D verti? Hanc autem mutationem suscipit in qualitate, non autem in substantia. Nihil certe quod melius nutriat neque quod sit dulcius, nec candidius lacte,

✠ P. 122 ED. POTTER, 101 ED. PARIS.

(3) *Τοῦτο δή*. Τοῦτο δέ, *hoc autem*. Pal. ms. et Hervetus interpres.

(4) *Παντρόφου*. Παντοτρόφου, Reg.

(5) *Ἐπὰν οὖν*. De fetus nutrimento, et lactis generatione, confer Clementem cum Plutarcho *Περὶ φιλοστοργίας*. H. Sylburg.

(6) Ἀποπτύειν. *Iliad*. Δ, vers. 423, 426:

Ὡς δ' ὅτ' ἐν αἰγιαλῷ πολυηχέϊ κῦμα θαλάσσης
Ὄρνυτ' ἐπασσύτερον Ζεφύρου ὑποκινήσαντος,
Κυρτὸν ἐὸν κορυφοῦται, ἀποπτύει δ' ἁλὸς ἄχνην.

(7) Ἀφρὸν μ. Ἀφρῷ μορμύροντα dixit Homerus *Iliad*. E, vers. 597:

Ὡς δ' ὅτ' ἀνὴρ ἀπάλαμνος ἰὼν πολέος πεδίοιο,
Στήῃ ἐπ' ὠκυρόῳ ποταμῷ ἅλαδε προρέοντι,
Ἀφρῷ μορμύροντα ἰδών...

(8) *Ἐνστόμιον*. Εὐστόμιον, Reg.

(9) *Τίς οὖν ἡ ἀποκλήρωσις*. Hoc est, si verba respiciantur, *Quænam igitur distributio?* Sed hanc explicationem contextus non patitur. Interpres vertit, *Quam est ergo absurdum?* quem sensum verba non ferunt. Videtur legi posse, Τίς οὖν ἀπολήρησις; vel, si ea vox in usu esset, ἀποληρωσις· *quænam igitur deliratio?* vel *quam delirum est?*

(10) *Οἱ μαστοὶ οἱ τ.* Legi possit, οἱ μαστοὶ οἱ τέως κατὰ τὸν ἄνδρα περιβλεπόμενοι ὀρθοί· *Ubera, quæ usque ad hoc tempus, more virorum, erecta conspiciuntur.* Cui emendationi favet scholium, quod in margine Reg. et Bod. adnotatum est : Ἀντὶ τοῦ, οἱ

inveneris. Est id itaque omni ex parte spiritali nutrimento simile, quod est quidem dulce propter gratiam, nutriens autem tanquam vita, candidum autem ut dies Christi. Sed et sanguinem Verbi ostensum est esse tanquam lac. Ea ergo ratione in puerperio dispensatum lac infanti subministratur, et ubera, quæ interim recta virum respiciebant, jam ad puellum inclinantur, quod a natura elaboratum est nutrimentum, ut facile capiendum exhibeant edocta, ad salutis refectionem. Non enim tanquam fontes ubera **45** parato lacte influente plena sunt, sed alimentum mutantia, lac in se ipsis efficiunt et exhalant. Alimentum autem, quod est ipsum conveniens ac utile puello recenter compacto et nato, a Deo altore et patre eorum, qui generantur et regenerantur, elaboratur, quemadmodum veteribus Hebræis manna cœlitus defluebat, cœleste angelorum nutrimentum. Unde et nunc quoque nutrices, ✠ eam, quæ primum funditur, lactis potiotionem eodem, quo illud nutrimentum, nomine *manna* appellaverunt. Cæterum mulieres quidem prægnantes, cum matres factæ fuerint, lac emittunt. Dominus autem Christus, fructus Virginis, non beata duxit ubera feminea, nec ea ad nutrimentum delegit; sed cum amans et benignus Pater Verbum impluisset, ipsum jam spiritale alimentum factum est bonis hominibus. O miraculum mysticum! Unus quidem est universorum Pater. Unum est etiam Verbum universorum, et Spiritus sanctus unus, et ipse est ubique. Una autem sola est mater virgo; mihi autem placet eam vocare Ecclesiam. Lac non habuit mater hæc sola, quoniam sola non fuit mulier. Virgo est autem simul, et mater; integra qui-

A μενοι ὀρθοί, ἤδη κατανεύουσι πρὸς τὸ παιδίον· τὴν ὑπὸ τῆς φύσεως πεπονημένην εὔληπτον παρέχειν· διδασκόμενοι τροφὴν εἰς ἀνατροφὴν σωτηρίας· οὐ γὰρ ὡς αἱ πηγαὶ πλήρεις εἰσὶν οἱ μαστοὶ, ἐπεισρέοντος ἑτοίμου γάλακτος, ἀλλὰ μεταβάλλοντες τὴν τροφὴν, ἐν ἑαυτοῖς ἐργάζονται γάλα, καὶ διαπνέουσιν. Ἡ τροφὴ δὲ ἡ κατάλληλος αὕτη καὶ πρόσφορος νεοπαγεῖ καὶ νεοφυεῖ παιδίῳ πρὸς τοῦ Θεοῦ, τοῦ τροφέως καὶ πατρὸς τῶν γεννωμένων (11) καὶ ἀναγεννωμένων, πονουμένη· οἷον τὸ μάννα οὐρανόθεν ἀπεῤῥέετο τοῖς παλαιοῖς Ἑβραίοις ἡ τῶν ἀγγέλων (12) ἐπουράνιος τροφή. Ἀμέλει καὶ νῦν αἱ τιτθαὶ τὸ πρωτόχυτον τοῦ γάλακτος πόμα, ὁμωνύμως ἐκείνῃ τῇ τροφῇ *μάννα* κεκλήκασιν. Ἀλλ' αἱ
B μὲν γυναῖκες, αἱ κύουσαι, μητέρες γενόμεναι, πηγάζουσι γάλα· ὁ δὲ Κύριος ὁ Χριστὸς, ὁ τῆς Παρθένου καρπὸς, οὐκ ἐμακάρισε (13) τοὺς γυναικείους μαστοὺς, οὐδὲ ἔκρινεν αὐτοὺς τροφεῖς· ἀλλὰ τοῦ φιλοστόργου καὶ φιλανθρώπου Πατρὸς ἐπομβρήσαντος τὸν Λόγον, αὐτὸς ἤδη τροφὴ γέγονε πνευματικὴ τοῖς σώφροσιν. Ὢ θαύματος μυστικοῦ! εἷς μὲν (14) ὁ τῶν ὅλων Πατήρ· εἷς δὲ καὶ ὁ τῶν ὅλων Λόγος· καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἕν, καὶ τὸ αὐτὸ πανταχοῦ· μία δὲ μόνη γὰρ μήτηρ παρθένος· Ἐκκλησίαν ἐμοὶ φίλον αὐτὴν καλεῖν. Γάλα οὐκ ἔσχεν ἡ μήτηρ αὕτη μόνη, ὅτι μόνη μὴ γέγονεν γυνή· παρθένος δὲ ἅμα καὶ μήτηρ ἐστίν· ἀκήρατος μὲν ὡς παρθένος, ἀγαπητικὴ δὲ ὡς μήτηρ. Καὶ τὰ αὐτῆς παιδία προσκαλουμένη, ἁγίῳ τιθηνεῖται γάλακτι, τῷ βρεφώδει Λόγῳ. Διὸ οὐκ
C ἔσχε γάλα· ὅτι γάλα ἦν τὸ παιδίον τοῦτο (15) καλὸν καὶ οἰκεῖον, τὸ σῶμα τοῦ Χριστοῦ τὴν νεολαίαν ὑποτροφοῦσαν τῷ Λόγῳ· ἣν αὐτὸς ἐκύησεν ὁ Κύριος ὠδῖνι σαρκικῇ· ἣν αὐτὸς ἐσπαργάνωσεν ὁ Κύριος

✠ P. 123 ED. POTTER, 102 ED. PARIS.

κατ' ἄνδρα ἐπανεστηκότες, οἱ ὥσπερ ἀνδρὸς ὄρθιοι ἐμπεφυκότες. Sed nihil muto.

(11) *Τῶν γενν*. Utrosque dixit, *generatos* et *regeneratos*, quia lac utrisque cibus est eo, qui jam explicatus est, modo.

(12) *Τῶν ἀγγέλων*. Psal. LXXVII, 25, de manna dicitur: *Ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος*. Inde Solomonis Sap. XVI, 20: *Angelorum esca nutristi populum tuum*. Et IV Esdræ I, 19: *Dedi vobis manna in escam. Panem angelorum manducastis*. Hæc e sanctis Patribus non unus proprie accipienda putavit. Justinus, angelos manna vere comedere, licet non dentibus, eo, quo homines, modo, dixit, D Dialog. *cum Tryphone*, p. 279: Εἰ δὲ τοὺς τρεῖς ἠκούσαμεν λελέχθαι βεβρωκέναι, καὶ μὴ τοὺς δύο μόνους, οἵτινες ἄγγελοι τῷ ὄντι ἦσαν, καὶ ἐν τοῖς οὐρανοῖς, δῆλόν ἐστιν ἡμῖν, τρεφόμενοι, κἂν μὴ ὁμοίαν τροφὴν, ἥπερ οἱ ἄνθρωποι χρώμεθα, τρέφονται· περὶ γὰρ τῆς τροφῆς τοῦ μάννα, ἣν ἐτράφησαν οἱ πατέρες ὑμῶν ἐν τῇ ἐρήμῳ, ἡ Γραφὴ οὕτω λέγει, ὅτι ἄρτον ἀγγέλων ἔφαγον· εἴποιμ' ἄν, ὅτι ὁ λόγος ὁ λέγων βεβρωκέναι οὕτως ἂν λέγοι, ὡς ἂν καὶ αὐτοὶ εἴποιμεν ἐπὶ πυρὸς, ὅτι πάντα κατέφαγεν· ἀλλὰ μὴ πάντως τοῦτο ἐξακούειν, ὅτι ὀδοῦσι καὶ γνάθοις μασώμενοι βεβρώκασιν. *Si autem, quod tres* angeli cum Abrahamo *ederint, dictum esse accipiamus, et non duo tantummodo, qui angeli revera fuere; atque in cœlis, ut nobis satis patet, illi, quamvis non eodem alimento, quo nos homines utimur, aluntur: nam de alimonia mannæ, qua patres vestri in deserto victitarunt, Scriptura ait*, panem angelorum manducasse eos; *dixerim, sermonem, qui manducasse eos testatur, perinde loqui, atque si nos de igne asseveremus, omnia eum devorare; minime vero dictum ita exaudiendum esse, quasi dentibus et maxillis mandentes ederent*. Tertullianus, *Adv. Judæos* cap. 3, de populo Israel ait: *Nec humanis passionibus contaminatus, aut sæculi hujus cibis pastus, sed angelorum panibus manna cibatus*. Idem *De carne Christi*, cap. 6, de angelis humana specie apparentibus. *Sed*, inquit, *si de materia necesse fuit angelos sumpsisse carnem, credibilius utique est de terrena materia, quam de ullo genere cœlestium substantiarum, cum adeo terrenæ qualitatis exstiterit, ut terrenis pabulis pasta sit. Fuerit nunc quoque siderea, eodem modo terrenis pabulis pasta est, quando terrena non esset, quo terrena cœlestibus pasta est, quando cœlestis non esset. Legimus enim manna esui populi fuisse: Panem, inquit, angelorum edit homo*. Conf. quæ superius adnotavimus ad *Protrept*., pag. 35, not. 6.

(13) *Οὐκ ἐμακ*. Respicit Luc. XI, 27, 28, ubi cum mulier quædam Christo dixerat, *Μακαρία ἡ κοιλία ἡ βαστάσασά σε, καὶ μαστοὶ οὓς ἐθήλασας*, respondit ille, *Μενοῦνγε μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ, καὶ φυλάσσοντες αὐτόν*.

(14) *Εἷς μέν*. Cl. Bullus, *Defens. fidei Nicænæ* sect. 2, cap. 6, art. 3, hæc adnotavit: « Animadverte: unicuique personæ sacræ Τριάδος vim divinam tribuit, quæ rerum universitatem pervadat, ita ut prima sit Pater universorum, altera Λόγος itidem universorum, ac denique tertia ubique et in universis adsit. »

(15) *Παιδίον τοῦτο*. Post has voces interpres Hervetus distinguit, et mox nominativo casu legit ὑπο-

αἵματι τιμίῳ. Ὢ τῶν ἁγίων λοχευμάτων! ὢ τῶν ἁγίων σπαργάνων! Ὁ Λόγος τὰ πάντα τῷ νηπίῳ, καὶ πατὴρ, καὶ μήτηρ, καὶ παιδαγωγὸς, καὶ τροφεύς. *Φάγεσθέ* (16) *μου*, φησὶ, *τὴν σάρκα*, *καὶ πίεσθέ μου τὸ αἷμα*. Ταύτας ἡμῖν οἰκείας τροφὰς ὁ Κύριος χορηγεῖ, καὶ σάρκα ὀρέγει, καὶ αἷμα ἐκχεῖ· καὶ οὐδὲν εἰς αὔξησιν τοῖς παιδίοις ἐνδεῖ. Ὢ τοῦ παραδόξου μυστηρίου! Ἀποδύσασθαι ἡμῖν τὴν παλαιὰν καὶ σαρκικὴν ἐγκελεύεταί φθορὰν, ὥσπερ καὶ τὴν παλαιὰν τροφήν· καινῆς δὲ ἄλλης τῆς Χριστοῦ διαίτης μεταλαμβάνοντας, ἐκεῖνον, εἰ δυνατὸν, ἀναλαμβάνοντας, ἐν ἑαυτοῖς ἀποτίθεσθαι, καὶ τὸν Σωτῆρα ἐνστερνίσασθαι (17)· ἵνα καταρτίσωμεν τῆς σαρκὸς ἡμῶν τὰ πάθη. Ἀλλ' οὐ ταύτῃ νοεῖν ἐθέλεις, κοινότερον δὲ ἴσως. Ἄκουε καὶ ταύτῃ· σάρκα ἡμῖν τὸ Πνεῦμα τὸ ἅγιον ἀλληγορεῖ· καὶ γὰρ ὑπ' αὐτοῦ δεδημιούργηται ἡ σάρξ. Αἷμα ἡμῖν τὸν Λόγον αἰνίττεται· καὶ γὰρ ὡς αἷμα πλούσιον, ὁ Λόγος ἐπικέχυται τῷ βίῳ· ἡ κρᾶσις δὲ ἡ ἀμφοῖν ὁ Κύριος, ἡ τροφὴ τῶν νηπίων· ὁ Κύριος, Πνεῦμα καὶ Λόγος· ἡ τροφὴ, τουτέστι Κύριος Ἰησοῦς, τουτέστιν ὁ Λόγος τοῦ Θεοῦ, Πνεῦμα σαρκούμενον· ἁγιαζομένη σὰρξ οὐράνιος. Ἡ τροφὴ τὸ γάλα τοῦ Πατρὸς, ᾧ μόνῳ τιτθευόμεθα οἱ νήπιοι. Αὐτὸς γοῦν ὁ ἠγαπημένος καὶ τροφεὺς ἡμῶν Λόγος τὸ αὐτοῦ ὑπὲρ ἡμῶν ἐξέχεεν αἷμα, σώζων τὴν ἀνθρωπότητα· δι' οὗ πεπιστευκότες εἰς τὸν Θεὸν, ἐπὶ τὸν λαθικηδέα μαζὸν (18) τοῦ Πατρὸς, τὸν Λόγον, καταπεφεύγομεν. Ὁ δὲ, ὡς ἔοικεν, μόνος ἡμῖν τοῖς νηπίοις τὸ γάλα τῆς ἀγάπης χορηγεῖ· καὶ οὗτοι ὡς ἀληθῶς μακάριοι μόνοι, ὅσοι τοῦτον θηλάζουσι τὸν μαστόν. Διὰ τοῦτό φησι καὶ ὁ Πέτρος· *Ἀποθέμενοι οὖν πᾶσαν κακίαν, καὶ πάντα δόλον, καὶ τὴν ὑπόκρισιν* (19), *καὶ φθόνον, καὶ καταλαλιὰν, ὡς ἀρτιγέννητα βρέφη, τὸ λογικὸν γάλα ἐπιποθήσατε, ἵνα ἐν αὐτῷ αὐξηθῆτε εἰς σωτηρίαν, εἰ ἐγεύσασθε ὅτι Χριστὸς* (20) *ὁ Κύριος*. Εἰ δὲ καὶ συνενδῴη τις αὐτοῖς, ἄλλο (21) τι εἶναι τὸ βρῶμα παρὰ τὸ γάλα, εἶτα πῶς οὐ περιπαρήσονταί σφισιν αὐτοῖς, οὐ κατανενοηκότες τὴν φύσιν; Ἡ γάρ τοι τροφὴ, χειμῶνος μὲν πυκνοῦντος τοῦ περιέχοντος, καὶ πάροδον (22) οὐ διδόντος ἐντὸς κατακλειομένῳ τῷ θερμῷ, ἑψομένη καὶ πεπτομένη, εἰς τὰς φλέβας ἐξαιματουμένη ἐχωρεῖ· αἱ δὲ, διαπνοῆς οὐ τυγχάνουσαι, πεπληρωμέναι μά-

A dem et inviolata, ut virgo; amans autem, ut mater; quæ suos accersens infantulos, sancto lacte, nempe Verbo infantili, enutrit. Ideo autem lac non habuit, quod lac esset hic infantulus pulcher et conjunctus, scilicet corpus Christi, novum cœtum Verbo nutriens; quem ipse Dominus carnali dolore peperit; quem ipse fasciis alligavit Dominus, pretioso sanguine. O sanctum partum! o sanctas fascias! Verbum est omnia infanti, et pater, et mater, et pædagogus, et altor. *Comedite*, inquit, *meam carnem, et bibite meum sanguinem* [a]. Hæc convenientia alimenta nobis suppeditat Dominus, et carnem præbet, et effundit sanguinem: et ad incrementum nihil deest infantulis. O admirabile mysterium! Veterem et carnalem nos jubet exuere corruptio-

B nem, quemadmodum et vetus nutrimentum; alterius autem novæ Christi diætæ effectos participes, illum, si fieri possit, recipientes, in nobis ipsis reponere; et Servatorem intra pectus condere, ut carnis nostræ affectus componamus. At non vis sic intelligere, sed fortasse communius. Hoc quoque modo audias. Carnem nobis allegorice sanctus significat Spiritus; ab ipso enim caro fabricata est. Sanguis Verbum ✠ nobis designat; tanquam enim dives sanguis, Verbum vitæ infusum est. Amborum autem temperatura est Dominus, alimentum infantium; Dominus, qui est Spiritus et Verbum. Alimentum, id est Dominus Jesus, hoc est Verbum Dei Spiritus incarnatus; caro cœlestis sanctificata.

C Alimentum est lac Patris, quo solo aluntur infantuli. Ipse itaque, qui est dilectus et altor noster, Verbum, effudit pro nobis suum sanguinem, salutem humanæ naturæ afferens, per quem, qui in Deum credidimus, ad mamillam Patris, quæ curarum oblivionem inducit, nempe Verbum, confugimus. Hic autem solus, ut est consentaneum, nobis lac dilectionis infantibus suppeditat. Iique sunt vere beati, qui hanc lactant mamillam. Et ideo Petrus quoque dicit: *Deposito ergo omni vitio, et omni dolo, et simulatione, et invidia, et detrectatione, tanquam nuper nati infantes verbale lac concupiistis, ut in ipso crescatis in salutem, si gustastis, quod Chri-*

D *stus Dominus* [b]. Quod si quispiam etiam eis con-

✠ P. 124 ED. POTTER, 103 ED. PARIS. [a] Joan. VI, 53, 54. [b] I Petr. II, 1, 2, 3.

τροφοῦσα. SYLBURG. — Vel potius legendum ὑποτροφῆσαν, neutro genere; quod Latine redditum est.

(16) *Φάγεσθε*. Φάγετε et πίετε, quemadmodum supra, sic hic etiam habet Reg. pro φάγεσθε et πίεσθε.

(17) *Τὸν Σωτῆρα ἐνστερνίσασθαι*. *Servatorem in pectore condere*. Eodem verbo usus est *Constit. apost.* auctor lib. I, principio, Ἐνστερνισμένοι τὸν φόβον αὐτοῦ· *timorem ejus* (Dei) *toto pectore amplexi*, ut exp. Turrianus. Vel passive, *circumdati ac pectus muniti timore Dei*, ut ait Cotelerius. Priori sensui favet Zonaras, qui ἐνστερνιζόμεθα, Canone I concilii generalis VII, exp. ἀγαπητικῶς δεχόμεθα, καὶ κατασπαζόμεθα. Sed *Constit. apost.* lib. V, cap. 14, Joannes apostolus Christum ἐνστερνίσασθαι dicitur, cum in ejus *pectus* inter cœnandum *incubuit*.

(18) *Λαθικηδέα μαζόν*, Phrasis Homerica ex *Iliad.* X, v. 83, quo Hecuba ad Hectorem filium hæc dicit:

Ἕκτορ, ἐμὸν τέκνον, τάδε τ' αἴδεο, καί μ' ἐλέ-
[*ησον*
Αὐτήν, εἴ ποτέ τοι λαθικηδέα μαζὸν ἐπέσχον.

(19) *Καὶ τὴν ὑπόκρ.* Hæc apud Petrum sic scripta sunt, Καὶ ὑποκρίσεις, καὶ φθόνους, καὶ πάσας καταλαλιὰς, ὡς ἀρτιγέννητα βρέφη τὸ λογικὸν ἄδολον γάλα, etc. Sed Clemens, pro more suo, διὰ μνήμης recitat. Mox, εἰς σωτηρίαν a Clemente additum. Dein, εἴπερ ἐγεύσασθε habent vulgata Biblia.

(20) *Χριστός*. Χρηστός habet S. Scriptura. Conf. quæ adnotata sunt ad *Protrept.* p. 72, not.

(21) *Ἄλλο*. Scribendum videtur, transposita παρὰ præpositione, ἄλλο τι εἶναι παρὰ τὸ βρῶμα τὸ γάλα· *lac esse aliud aliquid præter cibum*. Nam, in iis quæ sequuntur, probat Clemens lac e sanguine constare, eo quod ex alimento fit.

(22) *Πάροδον*. Non minus apte, transposita dis-

cesserit, cibum aliquid aliud esse præter lac, tum quomodo non a seipsis confligentur, ut qui naturam non consideraverint? Etenim alimentum, cum hiems continens obstruat, et intus concluso calido non præbeat exitum, concoctum et in sanguinem versum fluit in venas. Illæ autem, cum eis non detur perspiratio, impletæ maxime intenduntur, et micant. Quocirca nutrices quoque lacte tunc maxime plenæ sunt. A nobis autem paulo ante ostensum est, sanguinem prægnantibus in lac deduci, mutatum quidem, sed nequaquam conversa substantia, quemadmodum scilicet senescentibus pili flavi mutantur in canos. Æstate autem rursus corpus, cum sit rarius, ut alimentum facilius differatur, efficit: et lac minime abundat, quoniam neque sanguis, neque enim universum continetur nutrimentum. Si ergo cibi quidem confectio in sanguinem mutatur, sanguis vero lactescit, sanguis est lactis præparatio, sicut sanguis hominis, et acinus vineæ. Lacte ergo, Dominico scilicet nutrimento, statim quidem postquam editi sumus, alimur: simul ac autem regenerati ✠ fuimus, honore affecti sumus, dum spes quietis annuntiatur, superna Jerusalem, in qua et mel et lac pluere scriptum est; dum per materiale, sanctum nobis alimentum despondetur. *Cibi enim*, sicut ait Apostolus [a], *abolentur;* quod per lac autem est nutrimentum, deducit in cœlos, cives cœlorum, et cum angelis chororum ductores enutriens. Quoniam autem Verbum est fons vitæ scaturiens, et flumen olei dictum est, merito Paulus allegorice loquens, et ipsum *lac* nominans, subjungit: *Potum dedi* [b]. Verbum enim bibitur, alimentum veritatis. Certe potus quoque vocatur humidum nutrimentum. Potest autem res eadem esse et cibus, certo modo se habens, et potus, si alio et alio modo consideretur; quemadmodum **46** caseus quoque est lactis concretio, vel lac concretum; neque enim dictiones aucupari mihi in præsentia curæ est, præterquam quod utrumque nutrimentum una subministrat substantia. Cæterum pueris quoque lactentibus lac solum sufficit, ut sit et potus et alimentum. *Ego*, inquit Dominus, *habeo manducare cibum quem vos nescitis. Cibus meus est ut faciam voluntatem ejus qui misit me* [c]. Videte alium cibum, qui, quemadmodum lac, allegorice sumitur pro voluntate Dei. Quinetiam propriæ passionis complementum ab-

A λιστα συντείνονται καὶ σφύζουσι· διὸ καὶ αἱ τιτθαὶ περιπληθεῖς τότε μάλιστα γίνονται τῷ γάλακτι. Ἀποδέδεικται δὲ ἡμῖν μικρῷ πρόσθεν, τὸ αἷμα εἰς γάλα ταῖς κυούσαις κατὰ μεταβολὴν (23), οὐ κατ' οὐσίαν, χωρεῖν· ὥσπερ ἀμέλει καὶ αἱ τρίχες αἱ ξανθαὶ τοῖς γηρῶσιν εἰς πολιὰς μεταβάλλουσιν· θέρους δὲ ἔμπαλιν, ἀραιότερον ὂν (24) τὸ σῶμα, τὴν τροφὴν εὐδιαφορητοτέραν παρέχει· καὶ ἥκιστα πλεονάζει τὸ γάλα· ἐπεὶ μήτε τὸ αἷμα (25)· οὐδὲ γὰρ πᾶσα κατέχεται ἡ τροφή. Εἰ τοίνυν ἡ μὲν κατεργασία τῆς τροφῆς ἐξαιματοῦται, τὸ δὲ αἷμα ἐκγαλακτοῦται, παρασκευὴ γὰρ τὸ αἷμα τοῦ γάλακτος, ὥσπερ αἷμα ἀνθρώπου, καὶ γίγαρτον ἀμπέλου (26). Τῷ οὖν γάλακτι, τῇ Κυριακῇ τροφῇ, εὐθὺς μὲν ἀποκυηθέντες, τιθηνούμεθα· εὐθὺς δὲ ἀναγεννηθέντες, τετιμήμεθα, τῆς ἀναπαύσεως τὴν ἐλπίδα, τὴν ἄνω Ἱερουσαλὴμ, εὐαγγελιζόμενοι· ἐν ᾗ (27) B μέλι καὶ γάλα ὀμβρεῖν ἀναγέγραπται· διὰ τῆς ἐνύλου, καὶ τὴν ἁγίαν μνηστευόμενοι τροφήν. Τὰ μὲν γὰρ *βρώματα καταργεῖται*, ᾗ φησιν ὁ Ἀπόστολος αὐτὸς, ἡ δὲ διὰ γάλακτος τροφὴ εἰς οὐρανοὺς καθηγεῖται, πολίτας οὐρανῶν καὶ συγχορευτὰς ἀγγέλων ἀναθρεψαμένη. Ἐπειδὰν δέ ἐστιν ὁ Λόγος πηγὴ ζωῆς (28) βρύουσα, καὶ ποταμὸς εἴρηται ἐλαίου, εἰκότως ἀλληγορῶν ὁ Παῦλος, καὶ γάλα αὐτὸν ὀνομάζων, *Ἐπότισα* ἐπιφέρει· πίνεται γὰρ ὁ Λόγος, ἡ τροφὴ τῆς ἀληθείας. Ἀμέλει καὶ τὸ ποτὸν ὑγρὰ καλεῖται τροφή. Δυνατὸν δὲ τὸ αὐτὸ καὶ βρῶμα εἶναί πως ἔχον, καὶ ποτὸν, πρὸς ἄλλο καὶ ἄλλο νοούμενον· καθάπερ καὶ ὁ τυρὸς γάλακτός ἐστι πῆξις, ἢ γάλα πεπηγός· οὐ γάρ μοι τῆς λεξιθηρίας μέλει τανῦν· C πλὴν ὅτι τὰς τροφὰς ἄμφω μία διακονεῖται οὐσία. Ἀλλὰ καὶ τοῖς ὑποτιτθίοις παιδίοις ἀρκεῖ μόνον τὸ γάλα· καὶ ποτὸν εἶναι καὶ τροφήν. *Ἐγὼ*, φησὶν ὁ Κύριος, *βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς οὐκ οἴδατε. Ἐμὸν βρῶμά ἐστιν, ἵνα ποιήσω* (29) *τὸ θέλημα τοῦ πέμψαντός με*. Ὁρᾶτε ἄλλο βρῶμα, ἀλληγορούμενον παραπλησίως γάλακτι, τὸ θέλημα τοῦ Θεοῦ. Ἀλλὰ καὶ τὴν συμπλήρωσιν τοῦ ἰδίου πάθους ποτήριον κέκληκε καταχρηστικῶς, ὅτε ἐκπιεῖν καὶ ἐκτελέσαι μόνον ἐχρῆν αὐτό. Οὕτω Χριστῷ μὲν ἡ τροφὴ τῆς πατρικῆς βουλῆς ἡ τελείωσις ἦν, ἡμῖν δὲ αὐτὸς ὁ Χριστὸς ἡ τροφὴ τοῖς νηπίοις, τοῖς ἀμέλγουσι τὸν Λόγον τῶν οὐρανῶν. Ἐντεῦθεν τὸ ζητῆσαι, *μαστεῦσαι* καλεῖται· ὅτι τοῖς ζητοῦσι νηπίοις τὸν D Λόγον αἱ πατρικαὶ τῆς φιλανθρωπίας θηλαὶ χορηγοῦσι τὸ γάλα. Ἔτι δὲ καὶ ἄρτον αὐτὸν οὐρανῶν

✠ P. 125 ED. POTTER, 114 ED. PARIS. [a] I Cor. VI, 13. [b] I Cor. III, 2. [c] Joan. IV, 32, 34.

tinctione atque articulo, legerimus, πάροδον οὐ διδόντος, τῷ ἐντὸς κατακλειομένῳ θερμῷ ἑψομένη. SYLBURG.

(23) *Κατὰ μεταβολήν*. Scribendum videtur, κατὰ μεταβολὴν τὴν οὐ κατ' οὐσίαν· *per mutationem, quæ fit sine substantiæ conversione*. Vel plenius, κατὰ μεταβολὴν τὴν κατὰ ποιότητα, οὐ κατ' οὐσίαν· *per mutationem quoad qualitatem, non quoad essentiam*. Sic enim superius, eo loco, quem hic respicit, pag. 122: Πάσχει δὲ τὴν μεταβολὴν κατὰ ποιότητα, οὐ κατ' οὐσίαν.

(24) *Ἀραιότερον*. Medice loquitur Clemens; nam Galenus *Therapeut*. lib. 9: Εὐδιαφόρητοι δ' εἰσὶν, inquit, οἱ ὑγροὶ τὴν φύσιν ἅπαντες, καὶ μᾶλλον ἅμα θερμότατοι, καὶ οἱ ἀραιοὶ τὴν ἕξιν. Et quod ἀραιότης sequatur τὸ θερμόν, sciunt medicorum filii.

(25) *Μήτε τὸ αἷμα*. Post hæc verba subaudiendum e præcedenti membro verbum πλεονάζει, nec enim assentior Arcerio, qui legendum putat, ἐπεὶ μήτε τὸ αἷμα, μήτε πᾶσα κατέχεται ἡ τροφή. SYLBURG.

(26) *Ἀμπέλου*. Ἀμπελίου habet Pal. ms. forma diminutiva quæ nihil huc facit. SYLBURG. — Dein, τῷ γοῦν γάλ. Pal., Bod., Reg.

(27) *Ἐν ᾗ*. Sc. in Jerusalem, seu terra Judæorum; quæ τῆς ἄνω Ἱερουσαλὴμ typus erat. Gal. IV, 26; Hebr. XII, 22; Apoc. III, 12; XXI, 2, 10.

(28) *Πηγὴ ζωῆς*. Conf. Apoc. XXI, 6; XXII, 1; Joan. VII, 38; Jac. III, 11.

(29) *Ποιήσω*. Ποιῶ Joan.

ὁμολογεῖ ὁ Λόγος· *Οὐ γὰρ Μωϋσῆς*, φησὶν, *ἔδωκεν* (30) *ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ· ἀλλ' ὁ Πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ, τὸν ἀληθινόν· ὁ γὰρ ἄρτος τοῦ Θεοῦ ἐστιν ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ. Καὶ ὁ ἄρτος ὃν ἐγὼ δώσω, ἡ σάρξ μού ἐστιν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς.* Ἐνταῦθα τὸ μυστικὸν τοῦ ἄρτου παρασημειωτέον, ὅτι σάρκα αὐτὸν λέγει, καὶ ὡς ἀνισταμένην δῆθεν διὰ πυρὸς (31), καθάπερ ἐκ φθορᾶς καὶ σπορᾶς ὁ πυρὸς ἀνίσταται· καὶ μέντοι διὰ πυρὸς συνισταμένην εἰς εὐφροσύνην Ἐκκλησίας, ὡς ἄρτον πεπτόμενον. Ἀλλὰ γὰρ αὖθις ἡμῖν σαφέστερον τοῦτο ἐν τῷ *Περὶ ἀναστάσεως* δηλωθήσεται. Ἐπεὶ δὲ εἶπεν, *Καὶ ὁ ἄρτος, ὃν ἐγὼ δώσω, ἡ σάρξ μού ἐστιν*· σὰρξ δὲ αἵματι ἄρδεται· τὸ δὲ αἷμα οἶνος ἀλληγορεῖται· ἰστέον οὖν (32) ὅτι ὡς ἄρτος εἰς κρᾶμα καταθρυβεὶς, τὸν οἶνον ἁρπάζει, τὸ δὲ (33) ὑδατῶδες ἀπολείπει· οὕτω καὶ ἡ σὰρξ τοῦ Κυρίου, ὁ ἄρτος τῶν οὐρανῶν, ἀναπίνει τὸ αἷμα, τοὺς οὐρανίους τῶν ἀνθρώπων, εἰς ἀφθαρσίαν ἐκτρέφων (34), ἀπολείπων δὲ μόνας ἐκείνας εἰς φθορὰν, τὰς σαρκικὰς ἐπιθυμίας. Οὕτω πολλαχῶς ἀλληγορεῖται ὁ Λόγος, καὶ βρῶμα, καὶ σὰρξ, καὶ τροφὴ, καὶ ἄρτος, καὶ αἷμα, καὶ γάλα· ἅπαντα ὁ Κύριος εἰς ἀπόλαυσιν ἡμῶν τῶν εἰς αὐτὸν πεπιστευκότων. Μὴ δὴ οὖν τις ξενιζέσθω, λεγόντων ἡμῶν ἀλληγορεῖσθαι γάλα τὸ αἷμα τοῦ Κυρίου· ἢ γὰρ καὶ οὐχὶ οἶνος ἀλληγορεῖται; *Ὁ πλύνων* (35), φησὶν, *ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ.* Ἐν τῷ Πνεύματι τῷ αὐτοῦ κοσμήσειν λέγει (36) τὸ σῶμα τοῦ Λόγου, ὥσπερ ἀμέλει τῷ αὐτοῦ Πνεύματι ἐκθρέψει τοὺς πεινῶντας τὸν Λόγον. Ὅτι δὲ τὸ αἷμα ὁ Λόγος ἐστὶν, μαρτυρεῖ τοῦ Ἄβελ τοῦ δικαίου τὸ αἷμα ἐντυγχάνον τῷ Θεῷ· οὐ γὰρ τὸ αἷμα ἄν ποτε προήσεται φωνὴν, μὴ οὐχὶ ὁ Λόγος νοούμενος τὸ αἷμα· τύπος γὰρ ὁ δίκαιος ὁ παλαιὸς τοῦ νέου δικαίου· καὶ τὸ αἷμα τὸ ἐντυγχάνον τὸ παλαιὸν ὑπερεντυγχάνει τοῦ αἵματος τοῦ νέου. Φθέγγεται δὲ πρὸς τὸν Θεὸν τὸ αἷμα, ὁ Λόγος· ἐπεὶ Λόγον ἐμήνυεν τὸν πεισόμενον. Ἀλλὰ καὶ ἡ σὰρξ αὐτὴ, καὶ (37) τὸ ἐν αὐτῇ αἷμα, τῷ γάλακτι, οἷον ἀντιπελαργούμε-

A usive *poculum* [a] appellavit, quando eam ebibere ac exhaurire et perficere ipsum solum oportebat. Ita Christo quidem nutrimentum erat paternæ voluntatis adimpletio. Nobis autem ipse Christus infantibus est alimentum, qui Verbum cœlorum exsugimus. Hinc quærere Græce dicitur μαστεῦσαι, quod infantibus, qui Verbum quærunt, paterna benignitatis ubera lac suppeditent. Præterea autem seipsum quoque panem cœlorum Verbum fatetur : *Non enim Moyses*, inquit, *dedit vobis panem de cœlo, sed Pater meus dat vobis panem de cœlo verum; panis enim Dei est, qui de cœlo descendit et vitam dat mundo. Et panis quem ego dabo, caro mea est quam ego dabo pro mundi vita* [b]. Hic panis notandum est mysterium quod ipsum dicat carnem, ut quæ per B ignem resurgat, quemadmodum ex corruptione et satione frumentum resurgit; atque adeo quæ etiam per ignem consistat, in gaudium Ecclesiæ, ut panis qui pinsitur. Sed hoc rursus a nobis dicetur apertius in libro *De resurrectione*. Quoniam autem dixit, *Et panis quem ego dabo, caro mea est*; caro autem sanguine irrigatur : ✠ sanguis autem vinum allegorice dicitur; sciendum est quod panis in vinum temperatum minutatim conjectus, vinum arripit, quod est aqueum autem relinquit : ita etiam caro Domini, quæ est panis cœlorum, ebibit sanguinem; eos, qui ex hominibus sunt cœlestes, ad incorruptionem enutriens, solas autem illas carnales cupiditates ad corruptionem relinquens. Ita Verbum C multis modis allegorice dicitur, et cibus, et caro, et nutrimentum, et panis, et sanguis, et lac. Omnia est Dominus, ut nos eo fruamur, qui in ipsum credidimus. Ne quis igitur miretur quod nos sanguinem Domini *lac* allegorice dicamus : annon enim vinum quoque allegorice dicitur? *Qui lavat*, inquit, *in vino vestem suam, et in sanguine uvæ indumentum suum* [c]. In Spiritu suo dicit se ornaturum corpus Verbi, quemadmodum scilicet suo Spiritu enutriet eos, qui verbum esuriunt. Quod autem sanguis sit Verbum, Abel *justi* [d] sanguis fert testimonium, qui Deum interpellat. Sanguis enim vocem nunquam emittet, nisi sanguis Verbum intelligatur. Vetus

✠ P. 126 ED. POTTER, 105 ED. PARIS.

[a] Matth. xx, 22; Marc. x, 38; Joan. xviii 11.
[b] Joan. vi, 32, 33, 51.
[c] Gen. xlix, 11.
[d] Gen. iv, 10; Hebr. xii, 24.

(30) *Ἔδωκεν*. Δέδωκεν Joan. Mox, ὁ καταβαίνων ἐκ τοῦ οὐρανοῦ, ibid.

(31) *Διὰ πυρός*. Fortasse legendum δίκην πυροῦ, *more tritici* seu *frumenti*; ut sequens indicat commation. Sylburg.—Sed recepta lectio, quam mss. codd. defendunt, explicari commode potest, de igne, quo consummandus est mundus. *Strom.* v, pag. 549 : Οἶδεν γὰρ καὶ οὗτος τὴν διὰ πυρὸς κάθαρσιν τῶν κακῶς βεβιωκότων, ἣν ὕστερον ἐκπύρωσιν ἐκάλεσαν οἱ Στωϊκοί· καθ' ὃν καὶ τὸν ἴδιως ποιὸν ἀναστήσεσθαι δογματίζουσι· τοῦτ' ἐκεῖνο, τὴν ἀνάστασιν, περιέποντες. Conf. quæ ad hunc locum adnotabuntur.

(32) *Οὖν*. Deest hæc vox in ms. Pal. Sylburg.

(33) *Δέ*. Omittunt Bod., Reg.

(34) *Εἰς ἀφθαρσίαν ἐκτρ.* Antiqui Patres sæpe dicunt corpora nostra per Eucharistiæ sacramentum ad immortalitatem nutriri. Clemens postea, *Pæd.* lib. ii, cap. 2, principio, dicit εἰς ἀφθαρσίαν ὁδηγεῖν Πνεῦμα, quod Christi corpore repræsentatur. D Irenæus lib. iv, cap. 34, p. 327 edit. Oxon., dicit τὰ σώματα ἡμῶν μεταλαμβάνοντα τῆς Εὐχαριστίας, μηκέτι εἶναι φθαρτὰ, τὴν ἐλπίδα τῆς εἰς αἰῶνας ἀναστάσεως ἔχοντα· *corpora nostra percipientia Eucharistiam, jam non esse corruptibilia, spem resurrectionis habentia.* Similia habet lib. v, sub finem cap. 2, pag. 399, 400.

(35) *Ὁ πλύνων*. Πλυνεῖ Bibl. Græc. Tertullianus *Adversus Marcion.* lib. v, cap. 40 : *Multo manifestius Genesis in benedictione Judæ, ex cujus tribu carnis census Christi processurus, jam tunc Christum in Juda delineabat. « Lavabit, inquit, in vino stolam suam, et in sanguine uvæ amictum suum : » stolam et amictum, carnem demonstrans, et vinum sanguinem. Ita et nunc sanguinem suum in vino consecravit, qui tunc vinum in sanguine figuravit.*

(36) *Λέγει*. Λέγειν Reg.

(37) *Καί*. Omittunt Reg., Bod.

enim justus, typus est novi justi; et sanguis vetus, qui interpellat, pro novo sanguine interpellat. Deum autem alloquitur sanguis, qui est Verbum, quoniam significavit Verbum quod erat passurum. Cæterum caro quoque ipsa, et sanguis, qui est in ipsa, veluti per quamdam remunerationem, lacte irrigatur et augetur. Porro autem ejus, quod conceptum est, formatio fit semine commisto ac contemperato cum puro, quod relictum est, excremento menstruæ purgationis. Quæ est enim in eo facultas, sanguinis naturam conglobans, quemadmodum coagulum facit lac concrescere, formaturæ efficit substantiam. Facile enim generat bona temperatura; quæ autem sunt extrema, propensa sunt ad filiorum sterilitatem. Nam in ipsa etiam terra, quod nimiis imbribus inundatur, semen abstrahitur, propter humoris autem siccitatem desiccatur; qui est autem viscosus succus, semen continet et producit. Jam vero nonnulli quoque animalis semen statuunt esse spumam sanguinis quoad substantiam, qui innato masculi calore in conjunctione turbatus, ejectus spumescit, et deponitur in venis seminariis. Hinc Diogenes Apolloniates vult res Venereas Græce esse dictas ἀφροδίσια. ✠ Ex his omnibus clarum est, sanguinem esse humani corporis substantiam. Quin etiam quod est in utero, primum quidem est lactea humidi coagulatio; deinde hæc coagulatio in sanguinem conversa, caro efficitur; concreta autem in utero a naturali et calido spiritu, a quo effingitur fetus, vivificatur. Quin etiam postquam est in lucem editus puellus, eodem sanguine alitur. Natura enim sanguinis est fluxus lactis, et fons nutrimenti lac est, quo etiam mulier ostenditur et vere peperisse, et esse mater; per quod etiam benevolentiæ stimulum accipit. Propterea ergo qui in Apostolo erat sanctus Spiritus, Domini voce utens, dicit mystice: *Lac vobis potum dedi* [a]. Si enim in Christo regenerati sumus, qui nos regeneravit, proprio lacte nutrit, nempe Verbo. Quidquid enim generavit, ei quod generatur, protinus alimentum præbere, est consentaneum. Quemadmodum autem regeneratio convenienter, ita etiam nutrimentum fuit homini spiritale. Omni ergo ratione nos in omnibus Christo conjungimur, et in cognatione, per sanguinem ejus, quo redimimur; et in sympathia, per nutritionem, quæ ex Verbo efficitur; et in incorruptione, per ejus ipsius institutionem et vitæ agendæ rationem:

A νον, ἄρδεταί τε καὶ αὔξεται. Καὶ δὴ καὶ ἡ διαμόρφωσις τοῦ συλληφθέντος, τῷ τῆς ἐπὶ μῆνα καθάρσεως ὑπολελειμμένῳ καθαρῷ περιττώματι κιρναμένου τοῦ σπέρματος· ἡ γὰρ ἐν τούτῳ δύναμις, θρομβοῦσα τοῦ αἵματος τὴν φύσιν, ὃν τρόπον ἡ πυτία συνίστησι τὸ γάλα, καὶ οὐσίαν ἐργάζεται μορφώσεως· εὐθαλεῖ γὰρ ἡ κρᾶσις· σφαλερὰ δὲ ἡ ἀκρότης εἰς ἀτεκνίαν. Καὶ γὰρ αὐτῆς ἤδη τῆς γῆς ὑπὸ μὲν ἐπομβρίας κατακλυσθὲν ἀποσύρεται τὸ σπέρμα· διὰ δὲ αὐχμὸν νοτίδος, ἀποξηραίνεται· κολλώδης δὲ ὁ χυμὸς ὤν, συνέχει τὸ σπέρμα καὶ φύει. Τινὲς δὲ καὶ τὸ σπέρμα τοῦ ζώου ἀφρὸν εἶναι τοῦ αἵματος κατ' οὐσίαν ὑποτίθενται· ὃ δὴ τῇ ἐμφύτῳ τοῦ ἄρσενος θέρμῃ παρὰ τὰς συμπλοκὰς ἐκταραχθὲν ἐκριπιζόμενον ἐξαφροῦται, κἀν ταῖς σπερματίσι B παρατίθεται φλεψίν· ἐντεῦθεν γὰρ ὁ Ἀπολλωνιάτης Διογένης τὰ Ἀφροδίσια (38) κεκλῆσθαι βούλεται. Συμφανὲς τοίνυν ἐκ τούτων ἁπάντων, αἷμα εἶναι τοῦ ἀνθρωπίνου σώματος τὴν οὐσίαν. Καὶ δὴ καὶ τὸ κατὰ γαστρὸς, τὸ μὲν πρῶτον ὑγροῦ ἐστι σύστασις γαλακτοειδής· ἔπειτα ἐξαιματουμένη σαρκοῦται ἡ σύστασις αὕτη· πηγνυμένη δὲ ἐν τῇ ὑστέρᾳ ὑπὸ τοῦ φυσικοῦ καὶ θερμοῦ πνεύματος, ὑφ' οὗ διαπλάττεται τὸ ἔμβρυον, ζωογονεῖται. Ἀλλὰ καὶ μετὰ τὴν (39) κύησιν αὖθις ἐκτρέφεται τὸ παιδίον αἵματι τῷ αὐτῷ· αἵματος γὰρ φύσις τοῦ γάλακτος ἡ ῥύσις, καὶ πηγὴ τροφῆς τὸ γάλα· ᾧ δὴ καὶ γυνὴ δήλη τεκοῦσα ἀληθῶς καὶ (40) μήτηρ· δι' οὗ καὶ φίλτρον εὐνοίας προσλαμβάνει· διὰ τοῦτο ἄρα μυστικῶς τὸ ἐν τῷ Ἀποστόλῳ ἅγιον Πνεῦμα, τῇ τοῦ C Κυρίου ἀποχρώμενον φωνῇ, *Γάλα ὑμᾶς ἐπότισα*, λέγει. Εἰ γὰρ ἀνεγεννήθημεν εἰς Χριστὸν, ὁ ἀναγεννήσας ἡμᾶς ἐκτρέφει τῷ ἰδίῳ γάλακτι, τῷ Λόγῳ· πᾶν γὰρ τὸ γεννῆσαν ἔοικεν εὐθὺς παρέχειν τῷ γεννωμένῳ τροφήν. Καθάπερ δὲ ἡ ἀναγέννησις ἀναλόγως, οὕτω καὶ ἡ τροφὴ γέγονε τῷ ἀνθρώπῳ πνευματική. Πάντῃ τοίνυν ἡμεῖς τὰ πάντα Χριστῷ (41) προσῳκειώμεθα (42), καὶ εἰς συγγένειαν διὰ τὸ αἷμα αὐτοῦ, ᾧ λυτρούμεθα· καὶ εἰς συμπάθειαν διὰ τὴν ἀνατροφὴν (43) τὴν ἐκ τοῦ Λόγου· καὶ εἰς ἀφθαρσίαν διὰ τὴν ἀγωγὴν τὴν αὐτοῦ·

Aluisse autem inter homines sæpe affert
Plura amoris incitamenta, quam procreasse liberos.

Τὸ θρέψαι δ' ἐν βροτοῖσι πολλάκις
Πλείω πορίζει φίλτρα τοῦ φῦσαι τέκνα.

✠ P. 127 ED. POTTER, 106 ED. PARIS. [a] 1 Cor. III, 2.

(38) *Τὰ Ἀφροδίσια.* Plato in *Cratylo* Hesiodi esse dicit: Περὶ δὲ Ἀφροδίτης οὐκ ἄξιον Ἡσιόδῳ ἀντιλέγειν, ἀλλὰ συγχωρεῖν, ὅτι διὰ τὴν τοῦ ἀφροῦ γένεσιν Ἀφροδίτη ἐκλήθη. *De Venere Hesiodo repugnare non decet, sed concedere propter ipsam ex spuma generationem ita vocari.* Sic enim malim vertere cum Ficino, quam cum novo interprete, *propter spumæ æstum, qui in generatione fit.* Hesiodus, οὕνεκ' ἐν ἀφρῷ θρέφθη. Apud Aristotelem Euripides Hecuba, ἀφροσύνης θεά, quod sit *amentiæ Dea*, lib. II, cap. 23, *Rhetoric.* At lib. II *De generat. anim.* cap. 2: Ἔοικε δὲ οὐδὲ τοὺς ἀρχαίους λανθάνειν ἀφρώδης ἡ τοῦ σπέρματος οὖσα φύσις· τὴν γοῦν κυρίαν θεὰν D τῆς μίξεως ἀπὸ τῆς δυνάμεως ταύτης προσηγόρευσαν. *Neque vero homines antiquos latuisse videtur seminis esse spumosam naturam; deam enim, quæ rei venereæ præest, ab ipsa facultate nominarunt.* COLLECT. — Conf. *Protrept.*, pag. 13.

(39) *Τήν.* Omittunt Reg., Bod.

(40) *Καί.* Hanc particulam inseruit Sylburg. Eam mss. codices omittunt.

(41) *Χριστῷ.* Deest in Bod.

(42) *Προσῳκειώμεθα.* Alia scriptura est, προσοικειούμεθα, præs. temp. SYLBURG.

(43) *Ἀνατροφήν.* Ἀναστροφήν, Reg., Bod.

A Τὸ αὐτὸ ἄρα καὶ αἷμα καὶ γάλα τοῦ Κυρίου πάθους καὶ διδασκαλίας σύμβολον. Ἔφεῖται τοιγαροῦν ἡμῶν ἑκάστῳ τῶν νηπίων ἐγκαυχᾶσθαι τῷ Κυρίῳ, ἐπιφθεγγομένοις,

Πατρὸς (44) *δ' ἐξ ἀγαθοῖο καὶ αἵματος εὔχομαι εἶναι.*

Ὡς δ' ἐξ αἵματος γάλα κατὰ μεταβολὴν γίνεται, ἤδη μὲν σαφές· οὐ μὴν ἀλλὰ καὶ ἐκ τῶν ποιμνίων, ἔκ τε τῶν βουκολίων ἔξεστι μαθεῖν· τὰ γὰρ ζῶα ταῦτα, τοῦ ἔτους κατὰ τὴν ὥραν, ἣν ἔαρ καλοῦμεν, ὑγροτέρου τοῦ περιέχοντος γεγονότος, ἀλλὰ καὶ τῆς πόας καὶ τῶν νομῶν εὐχύλων τὸ τηνικάδε οὐσῶν καὶ ἐνίκμων, αἵματος πίμπλαται πρότερον, ὡς ἐκ τῆς διατάσεως τῶν φλεβῶν κυρτουμένων τῶν ἀγγείων δείκνυται· ἐκ δὲ τοῦ αἵματος δαψιλέστερον χεῖται τὸ γάλα· B θέρους δ' ἔμπαλιν, ὑπὸ τοῦ καύματος συγκαιόμενον καὶ ἀναξηραινόμενον, ἵστησι τὴν μεταβολὴν τὸ αἷμα, καὶ ταύτῃ ἔλαττον ἀμέλγονται. Ναὶ μὴν καὶ συγγένειάν τινα πρὸς τὸ ὕδωρ φυσικωτάτην ἔχει τὸ γάλα, καθάπερ ἀμέλει πρὸς τὴν πνευματικὴν τροφὴν τὸ λουτρὸν τὸ πνευματικόν· οἱ γοῦν ἐπιῤῥοφοῦντες τῷ προειρημένῳ γάλακτι ψυχροῦ ὀλίγον ὕδατος ὠφελοῦνται παραχρῆμα· οὐ γὰρ ἀποξύνεσθαι (45) τὸ γάλα ἐᾷ ἡ πρὸς τὸ ὕδωρ κοινωνία, οὐκ ἀντιπαθείᾳ τινὶ, προσπεπαινομένου δὲ προσπαθείᾳ. Καὶ ἣν ὁ Λόγος ἔχει πρὸς τὸ βάπτισμα κοινωνίαν, ταύτην ἔχει τὸ γάλα τὴν συναλλαγὴν πρὸς τὸ ὕδωρ, δέχεται γὰρ μόνον τῶν ὑγρῶν τοῦτο καὶ τὴν πρὸς τὸ ὕδωρ μίξιν, ἐπικάθαρσιν (46) παραλαμβανόμενον· καθάπερ τὸ βάπτισμα ἐπὶ ἀφέσει ἁμαρτιῶν. Μίγνυται δὲ C καὶ μέλιτι (47) προσφυῶς, καὶ τοῦτο ἐπὶ καθάρσει πάλιν μετὰ γλυκείας τῆς τροφῆς· μιγνύμενος γὰρ ὁ Λόγος φιλανθρωπίᾳ, ἰᾶταί γε ἅμα τὰ πάθη, καὶ ἀνακαθαίρει τὰς ἁμαρτίας· καὶ τὸ,

... *Μέλιτος* (48) *γλυκίων ῥέεν αὐδὴ,*

ἐπὶ τοῦ Λόγου λελέχθαι μοι δοκεῖ, ὅς ἐστι μέλι. Καὶ πολλαχοῦ δὲ ἡ προφητεία *ὑπὲρ μέλι καὶ κηρίον* ἀνάγει. Ναὶ μὴν ἐπιμίγνυται τὸ γάλα καὶ οἴνῳ (49)

Idem ergo sanguis et lac, passionis et doctrinæ Domini est symbolum. Unicuique **47** ergo nostrum, qui infantes sumus, licet de Domino gloriari, et eloqui :

Patre bono, talique ex sanguine glorior esse.

Quod autem lac ex sanguine fiat per mutationem, jam quidem clarum est; verum id etiam et ex pecoribus et ex bobus licet cognoscere. Hæc enim animalia tempore anni, quod ver vocamus, cum humidior sit aer, herbæque et pascua sint melioris succi et magis roscida, sanguine prius implentur, ut ex venarum distensione, vasibus rotundioribus factis, licet cognoscere; ex sanguine autem lac funditur uberius; contra autem æstate, ab æstu adustus et arefactus sistit sanguis mutationem, et ideo minus mulgentur. Quin etiam lac quoque habet maxime naturalem cum aqua cognationem, ✠ quemadmodum scilicet cum nutrimento spiritali lavacrum spiritale. Qui itaque in prædicto lacte frigidæ aquæ parum exsorbent, statim juvantur; non sinit enim lac acescere, quæ est illi cum aqua societas, non propter repugnantiam aliquam, sed dum per conjunctam illi affectionem maturatur. Et quam habet Verbum cum baptismo societatem, eamdem habet lac cum aqua convenientiam: hoc enim solum ex humidis suscipit cum aqua mistionem, receptum propter purgationem, quemadmodum baptismus propter remissionem peccatorum. Apte etiam et apposite melle miscetur, idque rursus propter purgationem, cum dulci nutrimento. Verbum enim benignitate commistum, simul et animi medetur affectionibus, et expurgat peccata, illudque,

.... *Melle dulcior emanat sermo*,

mihi videtur dictum esse de Verbo, quod est mel. Multis autem in locis prophetia eum extollit *super mel et favum* [a]. Porro autem miscetur quoque lac

✠ P. 128 ED. POTTER, 107 ED. PARIS. [a] Psal. XVIII, 11; CXVIII, 103.

(44) *Πατρός*. Diomedes ait, apud Homer. *Il.* Ξ, v. 113 :

Πατρὸς δ' ἐξ ἀγαθοῦ καὶ ἐγὼ γένος εὔχομαι εἶναι.

(45) Ἀποξύνεσθαι. Ἐποξύνεσθαι Bod. Sed alia manus α scripsit super priorem ε.

(46) *Ἐπικάθαρσιν*. Procul dubio diverse legendum, ut mox ἐπὶ καθάρσει. SYLBURG.

(47) *Μέλιτι*. Respicit veterum Christianorum morem, qui recens baptizatis mel, et lac ei mistum, gustandum porrigebant. Eodem paulo superius allusisse videtur, pag. 125 : Εὐθὺς δὲ ἀναγεννηθέντες τετιμήμεθα τῆς ἀναπαύσεως τὴν ἐλπίδα, τὴν ἄνω Ἱερουσαλὴμ, εὐαγγελιζόμενοι· ἐν ᾗ μέλι καὶ γάλα ὀμβρεῖν ἀναγέγραπται. Tertullianus ejusdem ritus meminit, *De Coron.*, cap. 3 : *Inde* (e baptismo) *suscepti, lactis et mellis concordiam prægustamus.* Idem, *adv. Marcion.* lib. I, cap. 14, dicit Marcionem *nec aquam reprobare Creatoris, qua suos abluit; nec oleum, quo suos ungit, nec mellis societatem, qua suos infantat.* Nam infantes olim melle et lacte nutriebant. Barnabas, cap. 6 : Τί οὖν τὸ γάλα καὶ μέλι; ὅτι πρῶτον τὸ παιδίον μέλιτι, εἶτα γάλακτι ζωοποιεῖται. *Quare lac et mel? Quoniam infans primum melle, tum lacte vivescit.* Callimachus, hymno *in Jovem* vers. 48 :

D ... *σὺ δ' ἐθήλαο πίονα μαζὸν*
Αἰγὸς Ἀμαλθείης, ἐπὶ δὲ γλυκὺ κηρίον ἔβρως.

... *tu autem suxisti plena lactis ubera*
Capræ Amaltheæ: et insuper dulcem favum comedisti.

Proinde cum baptismus esset secunda nativitas, baptizatis, post lavacrum, velut tenellis infantibus, dabant mel cum lacte degustandum. Conf. Hieronymus *Contra Lucifer.* cap. 4; concilium Carthaginense III, can. 24.

(48) *Μέλιτος*. Homerus *Iliad.* A, v. 248, *De Nestore* dicit :

... *λιγὺς Πυλίων ἀγορητής,*
Τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή.

... *canorus Pyliorum orator,*
Cujus a lingua melle dulcior fluit vox.

(49) *Γάλα καὶ οἴνῳ*. Hieronymus ad Isa. LV, 1, adnotat, Occidentis Ecclesias recens baptizatis vinum et lac tribuisse.

vino dulci; est autem utilis mistio, veluti contemperata passione ad incorruptionem. Lac enim a vino serescit, et finditur, et quidquid est ejus adulterinum, id tanquam per aquæductum educitur. Eodem autem modo spiritalis fidei societas se habet in hominem patibilem. Serescere enim faciens carnales concupiscentias, hominem ad æternitatem una cum divinis mittit, immortalem efficiens. Sed et multi adipe lactis, quod butyrum vocant, utuntur ad lucernam, multiplicem Verbi misericordiam per hoc ænigma aperte significantes, ut quod solum juste nutriat, et augeat, et illuminet infantes. Propterea enim Scriptura quoque dicit de Domino: *Cibavit eos germine agrorum; suxerunt mel de petra, et oleum ex petra solida; butyrum boum, et lac ovium, cum adipe agnorum* [a]; et quæ sequuntur, dedit eis. Quin etiam prædicens propheta pueri generationem: *Butyrum*, inquit, *et mel comedet* [b]. Mihi autem subit nonnunquam admirari, quomodo audent quidam seipsos vocare perfectos ✠ et Gnosticos, plus de se quam apostolis sentientes, inflati et exsultantes, cum ipse Paulus de se fateatur: *Non quod jam accepi, vel jam perfectus sum; persequor autem, si etiam comprehendam, propter quod et comprehensus sum a Christo. Fratres, ego meipsum nondum existimo comprehendisse. Unum autem, eorum, quæ retro sunt, obliviscens, ad ea autem, quæ ante sunt, me extendens, secundum scopum persequor bravium supernæ vocationis in Christo Jesu* [c]. Et seipsum quidem perfectum existimat, quod a priore vita liberatus sit; meliorem autem persequitur, non tanquam in cognitione perfectus, sed tanquam id, quod est perfectum, desiderans. Et ideo subjungit: *Quicunque ergo perfecti, hoc sentimus* [d]; perfectionem scilicet dicens renuntiasse peccatis, et in fidem ejus, qui est perfectus, esse regeneratos, posteriorum peccatorum, quæ pone sunt, oblitos.

CAP. VII.

Quis sit Pædagogus: et de ejus Pædagogia.

Quoniam ergo ostendimus, *pueros* nos omnes a Scriptura vocari, nec id solum, sed etiam qui Christum secuti sumus, nos infantes dictos esse allegorice; solum autem esse perfectum Patrem universorum (in ipso enim Filius, et in Filio Pater), restat, ut nos ordinem secuti, dicamus, quis sit

A τῷ γλυκεῖ· ἐπωφελὴς δὲ ἡ μίξις· καθάπερ ἀνακιρναμένου τοῦ πάθους εἰς ἀφθαρσίαν· ἐξοῤῥοῦται γὰρ ὑπὸ τοῦ οἴνου τὸ γάλα, καὶ σχίζεται. καὶ ὅ τι περ αὐτοῦ νόθον (50), τοῦτ' ἀποχετεύεται· κατὰ τὰ αὐτὰ δὲ τῆς πίστεως ἡ κοινωνία ἡ πνευματικὴ πρὸς τὸν παθητὸν ἄνθρωπον, τὰς σαρκικὰς ἐπιθυμίας ἐξοῤῥοῦσα, εἰς ἀϊδιότητα συστέλλει τὸν ἄνθρωπον τοῖς θείοις, ἀπαθανατίζουσα. Ἀλλ' οἱ πολλοὶ δὲ καὶ τῷ λιπαρῷ τοῦ γάλακτος, ὃ δὴ βούτυρον καλοῦσι, καταχρῶνται εἰς λύχνον, τὸ πολυέλαιον (51) τοῦ Λόγου δι' αἰνίγματος ἀριδήλου σαφηνίσαντες, ὡς μόνου τοῦδε ἐνδίκως καὶ τρέφοντος, καὶ αὔξοντος, καὶ φωτίζοντος τοὺς νηπίους. Διὰ τοῦτο γὰρ καὶ ἡ Γραφὴ περὶ τοῦ Κυρίου λέγει· *Ἐψώμισεν αὐτοὺς γεννήματα ἀγρῶν· ἐθήλασαν μέλι ἐκ πέτρας, καὶ ἔλαιον ἐκ*
B *στερεᾶς πέτρας, βούτυρον βοῶν, καὶ* (52) *γάλα προβάτων, μετὰ στέατος ἀρνῶν*· καὶ τὰ ἐπὶ τούτοις ἔδωκεν αὐτοῖς. Ἀλλὰ καὶ τὴν γέννησιν τοῦ παιδίου ὁ προφητεύων, *Βούτυρον* (53), φησὶν, *ἔδεται καὶ μέλι*. Ἐμοὶ δὲ καὶ θαυμάζειν ἔπεισιν, ὅπως σφᾶς τελείους τινὲς τολμῶσι καλεῖν καὶ γνωστικοὺς, ὑπὲρ (54) τὸν Ἀπόστολον φρονοῦντες, φυσιούμενοί τε καὶ φρυαττόμενοι· αὐτοῦ ὁμολογοῦντος τοῦ Παύλου περὶ ἑαυτοῦ· *Οὐχ ὅτι ἤδη ἔλαβον, ἢ ἤδη τετελείωμαι· διώκω δὲ, εἰ καὶ καταλάβω, ἐφ' ᾧ καὶ κατελήφθην ὑπὸ Χριστοῦ* (55). *Ἀδελφοὶ, ἐγὼ ἐμαυτὸν οὔπω λογίζομαι κατειληφέναι· ἓν δὲ, ὅτι, τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω εἰς* (56) *τὸ*
C *βραβεῖον τῆς ἄνω κλήσεως ἐν Χριστῷ Ἰησοῦ*. Καὶ τέλειον μὲν ἑαυτὸν ἡγεῖται, ὅτι ἀπήλλακται τοῦ προτέρου βίου, ἔχεται δὲ τοῦ κρείττονος, οὐχ ὡς ἐν γνώσει τέλειος, ἀλλ' ὡς τοῦ τελείου ἐφιέμενος· διὸ καὶ ἐπιφέρει· *Ὅσοι οὖν τέλειοι, τοῦτο φρονοῦμεν* (57)· τελείωσιν δηλονότι λέγων τὸ ἀποτετάχθαι ταῖς ἁμαρτίαις, καὶ εἰς πίστιν τοῦ μόνου τελείου ἀναγεγεννῆσθαι, ἐκλαθομένους τῶν κατόπιαθεν ἁμαρτιῶν.

ΚΕΦ. Ζ'.

Τίς ὁ Παιδαγωγός· καὶ περὶ τῆς Παιδαγωγίας αὐτοῦ.

Ἐπεὶ τοίνυν ἀπεδείξαμεν *παῖδας* ἡμᾶς τοὺς πάντας ὑπὸ τῆς Γραφῆς καλουμένους, οὐ μόνον, ἀλλὰ καὶ τοὺς Χριστῷ κατηκολουθηκότας ἡμᾶς νηπίους ἀλληγορουμένους, μόνον δὲ εἶναι τέλειον τὸν Πατέρα
D τῶν ὅλων· ἐν αὐτῷ (58) γὰρ ὁ Υἱὸς, καὶ ἐν τῷ Υἱῷ ὁ Πατήρ· ὥρα (59) ἡμῖν, ἑπομένοις τῇ τάξει, καὶ

✠ P. 129 ED. POTTER, 108 ED. PARIS. [a] Deut. XXXII, 13, 14. [b] Isaiæ VII, 15. [c] Philipp. III, 12. 13, 14. [d] Ibid. 15.

(50) *Ὅ τι περ αὐτοῦ νόθον*. Ὅτι παρ' αὐτοῦ νόθον, *quidquid ab eo adulterinum proficiscitur*. Pal. ms. SYLBURG.

(51) *Τὸ πολυέλαιον*. *Multo oleo perfusum* notat hæc vox. Sed interpres legit πολυέλεον.

(52) *Καί*. Omittunt Bod., Reg.

(53) *Βούτυρον*. Βούτυρον καὶ μέλι φάγεται, Bibl. Græc.

(54) *Γνωστικοὺς, ὑπ.* De his Irenæus lib. III, cap. 2: *Adversantur traditioni, dicentes se non solum presbyteris, sed etiam apostolis exsistentes sapientiores, sinceram invenisse veritatem.*

(55) *Ὑπὸ Χριστοῦ*. Ὑπὸ τοῦ Χριστοῦ, apud Paulum. Dein, οὐ λογίζομ. Ibid. Mox, ἓν δὲ, τά. Ibid. et quidem particulam ὅτι, in editione Flor. omissam, inseruit Sylburgius e Pal. ms.

(56) *Εἰς*. Ἐπί, apud Paulum. Mox, κλήσεως τοῦ Θεοῦ ἐν Χρ. Ibid.

(57) *Φρονοῦμεν*. Φρονῶμεν, apud Paulum.

(58) *Ἐν αὐτῷ*. Patris τελείου mentionem hæc sequuntur, quia sub finem cap. 5 et principio cap. 6, dixerat Filium esse τέλειον. Ὦ τοῦ τελείου παιδίου. Υἱὸς ἐν Πατρὶ, καὶ Πατὴρ ἐν Υἱῷ, etc. Respicit autem Christi verba, Joan. XVII, 21: *Σὺ, Πάτερ, ἐν ἐμοὶ, κἀγὼ ἐν σοί.*

(59) *Ὥρα*. Καὶ ὥρα, Bod., Reg.

τὸν Παιδαγωγὸν ἡμῶν εἰπεῖν, ὅστις ἐστί. Καλεῖται δὲ Ἰησοῦς (60). Ἔσθ' ὅτε οὖν ποιμένα ἑαυτὸν καλεῖ, καὶ λέγει, *Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός*· κατὰ μεταφορὰν ἀπὸ τῶν ποιμένων τῶν καθηγουμένων τοῖς προβάτοις, ὁ καθηγούμενος τῶν παιδίων, παιδαγωγὸς νοούμενος, ὁ τῶν νηπίων κηδεμονικὸς ποιμήν· ἁπλοῖ γὰρ οἱ νήπιοι, ὡς πρόβατα ἀλληγορούμενοι· *Καὶ γενήσονται* (61), φησίν, *οἱ πάντες, μία ποίμνη, καὶ εἷς ποιμήν*. Παιδαγωγὸς οὖν εἰκότως ὁ Λόγος, ὁ τοὺς παῖδας ἡμᾶς εἰς σωτηρίαν ἄγων. Ἐναργέστατα γοῦν ὁ Λόγος περὶ ἑαυτοῦ διὰ Ὠσηὲ εἴρηκεν· *Ἐγὼ δὲ παιδευτὴς ὑμῶν εἰμί* (62). Παιδαγωγία δὲ ἡ θεοσέβεια, μάθησις οὖσα Θεοῦ θεραπείας, καὶ παίδευσις εἰς ἐπίγνωσιν ἀληθείας, ἀγωγή τε ὀρθή, ἀνάγουσα εἰς οὐρανόν. Παιδαγωγία δὲ καλεῖται πολλαχῶς· καὶ γὰρ ἡ τοῦ ἀγομένου καὶ μανθάνοντος, καὶ ἡ τοῦ ἄγοντος καὶ διδάσκοντος· καὶ αὐτὴ τρίτον ἡ ἀγωγή, καὶ τὰ διδασκόμενα τέταρτον· οἷον αἱ ἐντολαί. Ἔστι δὲ ἡ κατὰ Θεὸν παιδαγωγία κατευθυσμὸς ἀληθείας εἰς ἐποπτείαν Θεοῦ, καὶ πράξεων ἁγίων ὑποτύπωσις ἐν αἰωνίῳ διαμονῇ (63). Ὥσπερ οὖν κατευθύνει τὴν φάλαγγα ὁ στρατηγὸς, τῆς σωτηρίας τῶν μισθοφόρων προμηθούμενος· καὶ ὡς ὁ κυβερνήτης οἰακίζει τὸ (64) σκάφος, σώζειν προαιρούμενος τοὺς ἐμπλέοντας· οὕτω καὶ ὁ Παιδαγωγὸς ἄγει τοὺς παῖδας ἐπὶ τὴν σωτήριον (65) δίαιταν, τῆς ἡμῶν αὐτῶν ἕνεκεν κηδεμονίας· καὶ καθόλου, ὁπόσα ἂν παρὰ τοῦ Θεοῦ εὐλόγως αἰτησαίμεν ἡμῖν γενέσθαι, ταῦτα πειθομένοις τῷ Παιδαγωγῷ περιέσται. Ὅνπερ οὖν τρόπον ὁ κυβερνήτης οὐχ αἰεὶ τοῖς ἀνέμοις ὑπείκει, ἀντίπρῳρος δὲ ἔσθ' ὅτε ὅλαις ἀνθίσταται καταιγίσιν· οὕτως ὁ Παιδαγωγὸς οὐχὶ τοῖς ἐν τῷ κόσμῳ τῷδε καταπνέουσι νόμοις ὑπείκει ποτὲ, οὐδὲ ἐπιτρέπει αὐτοῖς τὸ παιδίον, ὥσπερ σκάφος, εἰς θηριώδη καὶ ἀσελγῆ προσρῆξαι δίαιταν· μόνῳ δὲ ἄρα τῷ ἀληθείας πνεύματι ἐπουρος ἀρθεὶς, ἀντέχεται μάλα ἐῤῥωμένως τῶν οἰάκων τοῦ παιδὸς τῶν ὤτων λέγω, ἕως ἂν ἀβλαβὲς καθορμίσῃ τὸ παιδίον εἰς τὸν λιμένα τῶν οὐρανῶν. Τὸ μὲν γὰρ πάτριον καλούμενον παρ' αὐτοῖς ἔθος, ὅσον οὐδέπω παρέρχεται· ἡ δὲ ἀγωγὴ ἡ θεία κτῆμά (66) ἐστιν εἰς ἀεὶ παραμένον. Ἀχιλλέως μὲν οὖν παιδαγωγὸν τὸν Φοίνικά φασι γεγονέναι, καὶ τῶν Κροίσου παίδων Ἄδραστον. Ἀλεξάνδρου δὲ, Λεωνίδην (67), καὶ Φιλίππου Ναυσίθοον· ἀλλ' ὁ μὲν γυναικομανὴς (68), ὁ Φοῖνιξ, ἦν, ὁ δὲ φυγὰς, ὁ Ἄδραστος (69) ἦν· Λεω-

✠ P. 130 ED. POTTER, 109 ED. PARIS.

A noster Pædagogus. Vocatur autem Jesus. Nonnunquam ergo seipsum pastorem vocat, et dicit, *Ego sum pastor bonus* [a]; metaphora sumpta a pastoribus, qui ducunt oves, intelligitur, qui pueros ducit, pædagogus, qui est pastor, curam gerens infantium. Infantes enim simplices, oves dicuntur allegorice. *Et erunt*, inquit, *omnes unus grex et unus pastor* [b]. Pædagogus ergo jure Verbum dicitur, qui pueros nos ducit ad salutem. Evidentissime ergo Verbum dicit de seipso per Oseam : *Ego autem sum præceptor vester* [c]. Pædagogia autem est divina religio, ut quæ sit doctrina divini cultus, et eruditio ad assequendam veritatis agnitionem, et recta institutio, quæ in cœlum deducit. Pædagogia autem multis modis appellatur. Est enim Pædagogia ejus, B qui ducitur et discit; et Pædagogia ejus, qui ducit et docet; et tertio Pædagogia est ipsa deductio et institutio; et quarto Pædagogia est ea, quæ docentur, ut præcepta. Est autem ea, quæ est ✠ ex Deo Pædagogia, veritatis directio ad Dei **48** contemplationem, et sanctarum actionum aperta ac evidens descriptio in æterna perseverantia. Quemadmodum ergo phalangem dirigit dux exercitus, militum salutis curam gerens; et gubernator navis clavum regit, volens servare vectores; ita etiam Pædagogus ducit pueros ad salutarem vitæ agendæ rationem, ut nostri ipsorum curam gerat. Et in summa, quæcunque a Deo juste nobis fieri petierimus, ea nobis aderunt, si Pædagogo paruerimus. C Quemadmodum ergo gubernator non semper cedit ventis, sed proram contra obvertens, universis resistit tempestatibus : ita Pædagogus legibus, quæ sunt in hoc mundo, nunquam cedit, nec eis puerum, tanquam cymbam, in belluinam et libidinosam vivendi rationem impellere permittit; sed solo secundo veritatis spiritu in altum sublatus, clavum pueri, aures inquam, fortiter tenet, donec inoffensum in portum cœlorum perduxerit. Patrius enim qui ab eis vocatur mos, momento temporis præterit; divina autem vitæ institutio, est in æternum permanens possessio. Ac Achillis quidem pædagogum dicunt fuisse Phœnicem, et Crœsi filiorum Adrastum, Alexandri autem Leonidem, et Philippi Nausithoum. Sed Phœnix quidem insano mulierum D amore tenebatur : erat autem exsul Adrastus;

[a] Joan. x, 11. [b] Ibid. 16. [c] Osee. v, 2.

(60) *Ἰησοῦς*. Ὁ Ἰησοῦς, Bod., Reg.

(61) *Καὶ γεν.* Καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν, apud Joan.

(62) *Εἰμί*. Omittunt Bibl. Græc.

(63) *Αἰωνίῳ διαμονῇ*. *Perpetua perseverantia.* Sic superius ἀΐδιος ὄρεξις, pag. 95, ubi conf. not.

(64) *Τό*. Omittunt Reg., Bod.

(65) *Σωτήριον*. Σωτηρίαν, Reg.

(66) *Κτῆμα*. Thucydides lib. I, cap. 22, de suo opere dicit : Κτῆμά τε ἐς ἀεὶ μᾶλλον, ἢ ἀγώνισμα ἐς τὸ παραχρῆμα ἀκούειν σύγκειται. *Nam potius perpetuum monimentum, quam ludicrum certamen, quod in præsens audiatur, est a me compositum.*

(67) *Λεωνίδην*. Plutarchus in *Alexandro* pag. 667 edit Paris. : Πολλοὶ μὲν οὖν περὶ τὴν ἐπιμέλειαν, ὡς εἰκὸς, ἦσαν αὐτοῦ, τροφῆς παιδαγωγοὶ καὶ διδάσκαλοι λεγόμενοι· πᾶσιν δὲ ἐφειστήκει Λεωνίδας. *Multi ejus*, Alexandri nempe, *institutioni appositi fuerunt, nutritii pædagogi et magistri appellati; quibus omnibus præpositus est Leonidas.* Deinceps memorat qua dignitate quibusque moribus erat Leonidas.

(68) *Γυναικομανής*. Id de se longa oratione refert Phœnix *Iliad.* I, v. 434. Conf. *Apollodori Biblioth.* lib. III, Lycophronis *Cassandræ* v. 421, et quæ ad eum locum adnotavit Tzetzes.

(69) *Φυγὰς ὁ Ἄδρ.* Adrastus, Midæ Phrygis filius, eo quod fratrem interemisset, a patre pulsus in exsilium, ad Crœsum confugit; a quo benigne receptus, et Atyi filio custos datus, cum eum per imprudentiam occidisset, tandem super ejus bustum sese transfodit, ut refert Herodot. I, 35

Leonides vero Macedonis fastum non resecuit, nec A Nausithous ebrium Pellæum curavit. Neque vero Alcibiadis scortationem Thrax Zopyrus reprimere potuit. Sed erat emptitium mancipium Zopyrus: et Themistoclis liberorum pædagogus Sicinnus, ignavus fuit famulus. Eum dicunt genus saltationis, quod Sicinnis dicitur, invenisse. Neque latent ✠ nos qui apud Persas regii vocantur pædagogi, quos numero quatuor ex omnibus Persis optimatim deligentes reges Persarum, suis præficiebant liberis. Sed solam sagittandi artem discunt eorum filii; postquam autem ad pubertatem pervenerint, cum sororibus et matribus, mulieribusque, tam uxoribus quam concubinis, innumerabilibus coeunt, tanquam apri ad Venereum congressum exercitati. Noster B autem Pædagogus, sanctus Deus Jesus, qui est lux omnis humani generis, Verbum; ipse benignus et

A νίδης δὲ οὐ περιεῖλεν τὸν τῦφον τοῦ Μακεδόνος· οὐδὲ Ναυσίθοος μεθύοντα τὸν ἐκ Πέλλης (70) ἰάσατο. Ἀλκιβιάδου δὲ τὴν πορνείαν ὁ Θρᾷξ ἐπισχεῖν οὐκ ἴσχυσε Ζώπυρος· ἀλλ' ὠνητὸν ἀνδράποδον ὁ Ζώπυρος (71) ἦν· καὶ τῶν Θεμιστοκλέους παίδων ὁ παιδαγωγὸς Σίκιννος οἰκέτης ῥᾴθυμος ἦν· ὀρχεῖσθαί φασιν αὐτὸν καὶ σικιννίζειν εὑρηκέναι (72). Οὐκ ἔλαθον ἡμᾶς οἱ παρὰ Πέρσαις βασίλειοι καλούμενοι παιδαγωγοί· οὓς τέτταρας τὸν ἀριθμὸν ἀριστίνδην ἐκλέγοντες ἐκ πάντων Περσῶν οἱ βασιλεῖς Περσῶν τοῖς σφῶν αὐτῶν ἐφίστων παισίν. Ἀλλὰ τοξεύειν (73) μόνον οἱ παῖδες αὐτοῖς μανθάνουσιν· ἡβήσαντες δὲ, ἀδελφαῖς (74), καὶ μητράσι, καὶ γυναιξὶ, γαμεταῖς τε ἅμα καὶ παλλακίσιν, ἀναρίθμοις (75) ἐπιμίσγονται, καθάπερ οἱ κάπροι (76) εἰς συνουσίαν (77) ἠσκημένοι. Ὁ δὲ ἡμέτερος Παιδαγωγὸς, ἅγιος Θεὸς Ἰησοῦς, ὁ πάσης τῆς ἀνθρωπότητος καθηγεμὼν Λόγος· αὐτὸς

✠ P. 131 ED. POTTER, 109-110 ED. PARIS.

(70) *Τὸν ἐκ Πέλλης*. Nempe, Philippum, Alexandri patrem. Nam, ut ait Strabo lib. XVI, notum est, τὴν Πέλλην ὥσπερ μητρόπολιν γεγονέναι τῶν Μακεδόνων, τὴν Φιλίππου καὶ Ἀλεξάνδρου πατρίδα· *Pellam veluti metropolin fuisse Macedonum, Philippi et Alexandri patriam.* Lucanus lib. X:

Illic Pellæi proles vesana Philippi.

Juvenalis, Sat. 10 *De Alexandro:*

Unus Pellæo juveni non sufficit orbis.

(71) *Ἀνδράποδον ὁ Ζώπ.* Plato *Alcibiade* I, pag. 441: Σοὶ δ', ὦ Ἀλκιβιάδη, Περικλῆς ἐπέστησε παιδαγωγὸν τῶν οἰκετῶν τὸν ἀχρειότατον ὑπὸ γήρως, Ζώπυρον τὸν Θρᾷκα· *Tibi autem, o Alcibiades, Pericles præposuit pædagogum, Zopyrum Thracem, omnium servorum suorum præ senio inutilissimum.* Idem refert Plutarchus principio *Alcibiadis*, et in *Lycurgo* p. 49, 50.

(72) *Σικιννίζειν εὑρηκέναι.* Pollux lib. IV, cap. 14: Εἴδη δὲ ὀρχημάτων, ἐμμέλεια, τραγικὴ· κόρδακες, κωμικὴ (sic enim habet ms., non κωμικοί) σικιννὶς, σατυρική. *Species vero saltationum, Emmelia, Tragica: Cordaces, comica; Sicinnis, Satyrica. Saltationes armatæ, Pyrrhica, et Telesias;* ita corrige interpretationem, cum auctoritate manuscripti fretus, tum Athenæi, unde hæc videtur sumpsisse Pollux. Τρεῖς εἰσι τῆς σκηνικῆς ποιήσεως ὀρχήσεις· *Tres sunt in scenica poesi saltationes, tragica, comica, satyrica,* lib. XIV. Idem lib. I, cap. 17: Italicam saltationem conflatam fuisse tradit e comica, tragica et satyrica, quam Sicinnim, a qua et Satyrarum scriptores Sicinnistas appellarunt, vel, ut alibi ait, Satyros. Quidam aiunt ejus inventorem fuisse Sicinnum, barbarum hominem; alii Cretensem natione fuisse. Alii dictam volunt Sicinnim, ἀπὸ τοῦ σείεσθαι, *a* corporis *succussu;* quidam ἀπὸ τῆς κινήσεως, *a motu* corporis. Hæc Athenæus; sed ibidem interpres ejus vertit, *Molossica modulatio*, quod est Græce Μολοσσικὴ ἐμμέλεια· quæ duo forte distinguenda sunt; nam ἐμμέλεια per se speciem constituit saltationis. Collect.— Lucianus lib. *De saltat.* tradit τοὺς Διονύσου θεράποντας, τοὺς σατύρους, *satyros, Bacchi ministros,* Sicinnidem instituisse. Eustathius, commentario ad *Iliad.* Π, ex Ariano refert nomen ei inditum fuisse a Sicinnide, Cybeles pedissequa; Phrygas autem primos ea usos, idque celebrantes Bacchum Sabazium. Alii ducunt ἀπὸ τοῦ σείεσθαι καὶ κινεῖσθαι. Conf. Hesychius, et *Etymologicon*, v. *Σικιννίς*. Hoc etiam auctore constat, alios eam deducere a Sicinno, rege Atheniensium. Alii memorant Sicinnum βάρβαρον, ἢ Κρῆτα· inter quos sunt Athenæus lib. I et XIV; Eustathius ad *Odyss.* Φ Alii denique, Sicinno eam tribuunt, liberorum Themistoclis præceptori. *Etymologicon* loco superius dicto: Οἱ δὲ ἀπὸ τοῦ παιδαγωγοῦ τῶν Θεμιστοκλέους παίδων Σικίννου. Ejus meminit etiam Plutarchus in *Themistocle*: Ἦν δὲ τῷ γένει Πέρσης ὁ Σίκιννος αἰχμάλωτος, εὔνους δὲ τῷ Θεμιστοκλεῖ, καὶ τῶν τέκνων αὐτοῦ παιδαγωγός· *Erat autem Sicinnus captivus natione Persa; sed benevolus Themistocli, et liberorum ejus præceptor.*

(73) *Τοξεύειν.* Herodotus addit ἱππεύειν, καὶ ἀληθίζεσθαι, lib. I, cap. 136, ejus verba sunt hæc: Παιδεύουσι δὲ τοὺς παῖδας ἀπὸ πενταετοῦς ἀρξάμενοι μέχρι εἰκοσιέτεος, τρία μοῦνα, ἱππεύειν, καὶ C τοξεύειν, καὶ ἀληθίζεσθαι· *Liberos suos, a quinto anno incipientes usque ad vicesimum, tribus duntaxat instituunt, equitare, arcu sagittas excutere, et vera loqui.* Eadem fere verba habet Strabo sub finem lib. XV. Conf. Xenophon I *De institutione Cyri*.

(74) *Ἀδελφαῖς.* Philo Judæus *De Decalogo* p. 778: Μητέρας οἱ ἐν τέλει Περσῶν τὰς αὐτῶν ἄγονται, καὶ τοὺς φύντας ἐκ τούτων εὐγενεστάτους νομίζουσιν· *Honoratiores Persæ cum matribus suis matrimonia contrahunt, et ex iis natos arbitrantur nobilissimos.* Tertullianus, *Ad Nation.* lib. I, cap. 15, itemque in *Apologia: Persas cum suis matribus misceri, Ctesias refert.* Conf. *Str.* III, p. 431, et quæ ibi adnotata sunt.

(75) *Ἀναρίθμοις.* Strabo sub finem lib. XV, de Persis ait: Γαμοῦσι δὲ πολλὰς, καὶ ἅμα παλλακὰς τρέφουσι πλείους, πολυτεκνίας χάριν. Τιθέασι δὲ οἱ βασιλεῖς ἆθλα πολυτεκνίας κατ' ἔτος. *Ducunt uxores multas, simulque concubinas alunt plures, multiplicandæ sobolis gratia. Quin et reges quotannis præmia proponunt iis, qui plures filios progenuerint.*

(76) *Καθάπερ οἱ κάπροι.* P. Leopardus lib. II, D cap. 10 *Emend.*: Quidam magni nominis interpretes κάπρον, pro capro accipiunt. Clemens Alex., lib. I, cap. 7, *Pædag.*: Καθάπερ οἱ κάπροι εἰς συνουσίαν ἠσκημένοι· ἐσσυμένοι forte. Idem lib. II, cap. 10: Κάπρῳ, ἢ συΐ τὸ ἑταιρικόν. Et lib. III, cap. 3: Κάπροι δὲ καὶ αὐτοί. Omnibus his locis interpres *caprum* vertit pro *apro*. Hinc καπρᾷν et καπριᾷν, *subare*. Hæc ille. Cæterum locus lib. II, reperitur pag. 228, 10; libri autem III, pag. 257, 50, in hac secunda editione ab Herveto emendatus. Athenæus lib. XIII, sic habet ex aliquo, πώλους Κύπριδος ἐξησκημένης. Collect. — Hesychius, Ἀφροδισία ἄγρα· Σοφοκλῆς Δανάῃ· Γόνον τε μήλων, κ' Ἀφροδισίαν ἄγραν. — Λέγει τὴν τῶν συῶν· διὰ τὸ καταφερὲς εἶναι τὸ ζῶον πρὸς συνουσίαν. Καπρᾷν γέ τοι καὶ καπραίνειν ἀπὸ τούτου. Δύναται δὲ καὶ τὴν τῶν αἰγῶν γονὴν δηλοῦν. Apud Suidam κάπρος est *aidoion*.

(77) *Εἰς σ.* Οἱ συνουσίαν ἠσκ. Bod.

ὁ φιλάνθρωπος Θεός ἐστι παιδαγωγός. Λέγει δέ που διὰ τῆς ᾠδῆς τὸ Πνεῦμα τὸ ἅγιον εἰς αὐτόν· *Αὐτάρκησε τὸν λαὸν ἐν τῇ ἐρήμῳ· ἐν δίψει* (78) *καύματος, ἐν ἀνύδρῳ ἐκύκλωσεν αὐτὸν, καὶ ἐπαίδευσεν αὐτὸν, καὶ διεφύλαξεν ὡς κόρην ὀφθαλμοῦ, ὡς ἀετὸς σκεπάσαι* (79) *νοσσιὰν αὐτοῦ· καὶ ἐπὶ τοῖς νεοσσοῖς αὐτοῦ ἐπεπόθησεν· διεὶς τὰς πτέρυγας αὐτοῦ, ἐδέξατο αὐτοὺς, καὶ ἀνέλαβεν αὐτοὺς, ἐπὶ τῶν μεταφρένων αὐτοῦ. Κύριος μόνος ἦγεν αὐτοὺς, καὶ οὐκ ἦν μετ' αὐτῶν θεὸς ἀλλότριος.* Σαφῶς, οἶμαι, τὸν Παιδαγωγὸν ἐνδείκνυται ἡ Γραφὴ, τὴν ἀγωγὴν αὐτοῦ διηγουμένη. Πάλιν δὴ ὅταν λέγῃ διὰ τοῦ ἰδίου προσώπου, ἑαυτὸν ὁμολογεῖ (80) Παιδαγωγόν· *Ἐγὼ Κύριος* (81) *ὁ Θεός σου, ὁ ἐξαγαγὼν σε ἐκ γῆς Αἰγύπτου.* Τίς οὖν ἔχει ἐξουσίαν τοῦ ἄγειν εἴσω τε καὶ ἔξω; οὐχὶ ὁ Παιδαγωγός; Οὗτος ὤφθη τῷ Ἀβραὰμ, καὶ εἶπεν αὐτῷ· *Ἐγώ εἰμι ὁ Θεός σου, εὐαρέστει ἐνώπιόν μου* (82). Τοῦτον δὲ παιδαγωγικώτατα ὑποκατασκευάζει παῖδα πιστόν· *Καὶ γίνου*, φήσας, *ἄμεμπτος· καὶ θήσω* (83) *τὴν διαθήκην μου ἀνὰ μέσον* (84) *ἐμοῦ, καὶ ἀνὰ μέσον σου καὶ τοῦ σπέρματός σου* (85). Φιλίας ἐνταῦθα ἐπιστατικῆς ἐστι κοινωνία. Τοῦ δὲ Ἰακὼβ ἐναργέστατα Παιδαγωγὸς εἶναι φαίνεται. Λέγει γοῦν αὐτῷ· *Ἰδοὺ ἐγὼ μετὰ* (86) *σοῦ, διαφυλάσσων σε ἐν τῇ ὁδῷ πάσῃ, οὗ ἂν πορευθῇς· καὶ ἀποστρέψω σε εἰς τὴν γῆν ταύτην· ὅτι οὐ μή σε ἐγκαταλίπω ἕως τοῦ ποιῆσαί με ὅσα* (87) *ἐλάλησά σοι.* Τούτῳ δὲ καὶ συμπαλαίειν λέγεται· *Ὑπελείφθη δὲ*, φησὶν, *Ἰακὼβ μόνος, καὶ ἐπάλαιεν μετ' αὐτοῦ ἄνθρωπος* (88), ὁ Παιδαγωγὸς, *μέχρι πρωΐ.* Οὗτος ἦν ὁ ἄνθρωπος ὁ ἄγων καὶ φέρων, ὁ συγγυμναζόμενος, καὶ ἀλείφων κατὰ τοῦ πονηροῦ τὸν ἀσκητὴν (89) Ἰακώβ. Ὅτι δὲ ὁ Λόγος ἦν ὁ ἀλείπτης (90) ἅμα τῷ Ἰακὼβ, καὶ Παιδαγωγὸς τῆς ἀνθρωπότητος· *Ἠρώτησε*, (91) φησὶν, *αὐτὸν, καὶ εἶπεν αὐτῷ· Ἀνάγγειλόν μοι τί τὸ ὄνομά σου. Καὶ εἶπεν· Ἵνα τί τοῦτο ἐρωτᾷς τὸ ὄνομά μου;* Ἐτήρει γὰρ τὸ ὄνομα τὸ καινὸν τῷ νέῳ λαῷ, τῷ νηπίῳ. Ἔτι δὲ καὶ ἀνονόμαστος (92) ἦν ὁ

A clemens Deus, est Pædagogus. Et de ipso quidem alicubi dicit Spiritus sanctus in *Cantico: Populo in deserto sufficienter suppeditavit, in siti æstus, in inaquoso ipsum circumdedit, et eum erudiit et custodiit tanquam pupillam oculi, sicut aquila protexit nidum suum, et in pullis suis desideravit; expansis alis suscepit ipsos, et super dorsum eos recepit: Dominus solus duxit ipsos, et non erat cum eis deus alienus* [a]. Aperte, ut mihi quidem videtur, Scriptura ostendit Pædagogum ejus institutionis enarrans rationem. Rursus autem seipsum fatetur Pædagogum, cum hoc modo ex persona sua ait: *Ego Dominus Deus tuus, qui eduxi te de terra Ægypti* [b]. Quis ergo habet potestatem inducendi et educendi? annon Pædagogus? Is apparuit Abrahæ, et dixit: *Ego sum*
B *Deus tuus, gratus esto coram me* [c]. Eum autem, tanquam optimus Pædagogus, ut sit fidelis puer, instruit, dicens: *Et sis irreprehensibilis. Et ponam testamentum inter me et te, et semen tuum.* Amicitiæ præceptoris hæc est communicatio. Jacobi autem Pædagogus esse evidentissime apparet. Ei itaque dicit: *Ecce ego tecum, custodiens te in universa via quocunque ambulaveris, et reducam te in terram hanc, quoniam non te derelinquam, donec* ✠ *fecerim quæcunque locutus sum tibi* [d]. Cum eo autem colluctari quoque dicitur: *Remansit autem*, inquit, *Jacob solus, et luctabatur cum eo homo*, nempe Pædagogus, *usque ad matutinum* [e]. Hic erat homo, qui agebat et ferebat, qui una exercebatur, et ad-
C versus malignum, palæstritam Jacobum inungebat. Quod autem Verbum esset, qui erat una Jacob aliptes, et Pædagogus humanæ naturæ, ex hoc sciri potest: *Interrogavit*, inquit, *ipsum, et dixit ei: Enuntia mihi, quod sit nomen tuum. Et dixit: Cur interrogas nomen meum?* [f] Nomen enim novum novo populo reservabat, nempe infanti. Adhuc autem erat innominatus Deus Dominus, ut qui nondum homo factus fuerat. *Vocavit* tamen *Jacob nomen loci illius, speciem Dei. Aspexi enim*, inquit,

✠ P. 132 ED. POTTER. [a] Deut. xxxii, 10, 11, 12. [b] Exod. xx, 1. [c] Genes. xvii, 1, 2. [d] Genes. xxviii, 15. [e] Genes. xxxii, 24. [f] Ibid. 29.

(78) *Δίψει.* Δίψῃ, Bibl. Græc., Bod. Mox, ἐν γῇ ἀνύδρῳ, Bibl. Græc. Dein, διεφύλαξεν αὐτὸν ὡς κ. Ibid.

(79) *Σκεπάσαι.* Cum σκεπάσαι subaudienda potentialis ἄν· plena enim structura est, ὡς ἂν ἀετὸς σκεπάσειε τὴν νοσσιὰν αὐτοῦ. SYLBURG. — Mox νοσσοῖς pro νεοσσοῖς, Bibl. Græc.

(80) *Ὁμολογεῖ.* Ὁμολογεῖν Bod.

(81) *Ἐγὼ K.* Ἐγώ εἰμι K. Bibl. Græc. Mox, ὅστις ἐξήγαγον pro ἐξαγαγών. Ibid.

(82) *Μου.* Ἐμοῦ Bibl. Græc.

(83) *Θήσω.* Θήσομαι Bibl. Græc.

(84) *Ἀνὰ μέσον.* Ἀναμέσον ἐμοῦ καὶ ἀναμέσον σοῦ Bod.

(85) *Καὶ τοῦ σπέρματός σου.* Hæc verba Clemens e commate 7 huc transtulit: nam ibi dicitur, Καὶ θήσω τὴν διαθήκην μου ἀνὰ μέσον σου καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου. Hoc autem commate seminis nulla mentio fit.

(86) *Ἐγὼ μ.* Ἐγώ εἰμι μ. Bibl. Græc.

(87) *Ὅσα.* Πάντα ὅσα Bibl. Græc.

(88) *Μετ' αὐτοῦ ἄν.* Ἄνθρωπος μετ' αὐτοῦ, inverso ordine, Bibl. Græc.

(89) *Ἀσκητήν*, *athletam* vel *pugilem*. Sic quoque Chrysostomus homil. 58, in *Genesin:* Ἐπειδὴ γὰρ
D ἔμελλεν τὴν πρὸς τὸν ἀδελφὸν συντυχίαν ποιήσασθαι, ἵνα μάθῃ διὰ τῶν πραγμάτων, ὅτι οὐδὲν ἀηδὲς ὑποστήσεται, ἐν σχήματι ἀνθρώπου παλαίειν μετὰ τοῦ δικαίου καταδέχεται, ἵνα τὴν δειλίαν ἐξέλῃ τῆς τοῦ δικαίου ψυχῆς· *Quoniam occursurus erat fratri, ut sciret reipsa nihil se molestum laturum esse, in figura hominis luctari cum justo voluit, ut formidinem ex anima justi eximeret.* COLLECT.

(90) *Ἀλείπτης.* De hac voce vid. *Strom.* vii, pag. 710 et quæ ibi adnotata sunt. Cæterum Philo *De nominum mutatione*, pag. 1058, dicit ἄγγελον, ὑπηρέτην τοῦ Θεοῦ Λόγον, *angelum, Dei ministrum Verbum*, Jacobi nomen mutasse. Idem ostendit Justinus M., dialogo *adv. Tryph.;* Novatianus lib. *De Trinitate;* Theodoretus, *Quæst. in Genes.* xci, aliique plurimi.

(91) *Ἠρώτησε.* Ἠρώτησε δὲ Ἰακὼβ, καὶ εἶπεν, Ἀνάγγειλόν μοι τὸ ὄν. Bibl. Græc. Mox, ἐρωτᾷς σὺ τὸ ὄν. Ibid.

(92) *Καὶ ἀνονόμαστος.* Καί omittit Reg. Solet porro ἀνονόμαστος scribi, quemadmodum ἀνώνυμος.

Deum facie ad faciem, et salva facta est anima mea [a]. Facies autem Dei est Verbum, quo Deus illuminatur et cognoscitur. Tunc etiam nominatus est Israel, quando vidit Deum Dominum. Hic est Deus, qui est Verbum, qui Pædagogus, qui ei postea rursus dixit: *Ne timeas descendere in Ægyptum* [b]. Vide quomodo justum sequitur Pædagogus, et quomodo palæstritam inungit, docens supplantare adversarium. Hic ipse Moysem quoque docet fungi Pædagogi officio. Dicit enim Dominus: *Si quis peccavit coram me, deleo eum de libro meo; nunc autem vade, et deduc populum hunc in locum, quem dixi tibi* [c]. Hoc in loco est magister pædagogiæ. Revera enim erat Dominus per Moysem Pædagogus veteris populi, per seipsum autem, populi novi dux, facie ad faciem. *Ecce* enim, ✠ dixit Moysi, *Angelus meus præcedit te*: **49** evangelicam et principalem Verbi potestatem præficiens: Dominicam autem auctoritatem ac dignitatem conservans: *Quo autem die*, inquit, *visitavero, inducam super ipsos peccatum ipsorum* [d]; hoc est, Quo die judex fuero constitutus, reddam quæ eorum peccatis respondeant. Idem enim Pædagogus et judex, eos, qui ipsi non obedierunt, judicat. Eorum autem peccatum benignum Verbum nequaquam silentio prætерit. Arguit autem, ut ducantur pœnitentia: *Mavult enim Dominus pœnitentiam peccatoris, quam mortem* [e]. Nos autem, cum tanquam infantes aliorum peccata auditione acceperimus, minarum metu, ne similia patiamur, ab ejusmodi delictis

Θεὸς ὁ Κύριος, μηδέπω γεγενημένος (93) ἄνθρωπος· πλὴν ἀλλὰ ὁ *Ἰακὼβ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου, Εἶδος Θεοῦ· Εἶδον γὰρ*, φησὶν, *Θεὸν πρόσωπον πρὸς πρόσωπον· καὶ ἐσώθη μου ἡ ψυχή*. Πρόσωπον (94) δὲ τοῦ Θεοῦ ὁ Λόγος, ᾧ φωτίζεται ὁ Θεὸς καὶ γνωρίζεται. Τότε καὶ Ἰσραὴλ ἐπωνόμασται, ὅτε εἶδε τὸν Θεὸν (95) τὸν Κύριον. Οὗτός ἐστιν ὁ Θεὸς, ὁ Λόγος, ὁ Παιδαγωγὸς, ὁ φήσας αὐτῷ πάλιν ὕστερον· *Μὴ φοβοῦ καταβῆναι εἰς Αἴγυπτον*. Ὅρα πῶς μὲν ἕπεται τῷ δικαίῳ ὁ Παιδαγωγὸς, ὅπως τε καὶ ἀλείφῃ (96) τὸν ἀσκητὴν πτερνίζειν (97) διδάσκων τὸν ἀνταγωνιστήν. Αὐτὸς γοῦν οὗτος καὶ τὸν Μωϋσέα διδάσκει παιδαγωγεῖν, λέγει γὰρ ὁ Κύριος· *Εἴ τις ἡμάρτηκεν ἐνώπιόν μου, ἐξαλείφω* (98) *αὐτὸν ἐκ τῆς βίβλου μου· νυνὶ δὲ βάδιζε, καὶ ὁδήγησον τὸν λαὸν τοῦτον εἰς τὸν τόπον, ὃν εἶπόν σοι*. Ἐνταῦθα διδάσκαλός ἐστι παιδαγωγίας· καὶ γὰρ ἦν (99) ὡς ἀληθῶς διὰ μὲν Μωϋσέως Παιδαγωγὸς ὁ Κύριος τοῦ λαοῦ τοῦ παλαιοῦ, δι' αὐτοῦ (1) δὲ τοῦ νέου καθηγεμὼν λαοῦ, πρόσωπον πρὸς πρόσωπον. *Ἰδοὺ γὰρ*, φησὶ τῷ Μωϋσεῖ, *ὁ ἄγγελός μου προπορεύεταί σου* (2)· τὴν εὐαγγέλιον (3) καὶ ἡγεμόνιον ἐπιστήσας τοῦ Λόγου δύναμιν. Τὸ δὲ ἀξίωμα τὸ κυριακὸν φυλάττων· *Ἧ δ' ἂν ἡμέρᾳ* (4) *ἐπισκέπτωμαι*, φησὶν, *ἐπάξω ἐπ' αὐτοὺς τὴν ἁμαρτίαν αὐτῶν*· τουτέστιν, ᾗ δ' ἂν ἡμέρᾳ κριτὴς καθεσθῶ, ἀποδώσω τῶν ἁμαρτιῶν αὐτῶν τὰ ἀντάξια. Ὁ γὰρ αὐτὸς Παιδαγωγὸς καὶ κριτὴς τοὺς παρακούσαντας αὐτοῦ δικάζει· τὸ δὲ ἁμάρτημα αὐτῶν οὐ παρασιωπᾷ ὁ φιλάνθρωπος Λόγος· ἐλέγχει δὲ, ἵνα μετανοήσωσιν· *Θέλει γὰρ ὁ*

✠ P. 133 ED. POTTER, 111 ED. PARIS. [a] Genes. XXXII, 30. [b] Genes. XLVI, 3. [c] Exod. XXXII, 33, 34. [d] Ibid. [e] Ezech. XVIII, 23, 32.

Clemens *Strom.* v, p. 587, dicit Deum esse ἀσχημάτιστον καὶ ἀνονόμαστον· *figuræ et nominis expertem.* Quem locum, et quæ ibi adnotata sunt, videsis. Observandum porro, Clementem Christo, ut Deo, tribuere, quod uni summo Deo peculiare est, ut nullo nomine indigeat.

(93) *Γεγενημένος*. A. mavult γεγεννημένος· potest tamen et retineri γεγενημένος, sicut Joan. I, Ὁ Λόγος σὰρξ ἐγένετο. SYLBURG.

(94) *Πρόσωπον*. Paria dicit *Strom.* v, pag. 562: Πρόσωπον εἴρηται τοῦ Πατρὸς ὁ Υἱὸς, ... σαρκοφόρος γενόμενος ὁ Λόγος, ὁ τοῦ πατρῴου μηνυτὴς ἰδιώματος· *Facies Patris dictus est Filius... Verbum carnem indutum, paternæ proprietatis index.* Id uberius explicat *Strom.* VII, pag. 731, et Clementis *Epitom. Theodot.* p. 791 et 793. Fortasse huic sententiæ ansam dedere Christi verba apud Joan. XIV, 9: Ὁ ἑωρακώς με ἑώρακε τὸν Πατέρα, etc.

(95) *Ὅτε εἶδε τὸν Θεόν*. Respicit etymon vocis Israel, quæ secundum Clementem significat τὸν ὁρῶντα τὸν Θεόν· eum, qui *Deum videt.* Conf. *Strom.* I, p. 284; *Strom.* II, p. 367. Novatianus lib. *De Trinitate*, cap. 27: *Hic homo, qui cum Jacob luctatus est, « Non, inquit, vocabitur etiam nunc nomen tuum Jacob, sed Israel erit nomen tuum. » Ac si Israel est homo videns Deum, eleganter ostendebat Dominus, quod non tantum homo esset, qui colluctabatur tunc cum Jacob, sed et Deus.* Mox: *Jacob intelligens jam vim sacramenti, et pervidens auctoritatem ejus cum quo luctatus fuisset, nomen loci illius, in quo colluctatus est, vocavit* Visionem Dei... *Vidi enim, inquit, Deum facie ad faciem, et salva facta est anima mea.*

(96) *Ἀλείφῃ*. Subjunctivum ἀλείφῃ respicit usitatum particulæ ὅπως regimen; alioqui magis ad præcedens membrum congruit indicativum ἀλείφει, præsertim si πῶς utrobique legamus. SYLBURG.

(97) *Πτερνίζειν*. Alludit ad originem vocis *Jacob*, quam refert Moyses Gen. XXV, 25; XXVII, 36. Eam sæpius respicit Philo, quem Clemens sequi solet: ut lib. *De mutat. nom.*, p. 1057: Ὁ μὲν Ἰακὼβ πτερνιστής· πτερνιστοῦ μὲν οὖν ἔργον ἀσκοῦντος ἀρετήν· *Jacob quidem est, qui calcibus supplantat: quare opus supplantatoris, qui virtutem exercet*, etc. Lib. *De migratione Abrahami*, p. 419: Παλαίοντος γὰρ, καὶ κονιωμένου, καὶ πτερνίζοντος Ἰακὼβ ἐστιν ὄνομα. *Jacob luctantis in pulvere, et supplantatoris est nomen.* Lib. *De temulentia*, p. 251: Ὁ ἀσκητὴς Ἰακὼβ, καὶ τοὺς ἀρετῆς ἄθλους διαθλῶν· *Jacob ille ascela, exercens virtutis certamina.* Unde Clemens eum ἀσκητὴν appellat. Quæ vox postea de iis, qui severiorem vitam *exercebant*, peculiariter dici cœpit.

(98) *Ἐξαλείφω*. Ἐξαλείψω Bibl. Græc. Mox, βάδιζε, κατάβηθι, καὶ ὁδήγ. Ibid. Dein, εἶπά σοι, ibid.

(99) *Καὶ γὰρ ἦν*. Paria sunt, quæ Justinus in *Apologia* dixit: Λόγος γὰρ ἦν, καὶ ἔστιν, ὁ ἐν παντὶ ὤν, καὶ διὰ τῶν προφητῶν προειπὼν τὰ μέλλοντα γίνεσθαι, καὶ δι' αὐτοῦ ὁμοιοπαθοῦς γενομένου καὶ διδάξαντος ταῦτα. *Verbum fuit, et est, in universo exsistens: qui et per prophetas, quæ futura erunt, prædixit; et per seipsum hæc, passionibus nobis similis factus, docuit.*

(1) Αὐτοῦ. Scribendum αὑτοῦ, *seipsum*, ut sæpe alias.

(2) *Προπορεύεταί σου*. Προπορεύσεται πρὸ προσώπου σου, Bibl. Græc.

(3) *Εὐαγγέλιον*. Sic paulo post, cap. 8, p. 117: Τὴν εὐαγγέλιον τοῦ Κυρίου παραθεμένῳ φωνήν. Ludere videtur in vocibus ἄγγελος et εὐαγγέλιον.

(4) *Ἡμέρᾳ*. Ἡμέραν Bod.

Κύριος τὴν μετάνοιαν τοῦ ἁμαρτωλοῦ μᾶλλον ἢ τὸν θάνατον. A Ἡμεῖς δὲ, τὰς ἄλλων ἁμαρτίας ὡς νήπιοι δι' ἀκοῆς παραδεξάμενοι φόβῳ τῆς ἀπειλῆς τοῦ μὴ τὰ ὅμοια παθεῖν, ἀποσχώμεθα τῶν ἴσων πλημμελημάτων. Τί οὖν ἦν, ὃ ἥμαρτον; *Ὅτι ἐν τῷ θυμῷ αὐτῶν ἀπέκτειναν ἀνθρώπους, καὶ τῇ* (5) *ἐπιθυμίᾳ αὐτῶν ἐνευροκόπησαν ταῦρον· ἐπικατάρατος ὁ θυμὸς αὐτῶν.* Τίς ἂν οὖν τούτου μᾶλλον ἡμᾶς φιλανθρωπότερον παιδεύσαι; Τὸ μὲν οὖν πρότερον τῷ πρεσβυτέρῳ λαῷ πρεσβυτέρα Διαθήκη ἦν, καὶ νόμος ἐπαιδαγώγει τὸν λαὸν μετὰ φόβου (6), καὶ Λόγος ἄγγελος ἦν· καινῷ δὲ καὶ νέῳ λαῷ καινὴ καὶ νέα Διαθήκη δεδώρηται, καὶ ὁ Λόγος γεγένηται, καὶ ὁ φόβος εἰς ἀγάπην μετατέτραπται, καὶ ὁ μυστικὸς ἐκεῖνος ἄγγελος (7) Ἰησοῦς τίκτεται. Ὁ γὰρ αὐτὸς οὗτος Παιδαγωγὸς τότε μὲν, *Φοβηθήσῃ Κύριον τὸν Θεόν*, B ἔλεγεν· ἡμῖν δὲ, *Ἀγαπήσεις Κύριον τὸν Θεόν* (8) *σου*, παρῄνεσεν· διὰ τοῦτο καὶ ἐντέλλεται ἡμῖν· *Παύσασθε* (9) *ἀπὸ τῶν ἔργων ὑμῶν*, τῶν παλαιῶν ἁμαρτιῶν· *Μάθετε καλὸν ποιεῖν· Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν· ἠγάπησας δικαιοσύνην, ἐμίσησας ἀνομίαν.* Αὕτη μου ἡ Νέα Διαθήκη Παλαιῷ κεχαραγμένη γράμματι. Οὐκ ἄρα ἡ νεότης τοῦ Λόγου ὀνειδιστέα. Ἀλλὰ καὶ ἐν τῷ Ἱερεμίᾳ ὁ Κύριος λέγει· *Μὴ λέγε ὅτι νεώτερός εἰμι· πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ, ἐπίσταμαί σε· καὶ πρὸ τοῦ σε ἐξελθεῖν ἐκ μήτρας, ἡγίακά σε·* ταῦτα δύναται πρὸς ἡμᾶς ἡ προφητεία αἰνίττεσθαι, τοὺς πρὸ καταβολῆς (10) κόσμου εἰς πίστιν ἐγνωσμένους Θεῷ· νυνὶ δὲ νηπίους, διὰ τὴν ἔναγχος πεπληρωμένην βούλησιν τοῦ Θεοῦ· καθὸ εἰς κλῆσιν C καὶ σωτηρίαν νεογνοὶ γεγόναμεν. Διὸ καὶ ἐπιφέρει, *Προφήτην εἰς ἔθνη τέθεικά* (11) *σε·* προφητεῦσαι λέγων αὐτὸν δεῖν, μὴ ὄνειδος εἶναι δοκεῖν τοῦ νεωτέρου τὴν προσηγορίαν τοῖς νηπίοις καλουμένοις. Ὁ δὲ νόμος χάρις ἐστὶ παλαιὰ, διὰ Μωϋσέως ὑπὸ τοῦ Λόγου δοθεῖσα. Διὸ καί φησιν ἡ Γραφὴ, *Ὁ νόμος διὰ Μωϋσέως ἐδόθη*· οὐχὶ ὑπὸ Μωϋσέως, ἀλλὰ ὑπὸ μὲν τοῦ Λόγου, διὰ Μωϋσέως δὲ, τοῦ θεράποντος αὐτοῦ· διὸ καὶ πρόσκαιρος ἐγίνετο (12)· ἡ δὲ ἀΐδιος χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο. Ὁρᾶτε τὰς λέξεις τῆς Γραφῆς· ἐπὶ μὲν τοῦ νόμου *ἐδόθη* φησὶ μόνον· ἡ δὲ *ἀλήθεια*, χάρις οὖσα τοῦ Πατρὸς, ἔργον ἐστὶ τοῦ Λόγου αἰώνιον· καὶ οὐκέτι δίδοσθαι λέγεται, ἀλλὰ *διὰ Ἰησοῦ γίνεσθαι, οὗ χωρὶς ἐγένετο οὐδὲ ἕν.* D Αὐτίκα γοῦν ὁ Μωϋσῆς τῷ τελείῳ προ-

abstineamus. Quidnam fuit ergo, quod peccarunt? *Quod in ira sua homines occiderunt, et sua cupiditate tauro nervos præciderunt: exsecranda est ira ipsorum* [a]. Quis ergo nos eo benignius et humanius erudierit? Prius itaque veteri populo Vetus erat Testamentum, et lex cum metu populum erudiebat, et Verbum erat angelus; novo autem et recenti populo, novum ac recens Testamentum datum est, et Verbum fuit factum, et metus in dilectionem conversus est, et mysticus ille angelus Jesus paritur. Hic enim ipse Pædagogus, tunc quidem, *Dominum Deum timebis* [b], dicebat; nobis autem hoc suasit, *Diliges Dominum Deum tuum* [c]; unde et nobis præcipit, *Cessate ab operibus vestris*, peccatis veteribus: *discite benefacere; declina a malo, et fac bonum: dilexisti justitiam, odio habuisti iniquitatem*. Hoc est meum Novum Testamentum, Veteri littera impressum. Non est ergo exprobranda Verbi novitas. Sed Dominus quoque dicit in Jeremia: *Ne dicas, quod sum junior. Antequam te formarim in utero, novi te, et antequam egredereris e matrice, sanctificavi te* [d]. His nos potest prophetia significare, qui ante mundi constitutionem Deo ad fidem fuimus cogniti; nunc autem sumus infantes propter impletam nuper Dei voluntatem, quatenus ad vocationem et salutem recenter nati sumus. Quocirca etiam subjungit: *Prophetam ad gentes posui te* [e]; dicens eum oportere prophetare, ne putent junioris appellationem probrum esse iis qui vocantur infantes. Lex autem est vetus gratia per ✠ Moysem a Verbo data. Quocirca dicit quoque Scriptura: *Lex per Moysen data est*; non a Moyse, sed a Verbo quidem; verum *per Moysem*, servum ejus, et ideo fuit ad tempus: æterna *autem gratia et veritas per Jesum Christum facta est* [f]. Videte verba Scripturæ. De lege quidem, *data est*, inquit, tantum; *Veritas* autem, quæ est gratia Patris, est æternum Verbi opus: et non dicitur dari, sed *per Jesum fieri, sine quo factum est nihil* [g]. Jam vero Moyses prophetice perfecto cedens Pædagogo, nempe Verbo, et nomen et pædagogiam prædicit, et populo commendat Pædagogum, præceptis ei obedientiæ traditis: *Prophetam vobis suscitabit*, inquit, *Deus tanquam me de fratribus vestris* [h]; per Jesum Nave filium, Jesum Dei Filium significans; nomen enim Jesu, quod in lege prædicebatur, erat adumbratio Domini. Sub-

✠ P. 134 ED. POTTER, 112 ED. PARIS. [a] Gen. XLIX, 6. [b] Deut. VI, 2. [c] Matth. XXII, 37. [d] Jer. I, 7, 5. [e] Ibid. 5. [f] Joan. I, 17. [g] Ibid. 3. Deut. XVIII, 15.

(5) *Καὶ τῇ*. Καὶ ἐν τῇ Bibl. Græc.

(6) *Μετὰ φόβου*. Respicit Rom. VIII, 15: *Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον· ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν· Ἀββᾶ, ὁ Πατήρ.*

(7) *Μυστικὸς ἐκεῖνος ἄγγελος*. Christum vocat *mysticum angelum*, quia tunc temporis divinam suam majestatem sub angeli specie occultabat. De Christo sub angeli forma apparente conf. Cl. Bulli *Defensionis Fidei Nicænæ* sect. I, cap. 1.

(8) *Τὸν Θεόν*. Τὸν Θεόν σου Reg., Bod.

(9) *Παύσασθε*. Hæc diversis Scripturæ sententiis constant. Isa. I, 16: *Παύσασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν*· quod Clemens sic extulit: Παύσασθε ἀπὸ τῶν ἔργων ὑμῶν· nam alibi ὑμέτερα ἔργα prophetæ peccata vocant; unde Clemens adjecit, interpretamenti gratia, τῶν παλαιῶν ἁμαρτιῶν. Dein, Isa. I, 17: *Μάθετε καλὸν ποιεῖν*. Psal. XXXVI, 27: *Ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν*. Psal. XLIV, 8: *Ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν*.

(10) *Πρὸ καταβολῆς*. Conf. Eph. I, 4; 1 Pet. I, 20.

(11) *Τέθεικα*. Ἔθηκα Reg.

(12) *Ἐγίνετο*. Ἐγένετο A. SYLBURG.

jungit itaque, quod populo utile futurum erat consulens: *Ipsum audietis* [a], dicens: *Et homo qui non audierit Prophetam hunc* [b], ei minatur. Tale nobis prædicit nomen salutaris Pædagogi. Propterea ei virgam adjungit prophetia, virgam disciplinæ, imperii et potestatis; ut quibus Verbum suadendo non medetur, eis minæ medeantur. Quibus autem non medentur minæ, eis virga medebitur. Quibus vero virga non medetur, eos ignis depascit. *Egredietur*, inquit, *virga de radice Jesse* [c]. Vide Pædagogi curam, sapientiam, et potestatem. *Non secundum opinionem*, inquit, *judicabit, neque secundum loquelam arguet, sed judicabit humili judicium, et arguet peccatores terræ*. Et per David: *Castigans castigavit me Dominus, et morti non tradidit me* [d]. A Domino enim castigari, et tanquam a Pædagogo erudiri, est a morte liberari. Et dicit per eumdem Prophetam: *In virga ferrea pasces eos* [e]. Hinc quoque commotus Apostolus in Epistola ad Corinthios: *Quid vultis*, inquit, *in virga veniam ad vos, an in dilectione et spiritu lenitatis* [f]? Quin etiam, *virgam* ✠ *potentiæ emittet Dominus ex Sion*, dicit per alium prophetam [g]. Pædagogica autem hæc *virga tua et baculus tuus me consolata sunt* [h], dixit aliquis alius. Hæc est Pædagogi potestas, veneranda et gravis, consolatoria, salutaris.

A φητικῶς παραχωρῶν Παιδαγωγῷ τῷ Λόγῳ, καὶ τὸ ὄνομα καὶ τὴν παιδαγωγίαν προθεσπίζει, καὶ τῷ λαῷ παρατίθεται τὸν παιδαγωγὸν, ἐντολὰς ὑπακοῆς ἐγχειρίσας· *Προφήτην* (13) *ὑμῖν ἀναστήσει*, φησὶν, *ὁ Θεὸς ὡς ἐμὲ ἐκ τῶν ἀδελφῶν ὑμῶν*· τὸν Ἰησοῦν (14) τὸν τοῦ Ναυῆ αἰνιττόμενος διὰ τὸν Ἰησοῦν τὸν τοῦ Θεοῦ Υἱόν· σκιαγραφία γὰρ ἦν τοῦ Κυρίου τὸ ὄνομα τὸ Ἰησοῦ προκηρυσσόμενον ἐν νόμῳ. Ἐπιφέρει γοῦν, τὸ λυσιτελὲς τῷ λαῷ συμβουλεύων· *Αὐτοῦ ἀκούσεσθε*, λέγων· *Καὶ ὁ ἄνθρωπος ὃς ἂν* (15) *μὴ ἀκούσῃ τοῦ προφήτου τούτου*, τούτῳ ἀπειλεῖ. Τοιοῦτον ἡμῖν ὄνομα σωτηρίου προφητεύει παιδαγωγοῦ. Διὰ τοῦτο αὐτῷ ῥάβδον περιτίθησιν ἡ προφητεία, ῥάβδον παιδευτικὴν, ἀρχικὴν, κατεξουσιαστικήν· ἵν' οὓς ὁ Λόγος ὁ πειθήνιος οὐκ ἰᾶται, ἀπειλὴ
B ἰάσεται· οὓς δὲ ἡ ἀπειλὴ οὐκ ἰᾶται, ἡ (16) ῥάβδος ἰάσεται· οὓς δὲ ἡ ῥάβδος οὐκ ἰᾶται, τὸ πῦρ ἐπινέμεται. *Ἐξελεύσεται*, φησὶ, *ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί*. Ὅρα καὶ τὴν ἐπιμέλειαν, καὶ τὴν σοφίαν, καὶ τὴν δύναμιν τοῦ Παιδαγωγοῦ· *Οὐ κατὰ τὴν δόξαν*, φησὶν, *κρινεῖ, οὐδὲ κατὰ τὴν λαλιὰν ἐλέγξει· ἀλλὰ κρινεῖ ταπεινῷ κρίσιν, καὶ ἐλέγξει τοὺς ἁμαρτωλοὺς* (17) *τῆς γῆς*· καὶ διὰ Δαβίδ· *Κύριος παιδεύων ἐπαίδευσέ με, καὶ τῷ θανάτῳ οὐ παρέδωκέ με*. Τὸ γὰρ ὑπὸ Κυρίου παιδευθῆναι, καὶ παιδαγωγηθῆναι, θανάτου ἐστὶν ἀπαλλαγή. Καὶ διὰ τοῦ αὐτοῦ προφήτου φησίν· *Ἐν ῥάβδῳ σιδηρᾷ ποιμανεῖς αὐτούς*. Ταύτῃ καὶ ὁ Ἀπόστολος κινηθεὶς, ἐν τῇ πρὸς Κορινθίους, *Τί θέλετε*; φησὶν *ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ, πνεύματί τε πραότητος*; ἀλλὰ καὶ, *Ῥάβδον δυνάμεως* (18) *ἐξαποστελεῖ Κύριος* (19) *ἐκ Σιὼν*, δι' ἄλλου προφήτου (20) λέγει. Ἡ δὲ παιδαγωγικὴ αὕτη *ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου παρεκάλεσάν με*, εἶπέ τις ἕτερος. Αὕτη τοῦ Παιδαγωγοῦ ἡ δύναμις ἡ σεμνὴ, ἡ παρακλητικὴ, ἡ σωτήριος.

✠ P. 135 ED. POTTER, 113 ED. PARIS. [a] Deut. XVIII, 15. [b] Ibid. 19. [c] Isa. XI, 1, 3, 4. [d] Psal. CXVII, 18. [e] Psal. II, 9. [f] I Cor. IV, 21. [g] Psal. CIX, 2. [h] Psal. XXII, 4.

(13) *Προφήτην*. *Προφήτην ἐκ τῶν ἀδελφῶν σου, ὡς ἐμὲ, ἀναστήσει σοι Κύριος ὁ Θεός σου*. Deuteron. Sed Lucas pro σοῦ et σοί posuit etiam ὑμῶν et ὑμῖν. Act. III, 22; VII, 37. Eodem modo Tertullianus *Adv. Marcion.* lib. IV, c. 22: *Hunc igitur audite, quem ab initio edixerat audiendum in nomine prophetæ, quoniam et prophetes existimari habebat a populo. « Prophetam, inquit Moyses, suscitabit vobis Deus ex filiis vestris; » secundum carnalem scilicet censum; « tanquam me audieritis illum, »* etc.

(14) *Τὸν Ἰησοῦν*. *Jesum filium Nave innuens, propter Jesum Dei Filium*. Quippe, quod ille hujus typus esset. Veteres εἰς vel πρός hoc sensu usurpant. Sic Plato, αἰνίττομαι τοῦτο πρὸς τὸν ἀέρα· *per hoc aerem significo*. Item Æschines, αἰνιττόμενος εἰς ἐμέ. Porro Justinus M., in *Dialogo cum Tryph.* Josuæ nomine Jesum præsignificatum sæpenumero affirmat: ut p. 340. edit. Paris.: Ἰησοῦν, ὡς προέφην, πολλάκις, Αὐσῆν καλούμενον, ἐκεῖνον τὸν μετὰ τοῦ Χαλὲβ κατάσκοπον εἰς τὴν Χαναὰν ἐπὶ τὴν γῆν ἀποσταλέντα, Ἰησοῦν Μωϋσῆς ἐκάλεσε. Τοῦτο σὺ οὐ ζητεῖς δι' ἣν αἰτίαν ἐποίησεν; οὐκ ἀπορεῖς, οὐδὲ φιλοπευστεῖς; τοιγαροῦν λέληθέ σε ὁ Χριστός· καὶ ἀναγινώσκων, οὐ συνίῃς· οὐδὲ νῦν ἀκούων, ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς ἡμῶν, συλλογίζῃ οὐκ ἀργῶς, οὐδ' ὡς ἔτυχεν ἐκείνῳ τεθεῖσθαι τοὔνομα· *Ausem illum, ut sæpe commemoravi, qui cum Chalebo speculator in terram Chanaan missus est, Jesum Moyses nominavit. Hoc ipsum tu quam ob causam fecerit, non quæris, non ambigis, non studio discendi percunctaris? Ilicet te fugit Christus; et legens, non intelliges; et ne nunc*

C *quidem, cum audis Jesum esse nostrum Christum, tecum reputas non fortuito, vel temere illi hoc nomen esse impositum*, etc. Conf. ejusdem libri p. 338, 341, 361, 362.

(15) *Ὃς ἂν*. *Ὃς ἐὰν μὴ ἀκούσῃ ὅσα ἂν λαλήσῃ ὁ προφήτης ἐκεῖνος*, Deuteron. *Πᾶσα ψυχὴ, ἥτις ἂν μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου*, Act. III, 23.

(16) *Ἡ*. Hanc particulam inseruit Sylburgius.

(17) *Ἁμαρτωλούς*. Ταπεινούς Bibl. Græc. Mox, παιδεύων ἐπαίδευσέ με ὁ Κύριος, inverso verborum ordine, Bibl. Græc. ut mox etiam, ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ibid.

D (18) *Ῥάβδον δυνάμεως*. Chrysostomus homil. in psal. CIX: Ἡ ῥάβδος κολαστική ἐστιν, καὶ εὐεργετικὴ, καὶ παρακλητικὴ, καὶ βασιλείας σύμβολον. Τὴν μὲν δύναμιν ἐνταῦθα ῥάβδον ἐκάλεσεν, μεθ' ἧς οἱ μαθηταὶ τὴν οἰκουμένην περιέτρεχον ἤθη διορθοῦντες, καὶ ἐξ ἀλόγου τινὸς κακίας ἐπὶ λογικὴν ἄγοντες τὴν τῶν ἀνθρώπων φύσιν. *Virga aliquando quidem castigat, et beneficio afficit, aliquando autem consolatur, et est signum regni. Virgam autem virtutem hic vocavit, cum qua discipuli orbem terræ obierunt mores corrigentes, et a quodam a ratione alieno vitio deducentes ad hominum naturam rationis compotem.*
COLLECT.

(19) *Κύριος*. Σοὶ Κύριος Bibl. Græc. Mox, βακτηρία σου, αὗταί με παρεκάλ. Ibid.

(20) *Δι' ἄλλου προφήτου*. Imo διὰ τοῦ αὐτοῦ προφήτου, *per eumdem prophetam*, nempe Psalmorum auctorem; cujus etiam est, quod Clemens ἑτέρῳ, *alii*, memoriæ lapsu mox tribuit.

ΚΕΦ. Η'.

Πρὸς τοὺς ἡγουμένους μὴ εἶναι ἀγαθὸν τὸ δίκαιον.

A

Ἐνταῦθα ἐπιφύονταί τινες (21), οὐχ ἀγαθὸν εἶναι φάμενοι τὸν Κύριον διὰ τὴν ῥάβδον, καὶ τὴν ἀπειλὴν, καὶ τὸν φόβον· καὶ παρακούσαντες (22) μὲν, ὡς ἔοικε, τῆς Γραφῆς ὡδέ που λεγούσης· *Καὶ ὁ φοβούμενος* (23) *Κύριον ἐπιστρέψει ἐπὶ καρδίαν αὐτοῦ·* ἐκλαθόμενοι δὲ τὸ μέγιστον αὐτοῦ τῆς φιλανθρωπίας, ὅτι δι' ἡμᾶς ἄνθρωπος ἐγένετο. Καὶ δὴ οἰκειότερον αὐτῷ ὁ προφήτης προσεύχεται (24) διὰ τούτων· *Μνήσθητι ἡμῶν* (25), *ὅτι χοῦς ἐσμεν·* τουτέστι, Συμπάθησον ἡμῖν, ὅτι τὴν ἀσθένειαν τῆς σαρκὸς αὐτοπαθῶς ἐπείρασας. Ταύτῃ γοῦν (26) ἄριστος καὶ ἀνεπίληπτός ἐστιν ὁ Παιδαγωγὸς ὁ Κύριος, τῇ ἑκάστου τῶν ἀνθρώπων δι' ὑπερβολὴν φιλανθρωπίας B συμπαθήσας φύσει. *Ἦν γὰρ οὐδὲν, ὃ μισεῖ ὁ Κύριος·* οὐ γὰρ δήπου μισεῖ μέν τι, βούλεται δὲ αὐτὸ εἶναι, ὃ μισεῖ· οὐδὲ βούλεται μέν τι μὴ εἶναι, αἴτιος δὲ γίνεται τοῦ εἶναι αὐτὸ, ὃ βούλεται μὴ εἶναι. Οὐδὲ μὴν (27) οὐ βούλεται μέν τι μὴ εἶναι, τὸ δὲ ἔστιν. Εἴ τι ἄρα μισεῖ ὁ Λόγος, βούλεται αὐτὸ μὴ εἶναι· οὐδὲν δέ ἐστιν, οὗ μὴ τὴν αἰτίαν τοῦ εἶναι ὁ Θεὸς παρέχεται· οὐδὲν ἄρα μισεῖται ὑπὸ τοῦ Θεοῦ· ἀλλ' οὐδὲ ὑπὸ τοῦ Λόγου· ἓν γὰρ ἄμφω, ὁ Θεός· ὅτι εἶπεν, *Ἐν ἀρχῇ* (28) *ὁ Λόγος ἦν ἐν τῷ Θεῷ· καὶ Θεὸς ἦν ὁ Λόγος.* Εἰ δὲ οὐ μισεῖ τῶν ὑπ' αὐτοῦ γενομένων οὐδὲν, λείπεται φιλεῖν αὐτό (29)· πολὺ δὴ πλέον τῶν ἄλλων ἀγαπήσει τὸν ἄνθρωπον εἰκότως, τὸ κάλλιστον τῶν ὑπ' αὐτοῦ δημιουργηθέντων, καὶ φιλόθεον ζῶον. C Φιλάνθρωπος ἄρα ὁ Θεός· φιλάνθρωπος ἄρα ὁ Λόγος. Ὁ δὲ φιλῶν τι, ὠφελεῖν αὐτὸ βούλεται. Τὸ δὲ ὠφελοῦν τοῦ μὴ ὠφελοῦντος πάντως ἄν που κρεῖττον εἴη. Τοῦ δὲ ἀγαθοῦ κρεῖττον οὐδὲ ἕν. Ὠφελεῖ ἄρα τὸ ἀγαθόν. Ἀγαθὸς δὲ ὁ Θεὸς ὁμολογεῖται· ὠφελεῖ ἄρα ὁ Θεός. Τὸ δὲ ἀγαθὸν (30), ᾗ ἀγαθόν ἐστιν, οὐδὲν ἄλλο ποιεῖ ἢ ὅτι ὠφελεῖ· πάντα ἄρα ὠφελεῖ ὁ Θεός. Καὶ οὐ δήπου ὠφελεῖ μέν τι τὸν ἄνθρωπον, οὐχὶ δὲ κήδεται αὐτοῦ· οὐδὲ κήδεται μὲν, οὐχὶ δὲ καὶ (31) ἐπιμελεῖται αὐτοῦ. Κρεῖττον μὲν γὰρ τὸ

CAP. VIII.

Adversus eos, qui existimant non esse bonum id, quod justum est.

Hic exoriuntur aliqui, qui dicunt non esse bonum Dominum, propter virgam, et minas, et timorem; et Scripturam perperam intelligentes, quæ sic dicit: *Et qui timet Dominum, convertetur ad cor suum* [a]; et obliti maxime ejus benignitatis, quod propter nos homo factus sit **50**. Atqui Propheta eum familiarius precatur per hæc verba *Memento nostri, quoniam pulvis sumus* [b]; hoc est, miserere nostri, quoniam carnis imbecillitatem, tu ipse eam passus, expertus es. Ea ergo ratione optimus, et nulli reprehensioni obnoxius Pædagogus est Dominus, qui propter insignem benignitatem et clementiam cum uniuscujusque hominis natura quasi compatitur. *Nihil enim est quod odio habet Dominus* [c]; non enim aliquid quidem odisse potest, et velle id esse quod odit. Neque vero simul vult aliquid non esse, et est causa, ut sit id, quod vult non esse. Sed neque vult quidem aliquid non esse, id vero est. Si quid ergo odio habet Verbum, id vult non esse. Nihil est autem, cujus non causam Deus, quod id sit, præbeat. Nihil ergo odio habet Deus; sed neque Verbum: utrumque enim unum est, nempe Deus. Dixit enim: *In principio erat Verbum, et Verbum erat in Deo, et Deus erat Verbum* [d]. Quod si nihil odio habet eorum, quæ ab ipso facta sunt, restat, ut id diligat. Longe autem plus, quam alia, jure hominem diligit, qui est pulcherrimum animal eorum, quæ ab ipso effecta sunt, ac Dei amore præditum. Hominem ergo diligit Deus; ergo Verbum etiam hominem ✠ diligit. Qui autem aliquid amat, ei vult prodesse. Quod autem prodest, eo, quod non prodest, utique fuerit præstantius. Præstantius autem bono nihil est. Prodest ergo, quod bonum est. Deum autem esse *bonum* [e], in confesso est. Deus ergo prodest. Bonum autem quatenus bonum est, nihil aliud facit, quam prodest. Deus ergo prodest in omnibus. Nec homini

✠ P. 136 ED. POTTER, 114 ED. PARIS. [a] Eccli. xxi, 7. [b] Psal. cii, 14. [c] Sap. xi, 25. [d] Joann. i, 1. [e] Matth. xix, 17.

(21) *Τινές*. Nempe Marcionis discipuli: Οἱ δὲ ἕτερον Θεὸν φάσκοντες παρὰ τὸν δημιουργὸν, δίκαιον μὲν αὐτὸν θέλουσι, καὶ οὐκ ἀγαθὸν, σφόδρα ἰδιωτικῶς ἅμα καὶ ἀσεβῶς ἐνεχθέντες, ἐν τῷ χωρίζειν δικαιοσύνην ἀγαθότητος, καὶ ἀγαθότητα δίχα δικαιοσύνης· *Qui alium Deum asserentes præter mundi Creatorem, hunc quidem justum esse volunt, sed non bonum: stulte id quidem et impie, cum justitiam a bonitate separent, et a justitia bonitatem*; ut refert Origenes *Comment. in Exod.*, tom. i, p. 17. Tertullianus, *contra Marcion.* lib. i, cap. 6, illum ait, *dispares deos constituere; alterum judicem ferum, bellipotentem; alterum mitem, placidum, et tantummodo bonum atque optimum.*

(22) *Παρακούσαντες*. Παρακούσαντας Bod.

(23) *Καὶ ὁ φ.* Καὶ ὁ φοβούμενος τὸν Θεὸν ἐν καρδίᾳ, Bibl. vulg. καὶ ὁ φοβούμενος Κύριον ἐπιστρέψει ἐπὶ καρδίαν αὐτοῦ Ms. Alex.

(24) *Ὁ προφ. προσ.* Προσεύχεται ὁ προφήτης, inverso verborum ordine, Reg., Bod.

(25) *Μνήσθητι ἡμῶν*. Μνήσθητι ὅτι χοῦς ἐσμεν, Bibl. vulg; ἐμνήσθη ὅτι χ. ms. Alex.

(26) *Γοῦν*. Τοίνυν, Reg., Bod., Pal.

(27) *Οὐδὲ μήν*. Ignatius *Epist. ad Magnesios*, c. 10: Ἂν γὰρ ἡμᾶς μιμήσηται, ... οὐκ ἔτι ἐσμέν. *Si* D *enim nos imitetur* (Deus sc. malo malum compensans), *non amplius sumus*. Clemens *Strom.* vii, pag. 740: Οὐδενὶ μὲν ἀντικεῖσθαι λέγομεν τὸν Θεὸν, οὐδὲ ἐχθρὸν εἶναί τινος· πάντων γὰρ κτίστης, καὶ οὐδέν ἐστι τῶν ὑποστάντων, ὃ μὴ θέλει· *Deum dicimus nulli adversari, nec esse cujuspiam inimicum. Est enim Creator omnium, et nihil est ex iis quæ subsistunt, quod nolit.*

(28) *Ἐν ἀρχ.* Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος, Joann.

(29) *Αὐτό.* Αὐτός, Bod. Dein, πολὺ δὲ πλ. Idem.

(30) *Τὸ δὲ ἀγαθόν*. Stoicorum more loquitur. Sextus Empiricus lib. x *adv. Mathematicos*, p. 442: Οἱ μὲν οὖν Στωϊκοὶ... ὁρίζονται τἀγαθὸν τρόπῳ τῷδε· Ἀγαθόν ἐστιν ὠφέλεια ἢ οὐχ ἕτερον ὠφελείας. *Stoici bonum hoc modo definiunt: Bonum est utilitas, aut non diversum ab utilitate.* Conf. idem *Hypotyposeon* lib. iii, cap. 20; Diogenes Laertius lib. vii, seg. 94.

(31) *Καί*. Hæc particula abest a Pal. ms. Sylb.

quidem in aliqua re prodest, non autem ejus curam gerit. Neque curam quidem ejus gerit, non autem est etiam de eo sollicitus. Est enim præstantius, quod sua sponte prodest, quam quod non sua sponte. Deo autem nihil est præstantius. Nec est aliud sua sponte prodesse, quam esse de homine sollicitum. Deus ergo curam gerit hominis, et de eo est sollicitus. Id autem reipsa ostendit, cum Verbo eum erudiat, qui est germanus coadjutor Dei in homines benevolentiæ. Bonum autem esse dicitur, non eo quod virtutem habeat: quatenus justitia quoque bonum esse dicitur, non quod habeat virtutem, ipsa enim est virtus, sed quod ipsa ex se et per se bona sit. Dicitur etiam alio modo bonum id, quod est utile, non eo quod delectet, sed eo quod prosit. Quæ quidem omnia est justitia, quæ ut virtus, et ut per se eligenda bonum est, et ut quæ non delectet; non enim judicat ad gratiam, sed pro uniuscujusque meritis distribuit. Id autem quod est utile, sequitur id, quod prodest. Per omnes ergo respectus, quibus bonum dijudicatur, justitia quoque boni characterem suscipit, utrisque æqualia æqualiter participantibus; quæ vero ex æqualibus characterem suscipiunt, ipsa sunt inter se æqualia et similia. Bonum est ergo justitia. Quomodo ergo, inquiunt, si Dominus homines diligit et bonus est, irascitur et punit? Necesse est ergo de hoc, quam fieri poterit brevissime, disserere: est enim hæc tractatio aliqua ex parte conducibilis ad rectam puerorum eductionem, necessarii auxilii locum tenens. Multæ enim animi affectiones curantur supplicio, et præceptorum acerbiorum jussu, atque etiam per doctrinam nonnullarum speculationum. Est autem reprehensio veluti quædam chirurgia affectionum animæ. Abscessus autem veritatis affectiones, quas sectione di- ✠ videntem oportet coarguere. Medicamentorum autem applicationi est similis probri insimulatio, quæ resolvit affectiones, quæ jam occalluerunt, impudicæque et libidinosæ vitæ sordes expurgat, fa-

A κατὰ γνώμην ὠφελοῦν τοῦ μὴ ὠφελοῦντος κατὰ γνώμην· τοῦ δὲ Θεοῦ κρεῖττον οὐδέν. Καὶ οὐκ ἄλλο τί ἐστι τὸ κατὰ γνώμην ὠφελεῖν, εἰ μὴ ἐπιμελεῖσθαι τοῦ ἀνθρώπου. Κήδεται ἄρα καὶ ἐπιμελεῖται τοῦ ἀνθρώπου ὁ Θεός. Τοῦτο δὲ ἐνδείκνυται ἔργῳ, παιδαγωγῶν αὐτὸν Λόγῳ, ὅς ἐστι τῆς τοῦ Θεοῦ φιλανθρωπίας συναγωνιστὴς γνήσιος. Τὸ δὲ ἀγαθὸν εἶναι (32) οὐ τῷ τὴν ἀρετὴν ἔχειν ἀγαθὸν εἶναι λέγεται· καθὸ καὶ ἡ δικαιοσύνη ἀγαθὸν εἶναι λέγεται οὐ τῷ ἀρετὴν ἔχειν, ἀρετὴ γάρ ἐστιν αὕτη, ἀλλὰ τῷ αὐτὴν καθ' αὐτὴν καὶ δι' αὐτὴν ἀγαθὴν εἶναι. Λέγεται δὲ καὶ κατ' ἄλλον τρόπον ἀγαθὸν τὸ συμφέρον, οὐ τῷ τέρπειν, ἀλλὰ τῷ ὠφελεῖν. Ἃ δὴ πάντα (33) ἡ δικαιοσύνη, καὶ ὡς ἀρετή, καὶ ὡς δι' αὐτὴν αἱρετή, ἀγαθὸν, καὶ ὡς οὐ τέρπουσα· οὐ γὰρ πρὸς χάριν κρίνει, ἀλλὰ τοῦ B κατ' ἀξίαν ἑκάστου ἐστὶν ἀπονεμητική. Ἕπεται δὲ τῷ συμφέροντι τὸ ὠφέλιμον. Κατὰ πάντα ἄρα τὰ μέρη, καθ' ἃ τὸ ἀγαθὸν ἐξετάζεται, καὶ ἡ δικαιοσύνη χαρακτηρίζεται, τῶν ἴσων ἐπίσης ἀμφοῖν μετεχόντων· τὰ δὲ τοῖς ἴσοις χαρακτηριζόμενα ἴσα τε ἀλλήλοις καὶ ὅμοια. Ἀγαθὸν ἄρα ἡ δικαιοσύνη. Πῶς οὖν (34), φασὶν, εἰ φιλάνθρωπός ἐστι καὶ ἀγαθὸς ὁ Κύριος, ὀργίζεται καὶ κολάζει; Ἀναγκαῖον οὖν καὶ περὶ τούτου, ὡς οἷόν τε, διὰ βραχυτάτων ἐπεξελθεῖν· ἐπεὶ λυσιτελής πως ἡ τοιάδε οἰκονομία πρὸς τὴν ὀρθὴν τῶν παίδων ἀγωγὴν, ἀναγκαίου βοηθήματος ἔχουσα τάξιν. Θεραπεύεται δὲ πολλὰ τῶν παθῶν τιμωρίᾳ καὶ προστάξει αὐστηροτέρων παραγγελμάτων, καὶ δὴ καὶ διὰ τῆς ἐνίων θεωρημάτων διδασκαλίας. Ἔστι δὲ οἱονεὶ χειρουργία (35) τῶν τῆς ψυχῆς παθῶν C ὁ ἔλεγχος· ἀπόστασις δὲ τὰ πάθη τῆς ἀληθείας (36), ἃ χρὴ διελέγχειν διαιροῦντα τῇ τομῇ. Φαρμακείᾳ δὲ ἔοικεν ὁ ὀνειδισμὸς, τὰ τετυλωμένα ἀναλύων τῶν παθῶν, καὶ τὰ ῥυπαρὰ τοῦ βίου τῆς λαγνείας ἀνακαθαίρων, πρὸς δὲ καὶ τὰς ὑπερσαρκώσεις (37) τοῦ τύφου ἐξομαλίζων, εἰς τὸν ὑγιῆ καὶ ἀληθινὸν ἀνασκευάζων τὸν ἄνθρωπον. Ἡ νουθέτησις οὖν οἱονεὶ δίαιτά ἐστι νοσούσης ψυχῆς, ὧν χρὴ μεταλαμβάνειν (38), συμβουλευτική· καὶ ὧν οὐ χρὴ, ἀπαγορευτική· τὰ δὲ πάντα εἰς σωτηρίαν καὶ ἀΐδιον ὑγίειαν

✠ P. 137 ED. POTTER, 115 ED. PARIS.

(32) *Εἶναι*. Supervacanea est hæc vox, et fortasse e sequentibus periochis irrepsit, in quibus bis τῷ ἀγαθόν postposita est. Sensus est: « Bonum autem non dicitur esse bonum, eo quod virtutem habeat: quemadmodum etiam justitia non dicitur esse bonum, quod habeat virtutem, cum sit ipsa virtus; sed quod ipsa ex se et per se bona sit. »

(33) *Πάντα*. Post πάντα Hervetus interpres subaudit ἐστίν: *quæ quidam omnia est justitia*. Sylb.

(34) *Πῶς οὖν*. Marcionitarum quæstio. Irenæus, lib. III, c. 42: *Rursus ut increpativum auferrent a Patre, et judiciale, indignum id Deo putantes, et sine iracundia et bonum arbitrantes se adinvenisse Deum, alterum quidem judicare, et alterum quidem salvare dixerunt, nescientes utrorumque auferentes sensum et justitiam*. Conf. Tertullianus *adv. Marcionem* lib. II, c. 11 et sq.

(35) *Χειρουργία*. Tertullianus *adv. Marcionem*, lib. II, cap. 16: *Non poterunt judici exprobrari, quæ judici accedunt, carentia et ipsa culpa, sicut et judex. Quid enim si medicum dicas esse debere, ferramenta vero ejus accuses, quod secent, et inurant, et amputent, et constricent? quando sine instrumento artis medicus esse non possit.*

(36) *Ἀπόστασις δὲ τὰ πάθη τῆς ἀ.λ.* Ἀπόστασις idem est quod ἀπόστημα, *suppuratio*, *abscessus* humorum, quos chirurgi a corpore τομῇ διαιρεῖν, *sectione abstrahere*, solent. Hinc τὰ πάθη, quæ resecare oportet, τῇ ἀποστάσει comparat. Sylburgius ait: « Ἀληθείας πάθη, si vera est scriptura, dici videntur quæ a corrupta veritate proficiscuntur vitia: ἀπειθείας ad præcedens ψυχή minus quadrat. » Lowthius dicit: « Quid si legatur ἀτιμίας, e Rom. I, 26. Stanlejus Comment. in Æschyli *Theb.* vers. 599: Legendum, inquit, τὰ βάθη, ad exemplum D. Joannis in Apocalypsi, qui τὰ βάθη τοῦ Σατανᾶ nominat. Pindarus *Nem.* IV, φρένα βαθεῖαν vocat: et βαθύφρονα sapientem. » Porro, ut meam tandem sententiam exponam, vulgata lectio satis commode retineri posse videtur si ἀληθείας non ad τὰ πάθη, quod faciunt eruditi viri jam memorati, sed ad ἀπόστασις referamus: Ἀπόστασις δὲ τὰ πάθη τῆς ἀληθείας, *sunt autem perturbationes abscessus veritatis.*

(37) *Ὑπερσαρκώσεις*. Ὑπὲρ σαρκώσεις, Bod.

(38) *Μεταλαμβάνειν*. Μεταλαμβάνει, Reg.

διατείνει. Ἀλλὰ καὶ ὁ στρατηγὸς, χρημάτων **A** ζημίας, καὶ τὰς εἰς αὐτὰ τὰ σώματα διηκούσας αἰκίας (39) μετὰ δεσμῶν καὶ τῆς ἐσχάτης ἀτιμίας προσφέρων τοῖς ἠδικηκόσιν, ἔσθ' ὅτε δὲ καὶ θανάτῳ κολάζων τινὰς, τέλος ἔχει τὸ ἀγαθὸν ὑπὲρ νουθεσίας τῶν ὑπηκόων στρατηγῶν. Ὡσαύτως καὶ ὁ μέγας ἡμῶν ἐκεῖνος στρατηγὸς, ὁ τῶν ὅλων ἡγεμὼν Λόγος, τοὺς παρὰ τὸν νόμον ἀφηνιάζοντας τὸν αὐτοῦ, ὑπὲρ ἀπαλλαγῆς δουλείας καὶ πλάνης καὶ τῆς τοῦ ἀντικειμένου αἰχμαλωσίας, εἰς καταστολὴν τῶν τῆς ψυχῆς παθῶν νουθετῶν, ἐπὶ τὴν ἱερὰν τῆς πολιτείας ὁμόνοιαν εἰρηναγωγεῖ. Καθάπερ οὖν τῷ συμβουλευτικῷ λόγῳ παράκειται τὸ προτρεπτικὸν καὶ παρακλητικὸν εἶδος, οὕτω καὶ τῷ ἐγκωμιαστικῷ τὸ λοιδορητικὸν, καὶ ὀνειδιστικὸν καὶ ἐγκωμιαστικόν (40). Τὸ δὲ εἶδος τοῦτο τέχνη ἐστὶ ψεκτική (41). **B** Εὐνοίας δὲ τὸ ψέγειν, οὐ μίσους σύμβολον. Ἄμφω μὲν γὰρ ὀνειδίζετον, καὶ ὁ φίλος καὶ ὁ μή· ἀλλ' ὁ μὲν ἐχθρὸς, ἐπιγελῶν, ὁ δὲ φίλος, εὐνοῶν. Οὐκ ἄρα διὰ μῖσος ὁ Κύριος τοῖς ἀνθρώποις λοιδορεῖται· οὓς καὶ ἐξὸν αὐτῷ ἀπολέσαι παρὰ τὰς ἰδίας αἰτίας, ὁ δὲ ὑπὲρ ἡμῶν καὶ πέπονθεν. Παιδαγωγὸς γὰρ ἅτε ἀγαθὸς, ἐντέχνως σφόδρα καὶ διὰ τῆς λοιδορίας ὑποδύεται τὸν ψόγον, οἱονεὶ μάστιγι, τῇ βλασφημίᾳ τὸ νωθρὸν τῆς διανοίας ἐπεγείρων. Πάλιν τε αὖ ἐν μέρει προτρέπειν ἐπιχειρεῖ τοὺς αὐτούς· οὓς γὰρ ὁ ἔπαινος οὐ προετρέψατο, τούτους παρώξυνεν ὁ ψόγος· καὶ οὓς ὁ ψόγος οὐκ ἐξεκαλέσατο εἰς σωτηρίαν καθάπερ νεκροὺς (42), τούτους πρὸς ἀλήθειαν ἡ βλασφημία διανίστησι. *Μάστιγες γὰρ καὶ παιδεία ἐν παντὶ καιρῷ σοφίας. Συγκολλῶν ὄστρακον, καὶ διδάσκων* (43) *μωρὸν· εἰς αἴσθησιν* **C** *ἄγων*, φησὶ, *τὴν γῆν, καὶ τὸν ἀπηλπισμένον εἰς σύνεσιν ὀξύνων·* διὰ τοῦτο ἐναργῶς ἐπήγαγεν, *Ἐξεγείρων καθεύδοντα ἐκ βαθέος ὕπνου*, ὃς τῶν ἄλλων μάλιστα θανάτῳ ἔοικεν. Καὶ δὴ αὐτὸς περὶ αὐτοῦ σαφέστατα οὗς (44) ἐκφαίνει, τὴν πολύτροπον καὶ πολυωφελῆ θεραπείαν ἀλληγορῶν, ὁπηνίκα εἰπὼν, *Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινή· καὶ ὁ Πατήρ μου ὁ γεωργός ἐστιν.* Εἶτα ἐπήγαγε πάλιν, *Πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπὸν, αἴρει αὐτό· καὶ πᾶν τὸ καρποφοροῦν* (45) *καθαίρει, ἵνα καρπὸν πλείω φέρῃ.* Καθυλομανεῖ (46) γὰρ μὴ κλαδευομένη ἡ ἄμπελος· οὕτω δὲ καὶ ὁ ἄνθρωπος. Καθαίρει δὲ αὐτοῦ τὰς ἐξυβριζούσας παραφυάδας ὁ Λόγος, ἡ μάχαιρα, καρποφορεῖν, οὐκ ἐπιθυμεῖν, τὰς ὀρέξεις ἀναγκάσας· ἡ δὲ πρὸς τοὺς ἁμαρτάνοντας ἐπίπληξις, **D** ἔχει σκοπὸν τὴν σωτηρίαν, μεθαρμοζομένου (47) μουσικῶς τοῦ Λόγου, κατὰ τοὺς οἰκείους ἑκάστων τρόπους· πῆ

stusque ac superbiæ tumores exæquat, sanum ac verum hominem reparans ac restituens. Jam vero admonitio est veluti quædam diæta ægrotantis animæ, quæ ea, quæ sunt sumenda, consulit, et quæ non sunt, prohibet. Hæc autem omnia tendunt ad salutem et sanitatem æternam. Quin etiam dux exercitus, cum in eos, qui maleficium admiserunt, et mulctis pecuniariis, et pœnis, quæ cum vinculis et extrema ignominia ad corpus usque pervadunt, animadvertit, et nonnullos etiam nonnunquam morte punit, finem habet id, quod bonum est, ut qui ejus imperio subsunt, duces admoneantur. Ita etiam magnus ille noster imperator, universorum dux Verbum, eos, qui suæ legi non parent, ut a servitute et errore, et ab adversarii captivitate liberentur, ut animi perturbationes coerceant admonens, ad sacram reipublicæ concordiam pacifice deducit. Quemadmodum ergo orationi suasoriæ adjunctum est genus cohortatorium et monitorium, ita etiam laudatoriæ vituperatorium et exprobratorium. Est autem hoc genus ars quædam reprehensoria. Benevolentiæ autem, non odii signum est, reprehendere. Ambo enim probrum objiciunt, et amicus et inimicus; sed inimicus quidem irridens, amicus autem bene volens. Non ergo propter odium Dominus homines vituperat, quos cum propter nostra ipsorum scelera licuisset perdere, ipse pro nobis etiam passus est. Nam tanquam bonus Pædagogus, admodum artificiose vel per maledictum ad vituperandum irrepit, maledicto tanquam flagello mentis socordiam excitans. Rursus autem eosdem vicissim conatur adhortari. Quos enim laus non movit, eos incitat vituperatio; et quos tanquam mortuos vituperatio non excitat ad salutem, eos ad veritatem expergefacit maledictum. *Flagella enim et disciplina in omni tempore sapientiæ. Qui testam conglutinat, et stultum docet, ad sensum,* **51** inquit, ✠ *terram ducens, et eum, qui est desperatus, acuens ad prudentiam.* Propterea aperte subjunxit: *Excitans dormientem e profundo somno* [a], qui est ex aliis rebus omnibus maxime morti similis. Porro autem ipse de se ipso apertissime exponit, multiplicem multisque modis utilem culturam allegorice significans, quando dicit: *Ego sum vitis vera, et Pater meus agricola est.* Deinde rursus subjunxit: *Omnis palmes in me non ferens fructum, tollit ipsum: et quidquid fructum fert, expurgat, ut amplius fructus ferat* [b]; silvescit enim

✠ P. 138 ED. POTTER, 115-116 ED. PARIS. [a] Eccli. xxii, 6-8. [b] Joan. xv, 1, 2.

(39) *Αἰκίας*. Hanc vocem legendam pro vulg. αἰτίας, vidit etiam Hervetus interpres. SYLBURG.

(40) *Καὶ ἐγκωμιαστικόν*. Commation hoc omisit Hervetus interpres, et certe superfluum est: aut pro ἐγκωμιαστικόν reponendum ἐπιτωθαστικόν, vel simile quid. SYLBURG. Forte ἐγκωμιαστικόν in margine annotatum, postea in textum irrepsit: dein καί connexionis gratia additum est.

(41) *Ψεκτική*. Ψεκτή Reg., Bod. Sylburg. ait: « Ψεκτή Pal. ms. Hervetus interpres ψηκτική, *abstersoria*; nostrum ψεκτική satis confirmant sequentia. »

(42) *Καθάπερ νεκρούς*. Hæc verba si ad ea quæ sequuntur referantur, hunc sensum dabunt: *Et quos reprehensio non provocarit ad salutem, eos tanquam mortuos, convitia excitant ad veritatem.*

(43) *Καὶ δ.* Ὁ δ. Ecclesiast.

(44) *Οὗς*. Sic A., corruptum fortassis ex abbreviato ὁ Κς, id est ὁ Κύριος, SYLBURG. Mox εἶπεν congruentius quam εἰπών. IDEM.

(45) *Καρποφοροῦν κ.* Καρπὸν φέρον καθαίρει αὐτὸ, ἵνα πλείονα καρπὸν φέρῃ, Evang.

(46) *Καθυλομανεῖ*. Βαθυλομανεῖ Bod.

(47) *Μεθαρμοζομένου*. A. μεθαρμοσαμένου mavult, forma media. SYLBURG.

vitis, nisi putetur: ita etiam homo. Luxuriantes A autem lascivientesque propagines Verbum, qui est gladius, expurgat, cogens appetitus non concupiscere, sed fructum ferre. Eorum autem, qui peccant, salutem intendit increpatio, Verbo se concinne applicante, pro propriis uniuscujusque moribus, alicubi quidem vehementi ac intenso, alicubi autem laxo ac remisso. Apertissime itaque per Moysem dictum est : *Bono estote animo: ut vos tentet, accessit Deus; ut sit timor ejus in vobis, ut non peccetis* [a]. Hinc pulchre quoque Plato cum didicisset: *Omnibus enim*, inquit, *revera bene fit, qui dant pœnas: juvantur enim, dum eis punitis melior evadit anima*. Si qui autem corriguntur, iis a justo bene fit; et ex sententia Platonis in confesso est, bonum esse quod justum est: ipse timor prodest, B et ut hominibus bono esset, inventus est; quoniam *spiritus timens Dominum, vivet. Spes enim est in eum, qui ipsos salvos facit* [b]. Hic ipse autem, Verbum inquam, qui pœnas imponit, est judex. De quo dicit etiam Isaias : *Dominus tradidit ipsum peccatis nostris* [c]; peccatorum scilicet correctorem, et directorem : et ideo solus hic potest peccata remittere, noster a Patre universorum constitutus Pædagogus, qui solus ab obedientia potest discernere inobedientiam. Qui autem minatur, aperte ostendit se nihil mali velle facere, neque ea quæ minatur exsequi; sed incusso timore impetum ad peccata reprimit, et suam in homines benevolentiam ostendit, adhuc differens, et ostendens qualia sunt passuri si peccatores permaneant; non C autem, sicut serpens, statim infixus mordet. Bonus est ergo Deus. Atque ipse quidem Dominus sermone ante factum sæpe utitur: *Sagittæ*, inquit, *meæ conficient ipsos, consumpti fame et morsu avium, et nervorum* ✠ *in cervicem convulsio immedicabilis. Dentes belluarum immittam in ipsos, cum ira serpentium super terram. Foris filiis eos orbabit gladius, et ex promptuariis metus* [d]. Non igitur Deus irascitur, ut nonnullis visum est, sed plerumque homines cohibet, semper autem hortatur, et quæ sunt agenda indicat. Bona autem est hæc ars, terrere ne pec-

μὲν, ἐπιτεινοντος αὐτοῦ, πῆ δὲ, ἀνιέντος. Σαφέστατα οὖν διὰ Μωϋσέως λέλεκται· *Θαῤῥεῖτε, ἕνεκεν* (48) *τοῦ πειράσαι ὑμᾶς παρεγενήθη ὁ Θεός· ὅπως ἂν γένηται ὁ φόβος αὐτοῦ ἐν ὑμῖν, ἵνα μὴ ἁμαρτάνητε*. Ἐντεῦθεν καλῶς καὶ ὁ Πλάτων μαθὼν, *Πάντες* (49) *μὲν γὰρ*, φησὶν, *ὡς ἀληθῶς ἀγαθὰ πάσχουσιν οἱ δίκην διδόντες· ὠφελοῦνται γὰρ, τῷ βελτίω τὴν ψυχὴν αὐτοῖς γίνεσθαι δικαίως κολαζομένοις*. Εἰ δὲ ἀγαθὰ πάσχουσιν ὑπὸ τοῦ δικαίου οἱ ἐπανορθούμενοι, καὶ κατὰ Πλάτωνα ὁμολογεῖται ἀγαθὸν εἶναι τὸ δίκαιον (50)· αὐτὸς γοῦν ὁ φόβος ὠφελεῖ, καὶ πρὸς ἀγαθοῦ τοῖς ἀνθρώποις ἐξηύρηται· ὅτι *πνεῦμα φοβούμενον* (51) *Κύριον ζήσεται· ἡ γὰρ ἐλπὶς ἐπὶ τὸν σώζοντα αὐτούς*. Ὁ δὲ αὐτὸς οὗτος (52) Λόγος, δίκην ἐπιτιθεὶς, κριτής ἐστιν· περὶ οὗ καὶ Ἡσαΐας λέγει· *Κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν*· διορθωτὴν δηλονότι, καὶ κατευθυντῆρα τῶν ἁμαρτιῶν· διὰ τοῦτο μόνος οὗτος οἷός τε ἀφιέναι τὰ πλημμελήματα, ὑπὸ τοῦ Πατρὸς τῶν ὅλων ὁ ταχθεὶς Παιδαγωγὸς ἡμῶν, μόνος ὁ τῆς ὑπακοῆς διακρῖναι τὴν παρακοὴν δυνάμενος. Ὁ δὲ ἀπειλῶν δῆλός ἐστι μηδὲν ἐθέλων πρᾶξαι κακὸν, μηδὲ ἅπερ ἀπειλεῖ, ἐπιτελέσαι· καταστήσας δὲ εἰς δέος, τὴν ἐπὶ τὰς ἁμαρτίας ἀνέκοψε φοράν· καὶ τὸ φιλάνθρωπον αὐτοῦ ἐνδείκνυται, μέλλων ἔτι, καὶ διασαφῶν οἷα πείσονται, εἰ παραμένουσιν ἁμαρτωλοί· οὐχὶ δὲ, ὥσπερ ὄφις ἐμφὺς, ἔδακεν εὐθέως. Ἀγαθὸς ἄρα ὁ Θεός. Καὶ ὅ γε Κύριος εἰς πολλὰ συγχρῆται πρὸ τοῦ ἔργου τῷ λόγῳ· *Τὰ γὰρ βέλη μου* (53), φησί, *συντελέσει αὐτούς· τηκόμενοι λιμῷ καὶ βρώσει ὀρνέων· καὶ ὀπισθότονος ἀνίατος. Ὀδόντας θηρίων ἐπαποστελῶ εἰς αὐτοὺς μετὰ θυμοῦ συρόντων ἐπὶ τῆς γῆς. Ἔξωθεν ἀτεκνώσει αὐτοὺς μάχαιρα, καὶ ἐκ τῶν ταμιείων φόβος*. Ὡς οὐκ ὀργίζεται (54) τὸ Θεῖον, ᾗ τισιν ἔδοξεν, ἀλλὰ τὰ μὲν πλεῖστα ἀπέχεται, τὰ πάντα δὲ παρήνεσε τὴν ἀνθρωπότητα, καὶ ὑπέδειξεν ὡς πρακτέα. Ἀγαθὴ δὲ αὕτη ἡ τέχνη, ἐκφοβεῖν ἵνα μὴ ἁμάρτωμεν· *Φόβος γὰρ Κυρίου ἀπωθεῖται ἁμαρτήματα· ἄφοβος δ'* (55) *οὐ δυνήσεται δικαιωθῆναι*, φησὶν ἡ Γραφή. Καὶ τὴν κόλασιν ὁ Θεὸς οὐχ ὑπὸ ὀργῆς (56) ἐπιφέρει, ἀλλὰ τὸ δίκαιον σκοπεῖ· ὡς οὐ συμφέρει παραλειφθῆναι τὸ ✠

✠ P. 139 ED. POTTER, 117 ED. PARIS. [a] Exod. xx, 20. [b] Eccli. xxxiv, 14, 15. [c] Isaiæ LIII, 6. [d] Deut. xxxII, 23, 24, 25.

(48) *Θαῤῥεῖτε, ἕν*. Θαρσεῖτε, ἕνεκεν γὰρ τοῦ π. Exod. Mox παρεγεννήθη ὁ Θεὸς παρ' ὑμᾶς ὅπ. SYLBURG.

(49) *Πάντες*. Hanc sententiam uberrime tractat et probat Socrates in *Gorgia* Platonis, pag. 525 et seq. edit. Ficini.

(50) *Τὸ δ*. Τὸν δ. Bod.

(51) *Φοβούμενον*. *Φοβουμένων*, Ecclesiast. Mox *ἐλπὶς αὐτῶν ἐπ*. Ibid.

(52) *Οὗτος*. Abest a Reg.

(53) *Βέλη μου*. Gr. in I *Pædag.*: Τὰ βέλη μου συντελέσει αὐτούς. LXX : Τὰ βέλη μου συντελέσω εἰς αὐτούς. Vulg. Latina : *Et sagittas meas complebo in eis*. Quod quidem ex Hebræo interpretantur, *extendam contra eos omnia mala*. In nova editione Romana legitur: Τὰ βέλη μου συμπολεμήσω εἰς αὐτούς. Quod vero sequitur ὀπισθότονος ἀνίατος, proprie indicat convulsionem corporis in partem posteriorem, quæ accidit ex contractione nervorum,

D qui vel in posteriorem, vel in anteriorem partem corpus flectere solent. Verbum Hebraicum *pestem amarissimam*, vel *exitialem morbum* significat, qui cito enecat. COLLECT. In Pal. ms. desunt hæc et sequentia, usque ad καὶ ἐπέκεινα τοῦ ἑνὸς, καὶ ὑπὲρ αὐτὴν μονάδα. SYLBURG. Eadem absunt etiam a Reg. et Bod.

(54) *Οὐκ ὀργίζεται*. Ad hæc congruit etiam Chrysost. : Ὡς τὰ πολλὰ τῶν ἀνθρώπων οἱ πλείους οὐχ οὕτως τῇ τῶν χρηστῶν ἐπαγγελίᾳ, ὡς τῷ φόβῳ τῶν λυπηρῶν πρὸς ἀρετὴν ἕλκονται. H. SYLBURG.

(55) *Ἄφοβος δ'*. In vulg. edit. Siracidæ legitur θυμὸς δ' ἄδικος· in quibusdam θυμώδης δ' ἀνήρ. SYLBURG.

(56) *Οὐχ ὑπὸ ὀργῆς*. Deum absque ira punire, docet etiam Lactantius, *De ira Dei*, cap. 17; Ambrosius, lib. *De Noe*, cap. IV, et præclare Augustinus, *De civitate Dei* lib. XVIII, c. 18 : *Judicia Dei*, inquit, *licet occulta multa, tamen injusta nulla*. R. SYLBURG.

χαιον δι' ἡμᾶς. Αἱρεῖται δὲ ἕκαστος ἡμῶν τὰς τιμωρίας, αὐτὸς ἑκὼν ἁμαρτάνων· αἰτία (57) δὲ ἑλομένου· ὁ Θεὸς ἀναίτιος. *Εἰ δὲ ἡ ἀδικία ἡμῶν Θεοῦ δικαιοσύνην συνίστησι, τί ἐροῦμεν; μὴ ἄδικος ὁ Θεὸς, ὁ ἐπιφέρων τὴν ὀργήν* (58); μὴ γένοιτο! Λέγει γοῦν ἀπειλῶν· *Παροξυνῶ* (59) *τὴν μάχαιράν μου, καὶ ἀνθέξεται κρίματος ἡ χείρ μου· καὶ αὐτὸς ἀνταποδώσω δίκην τοῖς ἐχθροῖς, καὶ τοῖς μισοῦσιν ἀνταποδώσω. Μεθύσω τὰ βέλη μου ἀφ' αἵματος· καὶ ἡ μάχαιρά μου φάγεται κρέα ἀπὸ αἵματος τραυματιῶν.* Σαφὲς γὰρ ἐνταῦθα ὡς ἄρα οἱ μὴ διεχθρεύοντες τῇ ἀληθείᾳ, μηδὲ μισοῦντες τὸν Λόγον, οὐκ ἂν τὴν σφῶν αὐτῶν μισήσαιεν σωτηρίαν, ἐκφύγοιεν δ' ἂν τῆς ἔχθρας τὰ ἐπιτίμια. *Στέφανος ἄρα σοφίας*, ἥ φησιν ἡ Σοφία, *φόβος Κυρίου.* Σαφέστατα γοῦν διὰ τοῦ Ἀμὼς τοῦ προφήτου, τὴν οἰκονομίαν μεμήνυκεν ὁ Λόγος τὴν ἑαυτοῦ, *Κατέστρεψα ὑμᾶς*, λέγων, *καθὼς κατέστρεψεν ὁ Θεὸς Σόδομα καὶ Γόμοῤῥα, καὶ ἐγένεσθε ὡς δαλὸς ἐξεσπασμένος ἐκ πυρός· καὶ οὐδ' ὡς* (60) *ἐπεστρέψατε πρὸς μὲ*, λέγει Κύριος. Ὁρᾶτε, πῶς ὁ Θεὸς τὴν μετάνοιαν ὑπὸ φιλαγαθίας ζητεῖ· ἐνδείκνυταί τε παρὰ τὴν οἰκονομίαν τῆς ἀπειλῆς ἡσυχῇ τὸ φιλάνθρωπον τὸ ἑαυτοῦ. *Ἀποστρέψω*, φησὶ, *τὸ πρόσωπόν μου ἀπ' αὐτῶν, καὶ δείξω τί ἔσται αὐτοῖς.* Οὗ γὰρ τὸ πρόσωπον Κυρίου ἐπιβλέπει, εἰρήνη καὶ ἀγαλλίασις· οὗ δὲ ἀπέστραπται, παρείσδυσις γίνεται πονηρίας. Οὐ βούλεται οὖν ἐφορᾷν τὰ κακά· ἀγαθὸς γάρ ἐστι· παρορῶντος δὲ αὐτοῦ ἑκοντὶ διὰ τὴν ἀπιστίαν τὴν ἀνθρωπίνην γένεσιν ἴσχει κακία. *Ἴδε οὖν*, φησὶν ὁ Παῦλος, *χρηστότητα καὶ ἀποτομίαν Θεοῦ, ἐπὶ μὲν τοὺς πεσόντας ἀποτομίαν, ἐπὶ δὲ σὲ, χρηστότητα, ἐὰν ἐπιμείνῃς τῇ χρηστότητι*, τουτέστι τῇ εἰς Χριστὸν πίστει. Ἕπεται δὲ τῷ ἀγαθῷ, ᾗ φύσει ἀγαθός ἐστιν, ἡ μισοπονηρία. Διὸ καὶ κολάζειν μὲν αὐτὸν ὁμολογήσαιμι τοὺς ἀπίστους· ἡ γὰρ κόλασις (61) ἐπ' ἀγαθῷ καὶ ἐπ' ὠφελείᾳ τοῦ κολαζομένου· ἔστι γὰρ ἐπανόρθωσις ἀντιτείνοντος· τιμωρεῖσθαι δὲ, μὴ βούλεσθαι. Τιμωρία δέ ἐστιν ἀνταπόδοσις κακοῦ, ἐπὶ τὸ τοῦ τιμωροῦντος συμφέρον ἀναπεμπομένη. Οὐκ ἂν δὲ ἐπιθυμήσῃ (62) τιμωρεῖσθαι ὁ ὑπὲρ *τῶν ἐπηρεαζόντων ἡμᾶς προσεύχεσθαι* διδάσκων. Ἀλλὰ ὅτι μὲν ἀγαθὸς ὁ Θεὸς καὶ ἅπαντες (63) ὁμολογοῦσιν οἱ πάντες· ὅτι δὲ καὶ δίκαιος ὁ αὐτὸς Θεὸς, οὔ μοι

cemus : *Timor enim Domini peccata extrudit : Qui est autem sine timore, non poterit justificari*, inquit Scriptura [a]. Deus autem non ex ira irrogat supplicium, sed quod justum est, considerat; nempe quod propter nos non expediat prætermittí quod justum est. Unusquisque autem nostrum supplicium eligit, cum sponte peccat : culpa est autem ejus, qui eligit; in Deum autem culpa conferri nequit. *Si autem injustitia nostra Dei justitiam commendat, quid dicemus? Nunquid est Deus injustus, qui infert iram? Absit* [b]! Dicit itaque minans : *Acuam gladium meum, et apprehendet judicium manus mea, et ipse retribuam jus inimicis, et iis, qui oderunt me, retribuam. Inebriabo sagittas meas sanguine, et gladius meus comedet carnes a sanguine vulneratorum* [c]. Hic ergo apertum est, quod qui non sunt inimici veritati, neque Verbum oderunt, illi suam ipsorum salutem odio non habuerint, sed inimicitiarum pœnas effugerint. *Corona itaque sapientiæ*, inquit Sapientia, *timor Domini* [d]. Apertissime autem per Amos prophetam sui consilii rationem Verbum significavit : *Everti vos*, dicens, *sicut Deus evertit Sodomam et Gomorrham, et fuistis sicut torris extractus ab igne : et ne sic quidem ad me conversi estis, dicit Dominus* [e]. Videte quomodo Deus propter suam bonitatem requirit pœnitentiam : et in ipsa minarum intentione tacite ostendit suam in homines benevolentiam : *Avertam*, inquit, *faciem meam ab ipsis, et ostendam quid erit ipsis* [f]. Ubi enim Domini facies respicit, illic est pax et exsultatio. Ubi autem faciem avertit, ingreditur vitium. Non vult ergo mala intueri : bonus enim est; sed cum ipse oculos avertit, sua sponte propter humanam infidelitatem ortum habet vitium. ✠ *Vide, ergo*, inquit Paulus [g], *bonitatem et severitatem Dei. In eos quidem qui ceciderunt, severitatem; in te autem bonitatem, si permanseris in bonitate*, hoc est fide in Christum. Eum autem, qui bonus est, quatenus natura bonus est, sequitur odium vitii. Et ideo fatebor quidem eum castigare infideles (castigatio enim est bono et utilitati ejus, qui castigatur; est enim ejus, qui resistit, correctio), ulcisci autem non velle. Est autem ultio, retributio mali quod immittitur, ad utilitatem ejus, qui ulciscitur. Ulcisci

✠ P. 140 ED. POTTER, 118 ED. PARIS. [a] Eccli. I, 27, 28. [b] Rom. III, 5, 6. [c] Deut. XXXII, 41, 42. [d] Eccles. I, 22. [e] Amos IV, 11. [f] Deut. XXXII, 20. [g] Rom. XI, 22.

(57) *Αἰτία*. Hanc gnomen respicit iterum Clemens *Strom.* I, pag. 271, 311, *Strom.* II, p. 393; *Strom.* IV, p 535; *Strom.* V, p. 613; *Strom.* VII, p. 705, 711. *Clement II*. homil. 15, c. 8 : Καὶ γὰρ εἴρηταί τινι Ἑλλήνων σοφῷ· Αἰτία ἑλομένων, Θεὸς ἀναίτιος. *Etenim dictum est a quodam inter Græcos sapiente : Culpa eligentium est, Deus culpa vacat.* Pari modo apud Lucianum *De mercede conductis*, in fine : Μέμνησο τοῦ σοφοῦ λέγοντος, ὡς Θεὸς ἀναίτιος, αἰτία δ' ἑλομένου. Et ut cujusdam veterum profertur in falsi Origenis Commentario ad *Job.* XXXVIII, 7. Justin. M., *Apol.* I, p. 86, edit. Oxon. e Platone recitat : Ὥστε καὶ Πλάτων εἰπὼν, Αἰτία ἑλομένου, Θεὸς δ' ἀναίτιος. Quæ verba exstant in Platonis *De repub.* lib. X, paulo ante finem. Conf. Theodoretus, Serm. 6. *De curandis Græcorum affect.*; Eusebius, *Præparat. evang.* lib. V; *Adversus Hieroclem*, p. 542, 544; Gregorius Nazianz., *Contra Julianum* Invectiv. 1.

(58) *Ὀργήν. Κατ' ἄνθρωπον λέγω* addit Paulus.

(59) *Παροξυνῶ*. Παροξυνῶ ὡς ἀστραπὴν τὴν μ. Bibl. Græc. Mox, καὶ ἀποδώσω δίκ. Dein, μισοῦσίν με ἀντ. Mox, κρέα ἀφ' αἵματ. Ibid.

(60) *Ὡς*. Οὕτως. Bibl. Græc.

(61) *Ἡ γὰρ κόλασις*. Perimus enim, si pereamus. Cyprianus epist. 4, l. IV; Ambrosius in *psal.* CXVIII, serm. 9. R. SYLBURG.

(62) *Ἐπιθυμήσῃ*. Cum potentiali ἂν magis congruit ἐπιθυμῆσαι, vel Atticum ἐπιθυμήσειε. ID.

(63) *Καὶ ἅπαντες*. Pro ἅπαντες rectius cum C. legimus ἄκοντες, *inviti*. Alioqui pro ea legi posset etiam μόνος καὶ ὄντες, ut paulo post. ID.

autem non desideraverit, qui pro iis, *qui nos calumniantur*, nos *orare* docuit [a]. Atqui quod bonus sit Deus, omnes confitentur. Quod autem idem quoque Deus **52** justus sit, non est mihi plurimis verbis opus, si evangelicam Domini vocem adduxero. Unum quidem ipsum dicit : *Ut omnes unum sint, sicut tu, Pater, in me, et ego in te, ut et ipsi in nobis unum sint : ut etiam mundus credat, quod tu me miseris. Et ego gloriam, quam dedisti mihi, dedi eis, ut unum sint, sicut nos unum sumus : ego in ipsis, et tu in me, ut sint perfecti in unum* [b]. Unum autem est Deus, et ultra unum, et supra ipsam unitatem. Et ideo particula illa, *Tu*, demonstrativam habens emphasim, eum, qui vere solus est, qui fuit, et est, et erit, Deum ostendit. In quibus tribus temporibus ponitur unum nomen, nempe *Qui est* [c]. Quod autem is ipse, qui solus Deus est, ipse quoque solus et vere justus sit, in ipso testabitur Dominus Evangelio, dicens : *Pater, quos dedisti mihi, volo ut ubi ego sum, illi quoque mecum sint, ut contemplentur gloriam meam quam dedisti mihi, quod dilexisti me ante constitutionem mundi. Pater juste, et mundus te non cognovit; ego autem te cognovi, et illi cognoverunt, quod tu me miseris, et notum eis feci nomen tuum, et notum faciam* [d]. Hic est qui *reddit peccata patrum in filios iis qui oderunt, et faciens misericordiam iis qui diligunt* [e]. Qui enim hos quidem statuit *a dextris* [f], illos vero *a sinistris*, quatenus quidem Pater, cum sit bonus, mente concipitur, id solum quod est, *bonus* [g], appellatus est : quatenus vero Filius, cum sit Verbum ejus, in Patre est, justus appellatur ex mutua, quæ est inter se, relatione, ut sit dilectionis æqualitate dimensum nomen potentiæ : *Virum*, inquit, *secundum opera sua judicabit* [h], Deo bono statere nobis justitiæ faciem, Jesum, notum faciente; ✠ per quem etiam, tanquam ex æquali trutina, Deum cognovimus. De eo quoque aperte dicit Sapientia : *Misericordia enim et ira cum ipso. Dominus enim his utrisque solus est potens, iram effundens ad propitiationem ex magna sua misericordia. Ita etiam ejus*

A χρὴ πλειόνων ἔτι λόγων, τὴν Εὐαγγέλιον τοῦ Κυρίου παραθεμένῳ φωνὴν (64). Ἕνα μὲν αὐτὸν λέγει, *Ἵνα πάντες ἓν ὦσι, καθὼς σὺ, Πάτερ, ἐν ἐμοὶ, κἀγὼ ἐν σοί· ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν· ἵνα καὶ* (65) *ὁ κόσμος πιστεύῃ, ὅτι σύ με ἀπέστειλας. Κἀγὼ τὴν δόξαν, ἣν ἔδωκάς μοι, δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἓν, καθὼς ἡμεῖς ἕν· ἐγὼ ἐν αὐτοῖς, καὶ σὺ ἐν ἐμοὶ, ἵνα ὦσι τετελειωμένοι εἰς ἕν.* Ἓν δὲ ὁ Θεὸς, καὶ ἐπέκεινα τοῦ ἑνὸς, καὶ ὑπὲρ αὐτὴν μονάδα. Διὸ καὶ τὸ *Σὺ* μόριον, δεικτικὴν ἔχον ἔμφασιν, τὸν ὄντως μόνον ὄντα, ὃς ἦν (66), καὶ ἔστι, καὶ ἔσται, δείκνυσι Θεόν· καθ' ὧν τριῶν χρόνων ἓν ὄνομα κεῖται, *ὁ ὤν*. Ὅτι δὲ ὁ αὐτὸς μόνος ὢν Θεὸς καὶ δίκαιός ἐστιν ὁ αὐτὸς καὶ μόνος, καὶ ὄντως, ἐν τῷ αὐτῷ μαρτυρήσει Κύριος Εὐαγγελίῳ, λέγων· *Πάτερ, οὓς ἔδωκάς* (67) *μοι, θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ, ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμὴν, ἣν ἔδωκάς μοι· ὅτι ἠγάπησάς με πρὸ καταβολῆς κόσμου. Πάτερ δίκαιε· καὶ ὁ κόσμος σε οὐκ ἔγνω· ἐγὼ δέ σε ἔγνων, κἀκεῖνοι ἔγνωσαν, ὅτι σύ με ἀπέστειλας, καὶ ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου, καὶ γνωρίσω.* Οὗτός ἐστιν *ὁ ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα τοῖς μισοῦσι, καὶ ποιῶν ἔλεος τοῖς ἀγαπῶσιν.* Ὁ γὰρ ἱστὰς τοὺς μὲν ἐκ δεξιῶν, τοὺς δὲ ἐξ εὐωνύμων, καθὸ μὲν Πατὴρ νοεῖται, ἀγαθὸς ὢν, αὐτὸ μόνον ὃ ἐστι κέκληται ἀγαθός (68)· καθὸ δὲ Υἱὸς, ὢν ὁ Λόγος αὐτοῦ, ἐν τῷ Πατρί ἐστι, δίκαιος προσαγορεύεται, ἐκ τῆς πρὸς ἄλληλα σχέσεως· ἀγάπης ἰσότητι μεμετρημένον ὄνομα δυνάμεως· *Ἄνδρα*, φησὶ, *κατὰ τὰ ἔργα αὐτοῦ κρινεῖ* (69)· ἀγαθοῦ ζυγοῦ C πρόσωπον ἡμῖν δικαιοσύνης, τὸν Ἰησοῦν, γνωρίσαντος τοῦ Θεοῦ, δι' οὗ καὶ τὸν Θεὸν, οἷον ἐκ τρυτάνης (70) ἰσοσθενοῦς, ἔγνωμεν. Ἐπὶ τούτου καὶ ἡ Σοφία διαῤῥήδην λέγει· *Ἔλεος γὰρ* (71) *καὶ ὀργὴ μετ' αὐτοῦ. Κύριος γὰρ ἀμφοῖν οὗτος μόνος δυνάστης, εὐΐλασμον ἐκχέων ὀργὴν κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ. Οὕτω καὶ ὁ ἔλεγχος αὐτοῦ·* ἐλέους γὰρ καὶ ἐλέγχου σκοπὸς ἡ τῶν ἐλεγχομένων σωτηρία. Ναὶ μὴν ὅτι ἀγαθὸς αὐτὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ, ὁ αὐτὸς πάλιν ὁμολογήσει Λόγος, *Ὅτι αὐτὸς χρηστός ἐστιν ἐπὶ τοὺς ἀχα-*

✠ P. 141 ED. POTTER, 119 ED. PARIS. [a] Matth. v, 44. [b] Joan. xvii, 21, 22, 23. [c] Exod. iii, 14. [d] Joan. xvii, 24, 25, 26. [e] Exod. xx, 5, 6. [f] Matth. xx, 21; xxv, 33. [g] Matth. xix, 17. [h] Eccli. xvi, 13.

(64) *Εὐαγγέλιον... φωνήν*. Theophilus ad *Autolyc.* lib. iii, p. 126, edit. Paris.: Ἡ δὲ εὐαγγέλιος φωνὴ ἐπιτατικώτερον διδάσκει. *Vox Evangelica vehementius docet.*

(65) *Καί*. Abest a Joan. Mox, καὶ ἐγὼ τὴν δόξαν, ἣν δέδωκας. Ibid. Dein, ἡμᾶς ἐσμέν, Ibid.

(66) *Ὃς ἦν*. Apoc. xi, 17 : *Ὁ ὢν, καὶ ὁ ἦν, καὶ ὁ ἐρχόμενος*.

(67) *Ἔδωκας*. Δέδωκας Joan. — Mox, καὶ οὗτοι pro κἀκεῖνοι ibid.

(68) *Ἀγαθός*. Lowthius mavult ἀγαθόν.

(69) *Κρινεῖ*. *Κρίνει*, Ecclesiast.

(70) *Τρυτάνης*. Hæc explicat Clemens sub finem cap. 9 hujus libri : Καὶ πρῶτος οὗτος τὴν ἐξ οὐρανῶν ἀγαθὴν κατήγγειλε δικαιοσύνην· Οὐδεὶς ἔγνω τὸν Υἱὸν, εἰ μὴ ὁ Πατὴρ, λέγων, οὐδὲ τὸν Πατέρα, εἰ μὴ ὁ Υἱός. Αὕτη ἡ ἀντιταλαντεύουσα γνῶσις ἐπίσης δικαιοσύνης ἀρχαίας σύμβολον. *Isque primus e cœlis bonum annuntiavit justitiam, cum diceret :* D *« Nemo novit Filium, nisi Pater; neque Patrem, nisi Filius. » Hæc reciproca et ex æquo ponderans cognitio primævæ justitiæ symbolum.* Conf. Joan. xii, 45; xiv, 9.

(71) *Ἔλεος γάρ*. Hæc sic scribe et distingue : Ἔλεος γὰρ καὶ ὀργὴ μετ' αὐτοῦ· Κύριος γὰρ ἀμφοῖν οὗτος μόνος· δυνάστης εὐϊλασμῶν, ἐκχέων ὀργήν. Κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ, οὕτω καὶ ὁ ἔλεγχος αὐτοῦ. *Misericordia enim et ira est cum illo;* solus enim ambarum dominus est : *Potens propitiationum, effundens iram. Secundum multam misericordiam ejus, sic etiam correctio ejus.* Siracides hoc modo scribit, cap. xvi, 12, 13 : Ἔλεος γὰρ καὶ ὀργὴ παρ' αὐτοῦ· δυνάστης ἐξιλασμῶν, καὶ ἐκχέων ὀργήν. Κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ, οὕτω καὶ πολὺς ὁ ἔλεγχος αὐτοῦ. Ἄνδρα κατὰ τὰ ἔργα αὐτοῦ κρίνει. Hæc porro verba, Κύριος γὰρ, ἀμφοῖν οὗτος μόνος, sunt παρενθήκη Clementis. Sylburgius εὐΐλαστον scribi voluit pro εὐΐλασμον.

A ρίστους καὶ πονηρούς· καὶ προσέτι, *Γίνεσθε οἰκτίρμονες*, λέγων, *καθὼς ὁ Πατὴρ* (72) *ὑμῶν οἰκτίρμων ἐστίν*. Οὐ μὴν ἀλλὰ καὶ ὁπηνίκα διαῤῥήδην λέγει· *Οὐδεὶς ἀγαθὸς, εἰ μὴ ὁ Πατήρ* (73) *μου, ὁ ἐν τοῖς οὐρανοῖς*. Ἐπὶ τούτοις αὖθις· *Ὁ Πατήρ μου*, φησὶν, *ἐπιλάμπει τὸν ἥλιον τὸν αὐτοῦ ἐπὶ πάντας*. Παρασημειωτέον ἐνταῦθα, ὅτι τὸν αὐτοῦ Πατέρα τὸν ἀγαθὸν, καὶ δημιουργὸν εἶναι ὁμολογεῖ· δίκαιος δὲ ὁ δημιουργὸς εἶναι οὐκ ἀντιλέγεται. Καὶ πάλιν, *Ὁ Πατήρ* (74) *μου*, φησὶ, *βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους*· καὶ καθὸ μὲν βρέχει, δημιουργὸς ὑδάτων ἐστὶ καὶ νεφῶν· καθὸ (75) δὲ ἐπὶ πάντας, δικαίως ἰσοστατεῖ καὶ ἀρετῆς· ὡς δὲ ἀγαθὸς, *ἐπὶ δικαίους καὶ ἀδίκους ὁμοίως*. Σαφέστατον τοίνυν ἕνα καὶ τὸν αὐτὸν εἶναι Θεὸν συλλογιζόμεθα, ὧδέ πως, ὅτι, *Ὄψομαι τοὺς οὐρανοὺς ἔργα τῶν δακτύλων σου*· καὶ, *Ὁ κτίσας* B *τοὺς οὐρανοὺς ἐν τοῖς οὐρανοῖς κατοικεῖ*· καὶ, *Ὁ οὐρανὸς θρόνος σου*, τὸ ἅγιον Πνεῦμα ἔψαλλεν· ὁ δὲ Κύριος φησὶν ἐν τῇ προσευχῇ, *Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς*· οὐρανοὶ δὲ τοῦ κτίσαντος τὸν κόσμον εἰσίν. Ἀναντίῤῥητον ἄρα μὴ οὐχὶ τὸν υἱὸν εἶναι τὸν Κύριον τοῦ Δημιουργοῦ. Εἰ δὲ ὁ κτίστης πρὸ πάντων ὁμολογεῖται δίκαιος, υἱὸς δὲ τοῦ Δημιουργοῦ ὁ Κύριος, υἱὸς ἄρα τοῦ δικαίου ὁ Κύριος. Διὰ τοῦτο καὶ ὁ Παῦλος φησί· *Νυνὶ δὲ χωρὶς νόμου δικαιοσύνη Θεοῦ πεφανέρωται*· καὶ πάλιν, ἵνα μᾶλλον ὑπολάβῃς Θεόν· *Δικαιοσύνη δὲ Θεοῦ διὰ πίστεως Ἰησοῦ Χριστοῦ εἰς πάντας τοὺς* (76) *πιστεύοντας· οὐ γάρ ἐστι διαστολή*. Καὶ προσέτι μαρτυρῶν τῇ ἀληθείᾳ, μετ' ὀλίγα ἐπιφέρει· *Ἐν τῇ ἀνοχῇ τοῦ Θεοῦ· πρὸς τὴν ἔνδειξιν* C (77) *τοῦ εἶναι αὐτὸν δίκαιον, καὶ δικαιοῦντα τὸν ἐκ πίστεως Ἰησοῦν*. Τὸ δὲ δίκαιον ἀγαθὸν εἰδὼς, φαίνεταί που λέγων· *Ὥστε ὁ μὲν νόμος ἅγιος, καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή*· καὶ κατὰ τῆς αὐτῆς δυνάμεως ἄμφω τάσσων τὰ ὀνόματα. Ἀλλὰ καὶ *οὐδεὶς ἀγαθὸς, εἰ μὴ ὁ Πατὴρ* αὐτοῦ. Ὁ αὐτὸς ἄρα Πατὴρ αὐτοῦ, ὁ ἓν ὢν, πολλαῖς μηνυόμενος δυνάμεσι· καὶ τοῦτο ἦν τὸ, *Οὐδεὶς ἔγνω τὸν Πατέρα*, πάντα αὐτὸν ὄντα, πρὶν ἐλθεῖν τὸν Υἱόν. Ὡς εἶναι (78) ταῖς ἀληθείαις καταφανὲς τὸ τῶν συμπάντων (79) Θεὸν ἕνα μόνον εἶναι, ἀγαθὸν, δίκαιον, δημιουργὸν, Υἱὸν ἐν Πατρὶ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων (80). Ἀμήν. Ἀλλ' οὐδὲ ἀλλότριον τοῦ σωτηρίου Λόγου, κηδεμονικῶς λοιδο-

reprehensio [a]; misericordiæ enim et reprehensionis scopus salus est eorum qui reprehenduntur. Jam vero quod bonus sit idem Deus et Pater Domini nostri Jesu Christi, idem Verbum rursus confitebitur, dicens eum esse *bonum in ingratos et in improbos*; et præterea dum dicit: *Estote misericordes, sicut Pater vester est misericors* [b]. Quinetiam quando aperte dicit: *Nemo bonus nisi Pater meus, qui est in cœlis* [c]. Deinde rursus: *Pater*, inquit [d], *meus solem suum splendere facit super omnes*. Hic notandum est quod Patrem suum, qui bonus est, opificem quoque et creatorem esse fatetur. Quod autem justus sit creator, nulla est controversia. Et rursus: *Pater meus*, inquit, *pluit super justos et injustos* [e]; et quatenus quidem pluit, est aquarum et nubium opifex; quatenus autem super omnes, juste et cum virtute diligit æquilibrium: tanquam bonus autem, *super justos et injustos* similiter. Apertissime ergo unum et eumdem esse Deum ratiocinatione colligimus, hoc modo: *Videbo cœlos opera digitorum tuorum* [f]; et, *Qui creavit cœlos, in cœlis habitat*: et, *Cœlum sedes tua*, Spiritus sanctus cecinit [g]: Dominus autem dicit in precatione: *Pater noster, qui es in cœlis* [h]; Cœli autem sunt ejus, qui mundum creavit: contradici ergo non potest, quin Dominus sit filius Opificis. Quod si ante omnia in confesso est, justum esse Creatorem: Opificis autem filius est Dominus; ejus ergo, qui est justus, filius est Dominus. Quocirca Paulus quoque dicit: *Nunc autem sine lege justitia Dei manifestata est* [i]. Et rursus, ut magis Deum censeas: *Justitia autem Dei per fidem Jesu Christi in omnes credentes. Non est enim distinctio*. Et præterea ferens testimonium veritati, paulo post subjungit [j]: *In tolerantia Dei: ad ostensionem quod sit idem justus, et justificans eum, qui est ex fide, Jesus*. Quod autem justum est, id bonum esse nosse apparet, ✠ cum dicit [k]: *Quare lex quidem sancta, et præceptum sanctum, et justum, et bonum*; de eadem potestate utrumque nomen usurpans. Atqui *nullus est etiam bonus, nisi Pater* ejus [l]. Idem est ergo Pater ejus, qui, cum unum sit, multis significatur potestatibus. Et hoc sibi volebat illud: *Nemo novit Patrem* [m], qui quidem erat ipse omnia, priusquam veniret Filius: ut sit

✠ P. 142 ED. POTTER, 120 ED. PARIS. [a] Eccl. xvi, 12, 13. [b] Luc. vi, 35, 36. [c] Matth. xix, 17. [d] Matth. v, 45. [e] Ibid. [f] Psal. viii, 4. [g] Ibid. ii, 4; x, 5; cii, 19. [h] Matth. vi, 9. [i] Rom. iii, 21, 22. [j] Ibid. 26. [k] Rom. vii, 12. [l] Matth. xix, 17. [m] Luc. x, 22; Joan. xvii, 25.

(72) *Ὁ Π.* Καὶ ὁ Π. Luc.

(73) *Εἰ μὴ ὁ Π.* Paulo infra eodem modo hoc Christi dictum recitat. Sed Evangelistæ omnes habent, εἰ μὴ εἷς, ὁ Θεός. Matth. xix, 17; Marc. x, 18; Luc. xviii, 19.

(74) *Ὁ Πατήρ.* Evangeliorum sensum, non verba, pro more suo, præbet.

(75) *Καθό.* Καθὸ δὲ ἐπὶ πάντας δικαίους, ἰσοστ. Pal. ms. Haud scio an melius δικαίου, aut dativo casu δικαίῳ καὶ ἀρετῇ. Sylb. — Scribe καθὸ δὲ ἐπὶ πάντας, δικαίως ἰσοστατεῖ, καὶ μετ' ἀρετῆς. Frustra est doctissimus Sylburgius. Heinsius.

(76) *Εἰς πάντας τούς.* Εἰς πάντας καὶ ἐπὶ πάντας τους, apud Paulum.

(77) *Ἔνδειξιν.* Ἔνδειξιν τῆς δικαιοσύνης αὐτοῦ, D ἐν τῷ νῦν καιρῷ, εἰς τὸ εἶναι αὐτὸν δίκαιον, καὶ δικαιοῦντα τὸν ἐκ πίστεως Ἰησοῦ, apud Paulum, διοικοῦντα pro δικαιοῦντα, Reg.

(78) *Ὡς εἶναι.* Cl. Bullus, *Defensionis fidei Nicænæ* sect. 2, cap. 6, p. 89, ad hæc verba dicit: « Hic lectori non prorsus stupido, monitore non opus est, ut intelligat, Filium in Patre et cum Patre statui universorum Deum, qui solus sit bonus et justus Opifex, cuique proinde gloria in æternum ascribi debeat. »

(79) *Τῶν συμπ.* Fortasse melius τὸν συμ. Sylburg.

(80) *Τῶν αἰώνων.* Hæc verba abesse a Pal. ms. testatur Sylburg. Absunt etiam a Reg. et Bod.

vere apertum, quod qui est universorum Deus, unus solus sit, bonus, justus, opifex, Filius in Patre, cui gloria in sæcula sæculorum. Amen. Sed neque a salutari Verbo est alienum, dum cura aliquorum ab eo geritur convitiari. Etenim, hoc quoque est medicamentum divinæ benignitatis, ex quo efflorescit rubor pudoris, et ad peccandum subit verecundia. Si enim oportet vituperare, oportet etiam conviciari: quando animam, quæ dolere desiit, tempus est non lethaliter sauciare, sed salubriter, ita ut exiguo dolore mortem æternam lucretur. In pædagogia autem ejus magna est sapientia, et varia est ejus administrationis ratio ad salutem. Bonis enim fert testimonium Pædagogus. Vocatos autem, ad meliora evocat; et eos, qui ad injuriam faciendam properant, ab impetu avertit, et ad vitam meliorem sese traducere hortatur. Non est enim alterum absque testimonio, cum alteri fertur testimonium: et gratia est maxima, quæ proficiscitur ex testimonio. Porro autem iræ quoque affectio (si ira vocanda sit ejus admonitio) est plena benevolentiæ in homines, Deo ad affectiones descendente propter hominem, propter quem Verbum Dei homo factus est.

A ρεῖσθαι. Καὶ γὰρ οὖν καὶ τοῦτο τῆς θείας φιλανθρωπίας φάρμακον, ἐξ οὗ τὸ τῆς αἰδοῦς ἐρύθημα ἐξανθεῖ, καὶ ἡ πρὸς τὸ ἁμαρτάνειν αἰσχύνη παρεισδύεται· εἰ γὰρ ψέξαι χρὴ, καὶ λοιδορεῖσθαι δεῖ· ἔνθα (81) τὴν ἀπηλγηκυῖαν ψυχὴν καιρός ἐστι τρῶσαι, οὐ θανασίμως, ἀλλὰ σωτηρίως, ὀλίγης ἀλγηδόνος ἀΐδιον κερδάναντα θάνατον. Πολλὴ δὲ ἡ σοφία περὶ τὴν παιδαγωγίαν αὐτοῦ, καὶ ὁ τρόπος τῆς οἰκονομίας αὐτοῦ ποικίλος εἰς σωτηρίαν. Προσμαρτυρεῖ μὲν γὰρ τοῖς ἀγαθοῖς ὁ Παιδαγωγός· ἐκκαλεῖται δὲ τοὺς κλητοὺς ἐπὶ τὰ βελτίω, καὶ τοὺς ἀδικεῖν σπεύδοντας ἀποτρέπει τῆς ὁρμῆς· μεταθέσθαι δὲ εἰς ἀμείνω βίον παρακελεύεται. Οὐχ ἕτερον γὰρ ἀμάρτυρον, θατέρου προσμαρτυρουμένου· ἥ τε χάρις ἐκ μαρτυρίας μεγίστη. Ἀλλὰ καὶ τὸ ἐμπαθὲς τῆς ὀρ-
B γῆς (εἰ δὲ ὀργὴν τὴν νουθεσίαν αὐτοῦ χρὴ καλεῖν) φιλάνθρωπόν ἐστιν, εἰς πάθη καταβαίνοντος τοῦ Θεοῦ διὰ τὸν ἄνθρωπον, δι' ὃν καὶ γέγονεν ἄνθρωπος ὁ Λόγος τοῦ Θεοῦ.

53 CAP. IX.

Quod ejusdem sit potestatis et benefacere, et juste punire; in quo etiam dicitur, quis sit modus pædagogiæ Verbi.

Omnibus ergo viribus, humanæ naturæ Pædagogus, divinum nostrum Verbum, utens omnibus sapientiæ machinis, infantes conservare aggressus est, admonens, reprehendens, increpans, arguens, minans, sanans, promittens, gratificans, multis quibusdam veluti frenis a ratione alienas humanæ naturæ appetitiones alligans. Ut ergo paucis dicam, in nos ita se gerit Dominus, ut nos in nostros filios. *Sunt tibi filii? castiga eos* [a], suadet Sapientia, ✠ *et inflecte eos a juventute sua. Sunt tibi filiæ? attende corpori earum, et ne vultum tuum apud eas exhilaraveris.* Atqui liberos nostros, filios et filias, valde et supra quodcunque aliud amamus. Quoniam autem iis, qui ad gratiam loquuntur, parum est quod molestia non afficiunt; qui autem ad utilitatem acerbi sunt, etsi in præsentia molesti sint, in futuram postea ætatem beneficio afficiunt; non præsentem voluptatem Dominus, sed futuram spectavit delectationem. Quare jam benignæ illius pædagogiæ modum percurramus cum prophetico testimonio. Est ergo admonitio cum cura conjuncta vituperatio, quæ intelligentiam parit. Talis est Pædagogus admonitor, ut quando dicit in Evangelio: *Quoties volui congregare filios tuos, sicut gallina congregat pullos suos sub alas, et noluistis* [b]?

ΚΕΦ. Θ'.

Ὅτι τῆς αὐτῆς δυνάμεως καὶ εὐεργετεῖν, καὶ κολάζειν δικαίως· ἐν ᾧ, τίς ὁ τρόπος τῆς Παιδαγωγίας τοῦ Λόγου.

Παντὶ τοίνυν σθένει ὁ τῆς ἀνθρωπότητος Παιδαγωγὸς, ὁ θεῖος ἡμῶν Λόγος, πάσῃ καταχρώμενος σοφίας μηχανῇ, σώζειν ἐπιβέβληται τοὺς νηπίους,
C νουθετῶν (82), ἐπιτιμῶν, ἐπιπλήττων, ἐλέγχων, ἀπειλούμενος, ἰώμενος, ἐπαγγελλόμενος, χαριζόμενος· πολλοῖς τισὶν οἱονεὶ χαλινοῖς τὰς ἀλόγους τῆς ἀνθρωπότητος δεσμεύων ὁρμάς. Συνελόντι γοῦν εἰπεῖν, οὕτως ὁ Κύριος πρὸς ἡμᾶς, ὡς καὶ ἡμεῖς πρὸς τὰ τέκνα ἡμῶν. *Τέκνα σοί ἐστι; παίδευσον αὐτὰ*, ἡ Σοφία παραινεῖ· *καὶ κάμψον* (83) *αὐτὰ ἐκ νεότητος αὐτῶν. Θυγατέρες σοι εἰσί; πρόσεχε τῷ σώματι αὐτῶν, καὶ μὴ ἱλαρώσῃς πρὸς αὐτὰς τὸ πρόσωπόν σου.* Καίτοι τὰ τέκνα ἡμῶν, υἱούς τε καὶ θυγατέρας, σφόδρα καὶ ὑπὲρ πᾶν ὁτιοῦν ἀγαπῶμεν. Ἐπεὶ δ' οἱ μὲν πρὸς χάριν ὁμιλοῦντες, ὀλίγον ἀγαπῶσιν ὃ (84) μὴ λυποῦσιν, οἱ δὲ πρὸς ὠφέλειαν ἐπιστύφοντες, εἰ καὶ παραυτίκα λυπηροὶ, ἀλλὰ εἰς τὸν
D ἔπειτα εὐεργετοῦσιν αἰῶνα· οὐ τὴν παραυτίκα ἡδονὴν ὁ Κύριος, ἀλλὰ τὴν μέλλουσαν ἐσκόπησε τρυφήν. Ἐπίωμεν δὲ ἤδη καὶ τὸν τρόπον αὐτοῦ τῆς φιλανθρώπου παιδαγωγίας μετὰ μαρτυρίας προφητικῆς. Νουθέτησις μὲν οὖν ἐστι, ψόγος κηδεμονικὸς, νοῦ ἐμποιητικός. Τοιοῦτος ὁ Παιδαγωγὸς νουθετῶν, ὡς κἀν τῷ Εὐαγγελίῳ λέγων· *Ποσάκις ἠθέλησα συναγαγεῖν* (85) *τὰ τέκνα σου, ὃν τρόπον ὄρνις*

✠ P. 143 ED. POTTER, 121 ED. PARIS. [a] Eccli. VII, 25, 26. [b] Matth. XXIII, 37.

(81) *Ἔνθα.* Ἐνταῦθα, Bod.

(82) *Νουθετῶν.* Tertull. *Ad uxor.* lib. II, cap. 2: *Jubet et suadet, et præcipit et hortatur, et rogat et comminatur.* Clemens superius in *Protrept.* pag. 6: Ὁ Κύριος ἐλεεῖ, παιδεύει, προτρέπει, νουθετεῖ, σώζει, φυλάττει. Mox, ἐπιτιμῶν abest a Bod., Reg.

(83) *Κάμψον. Κάμψον ἐκ νεότητος τὸν τράχηλον αὐτῶν*, Ecclesiast.

(84) *Ὅ.* Ὃ positum pro ὅτι, seu διό, nisi malis ᾧ, id est ἐφ' ᾧ, *eo quod.* SYLBURG. — Lege ὄν. LOWTH.

(85) *Συναγαγεῖν. Ἐπισυναγαγεῖν*, ut mox, *ἐπισυνάγει*, Evang. Dein, *νοσσία ἑαυτῆς*, ibid.

συνάγει τὰ νοσσία αὐτῆς ὑπὸ τὰς πτέρυγας αὐτῆς (86), καὶ οὐκ ἠθελήσατε; αὖθίς τε ἡ Γραφὴ νουθετεῖ· *Καὶ ἐμοίχευον*, λέγουσα, *τὸ ξύλον καὶ τὸν λίθον· καὶ ἐθυμίασαν τῇ Βάαλ*. Μέγιστον γὰρ τεκμήριον τῆς φιλανθρωπίας αὐτοῦ, ὅτι, καίτοι σαφῶς εἰδὼς τὴν ἀναισχυντίαν τοῦ ἐκλακτίσαντος λαοῦ καὶ ἀποσκιρτήσαντος, ὅμως ἐπὶ τὴν μετάνοιαν παρακαλεῖ, καί φησι διὰ τοῦ Ἰεζεκιήλ· *Υἱὲ ἀνθρώπου, ἐν μέσῳ σκορπίων σὺ κατοικεῖς· πλὴν λάλησον αὐτοῖς, ἐὰν ἄρα ἀκούσωσιν*. Ἀλλὰ καὶ τῷ Μωσεῖ (87)· *Πορεύου*, φησὶ, *καὶ εἰπὲ τῷ Φαραὼ, ἵνα ἐξαποστείλῃ τὸν λαόν· ἐγὼ δὲ οἶδα ὅτι οὐ μὴ ἐξαποστείλῃ* (88) *αὐτούς*. Ἐμφαίνει γὰρ ἄμφω, καὶ τὸ θεῖον, προειδὼς τὸ ἐσόμενον, καὶ τὸ φιλάνθρωπον τὸ αὐτοῦ, τῷ αὐτεξουσίῳ τῆς ψυχῆς ἀφορμὰς μετανοίας χαριζόμενος. Νουθετεῖ δὲ καὶ διὰ Ἡσαΐου, κηδόμενος τοῦ λαοῦ (89), ὁπηνίκα λέγει· *Ὁ λαὸς οὗτος τοῖς χείλεσιν* (90) *αὐτῶν τιμῶσί με· ἡ δὲ καρδία αὐτῶν πόῤῥω ἐστὶν ἀπ' ἐμοῦ*· τοῦτό ἐστι ψόγος ἐλεγκτικός. *Μάτην δὲ σέβονταί με, διδάσκοντες διδασκαλίας* (91), *ἐντάλματα ἀνθρώπων*. Ἐνταῦθα ἡ κηδεμονία, φανερώσασα τὴν ἁμαρτίαν, ἐκ παραλλήλου δείκνυσι τὴν σωτηρίαν. Ἐπιτίμησις δέ ἐστι ψόγος ἐπ' αἰσχροῖς, οἰκειῶν πρὸς τὰ καλά· τοῦτο ἐνδείκνυται διὰ Ἱερεμίου· *Ἵπποι θηλυμανεῖς ἐγενήθησαν· ἕκαστος ἐπὶ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ἐχρεμέτιζεν* (92). *Μὴ ἐπὶ τούτοις οὐκ ἐπισκέψομαι, λέγει Κύριος, ἢ ἐν λαῷ τῷ τοιούτῳ οὐκ ἐκδικήσει ἡ ψυχή μου;* Παραπλέκει δὲ πανταχοῦ τὸν φόβον, ὅτι φόβος (93) Κυρίου, ἀρχὴ αἰσθήσεως. Καὶ πάλιν διὰ Ὠσηέ· *Οὐκ ἐπισκέψομαι*, φησὶν, *αὐτούς; ὅτι αὐτοὶ μετὰ τῶν πορνῶν συνεφύροντο, καὶ μετὰ τῶν τετελεσμένων ἔθυον, καὶ ὁ λαὸς* (94) *ὁ συνιὼν συνεπλέκετο πόρνῃ*. Δείκνυσιν αὐτῶν φανερώτερον τὸ ἁμάρτημα συνιέναι αὐτοὺς ὁμολογῶν, ὡς ἑκόντας ἁμαρτάνοντας. Καὶ ἡ σύνεσις ὄψις ἐστὶ ψυχῆς, διὸ καὶ ὁ Ἰσραὴλ, *ὁ ὁρῶν τὸν Θεὸν* (95), τουτέστιν, ὁ συνιὼν τὸν Θεόν. Μέμψις δέ ἐστι ψόγος, ὡς ὀλιγωρούντων, ἢ ἀμελούντων. Κέχρηται τῷ τρόπῳ τούτῳ τῆς παιδαγωγίας διὰ Ἡσαΐου λέγων· *Ἄκουε, οὐρανὲ, καὶ ἐνωτίζου, γῆ, ὅτι Κύριος ἐλάλησεν· Υἱοὺς ἐγέννησα καὶ ὕψωσα· αὐτοὶ δέ με ἠθέτησαν. Ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· Ἰσραὴλ δέ με οὐκ ἔγνω*. Πῶς γὰρ οὐ δεινὸν, εἰ ὁ εἰδὼς τὸν Θεὸν, οὐ γνώσεται τὸν Κύριον, ἀλλ' ὁ μὲν (96) βοῦς καὶ ὄνος, τὰ νωθῆ ζῷα καὶ

A Et rursus Scriptura admonet: *Et mœchati sunt*, dicens, *in lignum et lapidem, et suffumigarunt Baal* [a]. Maximum autem signum est ejus benignitatis, quod licet aperte sciret impudentiam populi, qui recalcitrabat et resiliebat, aperte tamen adhortatur ad pœnitentiam, et dicit per Ezechielem: *Fili hominis, in medio scorpiorum tu habitas; verumtamen loquere ipsis, si forte audierint* [b]. Quin etiam Moysi dicit: *Vade, et dic Pharaoni, ut emittat populum: ego autem novi, quod non emittet ipsos* [c]. Utrumque enim aperte ostendit, et divinitatem, ex præscientia futuri; et benignitatem, eo quod libero animi arbitrio largitus sit occasionem pœnitentiæ. Admonet etiam per Isaiam, populi curam gerens, quando dicit: *Hic populus labiis me honorat, cor autem*
B *eorum longe est a me;* hæc est vituperatio coarguens: *Frustra autem me colunt, docentes doctrinas, mandata hominum* [d]: hic curatio, cum peccatum manifestavit, e vestigio salutem ostendit, increpatio autem est propter turpia vituperatio, quæ ad honesta conciliat. Hoc ostenditur per Jeremiam: *Equi in feminas insanientes facti sunt: unusquisque ad uxorem proximi sui hinniebat. Nunquid propter hæc non visitabo*, dicit Dominus, *vel in populo tali non vindicabit anima mea* [e]? Conjungit autem ubique timorem, quod *timor Domini sit principium sensus* [f]; et rursus per Osee: *Non visitabo*, inquit, *ipsos? quoniam ipsi cum meretricibus commiscebantur,* ✠ *et cum initiatis sacrificabant, et populus, qui intelligebat,*
C *conjungebatur cum meretrice* [g]. Eorum peccatum ostendit apertius, dum eos intelligere fatetur, ut qui sua sponte et consulto peccarent. Intelligentia autem est animæ oculus, et ideo Israel est, qui *Deum videt;* hoc est qui Deum intelligit. Querela autem est vituperatio, tanquam eorum qui contemnunt, vel negligunt. Hoc modo pædagogiæ usus est per Isaiam, dicens: *Audi, cælum, et ausculta, terra, quoniam Dominus locutus est: Filios genui et extuli, ipsi vero me nihili duxerunt. Novit bos possessorem, et asinus præsepe domini sui; Israel autem me non cognovit* [h]. Quomodo enim non est indignum, si qui novit Deum, non cognoscat Dominum; sed bos quidem et asinus, quæ sunt inertia et stulta animalia, noverint eum, qui ipsa alit, Israel autem iis a ratione alienior inveniatur?
D Et cum per Jeremiam pluribus de populo questus esset, subjungit: *Et me reliquerunt, dicit Domi-*

✠ P. 144 ED. POTTER, 122 ED. PARIS. [a] Jer. III, 9; VII, 9; XI, 13; XXXII, 29. [b] Ezech. II, 6, 7. [c] Exod. III, 18, 19. [d] Isa. XXIX, 13. [e] Jer. V, 8, 9. [f] Prov. I, 7. [g] Os. IV, 14. [h] Isa. I, 2, 3.

(86) *Αὐτῆς*. Abest ab Evang. Paulo post Ezechielis et Moysis sensum potius, quam verba, refert.

(87) *Μωσεῖ*. Μωϋσεῖ Reg.

(88) *Ἐξαποστείλῃ*. Ἀποστείλῃ Bod.

(89) *Κηδόμενος τοῦ λαοῦ*. Phrasis Homerica, *Iliad*. A', v. 56, de Junone:

Κήδετο γὰρ Δαναῶν ὅτι ῥα θνήσκοντας ὁρᾶτο.

(90) *Τοῖς χ.* Ἐν τοῖς χ. Bibl. Græc. Mox, ἀπέχει ἀπ' ἐμοῦ pro ἐστὶν ἀπ' ἐμοῦ, ibid.

(91) *Διδασκαλίας*. *Ἐντάλματα ἀνθρώπων καὶ διδασκαλίας*, apud Isaiam: sed Clementis lectionem defendunt Matthæus XV, 9; Marc. VII, 7.

(92) *Ἐχρεμέτιζεν*. Ἐχρεμέτιζον Bibl. Græc. Mox, ἔθνει τοιούτῳ pro λαῷ τῷ τοιούτῳ, ibid.

(93) *Φόβος*. Respicit Prov. I, 7: *Ἀρχὴ σοφίας, φόβος Κυρίου. — εὐσέβεια δὲ εἰς Θεὸν, ἀρχὴ αἰσθήσεως*. Mox, οὐ μὴ ἐπισκέψομαι pro οὐκ ἐπισκέψομαι, Bib. Græc.

(94) *Καὶ ὁ λαός*. Ὁ λαὸς ὁ μὴ συνιὼν συνεπλέκετο μετὰ πόρνης, Bib. Græc.

(95) *Ὁ ὁρῶν*. Philo Judæus, *De confusione linguarum*, p. 358: Προσονομάζεται γὰρ Ἑβραίων γλώττῃ τὸ ἔθνος Ἰσραὴλ, ὅπερ ἑρμηνεύεται Ὁρῶν Θεόν. *Nominatur enim Hebraice gens Israel, quod exponitur Deum videns.* Idem alias non semel affirmat. Conf. *Strom.* I, p. 284, et quæ ibi adnotata sunt. Item quæ superius p. 132 not.

(96) *Μέν*. Abest a Bod., Reg.

nus [a]. Insectatio autem est invectiva increpatio, vel invehens vituperatio. Hoc etiam medicamento usus est Pædagogus per Isaiam, dicens : *Væ, filii defectores : hæc dicit Dominus : Fecistis consilium non per me, et pacta conventa non per spiritum meum* [b]. Acerbissimo autem constipamento in singulis utitur, nempe metu, per ipsum simul os populo comprimens, et eum convertens ad salutem : quemadmodum lanæ quoque, quæ tinguntur, solent constringi ac constipari, dum apparantur ad colorem melius suscipiendum. Redargutio autem est peccati prolatio, ipsum proferens in medium peccatum. Eo tanquam maxime necessario pædagogiæ modo utitur, propterea quod enervata et soluta sit per multorum fides. Dicit enim per Isaiam : *Dereliquistis Dominum, et ad indignationem concitavistis sanctum Israelis* [c]. Dicit etiam per Jeremiam : *Stupuit cælum propter hoc, et terra multo magis horruit; quoniam duo mala fecit hic populus : me dereliquerunt fontem aquæ vivæ, et foderunt lacus contritos, qui aquam continere non poterunt* [d]. Et rursus per eumdem : *Peccatum peccavit Jerusalem, propterea in commotionem facta est. Omnes, qui glorificabant eam, spreverunt ipsam, quoniam viderunt ejus turpitudinem* [e]. Redargutionis autem acerbitatem et vehementiam per Solomonem consolans, dicit, tacite significans pædagogiæ in filios amorem : ✠ *Fili mi, disciplinam Domini ne despicias, neque ægre feras, cum ab ipso corriperis* [f] **54**. *Quem enim diligit Dominus, castigat : flagellat autem omnem filium quem recipit* : quoniam *homo peccator fugit reprehensionem* [g]. Consequenter ergo dicit Scriptura : *Increpet me justus, et castiget: oleum autem peccatoris non impinguet caput meum* [h]. Castigatio autem est vituperatio, quæ affert intelligentiam. Nec ab hoc quidem pædagogiæ modo abstinuit, sed dicit per Jeremiam : *Quousque clamabo, et non exaudient ? ecce aures incircumcisæ eorum* [i]. O beatam tolerantiam ! Et rursus per eumdem : *Incircumcisæ omnes gentes : hic autem populus est incircumcisus corde* [j] ; *quoniam populus est inobediens : filii*, inquit, *quibus non est fides* [k].

A τὰ μωρὰ, εἴσεται τὸν τρέφοντα· ὁ δ' Ἰσραὴλ ἀλογώτερος καὶ τούτων εὑρεθήσεται ; Καὶ διὰ Ἱερεμίου πολλὰ καταμεμψάμενος τὸν λαὸν, ἐπιφέρει· *Καὶ ἐμὲ ἐγκατέλιπον, λέγει Κύριος*. Ἐπίπληξις δέ ἐστιν, ἐπιτίμησις ἐπιπληκτική, ἢ ψόγος πληκτικός. Κέχρηται δὲ καὶ ταύτῃ τῇ θεραπείᾳ ὁ Παιδαγωγὸς διὰ Ἡσαΐου, λέγων· *Οὐαὶ τέκνα ἀποστάται. Τάδε* (97) *λέγει Κύριος· Ἐποιήσατε βουλὴν οὐ δι' ἐμοῦ, καὶ συνθήκας οὐ διὰ τοῦ πνεύματός μου*. Στύμματι δὲ αὐστηροτάτῳ παρ' ἕκαστα προσχρῆται τῷ φόβῳ, ἀναστομῶν (98) ἅμα καὶ ἐπιστρέφων δι' αὐτοῦ πρὸς σωτηρίαν τὸν λαόν· καθάπερ καὶ τὰ βαπτόμενα τῶν ἐρίων προστύφεσθαι φιλεῖ, εἰς βεβαίαν εὐτρεπιζόμενα τῆς βαφῆς παραδοχήν. Ἔλεγχος δέ ἐστι προφορὰ ἁμαρτίας εἰς τὸ μέσον φέρουσα· τούτῳ μάλιστα συγχρῆται ὡς B ἀναγκαίῳ τῷ τρόπῳ τῆς παιδαγωγίας, διὰ τὸ ἔκλυτον τῆς τῶν πολλῶν πίστεως. Λέγει μὲν γὰρ διὰ Ἡσαΐου· *Ἐγκατελίπετε τὸν Κύριον, καὶ παρωργίσατε τὸν ἅγιον τοῦ Ἰσραήλ*. Λέγει δὲ καὶ διὰ Ἱερεμίου· *Ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ ἔφριξεν ἐπὶ πλεῖω ἡ γῆ* (99)· *ὅτι δύο καὶ πονηρὰ ἐποίησεν ὁ λαὸς οὗτος· ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος, καὶ ὤρυξαν λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται συσχεῖν* (1) *ὕδωρ*. Καὶ πάλιν διὰ τοῦ αὐτοῦ· *Ἁμαρτίαν ἥμαρτεν Ἱερουσαλήμ· διὰ τοῦτο εἰς σάλον ἐγένετο. Πάντες οἱ δοξάζοντες αὐτὴν, ἠτίμασαν* (2) *αὐτὴν, ὅτι εἶδον ἀσχημοσύνην αὐτῆς*. Τὸ δὲ αὐστηρὸν τοῦ ἐλέγχου καὶ ἐπιδεικτικὸν (3) διὰ Σολομῶντος παραμυθούμενος, λέγει, αἰνιττόμενος κατὰ τὸ παρασιωπώμενον, τὸ φιλότεκνον τῆς παιδ- C αγωγίας· *Υἱέ μου* (4), *μὴ ὀλιγώρει παιδείας Κυρίου· μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος. Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει* (5)· *μαστιγοῖ δὲ πάντα υἱὸν, ὃν παραδέχεται· ὅτι ἁμαρτωλὸς ἄνθρωπος* (6) *ἐκκλίνει ἐλεγμόν*. Ἀκολούθως τοίνυν, *Ἐλεγχέτω με δίκαιος*, ἡ Γραφὴ λέγει, *καὶ παιδευσάτω με· ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου*. Φρένωσις δέ ἐστι, ψόγος φρενῶν ἐμποιητικός. Οὐδὲ τούτου ἀπέσχηται τοῦ τρόπου τῆς παιδαγωγίας, ἀλλὰ διὰ Ἱερεμίου φησίν· *Ἕως τίνος* (7) *κεκράξομαι, καὶ οὐκ εἰσακούσονται; Ἰδοὺ ἀπερίτμητα τὰ ὦτα αὐτῶν*. Ὢ τῆς μακαρίας ἀνεξικακίας !

✠ P. 145 ED. POTTER, 123 ED. PARIS. [a] Jer. I, 16. II, 13, 19. [b] Isa. XXX, 1. [c] Isa. I, 4. [d] Jer. II, 12, 13. [e] Thren. I, 8. [f] Prov. III, 11, 12. [g] Eccli. XXXII, 21. [h] Psal. CXL, 5. [i] Jer. VI, 10. [j] Jer. IX, 26. [k] Isa. XXX, 9.

(97) *Τάδε*. Abest a Bib. Græc.

(98) *Ἀναστομῶν*. Legendum videtur ἐπιστομῶν, vel potius ἐπιστομίζων. LOWTH. — Sed ἀναστομῶν simili sensu alias usurpatur.

(99) *Πλεῖω ἡ γῆ*. Πλεῖον σφόδρα, λέγει Κύριος, Bib. Græc. Mox, λαός μου pro λαὸς οὗτος, ibid. Dein, ὕδατος ζωῆς καὶ ὤρυξαν ἑαυτοῖς λ Ibid.

(1) *Συσχεῖν*. *Συνέχειν* Bib. Græc., συγχεῖν Reg. Mox, δι' αὐτοῦ pro διὰ τοῦ αὐτοῦ, Reg.

(2) *Ἠτίμασαν*. Ἐταπείνωσαν αὐτήν· εἶδον γὰρ τὴν ἀσχ. Bib. Gr.

(3) *Ἐπιδεικτικόν*. H. δηκτικόν, *mordax*, ut infra, principio c. 11, τῆς ἐπιτιμήσεως τὸ δηκτικόν. SYLBURG.

(4) *Μοῦ*. Abest a Bibl. Græc.

(5) *Παιδεύει*. Ἐλέγχει Bib. Græc. vulg.; sed παιδεύει habet ms. Alex. et alia quædam exemplaria, item Apostolus Heb. XII, 6. Chrysostomus in psal. CX, et Catena Græcorum in Proverb. Joannes in D Apocal. III, 19, utrumque verbum conjunxit : Ἐγὼ ὅσους ἐὰν φιλῶ, ἐλέγχω καὶ παιδεύω. Clemens Romanus sub finem Epist. 1 ad Corinth. παιδεύει scripsit; quem locum Clemens noster respexisse videtur. Ejus verba sic se habent : Ἡ νουθέτησις, ἣν ποιούμεθα εἰς ἀλλήλους, καλή ἐστι, καὶ ὑπεράγαν ὠφέλιμος· κολλᾷ γὰρ ἡμᾶς τῷ θελήματι τοῦ Θεοῦ· οὕτω γάρ φησιν ὁ ἅγιος Λόγος· Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος, καὶ τῷ θανάτῳ οὐ παρέδωκέ με. Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν, ὃν παραδέχεται, Παιδεύσει με γάρ, φησὶν, δίκαιος ἐν ἐλέει, καὶ ἐλέγξει με· ἔλαιον δὲ ἁμαρτωλῶν μὴ λιπανάτω τὴν κεφαλήν μου.

(6) *Ἁμαρτωλὸς ἄνθρ.* *Ἄνθρωπος ἁμαρτωλός*, Ecclesiast. Mox, παιδεύσει με δίκαιος ἐν ἐλέει, καὶ ἐλέγξει με. Ibid. et Clemens Roman.

(7) *Ἕως τίνος*. Πρὸς τίνα λαλήσω, καὶ διαμαρτύρωμαι, καὶ εἰσακούσεται, Bib. Græc.

Καὶ πάλιν διὰ τοῦ αὐτοῦ· *Ἀπερίτμητα* (8) *πάντα τὰ ἔθνη· ὁ δὲ λαὸς οὗτος ἀπερίτμητος καρδίᾳ· ὅτι λαὸς* (9) *ἀπειθής ἐστιν· οἱ υἱοὶ*, φησὶν, *οἷς οὐκ ἔστι πίστις*. Ἐπισκοπὴ δέ ἐστιν ἐπίπληξις σφοδρά. Κέχρηται τῷ εἴδει τούτῳ ἐν Εὐαγγελίῳ· *Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν* (10). Καὶ ἡ ἐπαναδίπλωσις τοῦ ὀνόματος ἰσχυρὰν τὴν ἐπίπληξιν πεποίηται· ὁ γὰρ εἰδὼς τὸν Θεὸν, πῶς τοὺς διακόνους τοῦ Θεοῦ διώκει; *Διὰ τοῦτο*, φησὶν, *ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος· λέγω γὰρ ὑμῖν ἀπάρτι*, (11) *οὐ μὴ ἴδητέ με ἕως ἂν εἴποιτε· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου*. Εἰ γὰρ οὐ δέχεσθε τὴν φιλανθρωπίαν, ἐπιγνώσεσθε τὴν ἐξουσίαν. Λοιδορία δέ ἐστι λόγος ἐπιτεταμένος. Κέχρηται δὲ τῇ λοιδορίᾳ ἐν φαρμάκου μοίρᾳ διὰ Ἡσαΐου, λέγων· *Οὐαὶ ἔθνος ἁμαρτωλὸν, υἱοὶ ἄνομοι* (12), *λαὸς πλήρης ἁμαρτιῶν, σπέρμα πονηρόν*. Κἀν τῷ Εὐαγγελίῳ διὰ Ἰωάννου (13), *Ὄφεις*, φησὶ, *γεννήματα ἐχιδνῶν*. Ἔγκλησις δέ ἐστι ψόγος ἀδικούντων. Τούτῳ τῷ παιδαγωγήματι διὰ Δαβὶδ κέχρηται· *Λαὸς ὃν οὐκ ἔγνων*, λέγων, *ἐδούλευσέ μοι καὶ* (14) *εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου· υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν*. Καὶ διὰ Ἱερεμίου· *Καὶ ἔδωκα αὐτῇ βιβλίον ἀποστασίου, καὶ οὐκ ἐφοβήθη ἀσύνθετος Ἰούδα* (15). Αὖθίς τε· *Καὶ ἠθέτησεν* (16) *εἰς ἐμὲ ὁ οἶκος Ἰσραὴλ· καὶ ὁ οἶκος Ἰούδα ἐψεύσατο τῷ Κυρίῳ*. Μεμψιμοιρία (17) δέ ἐστι λάθριος ψόγος τεχνικῇ βοηθείᾳ, καὶ αὐτὴ σωτηρίαν οἰκονομουμένη ἐν παρακαλύμματι. Κέχρηται δὲ αὐτῇ διὰ Ἱερεμίου· *Πῶς ἐκάθισε μόνη ἡ πόλις, ἡ πεπληθυμμένη λαῶν; ἐγενήθη ὡσεὶ χήρα* (18) *ἄρχουσα χωρῶν· ἐγενήθη εἰς φόρους· κλαίουσα ἔκλαυσεν ἐν νυκτί*. Διάσυρσις δέ ἐστι ψόγος διασυρτικός. Καὶ τούτῳ κέχρηται τῷ βοηθήματι ὁ θεῖος Παιδαγωγὸς διὰ Ἱερεμίου λέγων· *Ὄψις πόρνης ἐγένετό σοι, ἀπηναισχύντησας* (19) *πρὸς πάντας· καὶ οὐχ ὡς οἶκον ἐκά-*

A Visitatio autem est vehemens redargutio. Usa est hoc genere in Evangelio : *Jerusalem, Jerusalem, quæ occidis prophetas, et lapidas eos qui ad te missi sunt* [a]. Nominis quippe conduplicatio effecit, ut sit gravis reprehensio. Qui enim Deum novit, quomodo Dei ministros persequitur? *Propterea*, inquit, *relinquitur domus vestra deserta. Dico enim vobis, deinceps non videbitis me, donec dixeritis, Benedictus qui venit in nomine Domini*. Si enim non suscipitis benignitatem, cognoscetis potentiam. Insectatio autem est intensa et vehemens oratio. Pro medicamento autem usa est insectatione per Isaiam, dicens : *Væ gens peccatrix, filii iniqui, populus plenus iniquitatibus, semen malum* [b]. Et in Evangelio per Joannem : *Serpentes*, inquit, *genimina viperarum*. B Accusatio autem est vituperatio eorum, qui faciunt injuriam. Hac pædagogiæ ratione per David usus est, dicens : *Populus, quem non cognovi, serviit mihi, et in auditu auris obediit mihi. Filii alieni mentiti sunt mihi, et claudicaverunt a viis suis* [c]. Et per Jeremiam : *Et dedi ei libellum repudii, et non timuit incomposita Juda* [d]. Et rursus : *Et me nihili fecit domus* ✠ *Israel, et domus Judæ mentita est Domino* [e]. Expostulatio autem est, quæ artificiali auxilio clam peragitur vituperatio, quæ ipsa quoque saluti providet sub integumento. Ea autem usa est per Jeremiam : *Quomodo sedit sola civitas, quæ fuerat plena populis? facta est tanquam vidua, quæ imperabat regionibus : facta est sub tributo : flens flevit in nocte* [f]. C Obtrectatio autem est obtrectans vituperatio. Et eo usus est auxilio divinus Pædagogus, dicens per Jeremiam : *Fuit tibi aspectus meretricis, impudens fuisti erga omnes, et non in domum vocavisti me, et patrem et principem virginitatis tuæ* [g]. Et : *Pulchra meretrix et jucunda, dux venenorum* [h]. Artificiose admodum cum virgini sub nomine meretricio insultasset,

✠ P. 146 ED. POTTER, 123-124 ED. PARIS. [a] Matth. XXIII, 37, 38, 39. [b] Isai. I, 4. [c] Psal. XVII, 43, 44, 45. [d] Jer. III, 8. [e] Ibid. V, 11, 12. [f] Thren. I, 1, 2. [g] Jer. III, 3, 4. [h] Nahum III, 4.

(8) *Ἀπερίτμητα*. Πάντα τὰ ἔθνη ἀπερίτμητα σαρκὶ, καὶ πᾶς οἶκος Ἰσραὴλ ἀπερίτμητοι καρδίας αὐτῶν, Bibl. Græc.

(9) *Λαός*. Ὁ λαὸς ἀπειθής ἐστιν, υἱοὶ ψευδεῖς, Bibl. Græc.

(10) *Αὐτήν*. Αὐτὴν scribendum, ut apud Matth.

(11) *Ὑμῖν ἀπ*. *Ὑμῖν· οὐ μή με ἴδητε ἀπάρτι* apud Matth. Mox, εἴπητε pro εἴποιτε. Ibid.

(12) *Υἱοὶ ἄνομοι*. Isaias, convenientiore verborum ordine, λαὸς πλήρης ἁμαρτιῶν, σπέρμα πονηρὸν, υἱοὶ ἄνομοι. SYLBURG.—Πονηρῶν pro πονηρόν, Reg.

(13) *Ἰωάννου*. Baptistam intelligit, qui Pharisæos vocavit *γεννήματα ἐχιδνῶν*, Matth. III, 7; Luc. III, 7. Sed Christus *ὄφεις, γεννήματα ἐχιδνῶν* conjunxit, Matth. XXIII, 33. Joannes vero nusquam.

(14) *Καί*. Abest a Bib. Græc. Mox, ὑπήκουσέ μοι, ibid. Dein, post ἐψεύσαντο πονηροὶ sequitur, υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν, ib.

(15) *Οὐκ ἐφοβήθη ἀσύνθετος Ἰούδα*. LXX : ἡ ἀσύνθετος Ἰούδα. Vulgata Latina : *Et non timuit prævaricatrix Juda, soror ejus*. Paulo post ex eodem capite Jeremiæ citatur locus, qui videri posset emendandus apud Clementem; quod enim vertit Hervetus, *Et non in domum vocasti me et patrem, et principem*. Καὶ οὐχ ὡς οἶκον ἐκάλεσάς με, καὶ πατέρα, καὶ ἄρχοντα τῆς παρθενίας sic est vers. 4, c. III : Οὐχ ἕως νῦν ἐκάλεσάς με, καὶ πατέρα καὶ ἀρχηγὸν τῆς παρθενίας σου; *Nonne usque nunc vocasti me et patrem, et ducem virginitatis tuæ?* Vulgata, *Ergo saltem a modo voca me*, etc. Chaldaicæ paraph. interpret. *Ab hoc tempore utique orabis coram me :* in quadam tamen editione Germanica legebatur ut apud Clementem, et in commentario Theodoreti, D *Num invocasti me, tanquam dominum, patrem et ducem?* vers. 1, affertque locum psalm. XXX : *Esto mihi in Deum protectorem et domum refugii*. Denique in editione Romana, auctoritate Sixti V edita, sic legitur. COLLECT.

(16) *Καὶ ἠθέτ*. Ὅτι ἀθετῶν ἠθέτησεν εἰς ἐμὲ, λέγει Κύριος, οἶκος Ἰσραὴλ, καὶ οἶκος Ἰούδ. Bibl. Græc.

(17) *Μεμψιμοιρία*. Malim sic distinguere : Μεμψιμοιρία δέ ἐστι λάθριος ψόγος, τεχνικῇ βοηθείᾳ καὶ αὐτὴ σ. *Conquestio autem est occulta vituperatio, quæ etiam ipsa, artificioso auxilio, occulte et quasi sub velo quodam salutem procurat.*

(18) *Ὡσεὶ χ*. Ὡς χήρα πεπληθυμμένη ἐν ἔθνεσιν, ἄρχουσα ἐν χώραις, ἐγεννήθη εἰς φόρον, Bibl. Græc.

(19) *Ἀπηναισχύντησας*. Scribe ex Bibl. Græc. ἀπηνησχύντησας. Mox, καὶ abest ante οὐχ, ibid. Dein, με ἐκάλεσας, ibid. Mox, ἀρχηγὸν pro ἄρχοντα, ibid.

rursus ad honestatem pudore eam afficiens evocat. Indignatio autem est legitima increpatio, seu increpatio filiorum, qui plus quam oportet extolluntur. Ea pædagogia per Moysem utitur, dicens : *Filii reprehensibiles, generatio prava et perversa : hæc Domino retribuitis ? Hic populus stultus et non sapiens : non hic ipse Pater possedit te* [a]? Et per Isaiam dicit : *Principes tui non obediunt, socii furum, diligentes munera, persequentes retributionem, orphanis non judicantes* [b]. Et, ut in summa dicam, ejus in incutiendo timore artificium, est fons salutis. Boni est autem dare salutem : *Misericordia autem Domini est super omnem carnem, dum arguit, castigat et docet, sicut pastor gregem suum. Eorum, qui disciplinam suscipiunt, miseretur : et eos, qui sunt ardenti studio, sibi conglutinat* [c]; et hac ducendi ratione *sexcenta millia peditum*, qui coacti erant in ea quam habebant cordis duritie, flagellans, miserans, verberans, medens, in miseratione et disciplina custodit. *Prout* enim *ejus est multa misericordia, ita etiam ejus reprehensio* [d]. Pulchrum enim quidem certe est non peccare : bonum est etiam, ut et qui peccat, ducatur pœnitentia : quemadmodum optimum quidem est, semper esse sanum; bonum autem est etiam a morbo convalescere. Hac etiam ratione per Solomonem præcipit : *Tu quidem virga percute filium tuum,* ✠ *animam autem ejus a morte libera* [e]. Et rursus : *Ne peperceris castigare puerum; virga autem ipsum corrige : non enim morietur* [f]. Reprehensio enim et increpatio, sicut vel ipsum Græcum nomen significat, sunt ipsi ictus animæ, qui peccata castigant, et mortem prohibent : ad moderationem autem et temperantiam deducunt eos, qui feruntur ad intemperantiam. Hac quidem certe ratione Plato, cum sciret in reprehensione maximas esse vires correctionis, et præcipuam purgationem,

A *λεσάς με, καὶ πατέρα καὶ ἄρχοντα τῆς παρθενίας σου*. Καὶ, *Πόρνη καλὴ* (20) *καὶ ἐπίχαρις, ἡγουμένη φαρμάκων*. Τεχνικῶς πάνυ τὴν παρθένον τῷ τῆς πορνείας ἐνυβρίσας ὀνόματι, αὖθις ἐπὶ τὴν σεμνότητα ἐντρέπων μετακαλεῖται. Κατανεμέσησις δέ ἐστιν ἐπιτίμησις νόμιμος, ἢ ἐπιτίμησις τῶν ὀδῶν (21) παρὰ τὸ προσῆκον ἐπαιρομένων. Ταύτῃ διὰ Μωϋσέως ἐπαιδαγώγει· *Τέκνα*, λέγων, *μωμητὰ, γενεὰ σκολιὰ καὶ διεστραμμένη· ταῦτα Κυρίῳ ἀνταποδίδοτε; Οὗτος* (22) *λαὸς μωρὸς, καὶ οὐχὶ σοφός. Οὐκ αὐτὸς οὗτος ὁ Πατὴρ ἐκτήσατό σε;* Καὶ διὰ Ἡσαΐου φησίν· *Οἱ ἄρχοντές σου ἀπειθοῦσι, κοινωνοὶ κλεπτῶν, ἀγαπῶντες δῶρα, διώκοντες ἀνταπόδομα, ὀρφανοῖς οὐ κρίνοντες*. Καθόλου δὲ ἡ περὶ τὸν φόβον αὐτοῦ τεχνολογία σωτηρίας ἐστὶ πηγή· ἀγαθοῦ
B δέ γε τὸ σώζειν· *Ἔλεος δὲ Κυρίου ἐπὶ πᾶσαν σάρκα, ἐλέγχων, καὶ παιδεύων, καὶ διδάσκων* (23), *ὡς ποιμὴν τὸ ποίμνιον αὐτοῦ· τοὺς ἐκδεχομένους παιδείαν ἐλεεῖ, καὶ τοὺς κατασπουδάζοντας εἰς κόλλησιν αὐτῷ*· καὶ ταύτῃ τῇ ἀγωγῇ ἑξακοσίας (24) χιλιάδας πεζῶν, τοὺς ἐπισυναχθέντας ἐν ᾗ ἔσχεν σκληροκαρδίᾳ, μαστιγῶν, ἐλεῶν, τύπτων, ἰώμενος, ἐν οἰκτιρμῷ καὶ παιδείᾳ διεφύλαξεν· *Κατὰ γὰρ τὸ πολὺ ἔλεος αὐτοῦ, οὕτω* (25) *καὶ ὁ ἔλεγχος αὐτοῦ*. Καλὸν μὲν γὰρ τὸ μὴ ἁμαρτεῖν, ἀγαθὸν δὲ καὶ τὸν ἁμαρτάνοντα μετανοεῖν· ὥσπερ ἄριστον τὸ ὑγιαίνειν ἀεὶ, καλὸν δὲ καὶ τὸ ἀνασφῆλαι τῆς νόσου. Ταύτῃ τοι καὶ διὰ Σολομῶντος παραγγέλλεται· *Σὺ μὲν* (26) *ῥάβδῳ πάταξον τὸν υἱὸν, τὴν δὲ ψυχὴν αὐτοῦ
C ἐκ θανάτου ῥῦσαι*. Καὶ πάλιν· *Μὴ ἀπόσχῃ νήπιον παιδεύων, εὔθυναι δὲ αὐτὸν ῥάβδῳ· οὐ γὰρ θανεῖται*. Ἔλεγχος γὰρ καὶ ἐπίπληξις, ὥσπερ οὖν καὶ τοὔνομα αἰνίττεται, αὗται πληγαὶ ψυχῆς εἰσι, σωφρονίζουσαι τὰς ἁμαρτίας, καὶ θάνατον ἀπείργουσαι· εἰς δὲ τὴν σωφροσύνην ἄγουσαι τοὺς εἰς ἀκολασίαν ὑποφερομένους. Ταύτῃ (27) τοι καὶ Πλάτων

✠ P. 147 ED. POTTER, 124-125 ED. PARIS. [a] Deut. XXXII, 5, 6. [b] Isa. I, 23. [c] Eccli. XVIII, 13, 14. [d] Ibid. XVI, 12. [e] Proverb. XXIII, 14. [f] Proverb. XXIII, 13.

(20) *Καὶ, Πόρνη καλή*. Quem inducendum censuit Hervet. locum tenuimus. Est enim ex cap. III Nahum prophetæ, quem adjunxit Jeremiæ versui Clemens, utpote quod et in hoc civitas Ninive meretrix vocetur. Et LXX : *Et meretrix speciosa et grata, dux maleficiorum*. Vulgata Latina, *Propter multitudinem fornicationum meretricis speciosæ, et gratæ, et habentis maleficia*. Hieronymus in eum locum : *Pro* duce maleficiorum *Aquila et Symmachus transtulerunt*, habens maleficia. *Nec mirabitur Ninivem scortorum jam esse gratissimam, qui tantam hominum multitudinem cum ea viderit fornicari, et maleficiis illius et quibusdam incantationibus ad amorem ejus pæne cunctos trahi*. Collect.

(21) *Ὀδῶν*. Hervetus υἱῶν mavult. Vide ejus Commentarium. Eamdem lectionem probat A. Sylburg.

(22) *Οὗτος*. Οὕτω Bibl. Gr. Mox, σοῦ πατήρ pro ὁ πατήρ, ibid.

(23) *Διδάσκων*. Καὶ ἐπιστρέφων addit Eccles. Mox, καὶ τοὺς κατασπεύδοντας ἐπὶ τὰ κρίματα αὐτοῦ, pro καὶ τοὺς κατασπουδάζοντας εἰς κόλλησιν αὐτῷ, ibid. Hervetus interpres εἰσκόλλησιν conjuncte legit.

(24) *Ἑξακοσίας*. Exod. XII, 37. Ἀπάραντες δὲ υἱοὶ Ἰσραὴλ ἐκ Ῥαμεσσῆ εἰς Σοκχὼθ εἰς ἑξακοσίας χιλιάδας πεζῶν.

(25) *Οὕτω*. Οὕτω καὶ πολὺ ὁ ἔλ. Eccles.

(26) *Σὺ μέν*. Σὺ μὲν γὰρ πατάξεις αὐτὸν ῥάβδῳ, Bib. Græc. Mox, ῥύσῃ pro ῥῦσαι, ibid. Dein, μὴ
D ἀπόσχῃ νήπιον παιδεύειν, ὅτι ἐὰν πατάξῃς αὐτὸν ῥάβδῳ, οὐ μὴ ἀποθάνῃ. *Ibid*. Pro ἀπόσχῃ Pal. ms. habere ἀπόσχου refert Sylburg ; ἀπόσχου etiam habent Reg., Bod.

(27) *Ταύτῃ*. Locus Platonis occurrit *Sophistæ* pag. 162, edit. Ficini, ubi, cum de redargutionis utilitate disseruisset, addit : Διὰ ταῦτα δὲ πάντα ἡμῖν, ὦ Θεαίτητε, καὶ τὸν ἔλεγχον λεκτέον, ὡς ἄρα μεγίστη καὶ κυριωτάτη τῶν καθάρσεων ἐστί· καὶ τὸν ἀνέλεγκτον αὖ νομιστέον, ἂν καὶ τυγχάνῃ βασιλεὺς ὁ μέγας ὤν, τὰ μέγιστα ἀκάθαρτον ὄντα, ἀπαίδευτόν τε καὶ αἰσχρὸν γεγονέναι ταῦτα, ἃ καθαρώτατον καὶ κάλλιστον ἔπρεπε τὸν ὄντως ἐσόμενον εὐδαίμονα εἶναι. *His de causis, o Theætete, dicendum, summam præcipuamque purgationem esse redargutionem : eumque, qui redargutus non est, etiamsi rex ille magnus sit, quandoquidem in maximis est impurus, rudem turpemque esse secundum illa, quibus purissimus pulcherrimusque esse debet, quisquis est felix revera futurus*. Clementis verba,

A τὴν μεγίστην τῆς ἐπανορθώσεως δύναμιν καὶ τὴν κυριωτάτην κάθαρσιν τὸν ἔλεγχον εἰδὼς, ἀκολούθως τῷ λόγῳ, *τὸν τὰ μέγιστα ἀκάθαρτον ὄντα, ἀπαίδευτον δὲ καὶ αἰσχρὸν γεγονέναι, διὰ τὸ ἀνέλεγκτον εἶναι βούλεται, ἣ καθαρώτατον καὶ κάλλιστον ἔπρεπε τὸν ὄντως ἐσόμενον εὐδαίμονα εἶναι.* Εἰ γὰρ οἱ ἄρχοντες οὐκ εἰσὶ φόβος τῷ ἀγαθῷ ἔργῳ (28), πῶς ὁ φύσει ἀγαθὸς Θεὸς φόβος ἔσται τῷ μὴ ἁμαρτάνοντι; *Ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ*, ἦ φησιν ὁ Ἀπόστολος. Διὰ τοῦτό τοι καὶ αὐτὸς ὁ Ἀπόστολος ἐπιστύφει παρ' ἕκαστα τὰς Ἐκκλησίας κατ' εἰκόνα Κυρίου· καὶ συναισθόμενος τῆς ἑαυτοῦ παῤῥησίας καὶ τῆς τῶν ἀκουόντων ἀσθενείας, πρὸς τοὺς Γαλάτας λέγει, *Ἐχθρὸς ὑμῶν γέγονα, ἀληθεύων ὑμῖν;* Ὡς δὲ οἱ ὑγιαίνοντες (29) οὐ χρῄζουσιν ἰατροῦ, B παρ' ὅσον ἔῤῥωνται, οἱ δὲ νοσοῦντες ἐπιδέονται τῆς τέχνης· οὕτω καὶ ἡμεῖς οἱ ἐν τῷ βίῳ νοσοῦντες περί τε τὰς ἐπιθυμίας τὰς ἐπονειδίστους, περί τε τὰς ἀκρασίας τὰς ἐπιψόγους, καὶ περὶ τὰς ἄλλας τῶν παθῶν φλεγμονὰς, τοῦ Σωτῆρος ἐπιδεόμεθα· ὁ δὲ οὐ μόνον τὰ ἤπια (30) ἐπιπάσσει φάρμακα, ἀλλὰ καὶ τὰ στυπτικά. Ἱστᾶσι γοῦν τῶν ἁμαρτιῶν τὰς νομὰς (31), αἱ πικραὶ τοῦ φόβου ῥίζαι. Διὸ καὶ σωτήριος, εἰ καὶ πικρὸς, ὁ φόβος. Εἰκότως ἄρα Σωτῆρος μὲν οἱ νοσοῦντες δεόμεθα· οἱ πεπλανημένοι δὲ τοῦ καθηγησομένου, καὶ οἱ τυφλοὶ τοῦ φωταγωγήσοντος· καὶ οἱ διψῶντες *τῆς πηγῆς τῆς ζωτικῆς*, ἀφ' ἧς οἱ μεταλαμβάνοντες *οὐκέτι διψήσουσι*· καὶ οἱ νεκροὶ δὲ τῆς ζωῆς ἐνδεεῖς· καὶ τοῦ ποιμένος τὰ πρόβατα· καὶ οἱ παῖδες τοῦ παιδαγωγοῦ· ἀλλὰ καὶ πᾶσα ἡ C ἀνθρωπότης Ἰησοῦ· ἵνα μὴ ἀνάγωγοι καὶ ἁμαρτωλοὶ εἰς τέλος, τῇ καταδίκῃ ἐμπέσωμεν (32), διακριθῶμεν δὲ τῶν ἀχυρμιῶν, καὶ εἰς τὴν πατρῴαν ἀποθήκην σωρευθῶμεν. *Τὸ γὰρ πτύον ἐν τῇ χειρὶ* τοῦ Κυρίου, ᾧ ἀποκρίνεται τοῦ πυροῦ τὸ ἄχυρον τὸ ὀφειλόμενον τῷ πυρί. Ἐξὸν δὲ, εἰ βούλεσθε, τοῦ παναγίου ποιμένος καὶ Παιδαγωγοῦ, τοῦ παντοκράτορος καὶ πατρικοῦ Λόγου, τὴν ἄκραν σοφίαν καταμανθάνειν ἡμῖν, ἔνθα ἀλληγορεῖ, *ποιμένα* ἑαυτὸν προβάτων λέγων· ἔστι δὲ παιδαγωγὸς νηπίων. Φησὶ γοῦν διὰ Ἰεζεκιὴλ (33) πρὸς τοὺς πρεσβυτέρους ἀποταθεὶς καί τινα αὐτοῖς σωτήριον παρατιθέμενος (34) εὐλόγου φροντίδος ὑπογραμμόν· *Καὶ τὸ χωλὸν καταδήσω, καὶ τὸ ὀχλούμενον ἰάσομαι, καὶ τὸ πλανώμενον ἐπι-*

convenienter ei, quod dictum est, *eum, qui est maxime impurus, vult ineruditum et turpem evasisse, propterea quod reprehendi non posset: quemadmodum purissimum et pulcherrimum eum esse conveniebat, qui futurus esset beatus.* Si enim *magistratus non sunt timori bono operi* [a], quomodo qui natura bonus est Deus, ei, qui non peccat, erit timori? *Si autem malum facies, time*, ut dicit Apostolus. Et ideo ipse quoque Apostolus ad similitudinem Domini sigillatim Ecclesias **55** peracriter incessit: et suæ conscius libertatis, et imbecillitatis eorum, qui audiebant, Galatis dicit: *Inimicus factus sum, vera vobis dicens* [b]? Quemadmodum autem qui sani sunt, non opus habent medico, quatenus recte valent: qui autem ægrotant, arte indigent: ita nos quoque, qui in vita laboramus probrosis cupiditatibus, vituperandisque intemperantiis, ac libidinibus, aliorumque vitiorum inflammationibus, Servatore opus habemus. Is autem non solum *lenia adhibet medicamenta*, sed etiam acria. Peccatorum quidem certe proserpentes corrosiones sistunt amaræ metus radices. Quamobrem salutaris est metus, licet amarus. Jure ergo qui ægrotamus, Servatore opus habemus: qui autem aberravimus, eo qui nos ducat: et qui cæci sumus, eo qui nos ad lucem deducat: et qui sitimus, *fonte vitali*, cujus qui sunt participes, *non amplius sitient* [c]: et qui mortui sumus, vita egemus: qui oves, pastore: et qui pueri, pædagogo: quinetiam universa humana natura, Jesu: ne indomiti et peccatores ad finem usque exsistentes, incidamus in condemnationem, sed a paleis segregemur, et in apothecam paternam reportemur. *Ventilabrum* enim ✠ *in manu* Domini, quo *palea*, quæ *igni* [d] debetur, a frumento secernitur. Licet autem, si vultis, sanctissimi pastoris et Pædagogi, omnipotentis et paterni Verbi, summam nobis sapientiam ediscere, ubi allegoria utitur, seipsum dicens *pastorem* [e] ovium: est autem Pædagogus infantium. Dicit ergo per Ezechielem, orationem dirigens ad presbyteros, et eis quamdam salutarem justæ sollicitudinis descriptionem exponens: *Et quod claudum est alligabo, et quod ægrum est curabo, et quod aberrat, reducam: et pascam ipsos ego ad montem sanctum meum* [f]. Hæc

✠ P. 148 ED. POTTER, 126 ED. PARIS. [a] Rom. XIII, 3, 4. [b] Gal. IV, 16. [c] Joan. IV, 13, 14. [d] Matth. III, 12. Luc. III, 17. [e] Joan. X, 11, 14. [f] Ezech. XXXIV, 14, 15 et 16.

quæ nunc obscura sunt, facile intelligi poterunt, si Platonis auctoritate, ἀπαίδευτόν τε καὶ αἰσχρόν scribamus pro ἀπαίδευτον δὲ καὶ αἰσχ. *Hinc etiam Plato*, inquit, *qui*, *perinde ac Verbum*, maximas *correctionis vires*, et summam purgationem esse redargutionem *novit; eum*, *qui* in maximis impurus est, rudem turpemque, ideo quod non fuerit redargutus, *in eo respectu esse vult*, *quo* purissimus ac pulcherrimus esse debet, quisquis est felix vere futurus.

(28) *Τῷ ἀγαθῷ ἔργῳ.* Τῶν ἀγαθῶν ἔργων apud Paulum.

(29) *Οἱ ὑγιαίνοντες.* Respicit Christi verba, Luc. V, 31: Οὐ χρείαν ἔχουσιν οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες.

(30) *Ἤπια... φάρμ.* Phrasis ex *Iliad.* Δ, vers. 218:

..... *ἐπ' ἄρ' ἤπια φάρμακα εἰδὼς*
Πάσσε.....

Lenia vero medicamenta inspersit peritus.

(31) *Νομάς.* Vox medicis familiaris. Significat autem gangrænæ vim, vel alterius cujusvis rei, quæ obvia *depascit*. Unde Suidas, ex fragmento quodam Polybii, νομήν exp. πυρὸς ὁρμήν, *ignis impetum* omnia *depascentis*.

(32) *Τῇ καταδίκῃ ἐμπέσ.* Τῆς καταδίκης ἐκπέσωμεν, Reg., Bod.

(33) *Διὰ Ἰεζεκιήλ.* Τοῦ προφήτου addit Bod. Idque in margine Reg. adnotatum est.

(34) *Παρατιθέμενος.* Ὑποτιθέμενος, Reg. Sed super ejus vocis principio aliquis περί scripsit, ac si legendum fuisset περιτιθέμενος.

sunt promissa boni pastoris. Pasce nos infantes, sicut oves. Etiam, Domine, imple tuis justitiæ pabulis: etiam, Pædagoge, pasce nos ad sanctum tuum montem, ad Ecclesiam, quæ in alto est, quæ superat nubes, quæ cœlos tangit. *Et ero*, inquit, *pastor ipsorum, et ero prope ipsos* [a], sicut tunica prope corpus ipsorum. Vult carni meæ dare salutem, me tunica incorruptionis induens: et corpus meum inunxit: *Vocabunt me*, inquit, *et dicam: Ecce adsum* [b]. Celerius exaudiisti, quam ego exspectavi, Domine. *Et si trajiciant, non cadent, dicit Dominus* [c]. Non cademus enim in corruptionem, qui ad incorruptionem trajicimus: quoniam ipse nos tenebit. Dixit enim ipse, et voluit ipse. Talis est noster Pædagogus, optimo jure bonus. *Non veni*, inquit, *ut mihi ministraretur, sed ut ipse ministrarem* [d]. Propterea in Evangelio *fessus* [e] introducitur, qui pro nobis defatigatur, et *suam ipsius animam pretium redemptionis pro multis dare* [f] pollicens. Hunc enim solum esse fatetur *bonum pastorem* [g]. Liberalis ergo est ac magnificus, qui, quod maximum est, suam pro nobis dat animam. Valdeque est hominibus utilis, et in eos benignus, quod homo voluit esse frater, cum posset esse Dominus. Ille vero etiam usque adeo bonus fuit, ut pro nobis moreretur. Quin etiam ejus clamavit justitia: *Si recti ad me veniatis, et ego rectus ad vos: si obliqui ambuletis, et ego obliquus, dicit Dominus exercituum:* peccatorum increpationes per *vias obliquas* significans. Recta enim, et quæ secundum naturam est, quæ per Jesu J litteram significatur, est ejus bonitas, quæ ✠ erga eos, qui ex auditu crediderunt, firma est et immobilis: *Quoniam vocavi, et non exaudiistis, dicit Dominus, sed mea irrita fecisti consilia: meas autem reprehensiones non attendistis* [h]. Ita est maxime utilis Domini reprehensio. De iis David quoque dicit: *Generatio perversa, et exacerbans; generatio, quæ non direxit cor suum, et non fuit fidelis cum Deo spiritus ejus, et Dei testamentum non custodierunt, et in lege ejus noluerunt ambulare* [i]. Hæ sunt causæ exacerbationis, propter quas venit Judex pœnas irrogaturus iis, qui bonam vitam no-

A *στρέψω· καὶ βοσκήσω αὐτοὺς ἐγὼ εἰς τὸ ὄρος τὸ ἅγιόν μου.* Ταῦτ' ἐστὶν ἀγαθοῦ ποιμένος ἐπαγγέλματα. Βόσκησον ἡμᾶς τοὺς νηπίους, ὡς πρόβατα. Ναὶ, Δέσποτα, τῆς σῆς πλήρωσον νομῆς τῆς δικαιοσύνης· ναὶ, Παιδαγωγὲ, ποίμανον ἡμᾶς εἰς τὸ ἅγιόν σου ὄρος, πρὸς τὴν Ἐκκλησίαν, τὴν ὑψουμένην, τὴν ὑπερνεφῆ, τὴν ἁπτομένην οὐρανῶν. *Καὶ ἔσομαι*, φησὶν, *αὐτῶν ποιμὴν, καὶ ἔσομαι ἐγγὺς αὐτῶν*, ὡς ὁ χιτὼν (35) τοῦ χρωτὸς αὐτῶν. Σῶσαι βούλεταί μου τὴν σάρκα, περιβαλὼν τὸν χιτῶνα τῆς ἀφθαρσίας· καὶ τὸν χρῶτά μου κέχρικεν. *Καλέσουσί με*, φησὶ, *καὶ ἐρῶ, Ἰδοὺ πάρειμι.* Θᾶττον ὑπήκουσας ἢ προσεδόκησα, Δέσποτα. *Καὶ ἐὰν διαβαίνωσιν* (36), *οὐκ ὀλισθήσουσι*, λέγει Κύριος. Οὐ γὰρ πεσούμεθα εἰς φθορὰν οἱ διαβαίνοντες εἰς ἀφθαρσίαν,
B ὅτι ἀνθέξεται (37) ὑμῶν αὐτός· ἔφη γὰρ αὐτὸς, καὶ ἠθέλησεν αὐτός. Τοιοῦτος ἡμῶν ὁ Παιδαγωγὸς, ἀγαθὸς ἐνδίκως. *Οὐκ ἦλθον*, φησὶ, *διακονηθῆναι, ἀλλὰ διακονῆσαι.* Διὰ τοῦτο εἰσάγεται ἐν τῷ Εὐαγγελίῳ *κεκμηκὼς* (38) ὁ κάμνων ὑπὲρ ἡμῶν, καὶ *δοῦναι τὴν ψυχὴν τὴν ἑαυτοῦ λύτρον ἀντὶ πολλῶν ὑπισχνούμενος*. Τοῦτον γὰρ μόνον ὁμολογεῖ *ἀγαθὸν* εἶναι *ποιμένα*. Μεγαλόδωρος οὖν ὁ τὸ μέγιστον ὑπὲρ ἡμῶν, τὴν ψυχὴν αὐτοῦ, ἐπιδιδούς· καὶ μεγαλωφελὴς, καὶ φιλάνθρωπος, ὅτι καὶ ἄνθρωπος, ἐξὸν εἶναι Κύριον, ἀδελφὸς εἶναι βεβούληται· ὁ δὲ καὶ εἰς τοσοῦτον ἀγαθὸς, ὥστε ἡμῶν καὶ ὑπεραποθανεῖν. Ἀλλὰ καὶ ἡ δικαιοσύνη κέκραγεν αὐτοῦ· *Ἐὰν* (39) *ὀρθοὶ πρὸς μὲ ἥκητε, κἀγὼ ὀρθὸς πρὸς ὑμᾶς· ἐὰν πλάγιοι πορεύησθε, κἀγὼ πλάγιος, λέγει*
C *Κύριος τῶν δυνάμεων*, τὰς ἐπιπλήξεις (40) τῶν ἁμαρτωλῶν πλαγίας αἰνιττόμενος ὁδούς· ἡ γὰρ εὐθεῖα καὶ κατὰ φύσιν, ἣν αἰνίττεται τῷ ἰῶτα τοῦ Ἰησοῦ, ἡ ἀγαθοσύνη αὐτοῦ, ἡ πρὸς τοὺς ἐξ ὑπακοῆς πεπιστευκότας, ἀμετακίνητός τε καὶ ἀῤῥεπής· *Ἐπειδὴ ἐκάλουν, καὶ οὐχ ὑπηκούετε* (41), *λέγει Κύριος, ἀλλὰ ἀκύρους ἐποιεῖτε τὰς ἐμὰς βουλάς· τοῖς δὲ ἐμοῖς ἐλέγχοις οὐ προσείχετε.* Οὕτως ὁ κυριακὸς ἔλεγχος ὠφελιμώτατος. Περὶ τούτων καὶ διὰ Δαβὶδ λέγει· *Γενεὰ σκολιὰ, καὶ παραπικραίνουσα· γενεὰ, ἥτις οὐ κατηύθυνε τὴν καρδίαν ἑαυτῆς* (42), *καὶ οὐκ ἐπιστώθη μετὰ τοῦ*

✠ P. 149 ED. POTTER, 126-127 ED. PARIS. [a] Ezech. XXXIV, 14, 15, 16. [b] Isa. LVIII, 9. [c] Ibid. XLIII, 2. [d] Matth. XX, 28 Marc. X, 45. [e] Joan. IV, 6. [f] Matth. XX, 28. [g] Joan. X, 11. [h] Prov. I, 24, 25. [i] Psal. LXVII, 8, 10.

(35) *Ὡς ὁ χιτών*. Hæc verba interpretamentum esse videntur Isa. LVIII, 8: Καὶ ἡ δόξα τοῦ Θεοῦ περιστελεῖ σε. Mox alludere videtur ad II Cor. V, 2 et seq. In iis, quæ deinceps sequuntur, Scripturæ sensum potius quam verba recitat.

(36) *Διαβαίνωσιν*. Διαβαίνῃς Isa., καταβαίνωσιν ms. Pal. teste Sylburg. Quam lectionem defendunt Reg. et Bod.

(37) *Ὑμῶν*. Scribe ἡμῶν, quod habet Reg.

(38) *Κεκμηκώς*. Κεκμηκός Bod., κεκοπιακός Evang.

(39) *Ἐάν*. Recitare videtur sensum diversarum Scripturarum. Conf. Jerem. VI; Levit. XXVI, etc.

(40) *Ἐπιπλήξεις*. Cotelerius, notis ad *Constitut. apost.* lib. II, cap. 25, postquam retulisset diversas in primam vocis Ἰησοῦ litteram allegorias, addit: « Denique ab Alexandrino Clemente *Pædag.* I, 9, Iota nominis Jesu refertur ad rectitudinem et unitatem: juxta illud Corippi, lib. II *De laudibus Ju-*
D *stini imperatoris:*

..... *ut sua rectus*
Littera, quæ signo stabili non flectitur unquam;

juxta Methodium in *Convivio virginum* oratione 6, pag. 75, 76, et juxta omnes eos, qui testimonium Matth. V, 18, *Iota unum, aut unus apex, non præteribit*, de cruce interpretati sunt. Videsis Catenam Græcorum Patrum in Lucam, ad cap. XVI, 17, atque inde et ex sensu corrige locum Clementis *Pædag.* I, 9, p. 126, scribendo, τὰς ἐπιπλέξεις (male vulgo ἐπιπλήξεις) τῶν ἁμαρτωλῶν πλαγίας αἰνιττόμενος ὁδούς. Hoc est ad verbum, *implicationes peccantium, obliquas significans vias.* »

(41) *Ὑπηκούετε*. Ὑπηκούσατε, καὶ ἐξέτεινον λόγους, καὶ οὐ προσείχετε, ἀλλὰ ἀκύρους ἐποιεῖτε ἐμὰς β. Bibl. Græc. Mox, ἐπειθήσατε pro οὐ προσείχετε, ibid.

(42) *Τὴν καρδίαν ἑαυτῆς*. Ἐν τῇ καρδίᾳ αὐτῆς Bibl. Græc. Mox, ἐφύλαξαν pro ἐφυλάξαντο, ibid.

Θεοῦ τὸ πνεῦμα αὐτῆς· οὐκ ἐφυλάξαντο τὴν διαθήκην τοῦ Θεοῦ, καὶ ἐν τῷ νόμῳ αὐτοῦ οὐκ ἤθελον πορεύεσθαι. Αὗται αἰτίαι παραπικρασμοῦ, δι' ἃς ὁ κριτὴς ἔρχεται, τὴν δίκην ἐποίσων τοῖς τὴν εὐζωΐαν ἑλέσθαι μὴ βεβουλημένοις (43), διὰ τοῦτο αὐτοῖς παχύτερον (44) ἐνθένδε προσενήνεκται, εἴ πως ἀναχαιτίσαιεν τῆς ἐπὶ τὸν θάνατον ὁρμῆς. Λέγει γοῦν διὰ Δαβὶδ σαφεστάτην αἰτίαν τῆς ἀπειλῆς· *Οὐκ ἐπίστευσαν ἐν* (45) *τοῖς θαυμασίοις αὐτοῦ. Ὅταν ἀπέκτεινεν αὐτοὺς, ἐξεζήτουν αὐτὸν, καὶ ἐπέστρεφον, καὶ ὤρθριζον πρὸς τὸν Θεὸν, καὶ ἐμνήσθησαν, ὅτι ὁ Θεὸς βοηθὸς αὐτῶν ἐστι, καὶ ὁ Θεὸς ὁ ὕψιστος λυτρωτὴς αὐτῶν ἐστιν.* Οὕτως οἶδεν ἐπιστρέφοντας αὐτοὺς διὰ τὸν φόβον, τῆς δὲ φιλανθρωπίας αὐτοῦ καταπεφρονηκότας· ὀλιγωρεῖται μὲν γὰρ, ὡς ἐπίπαν, τὸ ἀγαθὸν, χρηστευόμενον ἀεὶ, θεραπεύεται δὲ ὑπομιμνήσκων τῷ φιλανθρώπῳ τῆς δικαιοσύνης φόβῳ. Διττὸν δὲ τὸ εἶδος τοῦ φόβου· ὧν τὸ μὲν ἕτερον γίνεται μετὰ αἰδοῦς, ᾧ χρῶνται πολῖται μὲν πρὸς ἡγεμόνας ἀγαθοὺς, καὶ ἡμεῖς πρὸς τὸν Θεὸν, καθάπερ οἱ παῖδες οἱ σώφρονες πρὸς τοὺς πατέρας. Ἵππος γὰρ, φησὶν, *ἀδάμαστος ἐκβαίνει σκληρός· καὶ υἱὸς ἀνειμένος ἐκβαίνει προαλής* (46)· τὸ δὲ ἕτερον εἶδος τοῦ φόβου μετὰ μίσους γίνεται, ᾧ δοῦλοι πρὸς δεσπότας κέχρηνται χαλεποὺς, καὶ Ἑβραῖοι (47), δεσπότην ποιήσαντες, οὐ πατέρα τὸν Θεόν. Πολλῷ δὲ, οἶμαι, καὶ τῷ παντὶ τὸ ἑκούσιον (48) καὶ κατὰ προαίρεσιν τοῦ κατὰ ἀνάγκην εἰς εὐσέβειαν διαφέρει· *Αὐτὸς* (49) γὰρ, φησὶν, *οἰκτίρμων ἐστίν· ἰάσεται τὰς ἁμαρτίας αὐτῶν, καὶ οὐ διαφθερεῖ, καὶ πληθυνεῖ τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ, καὶ οὐκ ἐκκαύσει πᾶσαν τὴν ὀργὴν αὐτοῦ.* Ὅρα πῶς τὸ δίκαιον ἐπιδείκνυται τοῦ Παιδαγωγοῦ, τὸ περὶ τὰς ἐπιτιμήσεις· καὶ τὸ ἀγαθὸν τοῦ Θεοῦ, τὸ περὶ τὰς οἰκτειρήσεις. Διὰ τοῦτο ὁ Δαβὶδ, τουτέστι τὸ Πνεῦμα τὸ δι' αὐτοῦ, ἄμφω περιλαβὼν, ἐπὶ τοῦ αὐτοῦ ψάλλει Θεοῦ· *Δικαιοσύνη καὶ κρῖμα ἑτοιμασία τοῦ θρόνου σου· ἔλεος καὶ ἀλήθεια προπορεύσονται πρὸ προσώπου σου.* Τῆς αὐτῆς εἶναι δυνάμεως ὁμολογεῖ καὶ κρίνειν καὶ εὐεργετεῖν· ἅμα γὰρ (50) ἀμφοῖν ἡ ἐξουσία, ἡ κρίσις τοῦ δικαίου διακρίνουσα τὰ ἐναντία, καὶ ὁ αὐτὸς δίκαιος καὶ ἀγαθὸς, ὁ ὄντως Θεός· ὁ ὢν αὐτὸς τὰ πάντα, καὶ τὰ πάντα ὁ (51) αὐτός· ὅτι αὐτὸς Θεὸς, ὁ μόνος Θεός. Ὡς γὰρ τὸ ἔσοπτρον τῷ αἰσχρῷ οὐ κακὸν, ὅτι δεικνύει αὐτὸν οἷός ἐστιν· καὶ ὡς ὁ ἰατρὸς τῷ νοσοῦντι οὐ κακὸς, ὁ τὸν πυρετὸν ἀναγγέλλων αὐτοῦ· οὐ γὰρ αἴτιος τοῦ πυρετοῦ ὁ ἰατρὸς,

A luerunt eligere : et ideo cum eis paulo hic egit crassius, si modo ab eo, quo ad mortem feruntur impetu, aliquo modo eos retardare posset. Dicit itaque per David minarum causam apertissimam : *Non crediderunt in mirabilibus ejus : Quando occidebat ipsos, requirebant ipsum, et convertebantur, et mane ad Deum vigilabant, et recordati sunt, quod Deus est adjutor eorum, et Deus altissimus redemptor eorum est* [a]. Ita cognovit eos converti propter metum, contempsisse autem ejus benignitatem : bonum enim, quod semper est beneficum, plerumque contemnitur : colitur autem, qui benevolo justitiæ metu admonet. Duplex est autem genus metus; quorum alterum quidem est cum pudore conjunctum, quo utuntur cives erga bonos principes, et B nos erga Deum, quemadmodum boni filii erga parentes. *Equus enim*, inquit, *indomitus evadit durus, et filius remissus evadit præceps* [b]. Aliud autem metus genus est cum odio, quo servi utuntur erga dominos difficiles, et Hebræi, **56** qui Deum dominum fecere, non patrem. Multum autem et quidem in totum differt id, quod est spontaneum ac voluntarium, ab eo quod fit per necessitatem, quod ad religionem attinet. *Ipse* enim, inquit, *est misericors, medebitur peccatis eorum, et non perdet, et implebit ut avertat iram suam, et non incendet omnem indignationem suam* [c]. Vide quomodo Pædagogi quod justum est, ostenditur in increpationibus : et Dei quod bonum est, in miserationibus. Quocirca C David, hoc est Spiritus, qui per eum loquitur, utrumque complectens, de eodem Deo psallit : *Justitia et judicium, præparatio sedis tuæ. Misericordia et veritas præcedent ante faciem tuam* [d]. Fatetur esse ejusdem potestatis et judicare et benefacere : simul enim ✠ utrorumque potestas est, judicium justi, quod discernit contraria, et idem justus et bonus, qui est vere Deus : qui est ipse omnia, et omnia ipse : quoniam ipse Deus, qui est solus Deus. Quemadmodum enim speculum non est malum deformi, eo quod ipsum ostendat, qualis sit · et quemadmodum medicus non est ægrotanti malus, quod ei febrem annuntiet : non enim medicus febris causa est, sed febrem indicat : ita nec is, qui reprehendit, ei male vult, qui laborat animo : neD que enim infert ei delicta, sed ea, quæ adsunt, peccata ostendit, ad hoc, ut avertat ab ejusmodi studiis. Quamobrem Deus quidem bonus est pro-

✠ P. 150 ED. POTTER, 127-128 ED. PARIS. [a] Psal. LXVII, 32, 34, 35. [b] Eccli. XXX, 8. [c] Psal LXXVIII, 38. [d] Psal. LXXXIX, 15.

(43) *Βεβουλημένοις*. Βουλομένοις Bod.

(44) *Παχύτερον*. Malim τραχύτερον, *asperius*; ταχύτερον, Bod., Reg.

(45) *Ἐν*. Abest a Bibl. Græc. et Bod. Mox, ἐζήτουν pro ἐξεζήτουν, Bibl. Græc.

(46) *Προαλής*. Hesychius, Προαλὴς, προπετής. Lysis, Pythagoræ sectator προαλλὴς dixit apud Jamblichum *De vita Pythagoræ* cap. 17 : Τοιγαροῦν χαλεποὺς καὶ προαλλεῖς ἀπεργάζονται τοὺς ἀκουστάς. *Unde fit, ut auditores suos feroces et procaces reddunt.*

(47) *Ἑβραῖοι*. Rom. VIII, 15 : Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον· ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν Ἀββᾶ, ὁ πατήρ.

(48) *Τὸ ἑκούσιον*. Absunt hæc verba a Reg., Bod.

(49) *Αὐτός*. Αὐτὸς δέ ἐστιν οἰκτίρμων, καὶ ἱλάσεται ταῖς ἁμαρτίαις αὐτ. Bibl. Græc. Mox, οὐχὶ pro οὐκ, ibid.

(50) *Ἅμα γάρ*. Id est, « Utriusque enim potestas apud eumdem : est judicium, quod a justo discernit contraria; et idem justus bonusque, qui vere Deus est. » Sed aliquid ad complendum sensum deesse videtur.

(51) *Ὁ*. Hæc particula abest a Reg., Bod. Non male.

pter se ipsum, justus autem propter nos, et ideo quia bonus. Quod justum est autem, nobis per suum ipsius Verbum ostendit illinc e superis, unde ipse fuit Pater : priusquam enim esset creator, Deus erat, bonus erat : et propterea et opifex esse et Pater voluit : et illius amoris habitudo ac relatio fuit justitiæ principium, cum et solem suum lucere faceret, et Filium suum mitteret. Isque primus e cœlis bonam annuntiavit justitiam, cum diceret : *Nemo novit Filium nisi Pater, neque Patrem nisi Filius* [a]. Hæc reciproca, quæ ex æquo ponderat cognitio, est antiquæ justitiæ symbolum. Deinde ad homines descendit justitia, et littera et corpore, Verbo et Lege, humanam naturam ad salutarem urgens pœnitentiam : bona enim erat. At Deo non obedis? Ejus rei culpam tibi ascribe, qui judicem attrahas.

A ἀλλὰ ἔλεγχός ἐστι τοῦ πυρετοῦ· οὕτως οὐδὲ ὁ ἐλέγχων δύσνους τῷ κάμνοντι τὴν ψυχήν· οὐ γὰρ ἐντίθησι τὰ πλημμελήματα, τὰ δὲ προσόντα ἐπιδείκνυσιν ἁμαρτήματα, εἰς τὴν τῶν ὁμοίων ἐπιτηδευμάτων ἀποτροπήν. Ὥστε ἀγαθὸς μὲν ὁ Θεὸς δι' ἑαυτὸν, δίκαιος δὲ ἤδη δι' ἡμᾶς· καὶ τοῦτο ὅτι ἀγαθός. Τὸ δίκαιον δὲ ἡμῖν διὰ τοῦ Λόγου ἐνδείκνυται τοῦ ἑαυτοῦ ἐκεῖθεν ἄνωθεν, ὅθεν γέγονε πατήρ· πρὶν γὰρ κτίστην (52) γενέσθαι, Θεὸς ἦν, ἀγαθὸς ἦν· καὶ διὰ τοῦτο καὶ δημιουργὸς εἶναι καὶ πατὴρ ἠθέλησεν· καὶ ἡ τῆς ἀγάπης ἐκείνης σχέσις, δικαιοσύνης γέγονεν ἀρχὴ, καὶ τὸν ἥλιον (53) ἐπιλάμποντος τὸν αὑτοῦ, καὶ τὸν Υἱὸν καταπέμποντος τὸν αὑτοῦ. Καὶ πρῶτος οὗτος τὴν ἐξ οὐρανῶν ἀγαθὴν κατήγγειλε δικαιοσύνην· *Οὐδεὶς* (54) *ἔγνω τὸν Υἱὸν, εἰ μὴ ὁ* B *Πατὴρ*, λέγων, *οὐδὲ τὸν Πατέρα, εἰ μὴ ὁ Υἱός*. Αὕτη ἡ ἀντιταλαντεύουσα (55) γνῶσις ἐπίσης δικαιοσύνης ἀρχαίας σύμβολον. Ἔπειτα δὲ ἐπὶ τοὺς ἀνθρώπους καταβέβηκεν ἡ δικαιοσύνη, καὶ γράμματι καὶ σώματι (56), τῷ Λόγῳ καὶ τῷ νόμῳ, εἰς μετάνοιαν τὴν ἀνθρωπότητα βιαζομένη σωτήριον· ἀγαθὴ γὰρ ἦν. Ἀλλ' οὐχ ὑπακούεις τῷ Θεῷ; Σεαυτὸν αἰτιῶ, τὸν κριτὴν ἐπισπώμενος.

CAP. X.

Quod idem Deus per idem Verbum et a peccatis arceat, minans; et humanæ naturæ salutem det, adhortans.

Si ergo, quæ in astringenda humana natura versatur, administrationem bonam esse et salutarem, et a Verbo necessario assumi ostendimus usque, et ad pœnitentiam, et ad peccatorum prohibitionem, accommodatam fuisse, consideranda deinceps fuerit Verbi mansuetudo et lenitas. Eum enim justum esse ostensum est. Proprias autem exponit sententias, quæ ad salutem hortantur, per quas id, quod honestum est et utile, vult ex paterna voluntate significare. Hæc autem considera : Honestum ✠ quidem est encomiastici : utile vero, suasorii. Enimvero suasorii habitudo quædam, est hortatorium et dehortatorium : encomiastici vero, laudatorium et vituperatorium. Certo enim modo se habens sententia suasoria, efficitur hortatoria, et alio modo dehortatoria. Similiter etiam genus encomiasticum, uno quidem modo se habens, est vituperatorium; alio vero, laudatorium : in quibus maxime versatur justus Pædagogus, qui quod nobis est utile, sibi tanquam scopum proposuit. Verumenimvero genus quidem vituperatorium et dehortatorium nobis prius ostensum est : nunc autem hortatorium et laudatorium rursus nobis aggrediendum est, et tanquam in trutina in æquilibrio

ΚΕΦ. Ι'.

Ὅτι ὁ αὐτὸς Θεὸς διὰ τοῦ αὐτοῦ (57) Λόγου καὶ ἀπείργει τῶν ἁμαρτιῶν, ἀπειλῶν· καὶ σώζει τὴν ἀνθρωπότητα, παρακαλῶν.

Εἰ τοίνυν τὴν περὶ τὸ ἐπιστύφειν τὴν ἀνθρωπότητα οἰκονομίαν, ἀγαθὴν οὖσαν καὶ σωτήριον, ἀναγκαίως ὑπὸ τοῦ Λόγου παραλαμβανομένην ἐπεδείξαμεν, πρός τε μετάνοιαν καὶ πρὸς τῶν ἁμαρτιῶν τὴν κώλυσιν εὔθετον γενομένην· ἑξῆς ἂν εἴη σκοπεῖν τὸ ἤπιον τοῦ Λόγου· δίκαιος γὰρ οὗτος ἀποδέδεικται· καὶ τὰς ἰδίας C παρατίθεται γνώμας, τὰς πρὸς σωτηρίαν παρακλητικάς· δι' ὧν καὶ τὸ καλὸν, καὶ τὸ συμφέρον πατρικῷ θελήματι γνωρίζειν ἡμῖν βούλεται. Σκόπει δὲ ταῦτα· Τὸ μὲν καλὸν τοῦ ἐγκωμιαστικοῦ, τὸ δὲ συμφέρον τοῦ συμβουλευτικοῦ· καὶ γὰρ οὖν τοῦ μὲν συμβουλευτικοῦ σχέσις, τὸ προτρεπτικὸν καὶ ἀποτρεπτικὸν, τοῦ δὲ ἐγκωμιαστικοῦ, ἐπαινετικόν τε καὶ ψεκτικὸν γίνεται. Πῶς γὰρ ἔχουσα ἡ διάνοια ἡ συμβουλευτικὴ, προτρεπτικὴ γίνεται, καὶ πῶς ἔχουσα, ἀποτρεπτική· ὡσαύτως δὲ καὶ τὸ ἐγκωμιαστικὸν, πῶς μὲν ἔχον, ψεκτικὸν γίνεται, πῶς δὲ ἔχον, ἐπαινετικόν· περὶ ἃ καταγίνεται μάλιστα ὁ Παιδαγωγὸς ὁ δίκαιος, ὁ τοῦ ἡμετέρου συμφέροντος ἐστοχασμένος· ἀλλὰ γὰρ τὸ μὲν ψεκτικὸν καὶ ἀποτρεπτικὸν εἶδος ὑποδέδεικται D ἡμῖν ἤδη πρότερον· νῦν δὲ αὖ τὸ προτρεπτικὸν καὶ ἐπαινετικὸν μεταχειριστέον· καὶ καθάπερ ἐπὶ ζυγοῦ τὰς ἰσοστασίους ἀντισηκώσωμεν τοῦ δικαίου πλάστιγγας. Τῇ μὲν οὖν ἐπὶ τὰ συμφέροντα προτροπῇ ὁ

✠ P. 151 ED. POTTER, 128-129 ED. PARIS. [a] Luc. x, 22.

(52) *Κτίστην*. Κτίσιν, *creaturam*. Pal., Reg., Bod.

(53) *Τὸν ἥλιον*. Sol et Christus quodammodo sunt ἀντίστοιχοι, nam quod sol mundo naturali, id mundo λογικῷ præstat Christus; qui proinde *Sol justitiæ, lux mundi*, etc., appellari solet.

(54) *Οὐδεὶς*. Οὐδεὶς γινώσκει τίς ἐστιν ὁ Υἱὸς εἰ μὴ ὁ Πατήρ· καὶ τίς ἐστιν ὁ Πατὴρ εἰ μὴ ὁ Υἱός, apud Lucam.

(55) *Ἀντιταλαντεύουσα*. Conf. quæ superius dicta sunt p. 141, not.

(56) *Γράμματι καὶ σώματι*. Γράμμα vocat Legem Moysis, Paulum sequens, Rom. II, 27, 29; VII, 6, et alibi : Christum autem σῶμα dicit, respiciens Rom. VII, 4 : Ἐθανατώθητε τῷ νόμῳ διὰ τοῦ σώματος τοῦ Χριστοῦ, vel Hebr. x, 5 : Σῶμα δὲ κατηρτίσω μοι, vel alium similem locum. Vel quia Lex tantum σκιά, Christus vero σῶμα esse innuitur, hoc est res per Legis *umbras*, et figuras significata. Coloss. II, 17 : Hebr. x, 1. Sed Lowthius ait : « Pro γράμματι leg. πνεύματι, ut responderet Λόγῳ, prout γράμματι respondet νόμῳ. »

(57) *Αὐτοῦ*. Abest a ms. Pal. SYLBURG.

Παιδαγωγὸς διὰ Σολομῶντος ὧδέ πως χρῆται· *Ἐγὼ ὑμᾶς, ἄνθρωποι* (58), *παρακαλῶ, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων· ἐπακούσατέ μου· σεμνὰ γὰρ ἐρῶ*· καὶ τὰ ἑξῆς. Συμβουλεύει δὲ τὰ σωτήρια· ὅτι ἡ συμβουλὴ πρὸς αἵρεσίν ἐστι καὶ φυγὴν ἐπιτήδειος· καθάπερ ποιεῖ διὰ τοῦ Δαβὶδ, λέγων· *Μακάριος ἀνὴρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν, καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη· καὶ ἐπὶ καθέδραν* (59) *λοιμῶν οὐκ ἐκάθισεν· ἀλλ' ἢ ἐν τῷ νόμῳ Κυρίου τὸ θέλημα αὐτοῦ*. Τῆς δὲ συμβουλίας μέρη τρία· τὸ μὲν, ἐκ τῶν παρεληλυθότων χρόνων λαμβάνον τὰ παραδείγματα· οἷον, τί ἔπαθον οἱ Ἑβραῖοι τῷ χρυσῷ εἰδωλολατρήσαντες ἐν μόσχῳ, καὶ τί ἔπαθον ἐκπορνεύσαντες, καὶ τὰ ὅμοια· τὸ δὲ, ἐκ τῶν παρόντων χρόνων κατανοούμενον, οἷον αἰσθητικῶς καταλαμβανόμενον· ὡς ἐκεῖνο εἴρηται πρὸς τοὺς ἐρομένους τὸν Κύριον, *Εἰ αὐτὸς* (60) *εἴη ὁ Χριστὸς, ἢ ἄλλον περιμένομεν; Ἀπέλθετε, καὶ εἴπατε Ἰωάννῃ· Τυφλοὶ ἀναβλέπουσι· κωφοὶ ἀκούουσι· λεπροὶ καθαρίζονται· ἀνίστανται νεκροί· καὶ μακάριός ἐστιν, ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί*. Τοῦτ' ἄρα ἦν ὃ προφητεύων εἴρηκε Δαβίδ· *Καθὼς* (61) *ἠκούσαμεν, οὕτω καὶ εἴδομεν*. Ἐκ δὲ τῶν μελλόντων τὸ τρίτον συνίσταται μέρος τῆς συμβουλίας, ᾧ τὰ ἀποβησόμενα κελεύει φυλάττεσθαι· καθὸ κἀκεῖνο εἴρηται· *Οἱ δὲ ἁμαρτίαις περιπεσόντες, βληθήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων*, καὶ τὰ παραπλήσια· ὡς ἐκ τούτων εἶναι συμφανὲς, διὰ πάσης θεραπείας χωροῦντα τὸν Κύριον, εἰς σωτηρίαν ἐκκαλεῖσθαι τὴν ἀνθρωπότητα. Τῇ δὲ παραμυθίᾳ, παρηγορεῖ τὰ (62) ἁμαρτήματα, μειῶν μὲν τὴν ἐπιθυμίαν, ἅμα δὲ καὶ ἐλπίδα ἐνδιδοὺς εἰς σωτηρίαν. Φησὶ γὰρ διὰ Ἰεζεκιήλ· *Ἐὰν* (63) *ἐπιστραφῆτε ἐξ ὅλης τῆς καρδίας, καὶ εἴπητε, Πάτερ, ἀκούσομαι ὑμῶν, ὥσπερ λαοῦ ἁγίου*. Καὶ πάλιν λέγει· *Δεῦτε, πάντες, πρός με* (64), *οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς*· καὶ τὰ ἐπὶ τούτοις αὐτοπροσωπεῖ ὁ Κύριος. Σαφέστατα δὲ ἐπὶ τὴν ἀγαθωσύνην καλεῖ διὰ Σολομῶντος, λέγων· *Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν· καὶ θνητὸς, ὃς εὗρε* (65) *φρόνησιν*. Τὸ γὰρ *ἀγαθὸν* (66) *τῷ ζητοῦντι εὑρίσκεται, καὶ ὁρᾶσθαι τῷ εὑρόντι φιλεῖ*. Ναὶ μὴν καὶ διὰ Ἱερεμίου τὴν φρόνησιν ἐξηγεῖται· *Μακάριοί ἐσμεν, Ἰσραὴλ*, λέγων, *ὅτι τὰ ἀρεστὰ τῷ Θεῷ, γνωστὰ ἡμῖν* (67) *ἐστι*. Γνωστὰ δὲ διὰ τοῦ Λόγου, δι' ὃν μακάριοι καὶ φρόνιμοι. Φρό-

« Nolo enim vos fieri participes dæmoniorum, » dicit Apostolus [c]. Eorum enim qui servantur, et eorum qui perierunt, separata sunt nutrimenta. Ab his ergo abstinendum est, non quod ea pertimescamus (non est enim in eis aliqua potentia), sed quod propter nostram conscientiam, quæ sancta est, et propter dæmonum odium, eos nempe, quibus illa sunt dedicata, aversemur : et præterea propter eorum, qui multa procliviter ✠ et lubrice suspicantur, imbecillitatem, « quibus infirma polluitur conscientia : cibus enim nos non commendabit Deo [d]. » « Neque quæ intrant, coinquinant hominem, sed quæ ex ore, » inquit, « exeunt [e]. » Usus ergo naturalis nutrimenti est indifferens : « [f] Neque enim si comedamus, » inquit, « plus habemus : nec si non comedamus, deficimus. » Sed non est consentaneum, ut sint « mensæ dæmoniorum » participes, qui divino ac spiritali nutrimento digni sunt habiti. « An non habemus potestatem comedendi et bibendi [g], » dicit Apostolus, « et mulieres circumducendi [h]? » sed voluptatibus scilicet imperantes, arcemus cupiditates. « Videte » ergo, « ne hæc nostra potestas offensionem afferat imbecillis [i]. » Non oportet ergo nos veluti prodige et profuse viventes, quemad-

« Οὐ γὰρ θέλω (28) ὑμᾶς κοινωνοὺς δαιμονίων γίνεσθαι, » ὁ Ἀπόστολος λέγει· ἐπεὶ δίχα σωζομένων καὶ φθιμένων (29) τροφαί. Ἀφεκτέον τοίνυν τούτων, οὐ δεδιότας (οὐ γάρ ἐστί τις ἐν αὐτοῖς δύναμις)· διὰ δὲ τὴν συνείδησιν τὴν ἡμετέραν, ἁγίαν οὖσαν, καὶ τῶν δαιμονίων διὰ τὴν βδελυρίαν, οἷς ἐπικατωνόμασται, μυσαττομένους· καὶ προσέτι διὰ τὴν τῶν ὀλισθηρῶς τὰ πολλὰ ὑπολαμβανόντων ὑδαρότητα « οἷς ἡ συνείδησις ἀσθενοῦσα (30) μολύνεται· βρῶμα γὰρ ἡμᾶς οὐ παραστήσει τῷ Θεῷ. Οὐδὲ τὰ εἰσιόντα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξιόντα, φησί, τοῦ στόματος. » Ἀδιάφορος ἄρα ἡ φυσικὴ χρῆσις τῆς τροφῆς· « Οὔτε γάρ, ἐὰν φάγω- C μεν, περισσεύομεν, φησίν, οὔτε, ἐὰν μὴ φάγωμεν, ὑστερούμεθα. » Ἀλλ' οὐκ (31) εὔλογον, « τραπέζης δαιμονίων μεταλαμβάνειν » τοὺς θείας μετέχειν καὶ πνευματικῆς κατηξιωμένους τροφῆς. « Μὴ γὰρ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πιεῖν, » φησὶν ὁ Ἀπόστολος, « καὶ γυναῖκας περιάγεσθαι; » ἀλλὰ κρατοῦντες δηλονότι τῶν ἡδονῶν, κωλύομεν τὰς ἐπιθυμίας. Βλέπετε οὖν, μή ποτε (32) ἡ ἐξουσία ἡμῶν αὕτη, « πρόσκομμα γένηται τοῖς ἀσθενέσιν. » Οὐ χρὴ οὖν καθάπερ ἀσωτευομένους ἡμᾶς, κατὰ τὴν ἐν τῷ Εὐαγγελίῳ τοῦ πλουσίου « παιδὸς » εἰκόνα, παραχρῆσθαι τοῖς τοῦ πατρὸς δωρήμασι· χρῆσθαι (33) δὲ αὐτοῖς, ὡς ἀρχον-

✠ P. 169 ED. POTTER, 144 ED. PARIS. [a] Isa. XXII, 13. [b] Eccli. XVIII, 32. [c] I Cor. X, 20. [d] I Cor. VIII, 7, 8. [e] Matth. XV, 11. [f] I Cor. VIII, 8. [g] Ibid. IX, 4. [h] Ibid. 5. [i] I Cor. VIII, 9.

(24) *Ἀποχρίνας*. Hæc vox in Heinsianam, et deinde in reliquas editiones irrepsit. Primæ editiones, et ms. codices exhibent ἐπικρίνας· quæ vera D lectio est. Vult enim Clemens, prophetæ verbis, quæ jam recitavit, « non intelligi eam mortem, quæ nos omni sensu privat; sed aliam, quæ salutis mors, seu privatio, et in pœnam peccati a Deo decreta est. »

(25) *Μὴ εὐφρανθῇς*. Μὴ εὐφραίνου ἐπὶ πολλῇ τρυφῇ Bibl. Græc. Sylburgius ait : Pal. ms. μικρᾷ τρυφῇ, parum apposite. Verumtamen eamdem lectionem præbent Nov., Reg. et Bod.

(26) *Τῶν*. Abest a Reg., Bod.

(27) *Μιαρὰ δοκεῖ μοι*. Μιαρὰ δέ μοι δοκεῖ, Reg. Quæ sequuntur, sumpta sunt ex Homeri *Odyss*. Λ, v. 34 :

Τοὺς δ' ἐπεὶ εὐχωλῇσι λιτῇσί τε ἔθνεα νεκρῶν
Ἐλλισάμην, τὰ δὲ μῆλα λαβὼν ἀπεδειροτόμησα
Ἐς βόθρον, ῥέε δ' αἷμα κελαινεφές· αἱ δ' ἀγέροντο
Ψυχαὶ ὑπ' ἐξ Ἐρέβους [al. *Ἐρέβευς*] *νεκύων*
[*κατατεθνειώτων*.

Hos autem postquam votis precibusque gentes mor-
[*tuorum*
Exoravi, pecora accepta jugulavi
Super fossam : fluebat vero sanguis niger : ipsæ
[*autem congregabantur*
Animæ ex Erebo manium defunctorum.

(28) *Οὐ γὰρ θέλω*. Οὐ θέλω δέ, apud Paulum. Mox, τῶν δαιμόνων. Ibid.

(29) *Φθιμένων*. Φθινομένων Nov.

(30) *Ἀσθενοῦσα*. Ἀσθενὴς οὖσα, apud Paulum. Mox, βρῶμα δὲ ἡμᾶς οὐ παρίστησι, ibid. In iis quæ sequuntur, sensum potius Matthæi, quam verba, exhibet.

(31) *Ἀλλ' οὐκ*. Respicit I Cor. X, 20 : Οὐ δύνασθε τραπέζης Κυρίου μετέχειν, καὶ τραπέζης δαιμονίων.

(32) *Μή ποτε*. Μή πως ἡ ἐξουσία ὑμῶν apud Paulum. Mox, ἀσθενοῦσιν pro ἀσθενέσιν. Ibid.

(33) *Χρῆσθαι*. Hoc est, « imperantium more, sic uti, ut minime iis nosmet addicamus. » Est enim ἀπροσκλινῶς id, quod Clemens alias ἀπροσπαθῶς dixit. Suidas, Ἀπρόσκλιτον, τὸ ἀπροσπαθές. Hicve-

τας, ἀπροσκλινῶς· καὶ γὰρ βασιλεύειν ἐτάχθημεν καὶ κατακυριεύειν, οὐχὶ δουλεύειν τοῖς βρώμασιν. Ἀγαστὸν μὲν οὖν πρὸς τὸ ἀληθὲς ἀναθρήσαντας, τῆς ἄνω τροφῆς ἐξέχεσθαι τῆς θείας, καὶ τῆς τοῦ ὄντως ὄντος ἀπληρώτου ἐμπίμπλασθαι θέας, τῆς βεβαίου, καὶ μονίμου, καὶ καθαρᾶς γευομένους ἡδονῆς. Ταύτην γὰρ τὴν ἀγάπην ἐκδέχεσθαι δεῖν ἐμφαίνει ἡ βρῶσις ἡ Χριστοῦ· κομιδῇ δὲ ἄλογον καὶ ἀχρεῖον καὶ οὐκ ἀνθρώπειον, βοσκημάτων δίκην πιαινόμενον (34), θανάτῳ τρέφεσθαι, κάτω βλέποντας εἰς γῆν, τοὺς ἐκ γῆς (35) ἀεὶ κεκυφότας εἰς τραπέζας· τὴν λίχνον διωκάθοντας ζωὴν, τὸ ἀγαθὸν ἐνταῦθά που κατορύξαντας περὶ τὴν οὐκ ἐσομένην ζωήν· μόνην κολακεύοντας τὴν κατάποσιν, δι' ἣν πολυτιμότεροι γεγόνασι μάγειροι γεωργῶν. Μὴ γὰρ ἀφαιροῦμεν τὴν συμπεριφορὰν (36), ἀλλὰ τὸν ὄλισθον τῆς συνηθείας, ὡς συμφορὰν, ὑποπτεύομεν. Διὸ παραιτητέον τὴν λιχνείαν, ὀλίγων τινῶν καὶ ἀναγκαίων μεταλαμβάνοντας· « καὶ εἴ τις ἡμᾶς (37) καλεῖ τῶν ἀπίστων, καὶ πορεύεσθαι κρίνομεν· » (καλὸν γὰρ μὴ συναναμίγνυσθαι (38) τοῖς ἀτάκτοις), « πᾶν τὸ παρατιθέμενον κελεύει ἡμῖν ἐσθίειν, μηδὲν ἀνακρίνουσι διὰ τὴν συνείδησιν. » Ὁμοίως δὲ καὶ « τὰ ἐκ μακέλλου » ἀπεριέργως « ὠνεῖσθαι » προσέταξεν. Οὐκ ἀφεκτέον οὖν παντελῶς τῶν ποικίλων βρωμάτων, ἀλλ' οὐ περὶ αὐτὰ σπουδαστέον. Μεταληπτέον δὲ τῶν παρατιθεμένων, ὡς πρέπον Χριστιανῷ· τιμῶντας μὲν τὸν κεκληκότα (39), κατὰ τὴν ἀβλαβῆ καὶ ἀπροσκορῆ τῆς συνουσίας κοινωνίαν, ἀδιάφορον δὲ ἡγουμένους τῶν εἰσκομιζομένων τὴν πολυτέλειαν, καταφρονοῦντας τῶν ὄψων, ὡς μετ' ὀλίγον οὐκ ὄντων· « Ὁ ἐσθίων τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω· ὁ δὲ (40) μὴ ἐσθίων τὸν ἐσθίοντα μὴ κρινέτω. » Μικρὸν δὲ ὑποβὰς, καὶ τὴν αἰτίαν τῆς παραγγελίας ἐξηγήσεται· « Ὁ ἐσθίων, λέγων, Κυρίῳ ἐσθίει, καὶ εὐχαριστεῖ (41) τῷ Θεῷ· » καὶ ὁ μὴ ἐσθίων Κυρίῳ οὐκ ἐσθίει, καὶ εὐχαριστεῖ τῷ Θεῷ· ὡς εἶναι τὴν δικαίαν τροφὴν εὐχαριστίαν. Καὶ ὅ γε ἀεὶ εὐχαριστῶν οὐκ ἀσχολεῖται περὶ ἡδονάς. Εἰ δὲ καὶ προτρεποίμεθα ἐπ' ἀρετῇ τῶν συνεστιωμένων τινὰς, ταύτῃ πλέον ἀφεκτέον τῶν λίχνων τούτων βρωμάτων, ἐναργὲς ὑπόδειγμα ἀρετῆς σφᾶς αὐτοὺς παριστάντας, ὡς Χριστὸν ἐσχήκαμεν ἑαυτοί. « Εἰ γάρ τι τῶν τοιούτων βρωμάτων σκανδαλίζει τὸν ἀδελφὸν, οὐ μὴ

A modum est in Evangelio similitudo « filii [a] » divitis, abuti donis patris, sed eis uti, ut qui ipsis constanter imperemus: ut in cibos enim regnum et dominatum obtineamus, non ut eis serviamus, ordinati fuimus. Res est ergo præclara et maxime expetenda, sublatis ad veritatem oculis, divino illi, qui in alto est, adhærere cibo, et ejus, qui revera est, inexhausta implere semet contemplatione, firmam, stabilem et puram gustantes voluptatem. Hanc enim agapen oportere nos suscipere ostendit cibus Christi. Est autem valde a ratione alienum et inutile, et nequaquam humanum, pecudum more saginatum, morti nutriri, deorsum in terram respicientes, et e terra semper in mensas procumbentes, gulæ deditam vitam persequentes, id quod B bonum est, hic utique in vita, quæ mox non est futura, infodientes, soli cibi devorationi blandientes, propter quam in majori pretio sunt coqui quam agricolæ. Non enim ferculorum apparatum tollimus, sed consuetudinis prolapsionem, tanquam calamitatem, suspectam habemus. Quocirca vitandus est luxus, pauca quædam, et quæ sunt necessaria, sumentibus, et « si quis nos invitat infidelium, et accedere statuamus » (bonum est enim cum insolentibus hominibus non versari), « quidquid apponitur, jubet nos comedere, nihil interrogantes propter conscientiam [b]. » Similiter autem jussit nos « ea, quæ sunt in macello [c], » ✠ citra ullum scrupulum ullamve curiosam indagationem « emere. » Non est ergo penitus a variis C cibis abstinendum, sed in eis non est studium ponendum. Ea autem, quæ apponuntur, sumere debemus, ut decet Christianum, eum quidem, qui nos invitavit, honorantes, per innoxiam, et quæ satietatem non afferat, congressionis societatem; sumptuosas, quæ inferuntur, dapes **63** indifferentes esse existimantes; obsonia despicientes, ut quæ paulo post non sint futura. « Qui comedit, eum qui non comedit, non spernat. Qui autem non comedit, eum, qui comedit, non judicet [d]. » Paulum autem progressus, præcepti quoque causam exponit: « Qui comedit, inquiens, Domino comedit, et Deo agit gratias; et qui non comedit, Domino non comedit, et Deo agit gratias [e]: » ut sit justum nu-

✠ P. 170 ED. POTTER, 145 ED. PARIS. [a] Luc. xv, 11. [b] I Cor. x, 27. [c] Ibid. 25. [d] Rom. xiv, 3. [e] Ibid. 6.

tus perperam vertit, ac si hæc conjuncta essent, ὡς ἄρχοντας ἀπροσκλινῶς.

(34) *Πιαινόμενον*. In Reg. super ultimam syllabam hujus vocis aliquis scripsit ους, ut legatur πιαινομένους. Nam in sequentibus periochis Clemens plurali numero usus est. Θανάτῳ τρέφεσθαι quid significet, vide in *Protrept.* p. 23, not.

(35) *Τοὺς ἐκ γ.* Malim τὰς ἐκ γῆς· ut sensus sit, « in mensas terrestres semper pronos. » Nam dapes terrestres sæpe opponit τῇ ἄνω τροφῇ. Nisi ad præcedentia hoc referri debeat.

(36) *Συμπεριφοράν*. Eam Cicero II *De legib.* « circumpotationem » vocat, et vetus Lexicon τὴν ἐν κύκλῳ φορὰν τοῦ κύλικος, καὶ πόσιν, non ut vertit is, qui *Antiquitates conjug.* collegit, et hunc locum citans lib. III, cap. 3, eam esse putat divisionem par- D tium, quam Xenophon περιφοράν appellat· non enim idem περιφορά et συμπεριφορά. COLLECT. — Conf. *Archeologiæ Græcæ* lib. IV, c. 20. Verum, cum de cibo esset sermo, cur συμπεριφορᾶς mentio injecta est? Scilicet ut luderet in similibus vocibus συμπεριφορά et συμφορά. Itaque Hervetus συμπεριφοράν perperam vertit « ferculorum apparatum: » quod tamen a scopo auctoris non est penitus alienum.

(37) *Ἡμᾶς*. Ὑμᾶς Nov. perperam: licet id exstet apud Paulum. Clemens enim personam mutavit.

(38) *Συναναμίγνυσθαι*. Respicit I Corinth. v, 9, 11, vel potius II Thess. III, 6, 11, 14.

(39) *Κεκληκότα*. Βεβληκότα Reg.

(40) *Ὁ δέ*. Καὶ ὁ apud Paulum.

(41) *Καὶ εὐχαριστεῖ*. Εὐχαριστεῖ γὰρ apud Pau-

trimentum, gratiarum actio. Porro autem qui semper agit gratias, is in voluptatibus non versatur. Quod si etiam ad virtutem e convivis aliquot hortari velimus, eo magis a lautis et delicatis his cibis abstinendum est, evidens virtutis exemplar nos ipsos exhibentes, sicut ipsi Christum exemplar habuimus. « Si quid enim ejusmodi ciborum fratrem offendit, non comedam hoc, inquit, in æternum, ne fratrem meum offendam [a]. » Exigua continentia hominem lucrifacio. « An non habemus potestatem comedendi et bibendi [b]? » Et veritatem « cognovimus, inquit, quod nihil sit simulacrorum in mundo, sed solus revera et unus noster Deus, ex quo omnia, et unus Dominus Jesus. Sed tua, inquit, cognitione perit frater imbecillis, propter quem Christus mortuus est. Qui autem imbecillium fratrum conscientiam verberant, in Christum peccant [c]. » Hac quidem certe ratione Apostolus nobis cavens, cœnas discernit : non « commisceri » jubens, « si quis frater inveniatur, qui dicitur esse fornicator, vel adulter, vel idololatra, cum eo ne comedere quidem [d], » nec sermonem, nec obsonium; quod illinc procedit metuens inquinamentum, quemadmodum etiam mensas dæmoniorum. « Bonum ergo esse nec carnem comedere, nec vinum bibere [e], » et ipse fatetur, et Pythagorici : hoc enim est potius ferarum; et quæ ex eis ascendit exhalatio, cum sit crassior et turbidior, ✠ offundit animæ tenebras. Quod si quis ea quoque sumat, non peccat, modo ea moderate sumat, non eis nimium deditus, neque ab eis pendens, neque obsoniis inhians. Ei enim vox insusurrabit, dicens : « Ne cibi gratia dissolve opus Dei [f]. » Est enim insipientis ea, quæ vulgaribus epulis apponuntur, valde mirari ac stupere, postquam quæ ex Verbo percipiuntur delicias senseris; multo est autem insipientius, ut oculi serviant ferculis; quo fit ut eorum intemperantia una cum his quodammodo circumferatur a ministris. Quomodo autem non est inutile sedibus insurgere, propemodum faciem in ollas injicientes, e sedibus tanquam e nido prospicientes, ut quod vulgo dicitur, « vaporem errantem

A φάγω, φησὶ, τοῦτο εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω. » Ὀλίγης ἐγκρατείας κερδαίνω τὸν ἄνθρωπον. « Μὴ γὰρ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πιεῖν; » Καὶ τὴν ἀλήθειαν « ἐπεγνώκαμεν, φησὶν, ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ, ἀλλὰ μόνος ὄντως ἐστὶν εἷς ἡμῶν Θεὸς, ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ἰησοῦς. Ἀλλὰ ἀπόλλυται, φησὶ, τῇ σῇ γνώσει ὁ ἀδελφὸς ἀσθενῶν, δι' ὃν Χριστὸς ἀπέθανεν. Οἱ δὲ τὴν συνείδησιν τύπτοντες τῶν ἀσθενούντων ἀδελφῶν εἰς Χριστὸν ἁμαρτάνουσιν. » Ταύτῃ τοι ὁ Ἀπόστολος, εὐλαβούμενος περὶ ἡμῶν, τὰ δεῖπνα διακρίνει, μὴ « συναναμίγνυσθαι » φάσκων, « εἴ τις ἀδελφὸς λεγόμενος, εὑρίσκοιτο πόρνος, ἢ μοιχὸς, ἢ εἰδωλολάτρης, τούτῳ μηδὲ (42) συνεσθίειν, » ἢ τὸν λόγον, ἢ τὸ ὄψον, ὑποπτεύων
B τὸν μολυσμὸν τὸν ἐντεῦθεν, καθάπερ καὶ τῶν δαιμονίων τὰς τραπέζας. « Καλὸν μὲν οὖν τὸ μὴ φαγεῖν κρέα, μηδὲ οἶνον πιεῖν, » αὐτός τε ὁμολογεῖ, καὶ οἱ ἀπὸ τοῦ Πυθαγόρου (43)· θηρίον (44) γὰρ μᾶλλον τοῦτό γε· καὶ ἡ ἀπ' αὐτῶν ἀναθυμίασις, θολωδεστέρα οὖσα, ἐπισκοτεῖ τῇ ψυχῇ. Εἰ δέ τις (45) καὶ τούτων μεταλαμβάνει, οὐχ ἁμαρτάνει· μόνον ἐγκρατῶς μετεχέτω, μὴ ἐξεχόμενος, μηδὲ ἀπηρτημένος αὐτῶν, μηδὲ ἐπιλαιμαργῶν τῷ ὄψῳ· ὑπηχήσει γὰρ αὐτῷ φωνὴ, « Μὴ ἕνεκεν βρώματος κατάλυε τὸ ἔργον τοῦ Θεοῦ, » λέγουσα. Ἀνοήτου γὰρ σφόδρα θαυμάζειν καὶ τεθηπέναι τὰ παρατιθέμενα ταῖς δημώδεσιν ἑστιάσεσι, μετὰ τὴν ἐν Λόγῳ τρυφήν· πολλῷ δέ ἐστιν ἀνοητότερον τὰς ὄψεις τοῖς προσοψήμασι δεδουλωκέναι,
C συμμεταφερομένης αὐτῶν, ὡς εἰπεῖν, τῆς ἀκρασίας πρὸς τῶν διακόνων. Πῶς δὲ οὐκ ἀχρεῖον τὸ ἐπανίστασθαι ταῖς κλισίαις, μονονουχὶ τὸ πρόσωπον ταῖς λοπάσιν ἐπιῤῥιπτοῦντας, καθάπερ ἐκ νεοττιᾶς, τῆς κλισίας προκύπτοντας, τὸ δὴ θρυλλούμενον τοῦτο, « ἵνα πλανωμένην λάβωσι τὴν ἀτμίδα διὰ τῆς ἀναπνοῆς; » Πῶς δὲ οὐκ ἄλογον, τὰς χεῖρας ἐπεμφύρειν τοῖς ἡδύσμασιν, ἢ συνεχὲς ἐπὶ τοὔψον ἐκτείνειν, οὐκ ἀπογευομένων, ἀλλ' ἀφαρπαζόντων δίκην, ἀμέτρως καὶ ἀσχημόνως ἐμφορουμένους; Ἔστι γὰρ ὁρᾷν τοὺς τοιούτους ὑσὶν ἢ κυσὶ διὰ τὴν λαβρότητα μᾶλλον ἢ ἀνθρώποις ὡμοιωμένους, τοὺς χορτάζεσθαι σπεύδοντας, ὡς καὶ γνάθους ἅμα ἄμφω ἐξογκοῦσθαι, τῶν περὶ

✠ P. 171 ED. POTTER, 146 ED. PARIS. [a] I Cor. VIII, 13. [b] Ibid. IX, 4. [c] Ibid. VIII, 6, 11, 12. [d] Ibid. V, 11. [e] Rom. XIV, 21. [f] Rom. XIV, 20.

lum. Porro in iis, quæ paulo post sequuntur, Scripturæ sensum, mutatis quandoque verbis, exhibet.

(42) Μηδέ. Pal. ms. μή. SYLBURG. Item Reg.

(43) Πυθαγόρου. De Pythagoreorum abstinentia hos versus ex Alexidis *Tarentinis* adduxit Athenæus lib. IV, c. 17:

Οἱ Πυθαγορίζοντες γὰρ, ὡς ἀκούομεν,
Οὔτ' ὄψον ἐσθίουσιν, οὔτ' ἄλλ' οὐδὲ ἓν
Ἔμψυχον, οἶνόν τ' οὐχὶ πίνουσι μόνοι.

Pythagoræ disciputi, ut fama est,
Nec opsonio vescuntur, nec alio quod sit
Animatum, nec vinum soli bibunt.

Et paulo post hæc ex eodem poeta addit de iisdem :

.... Τὰ δὲ καθ' ἡμέραν τάδε·
Ἄρτος καθαρὸς εἷς ἑκατέρῳ, ποτήριον
Ὕδατος, τοσαῦτα ταῦτα. B. Δεσμωτηρίου
Λέγεις δίαιταν. A. Πάντες οὗτοι γ' οἱ σοφοὶ
Διάγουσι, καὶ κακοπαθοῦσί που.

D *.... at pro quotidiano victu hæc sunt :*
Panis unus singulis purus, et aquæ
Poculum, et nihil amplius. B. Carceris
Vitam narras. A. Sic omnes vitam degunt
Isti sapientes, ærumnasque sane has tolerant.

Alii referunt, Pythagoreos noctu saltem vinum bibisse, nec omnibus animatis abstinuisse. Conf. Athenæus lib. X, cap. 4; Jamblichus *De vita Pythagoræ*, cap. 21; Diogenes Laertius lib. VIII, seg. 19, 20.

(44) Θηρίον. Genitivo casu legendum θηρίου, vel plurali num. θηρίων. SYLBURG. — Θηρίων habet Nov., quæ proinde vera lectio esse videtur. Hujus porro sententiæ maxima pars excidit e Nov. His similia vide apud Plutarchum lib. *Περὶ Σαρκοφαγίας*. Conf. etiam quæ Clemens dicit infra, *Strom.* VII, p. 717.

(45) Εἰ δέ τις. Imitatur Pauli dictum, quod exstat I Cor. VII, 36, 39: Εἰ δέ τις ἀσχημονεῖν ἐπὶ τὴν παρθένον αὐτοῦ νομίζει ... ὃ θέλει, ποιείτω, οὐχ ἁμαρτάνει . . . μόνον ἐν Κυρίῳ.

τὸ πρόσωπον ἀγγείων προσεπαιρομένων (45*)· πρὸς δὲ καὶ ἱδρῶτα περιχεῖσθαι τῇ ἀπληστίᾳ συνεχομένων καὶ ἀσθμαινόντων ὑπὸ ἀκρασίας, ὠθουμένης κατ' ἔπειξιν (46) ἀκοινώνητον εἰς κοιλίαν τῆς τροφῆς, ὥσπερ εἰς ἐφόδιον, οὐκ εἰς ἀνάδοσιν, ἀποτιθεμένων τὰ ἐδέσματα. Πανταχῇ (47) δὲ κακὸν οὖσα ἡ ἀμετρία, περὶ τὰς τροφὰς μάλιστα διελέγχεται. Ἡ γοῦν ὀψοφαγία (48) οὐδὲν ἕτερόν ἐστιν ἢ ἀμετρία περὶ χρῆσιν ὄψου· καὶ ἡ λαιμαργία (49) μανία περὶ τὸν λαιμόν· καὶ ἡ γαστριμαργία ἀκρασία περὶ τὴν τροφήν· ὡς δὲ καὶ τοὔνομα περιέχει, μανία ἐπὶ γαστέρα· ἐπεὶ μάργος ὁ μεμηνώς. Τοὺς ἐπὶ ἑστιάσεως οὖν μελετῶντας ἀδικεῖν ὁ Ἀπόστολος ἀνακρούων, λέγει· « Ἕκαστος γὰρ τὸ ἴδιον δεῖπνον προλαμβάνει ἐν τῷ φαγεῖν· καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει. Μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; ἢ τῆς Ἐκκλησίας τοῦ Θεοῦ καταφρονεῖτε, καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας; » Παρὰ δὲ τοῖς ἔχουσιν οἱ ἀνέδην ἐσθίοντες, οἱ ἄπληστοι, ἑαυτοὺς καταισχύνουσιν· ἄμφω δὲ πράττουσι κακῶς· οἱ μὲν, τοὺς μὴ ἔχοντας βεβαρηκότες, οἱ δὲ, τὴν ἀκρασίαν τὴν σφων παρὰ τοῖς ἔχουσι γεγυμνωκότες. Ἀναγκαίως ἄρα πρὸς τοὺς ἀπηρυθριακότας, καὶ τοῖς δείπνοις ἀφειδέστερον παρακεχρωμένους, τοὺς ἀκορέστους, οἷς μηδὲν ἱκανὸν, ἀποταθεὶς ὁ Ἀπόστολος, πάλιν ἐκ δευτέρου ἔῤῥηξε φωνὴν ἀγανακτικήν· « Ὥστε, ἀδελφοί μου, συνερχόμενοι εἰς τὸ φαγεῖν, ἀλλήλους ἐκδέχεσθε. Εἰ δέ τις πεινᾷ, ἐν οἴκῳ ἐσθιέτω, ἵνα μὴ εἰς κρῖμα συνέρχησθε. » Ἀφεκτέον οὖν δουλοπρεπείας (50) ἁπάσης καὶ ἀκρασίας, τῶν παρατιθεμένων κοσμίως ἐφαπτομένοις, ἀμόλυντον καὶ τὴν χεῖρα καὶ τὴν στρωμνὴν (51) καὶ τὸ γένειον φυλάττουσι, τὸ εὐσχῆμον τοῦ προσώπου διατηροῦσιν ἀδιάστροφον, οὐκ ἀσχημονοῦσιν οὐδὲ περὶ τὴν κατάποσιν· ἀλλὰ τὴν μὲν χεῖρα μετὰ τάξεως ἐκ διαστημάτων ἐκτατέον. Παραφυλακτέον γὰρ (52) καὶ τὸ φθέγγεσθαι ὁτιοῦν ἐσθίοντα ἅμα· ἀπρεπὴς γὰρ καὶ ἄσημος ἡ φωνὴ γίνεται, πλήρεσι τοῖς γνάθοις στενο-

A excipiant per respirationem? » Quomodo autem non est a ratione alienum, manus condimentis immiscere, vel perpetuo ad obsonium extendere, non gustantium ritu, sed rapientium, immoderate et indecore se implentes? Videre enim est eos, qui sunt ejusmodi, suibus vel canibus propter voracitatem assimilari, potius quam hominibus: qui adeo festinant ut saturentur, ut ambæ maxillæ simul inflentur, elatis vasis, quæ sunt in facie: quinetiam sudor præterea diffundatur, dum propter insatiabilitatem arcte comprimuntur, et propter intemperantiam anhelant, festinatione indecora, et ab honesta consuetudine aliena, intruso in ventrem nutrimento, tanquam ad viaticum, non ad digestionem edulia reponant. Atque cum semper malum sit transire B modum, tum in nutrimentis maxime reprobatur. Ingluvies itaque, quæ Græce ὀψοφαγία dicitur, nihil est aliud quam in « obsonii » usu modi transgressio. Dicitur etiam λαιμαργία, quæ quidem est circa « guttur insania; » et γαστριμαργία, quæ est in alimento intemperantia, et, ut ipsum nomen indicat, in « ventrem insania. » Insanus enim Græce μάργος dicitur. Eos itaque qui in epulis male se gerebant, Apostolus increpans, dicit: « Unusquisque enim propriam cœnam præoccupat in comedendo: et alius quidem esurit, alius vero est ebrius. Annon domos habetis ad comedendum et bibendum? aut Dei Ecclesiam contemnitis, et pudore afficitis eos qui non habent[a]? » Apud eos autem qui habent, C qui citra ullum pudorem comedunt, qui ✠ insatiabiles sunt, seipsos dedecore afficiunt. Ambo autem male faciunt: hi quidem, dum eos qui non habent, gravant; illi vero, dum suam intemperantiam apud eos qui habent, aperiunt. Necessario ergo adversus eos qui pudorem exuerunt, et qui cœnis immoderate utebantur, insatiabiles, quibus nihil sufficit, secundo rursus Apostolus in vocem erupit indignantem:

✠ P. 172 ED. POTTER, 146-147 ED. PARIS.

[a] I Cor. xi, 21, 22.

(45*) *Τῶν π. τὸ προσ. ἀγγ. προσεπαιρομένων*. Vertit interpres, *elatis vasis quæ sunt in facie;* vertere debuisset, ni fallor, *tumentibus etiam circum faciem venis*. EDIT. PATROL.

(46) *Κατ' ἔπειξιν*. Vulg. edit. et Pal. ms. κατέπειξιν, conjuncte: nostram disparationem probat etiam A. SYLBURGIUS.

(47) *Πανταχῇ*. Paria recitat e Musonio Stobæus, serm. 18, pag. 166: Καὶ ὀψοφαγία δὲ οὐδὲν ἕτερόν ἐστιν ἢ ἀμετρία περὶ ὄψου· πανταχοῦ δὲ κακὸν οὖσα ἡ ἀμετρία, ἐν τοῖς μάλιστα τῇδε τὴν ἑαυτῆς ἐπιδείκνυται φύσιν, παρεχομένη τοὺς ὀψοφάγους ἀντὶ ἀνθρώπων ὑσὶν ἢ κυσὶν ὡμοιωμένους τὴν λαβρότητα, καὶ εὐσχημονεῖν μὴ δυναμένους, οὐ ταῖς χερσὶν, οὐ τοῖς ὄμμασιν οὐ τῇ καταπόσει. « Liguritio, quam Græci ὀψοφαγίαν vocant, est immoderatio circa usum obsoniorum. Porro cum modi excessus nulla non in re vitiosus sit, hac parte profecto maxime naturam suam prodit, liguritores ex hominibus in sues aut canes quoad ingluviem transformans, omnis honestatis in gestibus, visu, esuque oblitos. »

(48) *Ὀψοφαγία*. Plutarchus *Sympos.* IV, probl. 4: Καὶ γὰρ ὀψοφάγους καὶ φιλόψους λέγομεν οὐχὶ τοὺς βοείοις χαίροντας, ἀλλὰ τοὺς περὶ τὰ ἰχθυοπώλια ἀναδιδόντας. Apud Xenophontem lib. III *De dictis et factis Socratis*, dicuntur ὀψοφάγοι non modo, qui marina amant obsonia, sed etiam qui modico pane, multo obsonio utuntur, et ii qui amant sine pane obsonia comedere. COLLECT.

(49) *Λαιμαργία*. Hesychius: Λαίμαργος, φάγος, ἄπληστος, ἐπὶ τὸ φαγεῖν μανιώδης. Idem: Γαστρίμαργοι, τῇ κοιλίᾳ μαινόμενοι, ἀκρατεῖς, ἄπληστοι, πολυφάγοι. Idem: Μάργος, μαινόμενος.

(50) *Δουλοπρεπείας*. Hac voce notat illiberalem ac fœdam ciborum ingurgitationem. Porro iis, quæ D hic sequuntur, paria dicit Musonius paulo ante memoratus, apud Strobæum, serm. 18, p. 166: Καὶ μὴν καθ' ἑκάστην προσφορὰν τροφῆς, οὐχ εἷς κίνδυνος ἁμαρτήματος, ἀλλὰ πλείονες, καὶ γὰρ ὁ παρὰ πλέον ἢ δεῖ ἐσθίων, ἁμαρτάνει, καὶ ὁ κατασπεύδων ἐν τῷ ἐσθίειν, οὐδὲν ἧττον· καὶ ὁ μολυνόμενος ὑπὸ τοῦ ὄψου μᾶλλον ἢ χρή· καὶ ὁ τὰ ἡδίω τῶν ὑγιεινοτέρων προτιμῶν· καὶ ὁ μὴ νέμων τὰ ἴσα τοῖς συνεσθίουσιν. « Præterea quoties cibum sumimus, multis peccandi modis occasio datur. Nam et qui nimium edit, peccat; et qui festinantius, nihilo minus; et qui obsonio ultra decorum se inquinat, et qui suaviora salubrioribus ante ponit, et qui sodalibus æquam partem non relinquit. »

(51) *Στρωμνήν*. Ad hunc locum aliquis in margine Reg. et Bod. hoc scholium adnotavit: Ἐκ τούτου δῆλον, ὡς οἱ παλαιοὶ ἐπὶ στιβάδων εὐωχοῦντο ἀνακείμενοι· ὃ ἐπὶ τῶν ιθ' ἀκουβίτων διατηρεῖται μόνον.

(52) *Παραφυλακτέον γάρ*. Fortasse convenientius, παραφυλακτέον δέ. SYLBURG.

« Quamobrem, fratres mei, convenientes ad comedendum, alter alterum exspectate. Si quis autem esurit, domi comedat, ne in judicium conveniatis [a]. » Ab omni ergo servili et illiberali actione et intemperantia abstinendum est, quæ apponuntur honeste attingendo, tum manum et lectum et barbam servando impolluta, faciei decorem immobilem custodiendo, nec inter comedendum se indecore gerendo, sed manum quidem ordinate certis intervallis adhibitis porrigendo. Est etiam cavendum, ne inter comedendum loquaris. **64** Fit enim vox indecora, et non satis expressa, ut quæ plenis maxillis in angustum coercetur : et lingua, quæ nutrimento premitur, a naturali operatione præpedita, obscuram et quasi oppressam edit vocem. Sed nec simul edere et bibere convenit; est enim maximæ intemperantiæ tempora confundere, quorum usus non simul conveniunt. Et, « sive comeditis, inquit, sive bibitis, omnia in gloriam Dei facite [b], » ad veram frugalitatem collimantes : quam mihi Dominus quoque videtur significasse, cum « panes » benedixit et « assos pisces, » cum quibus suos discipulos convivio excepit, cibi minime exquisiti pulchrum exemplar inducens. Ille itaque piscis [c], quem, cum jussisset Dominus, Petrus cepit, ipse quoque facile, divinitus donatum frugaleque ac moderatum alimentum significat. Per eos autem, qui ex aqua ascendunt ad escam justitiæ, monet auferre luxuriam et avaritiam tanquam a pisce numisma; ut ableget vanam gloriam, et dato statere publicanis, « redditis Cæsari quæ sunt Cæsaris, Deo » servet « quæ Dei sunt [d]. » Habet autem stater alias quoque solutiones, quæ minime ignorantur : sed ea tractare non est hujus temporis; sufficit autem nuda mentio qua ad præsens institutum utimur, cum a Verbi floribus minime sit aliena : atque idem jam sæpe fecimus, ad eam, de qua agitur, ✠ quæstionem fontem longe utilissimum attrahentes, ut irrigentur, quæ a Verbo plantata sunt. Etsi omnium « mihi licet esse particeps, non omnia tamen expediunt [e]; » cito enim adducuntur, ut ea faciant quæ non licet, qui faciunt omnia quæ licet. Quemadmodum autem non acquiritur justitia per avaritiam, neque temperantia per intemperantiam : ita nec victus

A χωρουμένη· καὶ ἡ γλῶσσα τῇ τροφῇ πιεζομένη τῆς κατὰ φύσιν ἐνεργείας παραποδισθεῖσα, τὴν προφορὰν ἐκδίδωσι τεθλιμμένην. Ἀλλ' οὐδὲ ἐσθίειν ἅμα καὶ πίνειν καθήκει· ἀκρασίας γὰρ τῆς μεγίστης συγχεῖν τοὺς καιροὺς, ὧν αἱ χρήσεις ἀσύμφωνοι. Καὶ, « Εἴτε ἐσθίετε, φησὶν, εἴτε πίνετε (53), πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε, » στοχαζόμενοι τῆς ἀληθοῦς εὐτελείας· ἥν μοι δοκεῖ καὶ ὁ Κύριος αἰνίξασθαι, « τοὺς ἄρτους εὐλογήσας (54) καὶ τοὺς ἰχθύας τοὺς ὀπτοὺς, » οἷς κατευώχησε τοὺς μαθητὰς, τῆς ἀπεριέργου τροφῆς καλὸν εἰσηγούμενος ὑπόδειγμα. Ὁ γοῦν ἰχθὺς ἐκεῖνος, ὃν κελεύσαντος τοῦ Κυρίου, ὁ Πέτρος εἷλεν, εὔκολον καὶ αὐτὸς καὶ θεοδώρητον καὶ σώφρονα αἰνίττεται τροφήν· ἀφαιρεῖν γέ τοι (55) ὑποτίθεται διὰ τῶν ἐξ ὕδατος ἀνιόντων ἐπὶ τὸ τῆς δικαιοσύνης δέ-
B λεαρ τὴν ἀσωτίαν καὶ τὴν φιλαργυρίαν, ὡς τὸ νόμισμα τοῦ ἰχθύος· ἵνα χωρίσῃ τὴν κενοδοξίαν, καὶ τὸν στατῆρα τοῖς τελώναις δοὺς, « τὰ Καίσαρος ἀποδοὺς τῷ Καίσαρι, » φυλάξῃ (56) « τὰ τοῦ Θεοῦ τῷ Θεῷ. » Ἔχει (57) δὲ καὶ ἄλλας ἐπιλύσεις οὐκ ἀγνοουμένας ὁ στατήρ· ἀλλ' οὐχ ὁ παρὼν (58) ἐπιτήδειος τῆς ἐξεργασίας καιρός. Ἀπόχρη δὲ ὑπόμνησις, συγχρωμένων ἡμῶν εἰς τὸ προκείμενον, οὐκ ἀπᾴδουσα τοῦ Λόγου τοῖς ἄνθεσιν (59)· ὅπερ ἤδη πολλάκις πεποιήκαμεν, πρὸς τὸ κατεπεῖγον τοῦ ζητήματος τὴν πολυωφελῆ περιέλκοντες εἰς ἀρδείαν τῶν φυτευομένων ὑπὸ τοῦ Λόγου πηγήν (60). « Καὶ γὰρ εἰ πάντων μεταλαμβάνειν ἔξεστί μοι, ἀλλ' οὐ πάντα συμφέρει· » ταχὺ (61) γὰρ καταπίπτουσιν ἐπὶ τὸ δρᾷν τὸ μὴ ἐξὸν οἱ πάντα δρῶντες ἃ
C ἐξόν. Ὡς δὲ ἡ δικαιοσύνη διὰ πλεονεξίας οὐ περιγίνεται, οὐδὲ ἡ σωφροσύνη δι' ἀκολασίας· οὕτως οὐδὲ ἡ τοῦ Χριστιανοῦ δίαιτα ἡδυπαθείᾳ περικτᾶται· πόῤῥω γάρ ἐστι τῶν πασχητιώντων ἐδεσμάτων ἡ τράπεζα τῆς ἀληθείας. Εἰ γὰρ καὶ μάλιστα ἕνεκεν τῶν ἀνθρώπων ἐγένετο τὰ πάντα, ἀλλ' οὐ πᾶσι χρῆσθαι καλὸν, ἀλλ' οὐδὲ ἀεί· καὶ γὰρ καὶ (62) ὁ καιρὸς, καὶ ὁ χρόνος, καὶ ὁ τρόπος, καὶ τὸ πρός τι, οὐκ ὀλίγην τῷ παιδαγωγουμένῳ πρὸς τὸ λυσιτελὲς ἐνδίδωσι ῥοπήν· καὶ τό γέ (63) ἐστιν ἐπιτήδειον, καὶ ἰσχὺν ἔχει καταργῆσαι τὸν ἐπιγάστριον βίον· ᾧ πλοῦτός ἐστιν ἐκκλητικὸς (64), οὐ βλέπων (65) ὀξὺ, ἀλλ' ἡ τυφλώττουσα περὶ τὴν γαστριμαργίαν περιου-
D σία. Οὐδεὶς δέ ἐστι πένης εἰς τὰ ἀναγκαῖα, οὐδὲ πε-

✠ P. 173 ED. POTTER, 147-148 ED. PARIS. [a] I Cor. XI, 33, 34. [b] Ibid. X, 31. [c] Matth. XVII, 26. [d] Ibid. XXII, 21. [e] I Cor. X, 23.

(53) *Πίνετε*. Εἴτε τι ποιεῖτε addit Paulus.

(54) *Εὐλογήσας*. Mentio fit ἰχθύος ὀπτοῦ, Luc. XXIV, 42, et ὀψαρίου ἐπικειμένου ἀνθρακιᾷ, Joan. XXI, 9; sed neutro loco memoratur ἡ εὐλογία. Vicissim alibi memorantur pisces, quos ηὐλόγησε Christus, Matth. XIV, 19; XV, 36; sed ibi τοῦ ὀπτοῦ nulla mentio est. Clemens diversa loca commiscuisse videtur.

(55) *Ἀφαιρεῖν γέ τοι*. Ἀφαιρεῖν δέ τοι, Pal. ms. SYLBURG.

(56) *Φυλάξῃ*. Φυλάξει Nov.

(57) *Ἔχει*. Ἔχοι Nov. non male. Porro ἐπιλύσεις vocat interpretationes allegoricas.

(58) *Οὐχ ὁ παρών*. Οὐ παρὼν Nov.

(59) *Ἄνθεσιν*. In marg. Reg. et Bod. aliquis hoc scholium adnotavit : Ἀνθέων ἐμνήσθη οὐκ ἀκαίρως· ἀλλ' ἐπειδὴ προϊὼν φυτῶν ἔμελλε, καὶ πηγῆς, καὶ ἀρδείας ὑπενεγκεῖν μνείαν, εἰκότως προείληφε καὶ τὸ κατὰ φυτῶν ἀναφυόμενον ἄνθος.

(60) *Πηγήν*. Πηγῆς Reg.

(61) *Ταχύ*. Cum hoc dicto congruit Plutarchi hoc, p. 370 : Μέγας οὖν ὁ κίνδυνος βούλεσθαι ἃ μὴ δεῖ, τὸν ἃ βούλεται ποιεῖν δυνάμενον. H. SYLBURG.

(62) *Καί*. Abest a Nov.

(63) *Τό γε*. Τὸ δέ Reg. Sylburgius ait : « Τό γε pro ὅ γε, seu ὅτι γε positum videtur : aut ἐστιν pro ἐς ταῦτα, vel alio ejusmodi : nisi potius legendum, τό γε ἐσθίειν ἐπιτήδειον, quod esui aptum est. »

(64) *Ἐκκλητικός*. In margine Reg. et Bod. aliquis hoc scholium adnotavit : Ἐκκλητικὸς, ἀντὶ τοῦ προσκλητικός· εἴληπται δὲ ἐκ τῶν ἐκκλητευόντων.

(65) *Οὐ βλέπων*. Respicit cæci Pluti fabulam.

A ριορᾶταί ποτε ἄνθρωπος· ὁ γὰρ καὶ τὰ πτηνὰ, καὶ τὰ νηκτὰ, καὶ, συνελόντι εἰπεῖν, τὰ ἄλογα ζῶα διατρέφων, εἷς ἐστιν ὁ Θεός· λείπει δὲ αὐτοῖς οὐδὲ ἓν ὁτιοῦν μὴ μεριμνῶσι τροφῆςᵃ. Ἡμεῖς δὲ καὶ τούτων ἀμείνους, ὅσῳ καὶ κύριοι· καὶ Θεῷ οἰκειότεροι, ὅσῳ σωφρονέστεροι· γεγόναμεν δὲ, οὐχ ἵνα ἐσθίωμεν καὶ πίνωμεν, ἀλλ' ἵνα ὦμεν εἰς ἐπίγνωσιν γεγονότες τοῦ Θεοῦ. « Δίκαιος γὰρ, φησὶν, ἐσθίων, ἐμπίμπλαται (66) τῇ ψυχῇ· κοιλίαι δὲ ἀσεβῶν ἐνδεεῖς, » ἀκαταπαύστου λιχνείας ὀρεγόμεναι. Πολυτέλεια δὲ οὐχ εἰς ἀπόλαυσιν ἔρημον, ἀλλ' εἰς μετάδοσιν κοινωνικὴν ἐπιτήδειος. Διὸ παραφυλακτέον τῶν βρωμάτων, ἃ μὴ πεινῶντας ἡμᾶς ἐσθίειν ἀναπείθει (67), γοητεύοντα τὰς ὀρέξεις. Μὴ γὰρ οὐχ ἔνεστι καὶ ἐν εὐτελείᾳ σώφρονι πολυειδία ἐδεσμάτων ὑγιεινή; βολβοὶ, ἐλαῖαι, B λαχάνων ἔνια (68), γάλα, τυρὸς, τά τε ὡραῖα, ἑψήματά τε παντοδαπὰ, ζωμῶν ἄνευ (69)· κἂν ὀπτοῦ δέῃ κρέως, ἢ ἑφθοῦ, μεταδοτέον. « Ἔχετέ τι βρώσιμον ἐνθάδε; » εἶπεν ὁ Κύριος πρὸς τοὺς μαθητὰς μετὰ τὴν ἀνάστασιν· οἱ δὲ, ἅτε ὑπ' αὐτοῦ εὐτέλειαν ἀσκεῖν δεδιδαγμένοι, « ἐπέδωκαν αὐτῷ ἰχθύος ὀπτοῦ μέρος. Καὶ φαγὼν ἐνώπιον αὐτῶν, εἶπεν αὐτοῖς, φησὶν ὁ Λουκᾶς, ὅσα εἶπεν (70). » Πρὸς τούτοις οὐδὲ τραγημάτων κηρίων (71) ἀμοίρους περιορατέον τοὺς δειπνοῦντας κατὰ Λόγον. Τῶν γάρ τοι (72) βρωμάτων ἐπιτηδειότατα, οἷς αὐτόθεν χρῆ-

A Christiani ratio paratur deliciis. A cibis enim titillantibus, et ad Venerem incitantibus, procul est mensa veritatis. Etsi enim maxime propter homines omnia facta sunt, non tamen omnibus uti bonum est, sed neque semper: nam occasio, tempus, modus et respectus rei alicujus, non parvum ei, qui instituitur, momentum afferunt ad id quod ipsi est utile. Atque hoc quidem, quod aptum est, magnam etiam vim habet ad abolendam vitam, quæ est ventri dedita: ad quam quidem divitiæ incitant, non eæ quæ acute vident, sed nimiæ, quæ circa gulæ insaniam cæcutiunt, copiæ. Nemo autem quoad res necessarias pauper est, neque homo unquam despicitur. Qui enim et pennata et natatilia, B et, ut semel dicam, a ratione aliena nutrit animantia, unus est Deus; eis autem nihil deest, etsi nullam de victu curam gerantᵃ. Nos autem eis sumus eo præstantiores, quod et domini; et eo magis Deo conjuncti, quo temperantiores. Facti autem sumus, non ut comedamus et bibamus; sed ut facti Deum agnoscamus. « Justus enim, inquit, comedens, impletur animo; ventres autem impiorum egeniᵇ, » ut qui nunquam cessaturas cupedias appetant. Magnificentia autem non ad solum usum, sed etiam ad socialem communicationem apta est. Quocirca ii cibi cavendi sunt, qui non esurientes

ᵃ Matth. vi, 25 seq. ᵇ Prov. xiii, 25.

(66) *Ἐμπίπλαται*. Ἐμπιπλᾷ τὴν ψυχὴν αὐτοῦ· ψυχαὶ δὲ ἀσεβ. Bib. Græc.

(67) *Ἀναπείθει*. Post hanc vocem ex Plutarcho, pag. 76, addere possumus, καὶ τῶν πομάτων ὅσα πίνειν μὴ διψῶντας· ubi Socrati hoc sanitatis præceptum ascribitur. H. — Sic certe infra *Strom.* ii, p. 412. Sylburg. — Idem Socratis dictum recitavit etiam Theodoretus *De curandis Græcorum affect.* serm. 12, p. 672.

(68) *Λαχάνων ἔνια*. Primo suspecta mihi hæc lectio fuit: non enim ἔνια, « quædam, » sed πάντα λάχανα, « omnia olera. » ut mox ἑψήματα παντοδαπά, dicendum erat. Ejus loco substitui possit, λάχαν' ὤνια, « olera venalia: » vel λάχαν' ἔνι, i. e. ἔνεστι, « olera insunt, » nempe τῇ εὐτελείᾳ σώφρονι, ut modo dictum est. Item paulo post, pro ζωμῶν ἄνευ, legi non incommode possit, οὐ ζωμῶν ἄνευ, « non sine juribus esculentis. » Quod quidem auctoris proposito magis convenire videtur. Sed nihil mutare volui, quia Clemens antiquioris cujusdam auctoris verba hic recitare videtur; quæ quamvis ejus sententiæ magna parte conveniant, tamen alia continent, quæ ad rem parum faciunt. Paria habet Musonius, quæ paulo post recitabuntur.

(69) *Ζωμῶν ἄνευ*. Isaacus Casaubonus, *Animadvers. in Athenæum* lib. iv, cap. 6, dicit: « Tenuis mensæ cibos enumerans, ait, βολβοὶ... ἑψήματά τε παντοδαπὰ ζωμῶν ἄνευ· κἂν ὀπτοῦ δέῃ κρέως, ἢ ἑφθοῦ, μεταδοτέον. Separat Clemens ἑψήματα et ζωμούς, et statim addit, « sin carnibus sit opus: » unde clarum est, ζωμούς id esse, quod diximus. Sed non ferenda est menda, quæ optimi scriptoris sententiam corrumpit. Nam scribendum est, κἂν δέῃ κρέως, ὀπτοῦ μᾶλλον ἢ ἑφθοῦ μεταδοτέον. « Si carnium opus sit, assatas quam jurulentas præstat apponere. » Ita scribendum declarant, quæ sequuntur: affert enim exemplum discipulorum Domini Jesu Christi, qui illi, post resurrectionem cibum petenti, dederunt ἰχθύος ὀπτοῦ μέρος. »

(70) *Ὅσα εἶπεν*. Id est, quæ prius ante mortem dixerat. Sic enim refert Lucas: Εἶπε δὲ αὐτοῖς· Οὗτοι οἱ λόγοι, οὓς ἐλάλησα πρὸς ὑμᾶς, ἔτι ὢν σὺν ὑμῖν. Vel potius, his verbis auctor eorum quæ apud C Lucam dicit Christus, repetitioni supersedere se velle innuit.

(71) *Τραγημάτων κηρίων*. Scribe ex Nov. τραγημάτων καὶ κηρίων, « bellariis ac placentis. »

(72) *Τῶν γάρ τοι*. Hæc farrago sunt e diversis auctoribus congesta: similia sunt illa Musonii, quæ recitavit Stobæus serm. 17, p. 160: Ὡς χρὴ καθάπερ τὴν εὐτελῆ τῆς πολυτελοῦς τροφὴν προτιμᾷν, καὶ τὴν εὐπόριστον τῆς δυσπορίστου, οὕτω καὶ τὴν σύμφυλον ἀνθρώπῳ. Τοιαύτην δὲ εἶναι σύμφυλον ἡμῖν τὴν ἐκ τῶν φυομένων ἐκ γῆς, ὅσα τε σιτώδη ὄντα, καὶ ὅσα μὴ τοιαῦτα ὄντα δύναται τρέφειν καλῶς τὸν ἄνθρωπον· καὶ τὴν ἀπὸ τῶν ζώων οὐκ ἀναιρουμένων, ἄλλως δὲ χρησιμευόντων. Τούτων δὲ τῶν βρωμάτων ἐπιτηδειότατα μὲν οἷς αὐτόθεν χρῆσθαι ὑπάρχοι δίχα πυρὸς, ἐπεὶ καὶ ἑτοιμότατα· οἷα δὴ τά τε ὡραῖα, καὶ τῶν λαχάνων ἔνια, καὶ γάλα, καὶ τυρὸς, καὶ κηρία· καὶ ὅσα μέντοι δεῖται πυρὸς, ἢ σιτώδη, ἢ λαχανώδη ὄντα, καὶ ταῦτ' οὐκ ἀνεπιτήδεια, ἀλλὰ σύμφυλα ἀνθρώπῳ πάντα. D Τὴν μέντοι κρεώδη τροφὴν θηριωδεστέραν ἀπέφηνε, καὶ τοῖς ἀγρίοις ζώοις προσφορωτέραν. Εἶναι δὲ ταύτην ἔλεγε καὶ βαρυτέραν, καὶ τοῦ νοεῖν τι καὶ φρονεῖν ἐμπόδιον· τὴν γὰρ ἀναθυμίασιν τὴν ἀπ' αὐτῆς, θολωδεστέραν οὖσαν, ἐπισκοτεῖν τῇ ψυχῇ. « Omnino igitur præferri debet, ut vilis pretii victus sumptuoso, ita parabilis exquisito, et homini familiaris ei, qui talis non esset. Familiaria autem nobis esse dicebat, quæ terra fundit, sive frumentacei generis, sive alia ad recte nutriendum idonea: item quæ ab animalibus non occidendis, sed aliter juvantibus, sumuntur. Rursus horum maxime apta, quibus in promptu citra ignem uti liceat: hæc enim paratu facillima esse, ut plantarum fructus, quædam olera, lac, caseus, favi; non rejicienda tamen quædam, quamvis ignem requirant, ut frumentacea et oleracea nonnulla; cuncta enim ista homini familiaria esse. Ex carnibus autem alimentum, ferinum asserebat, et feris animalibus convenientius. Hoc quoque gravius esse

nos cogunt comedere, appetitiones nostras veluti quibusdam præstigiis fallentes. An non est enim etiam in moderata frugalitate multiplex ciborum varietas? bulbi, olivæ, quædam olera, lac, caseus, fructus, et quæcunque absque jure coquuntur: et si assa carne, vel ✠ elixa opus fuerit, ea est quoque impertienda. « Habetis hic aliquid, quod edi possit, » dixit Dominus discipulis post resurrectionem; illi vero, ut qui frugalitatem exercere ab eo didicerant, ei « assi piscis partem dederunt. Et cum coram eis comedisset, dixit eis, inquit Lucas, quæcunque dixit [a]. » Ad hæc autem ne bellariorum quidem, nempe favorum, expertes esse observandum est eos, qui secundum Rationem seu Verbum cœnant. Ex cibis enim ii sunt aptissimi, quibus statim uti licet absque igne, quoniam sunt paratiores; his autem secundi, qui sunt frugaliores ac viliores, ut ante diximus. Iis autem, qui ad luxum mensarum propendent, et suos sibi morbos enutriunt, præest dæmon helluo maximus, quem ego non verebor appellare ventridæmonem, et dæmonum omnium

A σθαι ὑπάρχει δίχα πυρὸς, ἐπεὶ καὶ ἑτοιμότερα· δεύτερα δὲ τὰ εὐτελέστερα, ὡς προειρήκαμεν. Τῶν δὲ ἀμφὶ τὰς φλεγμαινούσας (73) κυπταζόντων τραπέζας, τὰ σφέτερα τιθηνουμένων πάθη, δαίμων (74) καθηγεῖται λιχνότατος, ὃν ἔγωγεν οὐκ ἂν αἰσχυνθείην κοιλιοδαίμονα προσειπεῖν, καὶ δαιμόνων κάκιστον, καὶ ἐξωλέστατον. Παραπλήσιος οὖν οὗτος ἀτεχνῶς τῷ ἐγγαστριμύθῳ καλουμένῳ. Ἄμεινον δὲ πολλῷ τοῦ δαίμονα ἔχειν σύνοικον, εὐδαίμονα γενέσθαι. Εὐδαιμονία (75) δὲ ἐν χρήσει ἀρετῆς ἐξετάζεται. Ματθαῖος μὲν οὖν ὁ ἀπόστολος σπερμάτων, καὶ ἀκροδρύων, καὶ λαχάνων, ἄνευ κρεῶν (76), μετελάμβανεν· Ἰωάννης δὲ, ὑπερτείνας τὴν ἐγκράτειαν, « ἀκρίδας καὶ μέλι ἤσθιεν ἄγριον· » ὑῶν δὲ ἀπείχετο καὶ Πέτρος· ἀλλ' « ἔπεσεν ἐπ' αὐτὸν ἔκστασις, » ὡς ἐν ταῖς Πράξεσι τῶν
B ἀποστόλων γέγραπται· « καὶ θεωρεῖ τὸν οὐρανὸν ἀνεῳγμένον, καί τι σκεῦος τέταρσιν ἀρχαῖς ἐκδεδεμένον ἐπὶ τῆς γῆς· πάντα τὰ (77) τετράποδα καὶ τὰ ἑρπετὰ τῆς γῆς, καὶ τὰ πτηνὰ τοῦ οὐρανοῦ ἐν αὐτῷ· καὶ ἐγένετο φωνὴ πρὸς αὐτόν· Ἀνάστα, καὶ θῦσον, καὶ φάγε. Πέτρος δὲ εἶπε· Μηδαμῶς, Κύριε, ὅτι οὐ-

✠ P. 174 ED. POTTER. [a] Luc. xxiv, 41, 42, 43, 44.

dicebat, et cogitandi, intelligendique impedimentum, impuros vapores parere, qui animam obnubilent; » etc.

(73) *Φλεγμαινούσας*. Nempe, ab effectu, quod ejusmodi mensæ φλέγμα excitent. Est autem φλέγμα, καῦμα, ἐμπρησμός, ut ait Pollux lib. ix, c. 8. Antiphanes, frugalem vitam describens, ait:

Τοιοῦτος ὁ βίος ἀπύρετος, φλέγμ' οὐκ ἔχων.

Hæc vita febre caret, et flamma vacat.

C Athenæus priscorum ætatem, qua viri ac feminæ absque sceleris periculo simul lavabantur, vocat ἀφλέγμαντον βίον, « vitam absque flamma. »

(74) *Δαίμων*. Solent antiqui Patres vitia, dæmones vocare. Sic Hermas *Pastor*. lib. ii, mandat. 2: Καταλαλιά, ἀκατάστατον δαιμόνιον. « Detractio, inconstans dæmonium est. » Ibid. mand. 10, cap. 10: « Tristitia enim omnium spirituum nequissimus est. » Lib. iii, simil. 9, cap. 22: « Magnum enim dæmonium est, audacia et confidentia inanis. » Similia alibi habet. Auctori *Recognitionum* lib. ii, cap. 25, « ignorantia » est « dæmon pessimus; » Eusebio *Præparat. evang.*, lib. ix, c. 2, « voluptas, » αἰσχρὸς καὶ ἀκόλαστος δαίμων, αὐθαίρετος δαίμων· Basilio in ebriosos, et Chrysostomo homil. 1 ad populum Antiochenum, et 29 in Genesim, ac libro *Quod nemo læditur nisi a seipso*, cap. 5, « ebrietas, » αὐθαίρετος δαίμων. Nempe quemadmodum in genere
D dæmonum artibus omne vitium ac nequitiam imputabant; sic vitiorum singulis speciebus certos dæmones præesse credebant. Origenes homil. 15 in Jesum Nave: « Unde mihi videtur, inquit, esse infinitus quidam numerus contrariarum virtutum, pro eo quod per singulos pene homines sunt spiritus aliqui, diversa in iis peccatorum genera molientes. Verbi causa, est aliquis fornicationis spiritus; est iræ spiritus alius; est avaritiæ spiritus, alius vero superbiæ. Et si invenias esse aliquem hominem, qui his omnibus malis, aut etiam pluribus agitetur, omnes hos vel etiam plures in se habere inimicos putandus est spiritus. Unde et per singulos plures esse credendi sunt; quia non singula singuli homines habent vitia, vel peccata committunt, sed plura ab unoquoque videntur admitti. Et iterum non est putandum, quod unus fornicationis spiritus seducat eum, qui, verbi gratia, in Britanniis fornicatur, et illum qui in India, et in aliis locis; neque unum esse iræ spiritum, qui diversis in locis diversos homines agitet: sed puto magis principem quidem fornicationis spiritum unum esse, innumeros vero esse qui in hoc ei officio pareant; et per singulos quosque homines, diversi spiritus, sub eo principe militantes, ad hujuscemodi eos peccata sollicitent. Similiter et iracundiæ spiritum unum esse arbitror; innumeros vero esse sub ipso agentes, qui per singulos quosque homines hujusmodi peccata succendant. Similiter et avaritiæ unum esse principem, sic superbiæ, et cæterorum malorum, » etc. Alia præterea hanc in rem aliorum testimonia congessit Cotelerius, commentario in Hermæ locum primo memoratum. Denique, non est hoc loco prætereundum, antiquos etiam putasse, bonos angelos singulis virtutibus ac rebus a Deo præfectos. « Angelus pœnitentiæ » ab eodem Herma memoratur, proœmio lib. ii, lib. iii, simil. 9, cap. 14, 23, 24, et alibi. Item « Pastor et nuntius præpositus pœnæ, » Mand. 5, c. 1; « Nuntius æquitatis, » simil. 6, cap. 2; Ἄγγελος ἐπὶ τῆς εἰρήνης, « angelus paci præpositus, » *Constitut. apost.* lib. viii, cap. 36 et 37; angeli mortis, ibid. cap. 41. Angelum orationis memorat Tertullianus *De oratione* cap. 12; angelos matrimonii, idem *Ad uxor.* lib. ii, cap. ult.; angelum baptismi, idem *De baptismo* cap. 4 et 5; angelum puerperii, idem *De anima*, c. 37.

(75) *Εὐδαιμονία.* In margine Reg. et Bod. aliquis hoc scholium adnotavit: Ὅτι ἡ εὐδαιμονία ἐν χρήσει ἀρετῆς ἐξετάζεται. Οὕτω δὲ καὶ Ἀριστοτέλης ἐν τοῖς αὐτοῦ Ἠθικοῖς. Conf. Aristotelis *Ethic. ad Nicomachum* lib. i, cap. 7.

(76) *Ἄνευ κρεῶν*. Carnibus animantium abstinet etiam Jacobus Justus apud Eusebium *Hist. eccl.* lib. ii, cap. 23; Epiphanium *Hæres.* 78, n. 13; Hieronymum in *Catalogo*, ex Hegesippo. Petro « panis solus cum olivis, et raro etiam cum oleribus in usu » fuisse dicitur, *Recognit.* lib. vii, cap. 6. Eidem victus e lupinis tribuitur a Gregorio Nazianzeno carmine 18. Sed Epiphanius *Hæresi* 30, c. 15, videtur existimare, Petri abstinentiam ab animatis et carne, figmentum esse Ebionitarum, qui *Periodos* Petri depravarint: et Clemens ejus nullam aliam abstinentiam hic memorat, quam a suilla, de qua Lucas Act. x, cujus verba διὰ μνήμης, adeoque minus accurate mox recitat.

(77) *Τά*. Abest a Reg.

οὐδέποτε ἔφαγον πᾶν κοινὸν καὶ ἀκάθαρτον. Καὶ ἡ A φωνὴ πάλιν πρὸς αὐτὸν ἐκ δευτέρου· Ἃ ὁ Θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου.» Καὶ ἡμῖν δὲ ἄρα ἀδιάφορος ἡ χρῆσις· «Οὐ γὰρ τὰ εἰσερχόμενα (78) εἰς τὸ στόμα, κοινοῖ τὸν ἄνθρωπον,» ἀλλὰ ἡ περὶ τῆς ἀκρασίας διάληψις κενή (79). Ὁ γάρ τοι Θεὸς, τὸν ἄνθρωπον πλάσας, «Πάντα ὑμῖν, εἶπεν, ἔσται εἰς βρῶσιν.» «Λάχανα (80) δὲ μετὰ ἀγάπης, ἢ μόσχον μετὰ δολιότητος.» Εὖ τοῦτο ὑπομιμνήσκει τοῦ προειρημένου λόγου, ὡς οὐ τὰ λάχανα, ἡ ἀγάπη, μετὰ δὲ ἀγάπης τὰ δεῖπνα παραληπτέα· ἐν οἷς (81) ἀγαθὴ μὲν ἡ μέση κατάστασις· ἐν πᾶσι μὲν, οὐχ ἥκιστα δὲ καὶ ἐν τῇ (82) ἀμφὶ τὴν ἑστίασιν παρασκευῇ· ἐπεὶ αἱ μὲν ἀκρότητες σφαλεραὶ, αἱ μεσότητες δὲ ἀγαθαί. Μέσον δέ ἐστι πᾶν τὸ ἀνενδεὲς τῶν ἀναγκαίων· B αἱ γὰρ κατὰ φύσιν ὀρέξεις αὐταρκείᾳ περιορίζονται. Ἰουδαίοις δὲ διὰ τοῦ νόμου οἰκονομικώτατα καταγγέλλεται (83) ἡ εὐτέλεια· μυρίων γὰρ ὅσων ἀφεῖλετο τὴν χρῆσιν ὁ Παιδαγωγὸς αὐτοὺς διὰ Μωϋσέως, αἰτίας προσάπτων, κεκρυμμένας μὲν τὰς πνευματικὰς, ἐμφανεῖς δὲ τὰς σαρκικὰς, αἷς καὶ πεπιστεύκασι· τοῖς μὲν, ὅτι οὐκ ἔστι δίχηλα, τοῖς δὲ, ὅτι τὴν τροφὴν οὐ μηρυκᾶται· τὰ δ' ὅτι ἄρα οὐκ ἔχει μόνα τῶν ἐνύδρων λεπίδας· ὡς ὀλίγα παντελῶς ἀπολείπεσθαι πρὸς τὴν τροφὴν αὐτοῖς ἐπιτήδεια. Ὧν δὲ ἐφῆκεν ἅπτεσθαι, πάλιν κεκώλυκε τούτων τὰ θνησιμαῖα, τά τε εἰδωλόθυτα, τά τε ἀποπεπνιγμένα· οὐδὲ γὰρ τούτων ψαύειν θέμις. Ἐπεὶ γὰρ ἀμήχανον χρώμενον τοῖς ἡδέσιν, ἀποστῆναι τῆς ἀποδοχῆς αὐτῶν, τὴν ἐναντίαν ἀντέθηκεν ἀγωγὴν, μέχρις ἂν ἐκ- C λύσῃ τὴν ἐκ τοῦ ἔθους ἐπὶ τὴν ἡδυπάθειαν καταδρομήν. Ἀνθρώποις δὲ τὰ μὲν πολλὰ βλάβην καὶ λύπην ἐγέννησεν (84) ἡδονή· δυσπάθειαν δὲ καὶ λήθην (85) καὶ ἀφροσύνην ἡ πολυτροφία ἐντίκτει τῇ ψυχῇ. Εὐαυξῆ (86) δὲ καὶ τῶν παίδων τὰ σώματα γίνεσθαί φασιν, εἰς μῆκος ἐπιδιδόντων, ἀπὸ τῆς ἐλλειπούσης τροφῆς· οὐ γὰρ κωλύεται τὸ ἀνατρέχον εἰς αὔξησιν πνεῦμα, τῆς πολλῆς τροφῆς ἀντιφραττούσης τὸ εὔπνουν τοῦ δρόμου. Ὅθεν κατηγορῶν τοῦ τρυφῶντος βίου ὁ τὴν ἀλήθειαν ἐζηλωκὼς τῶν φιλοσόφων Πλάτων, τὸ ἔναυσμα τῆς Ἑβραϊκῆς (87) φιλοσοφίας ζω-

pessimum et perniciosissimum. Is autem est revera similis ei, qui dicitur ventriloquus. Melius est autem esse felicem, quam habere cohabitantem dæmonem. In usu autem virtutis esse censetur felicitas. Matthæus itaque apostolus seminibus, baccis et oleribus, absque carnibus, utebatur. Joannes autem, continentiam * ulterius extendens, «locustas et mel agreste [a]» comedebat. Porro autem Petrus quoque abstinebat a suibus. Sed «in eum cecidit exstasis,» ut in Actibus apostolorum [b] scriptum est, «et videt cœlum apertum, et vas quoddam quatuor initiis alligatum super terram; omnes quadrupedes, et serpentes terræ, et volucres cœli in ipso. Et vox ad ipsum facta est: Surge, et occide, et comede. Petrus autem dixit: Nequaquam, Domine, quoniam omne commune et immundum nunquam comedi. Et vox rursus ad eum secundo facta est: Quæ Deus mundavit, ne communia dixeris.» Ergo nobis quoque usus est indifferens: «Non enim quæ intrant in os, coinquinant hominem [c],» sed in intemperantia inanis exercitatio. Deus enim, cum finxisset hominem, «Omnia vobis, inquit, erunt in cibum [d].» «Olera» autem «cum charitate meliora, quam vitulus cum fraude [e].» Hoc nobis recte in memoriam revocat id, quod ante dictum est, quod non sunt olera agape, seu charitas, sed sumendæ sunt cum charitate cœnæ, in quibus bona quidem est media constitutio, et in omnibus quidem, sed vel maxime in apparatu convivii. Nam sunt extrema quidem periculosa; media autem bona sunt; medium est autem, quidquid non eget rebus necessariis. Quæ sunt enim secundum naturam appetitiones, circumscribuntur sufficientia. Porro autem Judæis per legem summo consilio præcipitur frugalitas. Innumerabilium quippe rerum **65** usum per Moysem abstulit Pædagogus, causas illas adjungens, occultas quidem, quæ erant spirituales; apertas autem, quæ carnales, quibus etiam crediderunt: his quidem, quod ungulam non habeant bifidam; illis vero, quod cibum non ruminent; aliis vero,

* P. 175 ED. POTTER, 149 ED. PARIS. [a] Matth. III, 4. [b] Act. X, 10, 11, 12, 13, 14, 15. [c] Matth. XV, 11. [d] Gen. IX, 2, 3. [e] Prov. XV, 17.

(78) *Τὰ εἰσερχόμενα.* Τὸ εἰσερχόμενον Matth. D Mox Geneseos sensum, mutatis verbis, exhibet.

(79) *Ἀλλὰ ἡ περὶ τῆς ἀκρασίας δ. κ.* «Sed intemperantiæ vana opinio.» Quod quia parum appositum ad mentem auctoris esse videret Hervetus interpres, vertit, «sed in intemperantia inanis exercitatio.» Quæ interpretatio uti nihil ad rem facit, sic neque Clementis verba eam ferre possunt. Scribendum igitur, levi mutatione unius vocis facta: Ἀλλὰ ἡ περὶ ἀκαθαρσίας διάληψις κενή· «sed de impuritate vana opinio.» Vult enim auctor, non ipsos cibos, sed falsam de eorum impuritate opinionem comedentium conscientias polluere.

(80) *Λάχανα.* Subaudi προελέσθαι μᾶλλον, vel simile quid. Allusio esse videtur, ut adnotat A., ad Proverb. XV, 17: Κρείσσων ξενισμὸς μετὰ λαχάνων πρὸς φιλίαν καὶ χάριν ἢ παράθεσις μόσχων μετὰ ἔχθρας. SYLBURG.

(81) *Ἐν οἷς.* Hæc verba supervacanea sunt, nec agnoscuntur a Nov.

(82) *Ἐν τῇ.* Pal. ms. ἀμφὶ τὴν ἑστίασιν παρασκευή, brevius quidem, sed minus congruenter. SYLBURG. — Eamdem lectionem habent Reg., Bod.

(83) *Καταγγέλλεται.* Melius est παραγγέλλεται, quod habent Reg., Bod. et Pal. Porro de causis cur Deus Judæis abstinentiam a quibusdam cibis præceperit, copiose agit Joannes Spencerus *De legibus Hebræorum* lib. I, cap. 5. Deum hac arte temperantiam eos docuisse cum Clemente sentit Tertullianus *Contra Marcion.* lib. II, cap. 18, et Novatianus lib. *De cibis Judaicis* cap. 4.

(84) *Ἐγέννησεν.* Malim ἐνεγέννησεν, quod habet Nov.

(85) *Λήθην.* Λύπην Pal. ms. teste Sylburg.; item Reg. et Bod.

(86) *Εὐαυξῆ.* Ἐναυξῆ Reg.; εὐεξῆ Nov.

(87) *Ἑβραϊκῆς.* Conf. quæ infra dicuntur Strom. I, p. 274. Locus Platonis exstat haud longe a principio epist. 7, p. 1278 edit. Francofurt.

quod ex aquatilibus sola squamas non habeant [a]; adeo ut eis omnino pauca restarent apta ad alimentum. Quæ autem permisit esitare, ex iis rursus prohibuit morticina, et quæ simulacris immolata, et quæ suffocata fuerant : nam hæc ne quidem licet tractare. Quoniam enim fieri non potest, ut qui dulcibus utitur, ab eis percipiendis abstineat, ei contrariam vitæ rationem opposuit, donec eum, qui ex consuetudine ✠ nascitur, ad voluptatem impetum dissolveret. Hominibus autem sæpenumero quidem damnum et molestiam procreavit voluptas; ægritudinem autem, et oblivionem, et insipientiam in anima parit nimia alimenti copia. Jam vero dicunt etiam puerorum corpora recte crescere, in longitudinem scilicet promoveri, si desit nutrimentum : neque enim prohibetur qui se ad augmentum confert spiritus, viæ facilitatem nimio nutrimento obsepiente. Unde luxuriosam deliciisque affluentem vitam, philosophorum ille, qui veritatem sectatus est, Plato, Hebraicæ veritatis excitans scintillam : « Mihi autem eo, inquit, cum venissem, quæ illic beata vita dicitur, Italicis et Syracusanis mensis plena, nullo modo placuit : bis dio saturum fieri, nec unquam pernoctare solum, cæteraque, quæ hanc vitam comitantur. Nemo enim omnium, qui sub cœlo sunt, si in hujusmodi moribus ab adolescentia nutriatur, prudens unquam evadet, quamvis natura et ingenio excellenti præditus. » Neque enim Plato de Davide non audierat, qui cum « sua civitate in medio tabernaculo sanctam arcam collocaret, » indulta omnibus, qui ejus ditioni parebant, lætitia « coram Domino, distribuit » omnibus Israelis copiis, « a viro usque ad mulierem, uni-

A πυρῶν, « Ἐλθόντα δέ με, φησὶν, ὁ ταύτῃ (88) λεγόμενος αὖ βίος εὐδαίμων, Ἰταλικῶν τε καὶ Συρακουσίων τραπεζῶν πλήρης, οὐδαμῇ οὐδαμῶς ἤρεσε, δὶς τῆς ἡμέρας ἐμπιπλάμενον ζῆν, καὶ μηδέποτε μόνον κοιμώμενον νύκτωρ· καὶ ὅσα (89) τούτῳ ἐπιτηδεύματα συνέπεται τῷ βίῳ. Ἐκ γὰρ τούτων οὔτ' ἂν φρόνιμος οὐδεὶς ποτ' ἂν γενέσθαι τῶν ὑπὸ τὸν (90) οὐρανὸν ἀνθρώπων δύναται, ἐκ νέου ἐπιτηδεύων (91) τοιαῦτα, οὐθ' οὕτω θαυμαστῇ φύσις κρατηθήσεται. » Οὐ γὰρ ἄπυστος ἦν ὁ Πλάτων τοῦ Δαβὶδ, ὃς (92) « ἐν τῇ πόλει τῇ ἑαυτοῦ τὴν ἁγίαν ἱδρύων κιβωτὸν ἐν μέσῃ τῇ σκηνῇ, » παντὶ τῷ ὑπηκόῳ εὐφροσύνην ποιήσας λαῷ « ἐναντίον τοῦ Κυρίου, διεμέρισεν » εἰς πᾶσαν τὴν δύναμιν τοῦ Ἰσραὴλ « ἀπὸ ἀνδρὸς ἕως γυναικὸς, ἑκάστῳ κολλυρίδα ἄρτου, καὶ ἐσχαρίτην (93), καὶ B λάγανον ἀπὸ τηγάνου. » Αὐτάρκης αὕτη ἡ τροφὴ καὶ Ἰσραηλιτική· ἡ δὲ ἐθνικὴ περιττή. Σώφρων οὐδ' ἂν μελῆσαι (94) ποτὲ γενέσθαι ὁ χρώμενος αὐτῇ, τὸν νοῦν ἐγκατορύξας τῇ κοιλίᾳ, τῷ ἰχθύϊ τῷ καλουμένῳ ὄνῳ (95) τὰ μάλιστα ἐοικώς· ὃ δή φησιν Ἀριστοτέλης μόνον τῶν ἄλλων ζώων ἐν τῇ γαστρὶ τὴν καρδίαν ἔχειν· τοῦτον « ἐκτραπελόγαστρον (96) » Ἐπίχαρμος καλεῖ ὁ κωμικός. Τοιοῦτοι τῶν ἀνθρώπων οἱ εἰς γαστέρα πεπιστευκότες, « ὧν θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν, οἱ τὰ ἐπίγεια φρονοῦντες. » Τούτοις οὐκ ἀγαθὰ προεθέσπιζεν ὁ Ἀπόστολος, « Ὧν τὸ τέλος, εἰπὼν, ἡ ἀπώλεια. »

✠ P. 176 ED. POTTER, 150 ED. PARIS. [a] Lev. XI; Deut. XIV.

(47) *Καί*. Abest a Reg. et Nov.

(48) *Εἴκασεν*. Nempe Salomon, loco jam memorato

(49) Ἀστοχήσας. Ἀποστοχήσας Bod. Mox scribe, αὐτὸς αὑτὸν ἐξοκ.

(50) *Μὴ μ*. Rectius vulgata Bib. Ephes. v, transposita præpositione, μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ. SYLBURG.— Mox, πολλή abest a Bib.

(51) *Πεποίηκεν*. Subaudiendum ὁ Κύριος. ID.

(52) *Ἐξ Ἀδάμ*. Τὸν ἐξ Ἀδάμ, repetito articulo, Pal. ms. ID.

(53) *Σύμβολον.... αἵματος*. « Symbolum sanguinis, » non est ipse sanguis. Mox, διελέγχουσαν pro διελέγχουσα, Bod.

(54) *Οὕτως*. Οὕτω Nov. Dein, παρείσευσις pro παρείσδυσις, idem corrupte.

(55) *Τοῦ οἴνου*. Si contracte legamus τῷνου, melius constabit metrum. SYLBURG.

(56) *Οὕτω δ' ἂν καὶ ἡ ψυχὴ ἡμῶν ὑπάρξαι καθαρὰ καὶ ξηρὰ καὶ φωτοειδής · αὐγὴ δὲ ψυχὴ ξηρὰ σοφωτάτη*. Hervetus correxit in libro suo αὔη δὲ ψυχή. Apud Stobæum tit. *De temperantia* ex Heraclito profertur hæc sententia : Ἀνὴρ ὁκόταν μεθυσθῇ, ἄγεται ὑπὸ παιδὸς ἀνήβου σφαλλόμενος, ὑγρὴν ψυχὴν ἔχων. Αὔη ψυχὴ σοφωτάτη καὶ ἀρίστη. « Vir inebriatus vacillat, et ab impubere puero ducitur, animam habens humidam. Est autem anima sicca sapientissima et optima. » Apud eumdem titul. 17 *De continentia*, ex Musonio citatur dictum illud, sed legitur αὐγὴ ξηρὴ ψυχὴ σοφωτάτη. At in manuscripto Regiæ correctum est αὔη D ψυχή. Reperitur et apud Plutarchum eadem sententia lib. *De oraculorum defectu*, et *De esu carnium :* sed utrobique legendum putat αὔη ψυχή Henricus Stephanus. Αὐγή tamen retinetur a Mercuriali *Var. lection*. lib. IV, cap. 2, quo modo apud Galenum scriptum est. Scaliger in Varronem, interpretans illud Afranii : *Vigilans ac solers, sicca, sana, sobria :* « Potest hic dicta esse sicca pro sobria, ut apud Plautum in *Asinaria* et Ciceronem in *Academicis*, sicci homines pro sobriis, sicuti madidus et madulsa pro ebrio. Ita enim Græce ξηρόν. Pindarus apud Plutarchum *Περὶ σαρκοφαγίας* · Αὐγὰ ξηρὰ ψυχὰ σοφωτάτα, et Athenæus lib. II ξηρὰν τροφὴν vocat abstemiam. » Sed Scaligerum fefellit vitiosus codex, qui Pindaro tribuit Heracliti dictum. At apud Eusebium lib. VIII *Præparat. evang.* cap. 5 : Λεπτότητι ἀέρος ἡ διάνοια πέφυκεν ἀκονᾶσθαι, δι' ὃ καὶ Ἡράκλειτος οὐχ ἀπὸ σκοποῦ φησιν· Οὗ γῆ ξηρὴ ψυχὴ σοφωτάτη καὶ ἀρίστη. Legendum

καὶ ἐποπτική· οὐδέ ἐστι κάθυγρος ταῖς ἐκ τοῦ οἴνου ἀναθυμιάσεσι, νεφέλης δίκην σωματοποιουμένη. Οὐ πολυπραγμονητέον τοίνυν τὸν οἶνον τὸν Χῖον, ἂν ἀπῇ· οὐδὲ τὸν Ἀριούσιον (56*), ὅταν μὴ παρῇ. Δίψα γὰρ ἐνδείας τινός ἐστι πάθος καὶ τὸ κατάλληλον ἐπιζητεῖ βοήθημα πρὸς ἀναπλήρωσιν, οὐ τετυφωμένον ποτόν (57). Πλαδώσης δὲ ὀρέξεως δι' ἀκρασίαν αἱ διαπόντιοι οἰνηγίαι, παραφρονούσης, καὶ πρὸ τῆς μέθης, περὶ τὰς ἐπιθυμίας τῆς ψυχῆς. Θάσιός τε γὰρ (58), καὶ ὁ εὐώδης, καὶ ὁ εὔπνους Λέσβιος, καὶ Κρής τις γλυκὺς, καὶ Συρακούσιος ἡδὺς, καὶ Μενδήσιός τις Αἰγύπτιος, καὶ ὁ νησιώτης Νάξιος, καὶ ἀνθοσμίας (59) τις ἄλλος τῆς Ἰταλῶν γῆς· πολλὰ ταῦτα ὀνόματα· σώφρονι συμπότῃ οἶνος εἷς, ἑνὸς γεώργιον Θεοῦ. Τί γὰρ οὐκ ἀπόχρη ὁ ἐπιχώριος ἐπιπληρῶσαι τὴν ἐπιθυμίαν; εἰ μή τι καὶ τὸ ὕδωρ ἐποίσονται, B ὡς οἱ βασιλεῖς (60) οἱ ἀνόητοι. Χοάσπης ποταμὸς οὕτω λεγόμενος τῆς Ἰνδικῆς, οὗ κάλλιστον ὕδωρ εἰς πόσιν τὸ Χοάσπιον· καθάπερ καὶ τοὺς φίλους (61), οὕτω δὲ καὶ τὸ ὕδωρ ἐπαγόμενον. Ταλανίζει τοὺς πλουσίους εἰς τρυφὴν κἀνταῦθα τὸ ἅγιον Πνεῦμα, διὰ τοῦ Ἀμὼς ἐκφωνῆσαν· « Οἱ πίνοντες (62) τὸν διυλισμένον οἶνον, καὶ ἐπὶ κλίνης ἐλεφαντίνης, » φησὶ, « κατακείμενοι· » καὶ ὅσα τούτοις ἀκόλουθα ἐν ὀνείδους ἐπήγαγεν μέρει. Προνοητέον δὲ μάλιστα τῆς εὐσχημοσύνης, (ᾗ καὶ τὴν Ἀθηνᾶν (63) φησὶν ὁ μῦθος, ἥτις ποτὲ ἦν, προμηθουμένην αὐτῆς, τῶν αὐλῶν ἀποῤῥῖψαι τὸ ἐπιτερπὲς, διὰ τὸ ἀπρεπὲς τῆς ὄψεως·) ὡς ἀδιαστρόφως τῷ προσώπῳ πιεῖν, μὴ ἄδην σπά-

A est sapientissima et optima: adeoque etiam contemplationi apta, nec ex iis, quæ ex vino ascendunt, exhalationibus madefacta, instar nubis in molem corpoream cogitur. Non est ergo vinum Chium magna cura requirendum, si absit: nec Ariusium, si non adsit. Sitis enim est alicujus indigentiæ affectio, et ad eam explendam quærit conveniens auxilium, non autem vinum ardens ac fumosum. Languescentis autem et imbecillæ per intemperantiam appetitionis sunt ✠ transmarinæ vini importationes, desipiente in desideriis animo, vel ante ebrietatem. Nam et Thasium, itemque odoriferum, et suaviter spirans Lesbium, et quoddam suave Creticum, et dulce Syracusium, et Mendesium quoddam Ægyptiacum, et insulare Naxium, et aliud quoddam fragrans ex Italia; multa quidem hæc nomina: moderato autem convivæ vinum unum, quod ex unius Dei agricultura provenit. Quid enim, an non vinum in sua patria natum, cuique sufficit, ad suam explendam cupiditatem? Nisi forte etiam aquam sunt importaturi, quemadmodum stulti reges. Choaspes fluvius est Indiæ sic dictus, cujus est ad potum optima aqua Choaspia. Quemadmodum autem vinum vinosos, ita quæ assumitur aqua, sui efficit amantes. Divites autem miseros et hic pronuntiat Spiritus sanctus, per Amos elocutus: « Qui bibunt vinum percolatum, et super lectum, » inquit, « sedent eburneum[a]: » et quæcunque his similia probri loco subjunxit. Decoris autem cura est ma-

✠ P. 185 ED. POTTER, 157 ED. PARIS. [a] Amos, VI, 4, 6.

videtur censuisse, aut legisse interpres ἀὴρ ξηρή, ita enim vertit: « Aer siccior, anima prudentior, atque melior. » Hæc tam diversa viris doctis dijudicanda relinquimus. COLLECT.

(56*) *Ἀριούσιον*. In vetere exemplari, quod solum habui cum hunc pium gravemque scriptorem excudendum darem, scriptum offendi οὐδὲ τὸν Ἀρεθούσιον, ὅταν μὴ παρῇ; correxi Ἀριούσιον. Plures autem antiqui auctores Ariusii vini ut optimi mentionem fecerunt. Plutarchus in commentario, quo disputat de vita ab Epicuro laudata, et Strabo in 14, qui narrat a loco nomen hoc illi impositum, cum ager quidam asper Chii insulæ Ariusius appellatus ferat vinum optimum omnium vinorum Græcorum. Athenæus quoque in *Epitome* lib. I, necnon etiam Galenus, Virgilius quoque meminit hujus vini in pastorali carmine: ita namque in vetustissimis exemplaribus legitur versus ille:

Vina novum fundam calathis Ariusia nectar.

Inveni quoque libros calamo exaratos, in quibus sit « Arethusia. » P. Victorius lib. XV, cap. 24 *Var. lectionum*. In excuso typus est, οὐδὲ τὸν Ἀριούσιον. Sic et videtur voluisse vertere Hervetus in hac secunda editione, sed omissa est correctio ab amanuensi. COLLECT. Ἀρεθούσιον habent Nov. Reg. Bod. Verumtamen Ἀριούσιον omnino retineri debet: quod vini Chii species est. Athenæus lib. I, cap. 25: Χαριέστερος δ' ἐστὶν ὁ Χῖος καὶ τοῦ Χίου ὁ καλούμενος Ἀριούσιος. « Ante reliqua, Chio gratia est: præsertim ei, quod Ariusium vocatur. » Ibidem, et in capitibus proxime superioribus, de reliquis vini speciebus fusius agit. Conf. Julius Pollux lib. VI, cap. 2. Ejus porro verba, quæ ad rem nostram præcipue spectant, hæc sunt: Χῖος, καὶ ὁ τούτου ἄριστος, ἀρίστειος, ἀριστούσιος. Scribe, Clemente et Athenæo auctoribus, ὁ τούτου ἄριστος, Ἀριούσιος. « Hujus vini species optima, Arius.a. » Corruptio a vicinia

C et similitudine τοῦ ἄριστος, nata videtur.

(57) *Τετυφωμένον ποτόν*. Hoc est, « vinum fastum præ se ferens: » scilicet, quod rarum sit, et nec facile, nec sine magno pretio comparari possit. Eodem sensu hac voce usus est sub finem cap. 3 hujus libri, ubi reprehendit « divites mulieres, quod ex auro facerent urinæ et excrementorum receptacula, » ὡς μηδὲ ἀποτρίψασθαι ἐξὸν..... μὴ τετυφωμένως, « ut ne egerere quidem eis liceat absque fastu et superbia. »

(58) *Γάρ*. Abest a Reg. et Bod. Mox, *καί* abest a Nov.

(59) *Ἀνθοσμίας*. Quidam hoc nomen ducunt a loco Anthosmio, alii ab « odore. » Quomodo præparari debeat, Phanis Eresius docet apud Athenæum lib. I, cap. 24.

(60) *Οἱ βασιλεῖς*. Reges Persarum intelligit. Porro in margine Reg. et Bod. aliquis hoc scholium adnotavit: Ἱστορεῖ τοῦτο Ἡρόδοτος περὶ τῶν Περ- D σῶν βασιλέων, καὶ ἄλλοι πολλοί.

(61) *Καθάπερ καὶ τοὺς φίλους*. A cum Herveto interprete legit, καθάπερ καὶ ὁ οἶνος φιλοίνους ποιεῖ. SYLBURG.—Alii scribunt, καθάπερ καὶ τοὺς φίλους ὁ οἶνος.

(62) *Οἱ πίνοντ*. Amos VI, 4: Οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων. Dein 6: Οἱ πίνοντες τὸν διυλισμένον οἶνον. Quæ Clemens conjunxit.

(63) *Ἧ καὶ τὴν Ἀθηνᾶν*. Καὶ γὰρ τὴν Ἀθ. Nov. non male. Apollodor. lib. I, cap. 4, 2: Οὗτος (Μαρσύας) γὰρ, εὑρὼν αὐλοὺς, οὓς ἔῤῥιψεν Ἀθηνᾶ διὰ τὸ τὴν ὄψιν αὐτῆς ποιεῖν ἄμορφον, ἦλθεν εἰς ἔριν περὶ μουσικῆς Ἀπόλλωνι. « Marsyas enim, cum tibias invenisset, quas Minerva abjecerat quod ejus vultum deformem efficerent, Apollinem de musica provocare non dubitavit. » Hinc Pausanias in *Atticis* memorat Minervæ statuam τὸν Μαρσύαν Σειληνὸν παιούσης, ὅτι δὴ τοὺς αὐλοὺς ἀνέλοιτο, ἐῤῥῖφθαι σφᾶς τῆς θεοῦ βουλομένης. « Marsyam Si-

xime gerenda (cujus etiam Minervam, quæcunque ea fuerit, curam gerentem dicit fabula, tibiarum abjecisse delectationem, propterea quod id esset aspectu indecorum); ut nimirum vultu stabili ac minime distorto bibamus, non nimis avide attrahentes, nec antequam biberimus, oculos indecore se gerere cogentes, præ intemperantia inconvenienter haurientes, ut mentum non conspergamus, nec vestem madefaciamus, dum potus simul totus infunditur, faciem nostram phialis proluentes, atque adeo propemodum obruentes. Etenim susurrus, dum potus magno impetu fertur, et plurimo spiritu attrahitur, perinde ac si in vas fictile infundatur, editus, gutture resonante per rapidam ingurgitationem, turpe est et indecorum intemperantiæ spectaculum. Accedit his, quod ei quoque est damnosum, qui illo utitur, potus studium. Ne ad id, quod tibi damnum affert, o amice, festinaveris. Non eripitur tibi potus, tibi datus est, et te exspectat: ne disrumpi festinaveris, ingenti biatu attrahens. Impletur tua sitis, etsi tardius biberis, honeste ac decore te gerens, dum potus, ut decet, per partes dividitur. Non enim tempore aufertur, quod præripiturab intemperantia. « In vino, » inquit, « ne te ✠ virum fortem præbeas: multos enim vinum reddit inutiles [a]. » Ebrietate autem maxime utuntur Scythæ, Celtæ, Iberi, et Thraces, quæ universæ sunt bellicosæ gentes: pulchrumque ac beatum vitæ studium se exercere putant. Nos autem, qui sumus genus pacificum, ad usum, non ad petulantiam convivantes, sobriis haustibus amicitiæ ergo bibimus, ut reverà convenienter nomini ostendantur amicitiæ. Quomodo Dominum bibisse existimatis, quando propter nos homo factus est? adeone impudenter, ut nos? an non honeste ac tem-

A σαντας, μηδὲ πρὸ πόσεως (64) τοὺς ὀφθαλμοὺς ἀσχημονεῖν ἀναγκάζοντας, ἀμυστὶ ἕλκοντας ὑπὸ ἀκρασίας, μηδὲ περιχεῖν τὸ γένειον, ἢ τὴν ἐσθῆτα καταβρέχειν, ἀθρόου τοῦ ποτοῦ ἐπιχεομένου, μονονουχὶ ἐμπλύνοντα καὶ ἐναποκλυζόμενον ταῖς φιάλαις τὸ πρόσωπον τὸ αὐτῶν. Καὶ γὰρ ὁ κελαρυσμὸς, ῥαγδαίου τοῦ ποτοῦ φερομένου, σὺν πολλῷ τῷ πνεύματι ἐπισπωμένου, ὥσπερ εἰς κεραμοῦν ἄγγος ἐγχεομένου, ἠχοῦντος τοῦ λαιμοῦ διὰ τὸν ῥοώδη καταβροχθισμὸν, αἰσχρὸν καὶ ἀπρεπὲς τὸ θέαμα τῆς ἀκρασίας. Πρὸς δὲ καὶ ἐπιβλαβὲς τὸ ἐπιτήδευμα τῷ μεταλαμβάνοντι ἡ φιλοποσία. Μὴ σπεύσῃς εἰς βλάβην, ὦ οὗτος· οὐχ ἁρπάζεταί σου τὸ ποτόν· σοὶ δέδοται, καὶ ἀναμένει σε· μὴ διαῤῥαγῆναι σπουδάσῃς, χανδὸν ἑλκύσας· πίμπλαταί σου ἡ δίψα, κἂν βράδιον πίῃς, τὸ κόσμιον B προσλαβοῦσα, κοσμίως καταμεριζομένου τοῦ ποτοῦ· οὐ γὰρ ἀφαιρεῖται τῷ χρόνῳ, ὃ προαρπάζει ἡ ἀκρασία. « Ἐν οἴνῳ δὲ, » φησὶ, « μὴ ἀνδρίζου· πολλοὺς γὰρ ἠχρείωσεν (65) ὁ οἶνος. » Μέθῃ δὲ μάλιστα οἱ Σκύθαι χρῶνται, Κελτοί τε, καὶ Ἴβηρες, καὶ Θρᾷκες, πολεμικὰ ξύμπαντα ταῦτα ὄντα γένη· καὶ καλὸν καὶ εὔδαιμον ἐπιτήδευμα ἐπιτηδεύειν νενομίκασιν. Ἡμεῖς δὲ, τὸ εἰρηνικὸν γένος, εἰς ἀπόλαυσιν, οὐκ εἰς ὕβριν ἑστιώμενοι, νηφαλίους πίνομεν φιλοτησίας, ἵνα δὴ τῷ ὄντι οἰκείως τῷ ὀνόματι δειχθῶσιν φιλότητες. Πῶς οἴεσθε πεπωκέναι τὸν Κύριον, ὁπηνίκα δι' ἡμᾶς ἄνθρωπος ἐγένετο; οὕτως ἀναισχύντως ὡς ἡμεῖς; οὐχὶ ἀστείως (66), οὐχὶ κοσμίως; οὐκ ἐπιλελογισμένως; Εὖ γὰρ ἴστε, μετέλαβεν οἴνου καὶ αὐτός· καὶ γὰρ ἄνθρωπος καὶ αὐτός· καὶ εὐλόγησέν γε τὸν οἶνον, εἰπών· C « Λάβετε (67), πίετε· τοῦτό μου (68) ἐστὶν τὸ αἷμα, » αἷμα τῆς ἀμπέλου· τὸν Λόγον, τὸν « περὶ πολλῶν ἐκχεόμενον εἰς ἄφεσιν ἁμαρτιῶν, » εὐφροσύνης ἅγιον ἀλληγορεῖ νᾶμα (69). Καὶ ὅτι μὲν σωφρονεῖν τὸν πίνοντα δεῖ, δι' ὧν ἐδίδασκε παρὰ τὰς εὐωχίας ἔδειξε

✠ P. 186 ED. POTTER, 158 ED. PARIS. [a] Eccli. xxxi, 30.

lenum cædens, quod tibias, quas ipsa abjici voluerat, sustulisset. » Plutarchus refert Alcibiadem etiam tibias repudiasse, quod ejus faciem deformarent.

(64) *Πρὸ πόσεως*. Hanc lectionem Sylburgio debemus. Codices mss. et impressi πρὸ πόλεως exhibent: sed in Reg. aliquis super λ posuit σ.

(65) *Ἠχρείωσεν*. Ἀπώλεσεν Sirac. Quæ sequuntur, sumpta sunt e Platonis lib. I *De legibus*, p. 777: Μέθης δὲ αὐτῆς πέρι, πότερον ὥσπερ Σκύθαι χρῶνται καὶ Πέρσαι, χρηστέον, καὶ ἔτι Καρχηδόνιοι καὶ Κελτοὶ καὶ Ἴβηρες καὶ Θρᾷκες πολεμικὰ ὄντα ταῦτα γένη, ἢ καθάπερ ὑμεῖς· ὑμεῖς μὲν γὰρ, ὅπερ λέγεις, τὸ παράπαν ἀπέχεσθε· Σκύθαι δὲ καὶ Θρᾷκες τῷ ἀκράτῳ παντάπασι χρώμενοι, γυναῖκές τε καὶ αὐτοὶ, καὶ κατὰ τῶν ἱματίων καταχεόμενοι, καλὸν καὶ εὔδαιμον ἐπιτήδευμα ἐπιτηδεύειν νενομίκασι. Πέρσαι δὲ σφόδρα μὲν χρῶνται καὶ ταῖς ἄλλαις τρυφαῖς, ἃς ὑμεῖς ἀποβάλλετε, ἐν τάξει δὲ μᾶλλον τούτων, ὦ λῷστε. « Sed de ebrietate quærendum, inquam, utrum ita utendum sit, quemadmodum Scythæ ac Persæ utuntur, Carthaginenses præterea, et Galli, et Hispani, et Thraces, quæ omnes gentes bellicosissimæ sunt: vel quemadmodum vos, qui, ut ais, omnino abstinetis. Scythæ vero ac Thraces mero penitus utuntur, tam viri quam mulieres, ac mero vestes perfundunt, præclarum hoc et beatum vitæ genus existimantes. Persæ vero aliis quoque deliciis, quas vos spernitis, valde utuntur, quamvis modera ius quam isti, vir optime. » Conf. *Archæologiæ Græcæ* lib. IV, cap. 18.

(66) *Οὐχὶ ἀστείως*. Omittit Nov.

(67) *Λάβετε*. Christus de pane loquens, cum apud Matth. XXVI, tum apud Marc. XIV, et I Cor. XI, hac voce usus est: Λάβετε, φάγετε, de vino nullibi. Verum hæc, eaque quæ sequuntur, διὰ μνήμης et minus accurate recitavit Clemens.

D (68) *Τοῦτό μου*. Clementi idem est, « sanguis » Christi, et « sanguis vitis. » Adjicit præterea Christum, (εὐφροσύνης νᾶμα) « lætitiæ laticem, » seu vinum lætitiæ effectorem (ἀλληγορεῖν) « allegorice vocare » Logon, hoc est semetipsum, « qui, » hoc est cujus sanguis, « pro multis effusus est. » Quod si Clementi idem liquor sit « sanguis Christi et sanguis vitis, » vino præterea sanguinem Christi per allegoriam significante, apparet eum de sacramento Eucharistiæ idem sensisse, quod Tertullianus, qui « corpus Christi » exp. « figuram corporis, » Adv. Marcion. lib. V, cap. 40: « Acceptum panem, et distributum discipulis corpus illum suum fecit, « Hoc est corpus meum » dicendo, id est figura corporis mei, » etc. Ibid. lib. III, cap. 19: « Sic enim Deus, in Evangelio quoque vestro revelavit, panem corpus suum appellans, ut hinc jam cum intelligas corporis sui figuram pani dedisse, » etc.

(69) *Ἀλληγορεῖ νᾶμα*. Ἀλληγορεῖν ἅμα Nov. mendose.

σαφῶς· οὐ γὰρ μεθύων ἐδίδασκεν. Ὅτι δὲ οἶνος ἦν A τὸ εὐλογηθὲν, ἀπέδειξε πάλιν, πρὸς τοὺς μαθητὰς λέγων· « Οὐ μὴ πίω ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου ταύτης, μέχρις ἂν πίω αὐτὸ μεθ' ὑμῶν ἐν τῇ βασιλείᾳ τοῦ Πατρός μου. » Ἀλλ' ὅτι γε οἶνος ἦν τὸ πινόμενον πρὸς τοῦ Κυρίου, πάλιν αὐτὸς περὶ ἑαυτοῦ λέγει, τὴν Ἰουδαίων ἐπονειδίζων σκληροκαρδίαν· « Ἦλθε γὰρ, » φησὶν, « ὁ Υἱὸς τοῦ ἀνθρώπου, καὶ λέγουσιν· Ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, τελωνῶν φίλος. » Τουτὶ μὲν ἡμῖν καὶ πρὸς τοὺς Ἐγκρατητὰς καλουμένους παραπεπήχθω. Αἱ δὲ γυναῖκες, τὸ εὔσχημον ἐπαναιρούμεναι δῆθεν, ὡς μὴ ταῖς πλατείαις κύλιξιν διαχέουσαι τὰ χείλη περιῤῥαγεῖς γένωνται πλατυνομένου τοῦ στόματος στεναῖς κομιδῇ κατὰ τὸ στόμιον ἀλαβάστροις, ἀσχημόνως πίνουσαι, B ἀνακλῶσι μὲν τὰς κεφαλὰς, γυμνοῦσι δὲ τοὺς τραχήλους οὐ κοσμίως, ἐμοὶ δοκεῖν, καὶ τὸν λάρυγγα διατείνουσαι περὶ τὴν κατάποσιν βροχθίζουσιν, οἷον ἀπογυμνούμεναι τοῖς συμπόταις ἃ δύνανται· ἐρυγάς τε ἀνδρώδεις ἐπισπώμεναι, μᾶλλον δὲ ἀνδραποδώδεις, προσεπιθρύπτονται σπαταλῶσαι· οὐδεὶς γὰρ ψόγος οἰκεῖος ἀνδρὶ λογικῷ, ἔτι δὲ μᾶλλον γυναικὶ, ᾗ καὶ τὸ συνειδέναι αὐτὴν ἑαυτῇ, ἥτις εἴη (70) μόνον, αἰσχύνην φέρει· « Ὀργὴ δὲ, » φησὶ, « μεγάλη, γυνὴ μέθυσος· » οἱονεὶ χόλος Θεοῦ, οἰνομάχλη γυνή (71). Διατί; ὅτι « ἀσχημοσύνην αὐτῆς οὐ συγκαλύψει· » ταχὺ γὰρ εἰς ἀταξίαν ὑποσύρεται γυνὴ, κἂν μόνον ἐπιδῷ τὴν προαίρεσιν εἰς ἡδονάς. Καὶ οὐχὶ ἀλαβάστροις πίνειν κεκωλύκαμεν, ἀλλὰ τὸ ἐπιτηδεύειν ἐν τούτοις μόνον πίνειν, ὡς ἀλαζονικὸν, περικόπτομεν, τοῖς παρατυχοῦσιν ἀπροσταθῶς χρῆσθαι συμβουλεύοντες, πόῤῥωθεν ἄνωθεν C ὀλισθανούσας ἀνακόπτοντες αὐταῖς τὰς ὀρέξεις. Ἡ δ' οὖν (72) πρὸς ἐρυγὴν ἀναπλωτάζουσα τοῦ ἀέρος ἔπειξις ἡσυχῇ παραπεμπτέα. Κατ' οὐδένα δὲ τρόπον ταῖς γυναιξὶν ἐπιτρεπτέον, παραγυμνούσας τι τοῦ σώματος καταφαίνεσθαι, μὴ σφαλεῖεν ἄμφω· οἱ μὲν, ἐρεθιζόμενοι κατασκοπεῖν· αἱ δὲ, τῶν ἀνδρῶν ἐφ' ἑαυτὰς ἐπισπώμεναι τὰς ὄψεις. Ἀεὶ δὲ, ὡς παρόντος τοῦ Κυρίου, κοσμίως ἀναστρεπτέον ἡμῖν, μή πη ἄρα καὶ ἡμῖν, ὡς Κορινθίοις ὁ Ἀπόστολος χαλεπήνας εἴπῃ· « Συνερχομένων ὑμῶν (73) οὐκ ἔστι κυριακὸν δεῖπνον φαγεῖν. » Ἐμοὶ δοκεῖ ὁ Ἀκέφαλος πρὸς τῶν μαθηματικῶν καλούμενος, ὁ πρὸ τοῦ ἀστέρος τοῦ πλανωμένου καταριθμούμενος, συνιζηκυίας τῆς κεφαλῆς εἰς τὸ στῆθος, τοὺς ὀψοφάγους καὶ D ἡδονικοὺς καὶ τοὺς ἑτοίμους εἰς μέθην αἰνίττεσθαι· καὶ γὰρ οὖν κἂν τούτῳ (74), τὸ λογιστικὸν ἵδρυται οὐκ ἐν τῇ κεφαλῇ, ἀλλ' ἐν τοῖς ἐντοσθιδίοις πάθεσιν, ἐπιθυμίᾳ τε καὶ θυμῷ δεδουλωμένον. Ὥστε, ὅτῳ τρόπῳ Ἐλπήνωρ (75) ἀστράγαλον ἐάγη καταπεσὼν

A perate? an non considerate? Certo enim scitote, ipse quoque vino usus est: nam ipse quoque homo est. Et vinum benedixit, cum dixit: « Accipite, bibite, hoc est sanguis meus, » sanguis vitis: Verbum enim, quod « pro multis effunditur in remissionem peccatorum [a], » sanctum lætitiæ fluentum allegorice vocat. Et quod sobrium esse oportet eum qui bibit, ex eo, quod in conviviis docuit, aperte ostendit: neque enim ebrius docuit. Quod autem vinum esset, quod benedictum est, ostendit rursus, dicens discipulis: « Non bibam ex fructu vitis hujus, donec bibero ipsum vobiscum in regno Patris mei [b]. » Cæterum quod vinum quidem esset, quod bibebatur a Domino, rursus ipse de seipso dicit, Judæorum cordis duritiem exprobrans: « Venit B enim, » inquit, « Filius hominis, et dicunt: Ecce homo vorax, et potor vini, publicanorum amicus [c]. » Hæc quidem nobis firma et fixa sint adversus eos, qui dicuntur Encratitæ. Porro autem mulieres, honesti ac decori memores, ne labra latis calicibus diffundentes, dilatato ore disrumpantur, admodum angustis in ore alabastris indecore bibentes: capita reflectunt, colla autem non, ut mihi quidem videtur, honeste denudant, et jugulum extendentes, potum ingurgitant, quasi convivis ea, quæ possunt, denudare studeant: virilesque eructationes, vel potius serviles attrahentes, in luxu et in deliciis tempus consumunt. Nihil enim, quod probrum affert et vituperationem, viro, qui ratione est præditus, C convenit, multo autem minus mulieri, cui vel ipsum cogitare quænam sit, ei affert pudorem. **69** « Ira autem » ✠ inquit, « magna, est mulier ebria: » tanquam ira esset Dei, mulier temulenta. Quamobrem? quoniam « suam non celat turpitudinem [d]. » Facile enim mulier ad inhoneste se gerendum attrahitur, modo animum suum liberum voluptatibus permiserit. Neque vero alabastris bibere prohibuerimus, sed studium in his solis bibendi iis, ut superbum et arrogans, resecamus: hoc enim volumus, ut nulla ratione habita, iis, quæ se obtulerint, utantur, pravos appetitus eminus ab ipso principio exscindentes. Jam vero aeris impulsus, qui redeunte quadam fluctuatione incitat ad eructandum, est sensim transmittendus. Nullo autem modo permittendum est mu- D lieribus, ut nudam aliquam corporis partem offerant viris, ne ambo prolabantur; hi quidem dum ad videndum incitantur; illæ vero, dum in se virorum intuitum attrahunt. Semper autem, tanquam præsente Domino, honeste versandum est, ne nobis quoque sicut Corinthiis succensens dicat Apostolus:

✠ P. 187 ED. POTTER, 159 ED. PARIS. [a] Matth. XXVI, 27, 28. [b] Ib. 29. Marc. XIV, 25. [c] Matth. XI, 19. [d] Eccli. XXVI, 11.

(70) *Ἥτις εἴη*. Scilicet quoad muliebrem naturam.
(71) *Οἱονεὶ... γυνή*. Hæc Clementis verba sunt, non Siracidæ, ut hactenus existimata fuere.
(72) *Ἡ δ' οὖν*. Εἰ δὴ Nov. Mox, ἐναπλωτάζουσα Bod. Dein, κατ' οὐδένα τρόπον, omissa δέ part., Nov.
(73) *Ὑμῶν*. Ἐπὶ τὸ αὐτὸ addit Paulus. Mox, ἐμοὶ δοκεῖν pro ἐμοὶ δοκεῖ, Bod.
(74) *Κἂν τούτῳ*. Malim κἂν τούτοις, vel κἂν τούτων· « etiam in his: » vel « etiam horum, » nempe qui gulæ et vino dediti sint.
(75) *Ἐλπήνωρ*. Homerus *Odyss.* K, sub finem:

.... *Πέσεν, ἐκ δέ οἱ αὐχὴν*
Ἀστραγάλων ἐάγη....
......*Cecidit, ejus autem cervix*
Ex junctura fracta est.

Eustathius in illum locum: Τὸ δὲ ἀστραγάλων, ὅ ἐστι σπονδύλων, ἀρχὴ τοῖς μεθ' Ὅμηρον τοῦ εἰπεῖν

« Convenientibus vobis non licet dominicam cœnam comedere [a]. » Mihi videtur is qui a mathematicis dicitur Acephalus, qui ante stellam errantem enumeratur, capite in pectus compresso, significare helluones homines, et voluptuarios, et ad ebrietatem propensos. Nam in his quoque ratiocinandi facultas non in capite, sed in intestinis collocatur, iræ et cupiditati serviens. Quamobrem quemadmodum Elpenor colli vertebras fregit, cum cecidisset per ebrietatem : ita eorum cerebrum præ ebrietate caligine offusum, ad cor et jecur, hoc est ad voluptatem et iram, majore casu decidit, quam dicunt poetæ Vulcanum cœlitus a Jove in terram fuisse dejectum. « Labor autem, vigiliæ, » inquit, « et bilis et tormentum est cum homine insatiabili [b]. » Quocirca Noe quoque indecora vinolentia descripta est, ut ebrietatem quam maxime vitemus, manifestam scriptisque mandatam lapsus imaginem habentes : propter quam, qui ebrietatis texerunt turpitudinem, benedicuntur a Domino. Brevissime itaque comprehendens Scriptura, uno verbo omnia dixit : « Quod homini erudito satis est vinum, et in ejus cubili requiescet [c]. »

ὑπὸ μέθης, οὕτω τούτων ὁ ἐγκέφαλος, ἄνωθεν ἰλιγγιάσας ὑπὸ μέθης, ἐπὶ τὸ ἧπαρ καὶ τὴν καρδίαν, τουτέστιν ἐπὶ τὴν φιληδονίαν καὶ τὸν θυμὸν, καταπίπτει πτῶμα μεῖζον· ᾗ φασὶ ποιητῶν παῖδες (76), πρὸς τοῦ Διὸς τὸν Ἥφαιστον οὐρανόθεν ἐῤῥίφθαι χαμαί. « Πόνος δὲ ἀγρυπνίας, » φησὶ, « καὶ χολέρα (77), καὶ στρόφος μετ' ἀνδρὸς ἀπλήστου. » Διά τοῦτό τοι καὶ ἡ τοῦ Νῶε παροινία ἀνάγραπτος γεγένηται, ἵνα ὡς ὅτι μάλιστα τὴν μέθην φυλαττώμεθα, ἐμφανῆ καὶ ἔγγραπτον τὴν εἰκόνα τοῦ παραπτώματος ἔχοντες· δι' ἣν οἱ σκεπάσαντες (78) τὴν ἀσχημοσύνην τῆς μέθης, εὐλογοῦνται παρὰ Κυρίῳ. Συντομώτατα τοίνυν ἐμπεριλαβοῦσα ἡ Γραφὴ, ἅπαντα ἐν ἑνὶ λόγῳ εἴρηκεν· « Τὸ ἱκανὸν (79) ἀνθρώπῳ πεπαιδευμένῳ οἶνος, καὶ ἐπὶ τῆς κοίτης αὐτοῦ ἀναπαύσεται. »

✠ CAP. III.

Quod in sumptuosam vasorum supellectilem non sit studium conferendum.

Argenteorum itaque, et aureorum, gemmeorumque poculorum irritus et inutilis est usus, ut quibus visus decipiatur tantum. Nam sive eis calidum mistum liquorem infuderis, excalefactorum vasorum molesta est tractatio; sive rursus frigidum infuderis, qualitatem materia transfundit, liquorem corrumpens, et est damnosus dives potus. Valeant ergo Thericlei calices, Antigonides, canthari, labronii et lepastæ, et poculorum genera innumerabilia, psycteres præterea et trullæ. Auri enim et argenti, et privatim et publice est invidiosa, ut semel dicam, possessio, si usum excesserit; rara ad acquirendum, difficilis ad custodiendum, et non apta ad utendum. Quin etiam curiosa ac inanis cælatorum in vitro vana gloria, ad frangendum propter artem paratior, quæ timere docet, simul ac bibas, est a nobis nostris institutis exterminanda. Sellæ autem

ΚΕΦ. Γ'.

Ὅτι οὐ χρὴ περὶ τὴν πολυτέλειαν τῶν σκευῶν ἐσπουδακέναι.

Ἐκπωμάτων τοίνυν ἀργυρίου καὶ χρυσίου (80) πεποιημένων, λιθοκολλήτων τε ἄλλων, ἄθετος ἡ χρῆσις, ὄψεως ἀπάτη μόνον. Εἴ τε γὰρ αὐτοῖς ἐγχέαι τις θερμοῦ κράματος, διαπυρουμένων τῶν σκευῶν ἐπώδυνος ἡ λῆψις· εἴτε αὖ ψυχρὸν πάλιν ἐγχέαι, μεταδίδωσι τῆς ποιότητος ἡ ὕλη, λυμαινομένη τὸ κρᾶμα· καὶ ἔστιν ἐπιβλαβὴς ἡ πόσις ἡ πλουσία. Ἐῤῥέτων τοίνυν Θηρίκλειοί (81) τινες κύλικες, καὶ Ἀντιγονίδες, κάνθαροί τε καὶ λαβρώνιοι, καὶ λεπασταὶ, καὶ τῶν ἐκπωμάτων εἴδη τὰ μυρία· ψυκτῆρές τε ἐπὶ τούτοις, καὶ οἰνοχόαι· χρυσός τε γὰρ ἁπαξαπλῶς καὶ ἄργυρος, ἰδίᾳ τε καὶ δημοσίᾳ ἐστὶν ἐπίφθονον κτῆμα, τὴν χρείαν ὑπερβεβηκός· κτήσασθαί τε σπάνιον, καὶ τηρῆσαι δύσκολον, καὶ οὐκ ἐπιτήδειον χρήσασθαι. Ναὶ μὴν καὶ τορευτῶν (82) περίεργος ἐφ' ὑέλῳ κενοδοξία, εἰς θραῦσιν διὰ τέχνης ἑτοιμοτέρα, δεδιέναι τε ἅμα καὶ πίνειν διδάσκουσα,

✠ P. 188 ED. POTTER, 160 ED. PARIS.

[a] I Cor. xi, 20. [b] Eccli. xxxi, 23. [c] Ibid. 22.

ὡς ὁ δεῖνα κατεάγη τῆς κεφαλῆς. Τὸ μέν τοι κοινότερον, ἐάγη ἀστραγάλους, ἢ κεφαλήν. Collect.

(76) *Ποιητῶν παῖδες*. Homerum intelligit, apud quem Vulcanus hæc de se loquitur, *Iliad*. A, vers. 589 :

..... Ἀργαλέος γὰρ Ὀλύμπιος ἀντιφέρεσθαι.
Ἤδη γάρ με καὶ ἄλλοτ' ἀλεξέμεναι μεμαῶτα
Ῥῖψε, ποδὸς τεταγὼν, ἀπὸ βηλοῦ θεσπεσίοιο.
Πᾶν δ' ἦμαρ φερόμην, ἅμα δ' ἠελίῳ καταδύντι
Κάππεσον ἐν Λήμνῳ· ὀλίγος δ' ἔτι θυμὸς [ἐνῆεν.

(77) *Χολέρα*. Χολέρας Eccl.

(78) *Οἱ σκεπάσαντες*. Scilicet Sem et Japheth, Gen. ix, 23, 26, 27.

(79) *Τὸ ἱκανόν*. Ἱκανὸν ἀνθρώπῳ πεπαιδευμένῳ οἶνος, καὶ ἐπὶ τῆς κοίτης αὐτοῦ ἀναπαύσεται. At in Ecclesiastico c. xxxi, v. 22: Ὡς ἱκανὸν α. π. ὀλίγον καὶ ἐ. τ. κ. α. οὐκ ἀσθμαίνει. « Quam sufficiens homini erudito exiguum, et super cubili suo non anhelat. » Aliter Latina vulgata. Sed nihil in utrovis mutandum est. Jansenius agi putat in hoc versu de victu parco et jejuno; nondum de vino. Collect.

(80) *Ἀργυρίου καὶ χρυσίου*. Ἀργύρου καὶ χρυσοῦ Nov. Dein, περιποιημένων pro πεποιημένων, Reg., Bod.

(81) *Θηρίκλειοι*. In marg. Reg. et Bod. aliquis hæc de poculis adnotavit : Θηρίκλειοι, ἀπὸ Θηρικλέους τοῦτο ἐφευρόντος. Ἀντιγόνιοι ὁμοίως. Κάνθαροι, ἀπὸ τοῦ σχήματος. Λεπασταὶ, ἀπὸ τοῦ σχήματος. Θηρίκλειον, τὸ σφαιροειδὲς τῷ πυθμένι, τὸ ἐπικείμενον ἔχον κωνοειδὲς, ἀφ' οὗ πιεῖν ἐστιν εὐπετές. Ἀντιγόνιος, ἡ ἄνευ τοῦ σφαιροειδοῦς πυθμένος εἰς ὀξὺ ἀποληγουσα. Κάνθαρος, τὸ λεκανοειδὲς μὲν, ἄνωθεν δὲ ὁμοίως πώματι ἐπεσκεπασμένον στομίῳ οὐ μέτρῳ, κατὰ μέσον ἀνεῤῥωγὸς, καὶ πρὸς ἄκρῳ τῆς περιφερείας προχοΐδι, ἀφ' ἧς πιεῖν ἔστιν διοιγόμενον. Λαβρώνιος, ἀσπιδοὲς ἔκπωμα, ἀφ' οὗ ἔστι λάβρως ἐμφορηθῆναι τὸν πίνοντα. Λεπαστὴ, χυτροειδὲς ἔκπωμα, ἐπωτίδι μιᾷ τὸ εἰλῆφθαι παρεχομένη. Ψυκτὴρ κυλινδρικοῦ σχήματος κατατομὴ, κάτωθεν κιονίδι ἐπὶ πρίσματι κυλινδρικῷ ἑδραζομένη· ἀφ' οὗ καὶ ἑστάναι καὶ μεταχειρισθῆναί ἐστιν αὐτῇ πρόχειρον. Conf. Athenæi *Dipnosoph*. lib. xi, per plura capita, Pollucis *Onomast*. lib. vi, cap. 16.

(82) *Ναὶ μὴν καὶ τορευτῶν*. Καὶ μὴν καὶ τορευτὸς, Reg., Bod.

περιοριστέα τῆς εὐνομίας ἡμῶν· κλιντῆρες δὲ ἀργυροῖ, καὶ λεκάναι, καὶ ὀξύβαφα, καὶ (83) πιναχίσχοι, καὶ τρυβλία· πρὸς ἐπὶ τούτοις σκεύη ἀργυρᾶ τε καὶ χρυσᾶ, τὰ μὲν εἰς διακονίαν τροφῆς, τὰ δὲ καὶ εἰς ἄλλας τινὰς, αἰσχύνομαι καὶ λέγειν, χρείας, κέδρου (84) τ' εὐχεάτοιο, καὶ θύου, καὶ ἐβένου, καὶ ἐλέφαντος τρίποδες ἠσκημένοι, κλίναι τε ἀργυρόποδες, καὶ ἐλεφαντοκόλλητοι· χρυσόστικτοί τε καὶ χελώνης πεποικιλμέναι (85) κοίτης κλισιάδες· στρωμναί τε ἁλουργεῖς καὶ ἄλλων χρωμάτων δυσποριστων, ἀπειροκάλου τρυφῆς τεκμήρια, φθόνου καὶ βλακείας ἐπίβουλα πλεονεκτήματα, παραπεμπτέα ἅπαντα· οὐδ' ἡντινοῦν ἀξιόλογον ἔχοντα σπουδήν. « Ὁ γὰρ καιρὸς συνεσταλμένος ἐστὶν, » ὡς φησὶν ὁ Ἀπόστολος. Τοῦτο ὑπολείπεται, μὴ γελοίως σχηματισθῆναι· καθάπερ ἐν ταῖς πομπαῖς ὁρῶνταί τινες, ἔξωθεν κεχρισμένοι καταπληκτικῶς εἰς σεμνότητα, τὰ ἔνδον ἄθλιοι. Τοῦτο δὴ διασαφῶν ἀκριβέστερον, ἐπήγαγεν· « Λοιπόν ἐστιν ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς μὴ ἔχοντες ὦσιν (86)· καὶ οἱ ἀγοράζοντες, ὡς μὴ κατέχοντες. » Εἰ δὲ ἐπὶ (87) γάμου ταῦτα, ἐφ' οὗ φησὶν ὁ Θεὸς, « Πληθύνεσθε· » πῶς οἴεσθε τὴν ἀπειροκαλίαν μὴ ἐξ αὐθεντείας Κυριακῆς ἐξοριστέαν; διὰ τοῦτο καὶ, « Πώλησόν σου τὰ ὑπάρχοντα, » λέγει ὁ Κύριος, « καὶ πτωχοῖς δὸς, καὶ δεῦρο ἀκολούθει μοι. » Ἕπου τῷ Θεῷ, γυμνὸς ἀλαζονείας, γυμνὸς ἐπικήρου πομπῆς· τὸ σὸν, τὸ ἀγαθὸν, τὸ ἀναφαίρετον μόνον, τὴν εἰς τὸν Θεὸν πίστιν, τὴν εἰς τὸν παθόντα ὁμολογίαν, τὴν εἰς ἀνθρώπους εὐεργεσίαν κεκτημένος, κτῆμα τιμαλφέστατον (88). Ἐγὼ δὲ (89) καὶ Πλάτωνα ἀποδέχομαι, ἄντικρυς νομοθετοῦντα, ὡς οὔτε ἀργυροῦν δεῖ πλοῦτον οὔτε χρυσοῦν ἀσκεῖν, ἀλλὰ μήτε σκεῦος ἀχρεῖον, ὃ μὴ μετὰ τῆς ἀναγκαίας χρήσεως, καὶ μέτριόν ἐστιν· ὡς εἰς πολλὰ τὸ αὐτὸ εὔθετον εἴη, καθαιροῖτο δὲ ἡ πολυκτημοσύνη. Παγκάλως γοῦν ἡ θεία που λέγει Γραφὴ, πρὸς τοὺς φιλαύτους καὶ ἀλαζόνας ἀποτεινομένη· « Ποῦ εἰσιν οἱ ἄρχοντες τῶν ἐθνῶν, καὶ οἱ κυριεύοντες τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς, οἱ ἐν τοῖς ὀρνέοις τοῦ οὐρανοῦ ἐμπαίζοντες, οἱ τὸ (90) ἀργύριον θησαυρίζοντες καὶ τὸ χρυσίον, ᾧ ἐπεποίθεισαν ἄνθρωποι, καὶ οὐκ ἔστι τέλος τῆς κτήσεως αὐτῶν· οἱ τὸ ἀργύριόν τε καὶ τὸ χρυσίον

A argenteæ, pelves et acetabula, scutellæ et catini, et præterea vasa aurea et argentea, nonnulla quidem ad ciborum ministerium, alia vero ad alios usus, quos me pudet dicere, ex secili cedro, thyo ebenoque, et ebore instructi tripodes, lectique argentei pedes et ex ebore compacti, auroque interspersæ et testudine variatæ cubilis valvæ, et stragulæ vestes purpureæ, et aliorum colorum paratu difficilium, insolentium deliciarum argumenta, invidiæ mollitiæque ignaviæ insidiosa commoda, sunt omnia amandanda, ut quæ nibil habeant propter quod sit jure in eis multum studii ponendum: « Tempus enim contractum est, » ut dicit Apostolus. Hoc ergo restat, ne habitum quempiam præ nobis ridicule feramus: quemadmodum in pompis videntur nonnulli extrinB secus ita uncti et obliti ad gravitatem, ut stuporem et admirationem incutiant, intus autem sunt plane miseri. Hoc itaque explicans accuratius, subjunxit: « Reliquum est, ut et qui habent uxores sint tan- ✠ quam non habentes, et qui emunt, tanquam non possidentes [a]. » Quod si hæc dixit de conjugio, de quo dixit Deus: « Multiplicemini [b], » quomodo putatis insolentiam non esse ex auctoritate Domini exterminandam? Quocirca dicit etiam Dominus: « Vende quæ habes, et da pauperibus, et huc me sequere [c]. » Sequere Deum nudus ab arrogantia, nudus a pompa momentanea, quod tuum est, quod bonum est, quod auferri non potest, in Deum fidem, in passum confessionem, beneficentiam in homines C possidens: quæ quidem est possessio pretiosissima. Ego autem laudo etiam Platonem, qui lege lata aperte decernit, quod neque, ut opes aureas et argenteas habeas, laborare oportet, neque vas inutile, quod non cum usu necessario moderatum quoque sit, ut sit idem ad multa accommodatum: multiplex autem et varia possessio tollatur. Pulcherrime itaque alicubi **70** dicit divina Scriptura ad eos, qui sunt sui amantes et arrogantes, verba dirigens: « Ubi sunt, qui gentibus imperabant, et qui dominabantur feris, quæ sunt super terram? qui in cœli avibus illudebant; qui argenti et auri thesauros congregabant, in quibus homines habe-

✠ P. 189 ED. POT., 161 ED. PAR. [a] I Cor. VII, 29, 30. [b] Gen. I, 28. [c] Matth. XIX, 21; Marc. X, 21; Luc. XVIII, 22.

(83) *Καί*. Abest a Nov.

(84) *Κέδρου*. Ex Homeri *Odyss.* E, vers. 60, quo Ulysses de domo Calypsus dicit:

..... *Τηλόθι δ' ὀδμὴ*
Κέδρου τ' εὐκεάτοιο, θύου ἀνὰ νῆσον ὀδώδει
Δαιομένων.....

..... *Procul autem odor*
Cedri fissilis, thurisque per insulam redolebat
Ardentium.....

(85) *Χελώνης πεποικιλμέναι*. Legendum videtur χελώνης πεποιημέναι, ut *Pædag.* c. 11. Vel χελώνῃ, aut χελώναις πεποικιλμέναι. Vulgata certe lectio structuram habet duriorem. SYLBURG.

(86) *Ὦσιν*. Quædam hic omittit Clemens. Quæ sequuntur ex Evangelio, διὰ μνήμης recitat.

(87) *Εἰ δὲ ἐπ.* Sic apud Tertullianum *De cultu feminarum* cap. 9: « Non enim utemur nostris? quis autem prohibet uti? Secundum Apostolum tamen, qui nos uti monet mundo isto, quasi non
D abutamur. Præterit enim habitus hujus mundi. Si ergo uxores quoque ipsas sic habendas demonstrat, tanquam non habeantur, propter angustias temporum, quid de vanis his instrumentis earum? » COLLECT.

(88) *Κτῆμα τιμαλφέστατον*. Phrasis poetica. Lycophron *Cassandræ* vers. 364:

Ἐξ οὐρανοῦ πεσοῦσα καὶ θρόνων Διὸς,
Ἄνακτι πάππῳ κτῆμα τιμαλφέστατον.

E cœlo delapsa, Jovisque solio,
Avo regi res pretiosissima.

(89) *Ἐγὼ δέ*. Clarius videtur ferri lex ista lib. V *De legibus*: Νόμος ἕπεται πᾶσι τούτοις μηδ' ἐξεῖναι χρυσὸν, μηδὲ ἄργυρον κεκτῆσθαι μηδένα μηδενὶ ἰδιώτῃ. « Ne cui privato aurum argentumve possidere fas esto. » COLLECT.

(90) *Οἱ τό*. Καὶ τό, Baruch. Mox, ἐπεποίθησαν, Ibid. et Nov. Dein, ὅτι οἱ τὸ ἀργύριον, Baruch. Dein, καὶ οὐκ ἔστιν ἐξ Ibid.

bant fiduciam, et non est finis acquisitionis eorum? qui aurum et argentum fabricabantur, et erant solliciti? Non est inventio operum eorum : evanuerunt, et ad inferos descenderunt [a]. » Hæc est merces arrogantis superbiæ. Si nobis enim agrum colentibus, ligone et aratro opus est, ligonem autem argenteum falcemque auream nemo fabricari soleat, et materia, quæ apta sit ad opus faciendum, non quæ sit dives, in agricultura utimur : quid vetat, quominus in vasis quoque domesticis idem sentiant, qui quod est simile considerant? quorum modus sit usus, non sumptus magnificentia. Quid enim, dic quæso, qui in mensa ponitur gladiolus, si clavos non habuerit argenteos, vel non fuerit factus ex ebore capulus, non scindit? An ad carnem dividendam Indicum ferrum nobis fabricandum est, auxilium veluti quoddam contra hostem evocantibus? Quid vero si fuerit pelvis fictilis, an ablutarum manuum sordes non excipiet? et vas fictile, quo pedes lavamus, pedum sordes? Ergone etiam ✠ indigne feret mensa, quæ est pedibus eburneis instructa, si panem unius oboli portaverit? neque vero lumen lucerna ministrabit, quod sit figuli opus, non aurificis? Ego autem dico, vel humile grabatum nihilo deteriorem præbere accubitum, quam lectum eburneum. Cum autem ad substernendum sit satis pellium, adeo ut purpureis aut puniceis non sit opus, propter primarum, quæ exitium attulerunt, deliciarum stultitiam, nihilo secius condemnare frugalitatem, quis tantus error et vana pulchri persuasio? Videte : Christus in vili catino cibum sumpsit, et fecit discipulos super herbam accumbere, et pedes eorum lavit, linteo accinctus, a fastu alie-

✠ P. 190 ED. POTTER, 162 ED. PARIS.

A τεκταίνοντες, καὶ μεριμνῶντες; οὐκ ἔστιν ἐξεύρεσις τῶν ἔργων (91) αὐτῶν· ἠφανίσθησαν, καὶ εἰς ᾄδου κατέβησαν. » Οὗτος τῆς ἀπειροκαλίας ὁ μισθός. Εἰ γάρ τοι (92) γεωργοῦσιν ἡμῖν, δικέλλης (93) ἐστὶ χρεία, καὶ ἀρότρου· μακέλλην δ' οὐκ ἄν τις ἀργυρᾶν, οὐδὲ ἅμην χρυσῆν χαλκεύοι, τῷ δὲ εὐεργῷ τῆς ὕλης, οὐ πλουσίως (94) εἰς γεηπονίαν συγχρώμεθα· τί κωλύει καὶ περὶ τὰ σκεύη τὰ ἐνοικίδια τὴν αὐτὴν ἔχειν διάνοιαν τοὺς τοῦ ὁμοίου θεωρητικούς; ὧν μέτρον ἡ χρεία, μὴ ἡ πολυτέλεια γινέσθω. Τί γὰρ, εἰπέ μοι, τὸ μαχαίριον τὸ ἐπιτραπέζιον, ἣν μὴ ἀργυρόηλον ᾖ, ἢ ἐξ ἐλέφαντος πεποιημένον τὴν λαβὴν, οὐ τέμνει; Ἢ ἐπὶ τὴν μοῖραν τοῦ κρέως Ἰνδικὸν σίδηρον χαλκευτέον, καθάπερ συμμαχικόν τι παρακαλοῦντας; Τί δέ; εἰ κεραμοῦν εἴη τὸ χερνίβιον, οὐ δέξεται τὸ ἀπό- B νιμμα τῆς χειρός; οὐδὲ ὁ ποδονιπτὴρ τὸ ἀπόνιμμα τοῦ ποδός; Ἀναξιοπαθήσει δὲ ἄρα καὶ ἡ τράπεζα ἡ ἐξ ἐλέφαντος τοὺς πόδας ἐσκευασμένη, ὀβολιαῖον ἄρτον βαστάζουσα; οὐδὲ μὴν ὁ λύχνος διακονήσει τὸ φῶς, ὅτι κεραμέως, οὐ χρυσοχόου ἔργον ἐστιν; Ἐγὼ δέ φημι καὶ τοὺς σκίμποδας οὐδὲν κακίω παρεχομένους κατάκλισιν, τῆς ἐλεφαντίνης κλίνης. Τῆς δὲ σισύρας ἱκανωτάτης οὔσης ὑπεστρῶσθαι, ὥστε μὴ δεῖσθαι πορφυρίδων ἢ φοινικίδων (95), κατεγνῶσθαι (96) ὅμως τῆς εὐτελείας δι' ἀβελτερίαν ἀρχεκάκου τρυφῆς· τίς ἡ τοσαύτη πλάνη, τίς ἡ δοξοκαλία; Ὁρᾶτε· ὁ Κύριος τρυβλίῳ (97) ἐπώψατο (98) εὐτελεῖ, καὶ κατέκλινε τοὺς μαθητὰς ἐπὶ τῆς πόας χαμαί· καὶ τοὺς πόδας ἔνιπτεν αὐτῶν σαβάνῳ (99) περιζωσάμενος ὁ ἄτυφος Θεὸς καὶ Κύριος τῶν ὅλων (1)· οὐκ C ἀργυροῦν δὲ ποδονιπτῆρα περιφέρων (2) ἀπ' οὐρανοῦ· καὶ τὴν Σαμαρεῖτιν ᾔτει πιεῖν σκεύει κεραμεῷ τοῦ φρέατος ἀνιμῶσαν, οὐκ ἐπιζητῶν τὸ βασιλικὸν χρυ-

[a] Baruch. III, 16, 17, 18, 19.

(91) *Τῶν ἔργων*. Repositum e Pal. ms. pro vulg. τῶν λόγων.— SYLBURG. Consentiunt Nov., Reg., Bod.

(92) *Εἰ γάρ τοι*. Tertullianus *De habitu muliebri* c. 5 : « Quod de qualitate usus gloria est auro, et argento, at quin magis ferro et æri, quorum ita disposita est utensilitas, ut et proprias operas plures, et necessariores exhibeant rebus humanis, et nihilominus auri et argenti de sua vice accommodent justioribus causis. Nullus bidens aurum demersit in terram, nullus clavus aurum intimat tabulis. Taceo totius vitæ necessitates ferro et æri innixas. » COLLECT.

(93) *Δικέλλης*. Διακενῆς Nov.

(94) *Οὐ πλουσίως*. Οὐ πλησίως Nov. Scribi possit οὐ πλουσίῳ, ut respondeat τῷ εὐεργῷ.

(95) *Πορφυρίδων ἢ φοινικ*. Pal. ms. transpositis vocabulis, φοινικίδων ἢ πορφυρίδων. SYLBURG. Consentiunt Reg. et Bod.

(96) *Κατεγνῶσθαι*. H. κατέγνωσται, indicat. modo, signif. activa. SYLBURG.— Perperam, nam κατεγνῶσθαι referri debet ad φημί superius positum. Sensus est : « Cum autem pellis ad substernendum abunde sufficiat, adeo ut nec purpureis, nec puniceis opus sit, tamen eam per deliciarum, a quibus mali origo est, vesaniam præ vilitate » dico « condemnari. Quis demum sit hic tantus error, quæ pulchritudinis opinio, videte. »

(97) *Τρυβλίῳ*. Prisci illi Græci et Latini vasis fictilibus ac ligneis domi utebantur, cum autem alia pretii majoris publice non possiderent, ea demum in sacrificiis adhibere cogebantur. Tametsi vero tractu temporis ubi gentium opes in immensum crescerent, ea tamen vasa, quibus antiquitas necessario sacra faciebat in solemnibus ceræmoniis plerumque remanserunt. Plinius lib. XXXV, cap. 12. Cicero *De legibus* II : Ad divos caste adeunto, pietatem adhibento, opes amovento. Deinde locum hunc de vili catino subjungit Brodæus lib. IV *Miscellan.*, cap. 19; idem Chrysostomus hom. 51 in Matthæum. COLLECT.

(98) *Ἐπώψατο*. Rectius ἐπωψᾶτο. SYLBURG.— In marg. Reg. et Bod. aliquis hæc adnotavit : Ἐπώψατο, ἀντὶ τοῦ εἰς ὄψον ἐχρήσατο.

(99) *Σαβάνῳ*. Hermas *Pastor*. lib. III, simil. VIII c. 4 : « Succinge te sabano, et ministra mihi. Succinxi me sabano mundo, quod factum erat ex sacco. » Ubi Cotelerius hæc adnotavit : « Sabanus, » D usitata vox Græcis, apud quos, teste Isidoro lib. XIX, cap. 26, nata est; indeque Latinis, ac Hebræorum Rabbinis. Exponitur autem « linteum, » seu « linteamen, » in Glossis, in antiquo Scholiaste Juvenalis ad Sat. XIV, 22, et in Victore Vitensi lib. V *De persecutione Africana*. Clemens Alexandrinus *Pædag.* II, utens testimonio Joannis, XIII, 4, ubi Dominus præcingit se linteo, pro λεντίῳ habet σαβάνῳ. Unde in Lexico Græco-Latino veteri : Σάβανον, « Sabanum, lentium : » et perperam faciunt, qui « linteum substituunt. »

(1) *Ὁ ἄτυφος Θεὸς καὶ Κύριος τῶν ὅλων*. Insigne testimonium contra Arianos, nam ὁ Θεὸς καὶ Κύριος τῶν ὅλων, quibus titulis Christum ornat, apud veteres semper est supremus Deus.

(2) *Περιφέρων*. Φέρων Nov.

σίον· σβεννύναι δὲ τὸ δίψος εὐκόλως διδάσκων· A σκοπὸν γὰρ τὴν χρείαν ἐτίθετο, οὐ τὴν ἀπειραγαθίαν. Ἤσθιεν δὲ καὶ ἔπινεν παρὰ τὰς εὐωχίας, οὐ γῆς ἐξορύττων μέταλλα, οὐδὲ ἀργύρου (3), καὶ χρυσοῦ, τοῦτ' ἔστιν ἰοῦ, προσόζουσι σκευαρίοις χρώμενος· οἷον ἀναπνεῖ τῆς τετυφωμένης ὕλης ὁ ἰός. Καθόλου γὰρ, καὶ τὰς τροφὰς, καὶ τὰς ἐσθῆτας, καὶ τὰ σκεύη, καὶ τἄλλα πάντα τὰ κατὰ τὸν οἶκον συλλήβδην λέγω, ἀκόλουθον εἶναι ταῖς ἐνστάσεσιν τοῦ Χριστιανοῦ (4) δεῖ, κατὰ τὸ πρόσφορον οἰκειούμενον τῷ προσώπῳ, τῇ ἡλικίᾳ, τῇ ἐπιτηδεύσει, τῷ καιρῷ. Ἑνὸς γὰρ ὄντας θεράποντας Θεοῦ (5), χρὴ καὶ τὰ κτήματα, καὶ τὰ ἐπ' αὐτοῖς ἔπιπλα, ἑνὸς ἐπιδείκνυσθαι σύμβολα βίου καλοῦ, καὶ τὸν καθ' ἕνα τῶν ἀνθρώπων ἀδιακρίτῳ πίστει, τῇ μονοπροσώπῳ ταύτῃ ἐνστάσει, τὰ ἑξῆς ἀκόλουθα καὶ σύμφωνα τῇ διαθέσει τῇ μιᾷ B φαίνεσθαι ποιοῦντα. Ἃ δὲ καὶ κτώμεθα μὴ χαλεπῶς, καὶ χρώμενοι εὐκόλως, ἐπαινοῦμεν, φυλάττομεν ῥᾳδίως, καὶ κοινωνοῦμεν εὐκόλως αὐτῶν· ἀμείνω δὲ τὰ χρήσιμα· βελτίω δὲ δήπουθεν τὰ εὐτελέστερα τῶν πλουσίων. Τὸ δὲ ὅλον ὁ πλοῦτος οὐκ ὀρθῶς κυβερνώμενος, ἀκρόπολίς ἐστι κακίας· περὶ ὃν ὀφθαλμιῶντες οἱ πολλοὶ, οὐκ ἄν ποτε εἰς τὴν βασιλείαν (6) παρεισέλθοιεν τῶν οὐρανῶν· νοσοῦντες μὲν περὶ (7) τὰ κοσμικὰ, ὑπερηφάνως δὲ ζῶντες διὰ τὰς τρυφάς. Χρὴ δὲ προειληφέναι τοὺς περὶ σωτηρίᾳ σπεύδοντας, ὡς ἄρα χρήσεως μὲν ἕνεκεν ἡ πᾶσα ἡμῖν (8) κτῆσις· αὐταρκείας δὲ χάριν ἡ κτῆσις (9), ἣν καὶ ἐξ ὀλίγων ἄν τις περιποιήσαιτο. Μάταιοι γὰρ οἱ δι' ἀπληστίαν ἐπ' αὐτοῖς χαίροντες κειμηλίοις· C « Ὁ δὲ συνάγων τοὺς μισθοὺς, » φησὶ, « συνήγαγεν εἰς δεσμὸν τετρυπημένον. » Οὗτός (10) ἐστιν ὁ συνάγων καὶ ἀποκλείων τὸν σπόρον, καὶ ἐλαττούμενος, ὁ μηδενὶ μεταδιδούς. Χλεύη δὲ καὶ γέλως πλατὺς, οὐροδόχας ἀργυρᾶς καὶ ἀμίδας ὑελᾶς ἐπιφέρεσθαι τοὺς ἄνδρας, καθάπερ ἐπάγονται τοὺς συμβούλους τοὺς ἑαυτῶν· καὶ τὰς πλουτούσας ταύτας ἀλόγως (11) γυναῖκας χρυσοῦ ποιεῖσθαι τῶν ἐκκρίσεων τὰ ἐκδοχεῖα, ὡς μηδὲ ἀποτρίψασθαι ἐξὸν ταῖς πλουσίαις, μὴ τετυφωμένως. Ηὐξάμην δ' ἂν αὐτοῖς παρ' ὅλον τὸν βίον σκυβάλων ἄξιον κρίνεσθαι τὸ χρυσίον. Νυνὶ δὲ ἡ ἀκρόπολις τῆς κακίας (12), ἡ φιλαργυρία εὕρηται, ἣν ὁ

nus Deus et Dominus omnium, sane non argenteum lavacrum e cœlo deferens : et a Samaritana potum petiit, quæ aquam vase fictili hauriebat e puteo, aurum regale non requirens, sitim autem docens facile restinguere. Scopum enim constituebat usum, non inutilem magnificentiam. In conviviis autem comedebat et bibebat, non e terra metalla effodiens, neque auri et argenti, hoc est rubiginem redolentibus vasculis utens : quodammodo enim spirat e superbiente materia rubigo. In summa enim et alimenta, et vestes, vasa et supellectilem, et quæcumque in domo sunt, atque ipsam, ut semel dicam, vitam, oportet esse consentaneam rectæ Christiani hominis institutioni, prout conducibile fuerit, accommodatam personæ, ætati, studio ac tempori. Cum enim simus unius Dei ministri, oportet et possessiones, et quæ est in eis supellectilem, unius honestæ vitæ signa ostendere, et unumquemque hominem certa fide, huic uniformi institutioni ea, quæ consequuntur, consentanea, et huic uni proposito convenientia videri facere. Quæ autem non difficulter acquirimus, ea, dum eis facile utimur, laudamus, et facile custodimus, et facile communicamus : meliora ✠ autem sunt, quæ utilia. Quæ sunt utique viliora, ea sunt etiam meliora divitibus. In summa, divitiæ, quæ non recte administrantur, sunt arx vitii ac sceleris : quibus multi oculos adjicientes, cœlorum regnum nunquam ingredi poterunt ; rerum quidem mundanarum desiderio ægri, arroganter autem præ deliciis viventes. Oportet autem eos qui contendunt ad salutem, hoc animo antea præcepisse, quod usus quidem causa nobis sit universa possessio ; sufficientiæ autem gratia possessio, quam etiam ex paucis quispiam paraverit. Vani enim sunt, qui præ insatiabilitate delectantur possessionibus, quas tantum servent, ac recondant. « Qui autem cogit, » inquit, « mercedes, coegit in nodum perforatum [a]. » Is autem est, qui cogit sementem, et excludit, et detrimento afficitur, qui nulli impertitur. Res est autem plane ridicula, et digna maxime quæ ludibrio habeatur, quod viri argentea urinæ rece-

✠ P. 191 ED. POTTER. [a] Agg. I, 6.

(3) *Οὐδὲ ἀργ*. Sic distingue : Οὐδὲ ἀργύρου καὶ χρυσοῦ, τουτέστιν ἰοῦ προσόζουσι, σκευαρίοις χρ. « Nec argenteis et aureis, hoc est rubiginem olentibus, vasculis utens. »

(4) *Τοῦ Χριστιανοῦ*. Congruentius τὸν Χριστιανὸν, accusativo casu. SYLBURG.— Nisi potius id, vel aliud ejusmodi substantivum, quocum vox ἀκόλουθον cohæreat, subintelligendum sit. Nam hujus periochæ sensus sic se habet : « Nam in summa, et quoad cibos, et quoad vestes, et quoad vasa, et, ut verbo omnia complectar, quoad reliqua, quæ in domo sunt, omnia, Christiani hominis instituto conformem esse oportet, prout convenit personæ, ætati, studio ac tempori accommodatum. »

(5) *Θεοῦ*. Χριστοῦ Pal. ms. SYLBURG.

(6) *Βασιλείαν*. Respicit Christi dictum in divitem, Matth. XIX, 23, 24.

(7) *Περί*. Hanc particulam inserui e Pal. ms. SYLBURG. — Consentiunt Nov., Reg., Bod.

(8) *Ἡμῖν*. Ἡμῶν Nov.

(9) *Ἡ κτῆσις*. Scribendum ἡ χρῆσις. Sensus D enim est, « possessionem omnem esse gratia usus, usum autem gratia » τῆς αὐταρκείας, « quam ex paucis quisquam conciliare poterit. »

(10) *Οὗτος*. Sensus est : « Hic est, qui frumentum colligit, et horreo suo claudit, et tamen pauperior fit, qui scilicet nemini impertit. » Respicit Prov. XI, 24, 26 : Εἰσὶν, οἳ, τὰ ἴδια σπείροντες, πλείονα ποιοῦσιν· εἰσὶ δὲ καὶ οἳ, συνάγοντες, ἐλαττοῦνται. Ὁ συνέχων σῖτον ὑπολείποιτο αὐτὸν τοῖς ἔθνεσιν, εὐλογία δὲ εἰς κεφαλὴν μεταδιδόντος.

(11) *Ἀλόγως*. Ἀλόγους legit interpres.

(12) *Ἡ ἀκρόπολις τῆς κακίας*. Alludere videtur ad sententiam Bionis sophistæ apud Stobæum tit. 10, qui τὴν φιλαργυρίαν μητρόπολιν ἔλεγε πάσης κακίας εἶναι, « Avaritiam dicebat esse omnis improbitatis metropolim. » Phocylides :

Ἡ φιλοχρημοσύνη μήτηρ κακότητος ἁπάσης.

COLLECT.

pocula, et vitreas matulas inferant, quemadmodum suos introducunt consiliarios: et hæ, quæ sine ratione sunt, divites mulieres, ex auro excrementorum faciant receptacula, ut ne egerere quidem eis liceat absque superbia. Vellem quidem eos per totam vitam aurum stercora existimare. Nunc autem arx vitii inventa est pecuniæ cupiditas, quam Apostolus dicit esse « radicem omnium malorum: quam quidam appetentes, a fide aberrarunt, et seipsos confixerunt multis doloribus [a]. » Veræ autem divitiæ sunt, paupertas cupiditatum: et vera animi magnitudo est, non propter divitias magnos spiritus sumere, sed eas despicere. De supellectile autem et vasis se jactare est perquam turpe : non enim in eis studium suum ponere æquum est, quæ volenti licet vel e foro emere. Sapientia autem emi non potest terreno numismate; nec in foro, sed in cœlo venditur : et justo nummo venditur, nempe Logo immortali, regali aureo.

A Ἀπόστολος « ῥίζαν ἁπάντων (13) εἶναι τῶν κακῶν » φησίν· « ἧς τινες ὀρεγόμενοι, ἀπεπλανήθησαν τῆς πίστεως, καὶ ἑαυτοὺς περιέπειραν ὀδύναις πολλαῖς. » Πλοῦτος δὲ ἄριστος ἡ τῶν ἐπιθυμιῶν πενία· καὶ ἡ μεγαλοφροσύνη ἡ ἀληθὴς οὐ τὸ ἐπὶ πλούτῳ μεγαλοφρονεῖν, τούτου δὲ καταφρονεῖν. Τὸ δὲ ἐπὶ τοῖς σκεύεσι μεγαλαυχεῖν αἰσχρὸν κομιδῆ· οὐ γὰρ σπουδάζειν ἔτι περὶ τούτων πάνυ δίκαιον, ἃ καὶ ἐξ ἀγορᾶς τῷ βουλομένῳ ἔξεστιν ὠνήσασθαι. Σοφία δὲ οὐκ ὠνητὴ νομίσματι γηΐνῳ, οὐδ' ἐν ἀγορᾷ, ἀλλ' ἐν οὐρανῷ πιπράσκεται· καὶ πιπράσκεται νομίσματι δικαίῳ, τῷ Λόγῳ τῷ ἀφθάρτῳ, τῷ βασιλικῷ χρυσίῳ.

✠ CAP. IV.

Quomodo in conviviis se recreare oporteat.

A convivio autem rationali absit comessatio: quin etiam inanes vigiliæ, quæ de petulantia sibi placent. Est enim hæc comessatio, tibia inebrians, extemporalis amatorii pontis impotentiæ catena.
71 Amor autem, et ebrietas, et quæ ratione carent affectiones, a nostro choro procul amandentur. Una autem cum petulantia in comessatione versatur ridicula cantilena: in potu vero vigiliæ ebrietatem accersunt, et excitant libidinem, et sunt ad turpia facienda audaces. Sin autem in tibiis, et psalteriis, choris et saltationibus, et plausibus Ægyptiorum, et dissolutis ejusmodi otiis studiose versentur, valde immodesti, et a bona disciplina alieni evaserint, utpote quos cymbala et tympana circumsonent, et fraudis instrumenta circumstrepant: plane enim, ut mihi videtur, ejusmodi convivium est ebrietatis theatrum. « Cum enim tenebrarum opera exuerimus, induere arma lucis » vult Apostolus, « ut in die decore ambulantes, non in comessationibus et ebrietatibus, non in cubilibus et in impudicitiis » versantes [b]. Fistula itaque tribuatur pastoribus: tibia autem superstitiosis hominibus, qui ad cultum idolorum contendunt. Revera enim hæc instrumenta sunt a sobrio convivio amandanda, quæ magis bestiis quam hominibus conveniunt, et iis hominibus, qui a ratione sunt alieniores. Cervas enim fistulis demulceri accepimus, et in laqueos inter venandum cantu duci a venatoribus. ✠ Equis autem coeuntibus,

B

ΚΕΦ. Δ'.

Πῶς χρὴ περὶ τὰς ἑστιάσεις ἀνίεσθαι.

Ἀπέστω (14) δὲ ἡμῖν τῆς λογικῆς εὐωχίας ὁ κῶμος· ἀλλὰ καὶ αἱ παννυχίδες αἱ μάταιοι, ἐπὶ παροινίᾳ κομῶσαι· ὁ μὲν γάρ ἐστι μεθυστικὸς αὐλὸς ἄλυς ἐρωτικῆς σχεδίας, τῆς ἀδημονίας, ὁ κῶμος (15)· ἔρως δὲ, καὶ μέθη, καὶ (16) τὰ ἀλόγιστα πάθη, μακρὰν ἀπῴκισται τοῦ ἡμεδαποῦ χοροῦ. Σύγκωμος δὲ παρῳδία τίς ἐστι παροινία (17)· ἡ παννυχὶς δὲ ἐπὶ πότῳ μέθης ἐκκλητικὴ καὶ συνουσίας ἐρεθιστική· τόλμα αἰσχροποιός. Εἰ δὲ ἐν αὐλοῖς καὶ ψαλτηρίοις, καὶ χοροῖς, καὶ ὀρχήμασι, καὶ κρότοις Αἰγυπτίων, καὶ τοιαύταις ῥᾳθυμίαις ἀλύοι (18) ἀτάκτοις, καὶ ἀπρεπεῖς καὶ ἀπαίδευτοι κομιδῆ γίγνοιντο ἄν, κυμ- C βάλοις καὶ (19) τυμπάνοις ἐξηχούμενοι, καὶ τοῖς τῆς ἀπάτης (20) ὀργάνοις περιψοφούμενοι· ἀτεχνῶς γὰρ, ὡς ἐμοὶ δοκεῖ, θέατρον μέθης τὸ τοιοῦτον γίνεται συμπόσιον. « Ἀποθεμένους γὰρ ἡμᾶς τὰ ἔργα τοῦ σκότους, ἐνδύσασθαι τὰ ὅπλα τοῦ φωτὸς » ἀξιοῖ ὁ Ἀπόστολος, « ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατοῦντας, μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις » σχολάζοντας. Σύριγξ μὲν οὖν ποιμέσιν ἀπονενεμήσθω· αὐλὸς δὲ ἀνθρώποις δεισιδαίμοσιν, εἰς εἰδωλολατρείας σπεύδουσι. Καὶ γὰρ ὡς ἀληθῶς ἀποπεμπτέα τὰ ὄργανα ταῦτα νηφαλίου συμποσίου, θηρίοις μᾶλλον ἢ ἀνθρώποις κατάλληλα, καὶ ἀνθρώπων τοῖς ἀλογωτέροις. Τὰς μὲν γὰρ ἐλάφους ταῖς σύριγξι κηλεῖσθαι παρειλήφαμεν, καὶ ἐπὶ τὰς ποδάγρας, πρὸς τῶν κυνηγῶν θηρευομένας, ἄγεσθαι τῷ μέλει· D ταῖς δὲ ἵπποις μιγνυμέναις, οἷον ὑμέναιος, ἐπαυλεῖ-

✠ P. 192-193 ED. POTTER, 163-164 ED. PARIS.

[a] I Tim. vi, 10. [b] Rom. xiii, 12, 13.

(13) Ἁπάντων. Πάντων apud Paulum. Mox, ἀπεπλανήθησαν ἀπὸ τῆς πίστεως. COLLECT.

(14) Ἀπέστω. Ἀντὶ τοῦ ἐξιστάσθω, ἀναχωρείτω· Scholiastes in marg. Bod., Reg.

(15) Ὁ μὲν . . . ὁ κῶμος. Hoc est, « Hæc enim comessatio est tibia inebrians, oberratio ratis amatoriæ, nempe mœroris. » Sed pro ἄλυς, quod priores editiones exhibent, vel ἅλυς, quod posteriores, ἅλυσις, « catena, » cum Herveto interpreti, tum etiam, teste Sylburgio, A. et H. placuit.

(16) Καί. Abest a Nov. Mox, παροδία pro παρῳδία idem exhibet.

(17) Παροινία. Hervetus interpres dativo casu legit παροινίᾳ, « cum petulantia in convivio. » SYLBURG.

(18) Ἀλύοι. Ἀντὶ τοῦ ἐνευκαιρεῖ, ἐμμέριμνός ἐστι, διὰ φροντίδος ἔχει, ἐνασχολεῖται. Scholiastes in marg. Bod., Reg.

(19) Ἀπρεπεῖς . . . κυμβάλοις καί. Hæc e Nov. exciderunt propter καί repetitum.

(20) Τῆς ἀπάτης. Hoc est, idololatriæ, quam ἀπάτην vocare solet. Etenim cymbala, tympana, et reliqua ejusmodi instrumenta in Bacchi aliorumque deorum festis adhiberi solebant: unde paulo post αὐλὸν tribui jubet τοῖς δεισιδαίμοσιν, εἰς εἰδωλολατρείας σπεύδουσι.

ται (21) νόμος αὐλῳδίας· ἱππόθορον τοῦτον κεκλήκασιν οἱ μουσικοί (22). Πᾶσαν δὲ ἁπαξαπλῶς (23) ἀνελεύθερον ὄψιν τε καὶ ἀκοὴν, καὶ συνελόντι φάναι, αἴσθησιν ἀκρασίας αἰσχρὰν, τὴν ὡς ἀληθῶς ἀναισθησίαν, ἐκκοπτέον εὖ μάλα, τὴν ἐν ὄμμασι καὶ ἐν ὠσὶ γαργαλίζουσαν καὶ ἀποθηλύνουσαν ἡδονὴν εὐλαβουμένους· μελῶν γάρ τοι κατεαγότων, ῥυθμῶν γοερῶν τῆς μούσης τῆς Καρικῆς (24), αἱ ποικίλαι φαρμακεῖαι διαφθείρουσι τοὺς τρόπους, ἀκολάστῳ καὶ κακοτέχνῳ μουσικῇ εἰς πάθος ὑποσύρουσαι (25) τοῦ κώμου τούτου. Τὴν λειτουργίαν δὲ τὴν θεϊκὴν διαχωρίζων (26), ψάλλει τὸ Πνεῦμα· « Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· » καὶ γὰρ ἐν ἤχῳ σάλπιγγος (27) ἀναστήσει τοὺς νεκρούς. « Αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ· » ὅτι ἡ γλῶττα τὸ ψαλτήριον Κυρίου· « Καὶ ἐν κιθάρᾳ αἰνεῖτε αὐτόν· » κιθάρα νοείσθω τὸ στόμα, οἱονεὶ πλήκτρῳ κρουόμενον τῷ Πνεύματι. « Ἐν τυμπάνῳ καὶ χορῷ αἰνεῖτε αὐτόν· » τὴν Ἐκκλησίαν λέγει τὴν μελετήσασαν τῆς σαρκὸς (28) τὴν ἀνάστασιν ἐν ἠχοῦντι τῷ δέρματι. « Ἐν χορδαῖς καὶ ὀργάνῳ αἰνεῖτε αὐτόν· » ὄργανον (29) τὸ σῶμα λέγει τὸ ἡμέτερον, καὶ χορδὰς τὰ νεῦρα αὐτοῦ, δι' ὧν ἐναρμόνιον εἴληφε τὴν τάσιν· καὶ κρουόμενον (30) τῷ Πνεύματι τοὺς φθόγγους ἀποδίδωσι τοὺς ἀνθρωπίνους. « Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις (31) ἀλαλαγμοῦ· » κύμβαλον τοῦ στόματος τὴν γλῶτταν λέγει, ἣ τοῖς κρουομένοις ἐπηχεῖ χείλεσι· διὰ τοῦτο ἐπεφώνησεν τῇ ἀνθρωπότητι· « Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον· » ὅτι πᾶσαν, ἣν ἐποίησεν, ἐπεσκέψατο πνοήν. Εἰρηνικὸν γὰρ ὡς ἀληθῶς ὄργανον ὁ ἄνθρωπος ἐστίν. Τὰ δ' ἄλλα, ἥν πολυπραγμονῇ τις, ὄργανα εὑρήσει πολεμικὰ, εἰς τὰς ἐπιθυμίας ἐκφλέγοντα, ἢ τοὺς ἔρωτας

A veluti quidam hymenæus, tibia carmen canitur: id autem ab incitandis equis musici appellarunt ἱππόθορον. Omne autem turpe spectaculum, omnemque turpem auditionem, et, ut summatim dicam, turpem omnem sensum intemperantiæ, quæ revera quidem est sensus privatio, maxime oportet nos exscindere, voluptatem, quæ oculos et aures titillat ✠ et effeminat, caventes: fractorum enim cantuum, et flebilium Caricæ musæ modorum varia veneficia mores corrumpunt, intemperanti et pravo musicæ artificio ad hujus comessationis perturbationem trahentes. Divinum autem ministerium ab his separans, psallit Spiritus [a]: « Laudate eum in sono tubæ: » in sono enim tubæ suscitabit mortuos. « Laudate eum in psalterio, » quoniam lin-
B gua est psalterium Domini. « Et in cithara laudate eum: » per citharam os intelligatur, quod Spiritu, tanquam plectro, pulsatur. « In tympano et choro laudate eum: » dicit Ecclesiam, quæ resurrectionem carnis meditari solet in pelle resonante. « In chordis et organo laudate eum: » organum dicit corpus nostrum, et chordas ejus nervos, per quos numerose intenditur, et Spiritu pulsatum, voces edit humanas. « Laudate eum in cymbalis jubilationis: » oris cymbalum dicit linguam, quæ pulsatis labris resonat: et ideo humanæ naturæ acclamavit: « Omnis spiritus laudet Dominum: » quoniam omnis spiritus, quem fecit, curam gessit. Vere enim pacificum instrumentum homo est. Alia autem, si quis curiosius inquirat, instrumenta in-
C veniet bellica, ad cupiditates inflammantia, vel amores incendentia, vel iram irritantia. In bellis ita-

✠ P. 193 ED. POTTER. [a] Psal. CL, 3, 4, 5.

(21) Ἐπαυλεῖται. Excerpta ms. ὑπαυλεῖται· et mox, τοῦτο κεκλήκασιν neutro genere. SYLBURG. — Τοῦτο exhibent etiam Bod., Reg.

(22) Μουσικοί. Musica delectari cervos, et tibiis, et cantionibus, quæ equabus accinantur dum ineuntur, meminit Plutarchus libro VII *Symposiac.*, capite 5, et in *Præceptis nuptialibus*. Muretus ex Gothicarum rerum scriptoribus narrat ursos ita delectari tibiarum sono, ut cum in pastores impetum facturi sunt, sæpe ab eis cantu mulceantur, libro XII *Var. lection.*, cap. 15. Olaus Magnus libro XVIII, cap. 31, *De gentibus Septentr.* Quin et Ælianus lib. II *De animalibus*, cap. 28, Pythocharem tradit tibicinem concitato vehementi tibiæ sono luporum impetum cohibuisse. COLLECT.

(23) Ἁπαξαπλῶς. Ἀκρασίαν Nov. Mox, pro αἴσθησιν ἀκρασίας αἰσχράν, idem exhibet αἴσθησιν αἰσχρὰν ἀναισθησίας.

(24) Καρικῆς. Carum musica flebilibus modis constabat. Pollux lib. X, c. 10: Λέγεται δὲ καὶ Φρύγας εὑρεῖν αὐλὸν θρηνητικὸν, ᾧ κεχρῆσθαι τοὺς Κᾶρας παρ' ἐκείνων λαβόντας· θρηνῶδες γὰρ τὸ αὔλημα τὸ Καρικόν. « Fertur enim Phrygas tibiam lugubrem invenisse, qua ab illis accepta Cares utuntur; nam tibiæ cantus, qua Cares utuntur, lugubris est. » Unde mox dicit: Γίγγρας δέ τις αὐλίσκος γοώδη καὶ θρηνητικὴν φωνὴν ἀφίησιν· Φοῖνιξ μὲν ἂν τὴν εὕρεσιν, πρόσφορος δὲ μούσῃ τῇ Καρικῇ. « Est et quædam tibia Gingras, lugubrem et flebilem vocem fundens: Phœnicea quidem quoad originem, Caricæ vero musæ persimilis. »

(25) Εἰς πάθος ὑπο. Quæ sequuntur, hoc modo scribenda videntur: εἰς πάθος ὑποσύρουσαι. Τοῦ κώμου δὲ τούτου τὴν λειτουργίαν τὴν θεϊκὴν δ. ψ. « In animi perturbationem subtrahentes. Cæterum ab hac comessatione, Spiritus divinum cultum distinguit, in Psalmis dicens, » etc.

(26) Διαχωρίζων. Hanc lectionem exhibent non solum posteriores Clementis editiones, sed etiam mss. Nov., Bod., Reg. Malim tamen διαχωρίζον neutro genere, quod habent Florent. et Sylburgianæ editiones: refertur enim ad τὸ Πνεῦμα. Quæ sequuntur e Psalmis, paulum mutavit Clemens.

(27) Καὶ γὰρ ἐν ἤχῳ σάλπιγγος. Hæc e Nov. exciderunt.

(28) Τῆς σαρκός. Abest a Nov.

D (29) Ὄργανον. Chrysostomus in psal. CL: Ἀλλ' ὥσπερ οἱ Ἰουδαῖοι διὰ πάντων τῶν ὀργάνων, οὕτως ἡμῖν παρακελεύεται διὰ πάντων τῶν μελῶν ἀνυμνεῖν τὸν Θεὸν, δι' ὀφθαλμοῦ, διὰ γλώσσης, δι' ἀκοῆς, καὶ διὰ χειρός· αἰνεῖ γὰρ καὶ ὀφθαλμὸς, ὅταν μὴ ἀκόλαστα βλέπῃ· καὶ γλῶττα, ὅταν ψάλλῃ. « Quemadmodum ergo Judæi per omnia instrumenta Deum laudabant, ita nobis præcipit eum per omnia membra laudare, per oculos, per linguam, per aures, et per manus. Laudat enim oculus, quando non intuetur impudice: et lingua, cum psallit. » COLLECT.

(30) Κρουόμενον. Latius hanc metaphoram persequitur Clemens *Protrept.* p. 4, et *Strom.* VI, p. 658, 659 edit. Paris.

(31) Ἐν κυμβ. Τίς ὁ ἐν κυμβάλοις ἀλαλαγμός; Ἀλαλαγμὸς ἡ ἐπινίκιος εἴρηται βοή· τοῖς οὖν καθυπερτερήσασι τῶν σαρκικῶν ἀκαθαρσιῶν ἀκολούθως ἀλαλαγμὸς ἐπακολουθεῖ. Scholiastes in marg. Bod., Reg.

que suis tuba utuntur Etrusci, fistula Arcades; Siculi autem instrumentis quæ appellant πηκτίδας, Cretenses lyra, Lacedæmonii tibia, cornu Thraces, tympano Ægyptii, et Arabes cymbalo. Uno ergo instrumento, Logo solo pacifico, nos utimur, quo Deum honoramus, non amplius veteri psalterio, et tuba, et tympano, et tibia, quibus mos erat iis qui in bello se exercebant. Deique metum contempserunt, et festivis conventibus in choris uti, ut per ejusmodi modos solutus ac dejectus eorum excitaretur animus. Duplex autem sit nostra in potu benevolentiæ ergo invitatio, ex lege: ✠ si enim « Diliges Dominum Deum tuum, » deinde « proximum tuum [a]; » prior quidem, quæ est in Deum benevola invitatio, fiat per gratiarum actionem et psalmodiam: secunda autem, quæ est in proximum, per honestam vitæ consuetudinem: « Logos enim Domini inhabitet in vobis copiose [b], » dicit Apostolus. Hic autem Logos se accommodat et reddit conformem temporibus, personis, locis. Atque adeo nunc quoque in convivio versatur. Rursus enim subjungit Apostolus: « In omni sapientia docentes, et admonentes vos ipsos psalmis, hymnis, et canticis spiritualibus, in gratia canentes in corde vestro Deo [c]. » Et rursus: « Quidquid feceritis vel in sermone vel in opere, omnia in nomine Domini Jesu, gratias agentes Deo et Patri ejus [d]. » Hæc est gratiosa nostra comessatio. Et si ad lyram, vel citharam canere et psallere noveris, nulla in te cadet reprehensio: Hebræum illum justum regem imitaberis, Deo gratias agentem: « Exsultate, justi, in Domino, rectos decet laudatio (dicit prophetia). Confitemini Domino in cithara, in psalterio decachordo ei psallite. Cantate ei canticum novum [e]. » Nunquid autem decachordum psalterium, Logon, Jesum scilicet, significat, qui manifestatur elemento decadis? Quemadmodum autem antequam sumamus alimentum, laudare nos convenit factorem universorum: ita etiam in potu nos ei decet psallere, cum ejus creaturarum efficimur participes: est enim psalmus numerosa et sobria laudatio. « Canticum spirituale [f], » psalmum dixit Apostolus. Postremo autem antequam nos somnus invadat, pium et sanctum est Deo gratias agere, ut qui ejus benignitatem et gratiam fuerimus consecuti, ita ut cum divino quodam afflatu nos ad somnum conferamus:

A ἐκκαίοντα, ἢ ἐξαγριαίνοντα τοὺς θυμούς. Χρῶνται (32) γοῦν παρὰ τοὺς πολέμους αὐτῶν, Τυῤῥηνοὶ μὲν τῇ σάλπιγγι, σύριγγι δὲ Ἀρκάδες, Σικελοὶ δὲ πηκτίσιν, καὶ Κρῆτες λύρᾳ, καὶ Λακεδαιμόνιοι αὐλῷ, καὶ κέρατι Θρᾷκες, καὶ Αἰγύπτιοι τυμπάνῳ, καὶ Ἄραβες κυμβάλῳ· ἑνὶ δὲ ἄρα ὀργάνῳ, τῷ Λόγῳ μόνῳ τῷ εἰρηνικῷ, ἡμεῖς κεχρήμεθα, ᾧ γεραίρομεν τὸν Θεόν· οὐκ ἔτι τῷ ψαλτηρίῳ τῷ παλαιῷ (33), καὶ τῇ σάλπιγγι, καὶ τυμπάνῳ, καὶ αὐλῷ, οἷς ἔθος ἦν τοὺς ἐν πολέμῳ ἀσκητὰς, καὶ τοῦ θείου καταπεφρονηκότας φόβου, ἅμα καὶ τὰς πανηγύρεις (34) χοραίοις συγχρῆσθαι, ὡς δὴ τὸ ἔκλυτον αὐτῶν τοῦ φρονήματος διὰ τῶν τοιούτων ἐπανίστασθαι ῥυθμῶν. Ἔστω δὲ ἡμῶν ἡ παρὰ πότον φιλοφροσύνη διττὴ, κατὰ τὸν νόμον. Εἰ γὰρ « Ἀγαπήσεις Κύριον τὸν Θεόν B σου, » ἔπειτα « τὸν πλησίον σου· » προτέρα μὲν, ἡ εἰς Θεὸν, δι' εὐχαριστίας καὶ ψαλμῳδίας γενέσθω φιλοφροσύνη· δευτέρα δὲ, ἡ (35) εἰς τὸν πλησίον διὰ τῆς ὁμιλίας τῆς σεμνῆς· « Ὁ γὰρ Λόγος ὁ τοῦ Κυρίου ἐνοικείτω ἐν ὑμῖν πλουσίως, » ὁ Ἀπόστολός φησιν. Ὁ δὲ Λόγος οὗτος συναρμόζεται καὶ συσχηματίζεται καιροῖς, προσώποις, τόποις. Συμποτικὸς δέ ἐστι νῦν· ἐπιφέρει γὰρ ὁ Ἀπόστολος πάλιν· « Ἐν πάσῃ σοφίᾳ διδάσκοντες καὶ νουθετοῦντες ἑαυτοὺς ψαλμοῖς, καὶ (36) ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς, ἐν τῇ χάριτι ᾄδοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Θεῷ· » καὶ πάλιν· « Πᾶν ὅ τι ἂν ποιῆτε ἢ ἐν λόγῳ ἢ ἐν ἔργῳ, πάντα ἐν ὀνόματι Κυρίου Ἰησοῦ (37), εὐχαριστοῦντες τῷ Θεῷ καὶ Πατρὶ αὐτοῦ. » Οὗτος ἡμῶν ὁ κῶμος ὁ εὐχάριστος. C Κἂν πρὸς κιθάραν ἐθελήσῃς ἢ λύραν ᾄδειν τε καὶ ψάλλειν, μῶμος οὐκ ἔστιν· Ἑβραῖον μιμήσῃ δίκαιον βασιλέα, εὐχάριστον τῷ Θεῷ· « Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν τῷ Κυρίῳ· τοῖς εὐθέσι πρέπει αἴνεσις, » φησὶν ἡ προφητεία. « Ἐξομολογεῖσθε (38) τῷ Κυρίῳ ἐν κιθάρᾳ, ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψάλατε αὐτῷ. Ἄσατε αὐτῷ ᾆσμα καινόν. » Καὶ μήτι τὸ δεκάχορδον ψαλτήριον τὸν Λόγον, τὸν Ἰησοῦν (39), μηνύει, τῷ στοιχείῳ (40) τῆς δεκάδος φανερούμενον; Ὡς δὲ ἁρμόδιον, πρὶν ἡμᾶς μεταλαβεῖν τροφῆς, τῶν συμπάντων εὐλογεῖν τὸν ποιητὴν, οὕτω καὶ παρὰ πότον (41) καθήκει ψάλλειν αὐτῷ τῶν αὐτοῦ μεταλαμβάνοντας κτισμάτων· καὶ γὰρ ὁ ψαλμὸς ἐμμελής ἐστιν εὐλογία καὶ σώφρων. « Ὠδὴν πνευματικὴν » ὁ Ἀποστόλος εἴρηκε τὸν ψαλμόν. Ἐπὶ πᾶσί τε, πρὶν ὕπνου λαχεῖν, D εὐχαριστεῖν ὅσιον τῷ Θεῷ, τῆς αὐτοῦ χάριτος καὶ φιλανθρωπίας ἀπολαύσαντας, ὡς καὶ ἐπὶ τὸν ὕπνον ἰέναι

✠ P. 194 ED. POTTER, 165 ED. PARIS. [a] Matth. XXII, 37, 39. [b] Coloss. III, 16. [c] Ibidem. [d] Ibid., 17. [e] Psal. XXXII, 1, 2, 3. [f] Eph. V, 19; Coloss. III, 16.

(32) *Χρῶνται*. De musicis instrumentis, quibus Græci veteres in præliis utebantur, conf. *Archæologiæ* nostræ *Græcæ* lib. III, cap. 9.

(33) *Παλαιῷ*. Hoc est eo, quo in Veteri Testamento Judæi usi fuisse perhibentur.

(34) *Τὰς παν*. Ταῖς Bod. et Pal. dativo casu: unde suspicetur aliquis, inquit Sylb., scriptum fuisse ταῖς πανηγύρεσι, quam quidem lectionem exhibet Reg. eamque genuinam esse probabile est: sensus enim est, musica instrumenta non solum in bello, sed etiam in festivis solemnitatibus adhibita fuisse

(35) *Ἡ*. Articulum omittit Nov. Mox, ὁ γὰρ λόγος ὁ τοῦ Χριστοῦ, Bibl. Vulg.

(36) *Ψαλμοῖς κ*. Ψαλμοῖς, ὕμνοις, ᾠδ. absque particulis conjunctivis, Nov. Mox, ἐν χάριτι absque articulo, Bibl. Vulg. Dein, ὑμῶν τῷ Κυρίῳ, Ibid. Paulo post, ἐν λόγῳ absque disjunctiva ἤ. Ib.

(37) *Ἰησοῦ*. Χριστοῦ addunt Bod., Reg. Mox, Πατρὶ δὲ αὐτοῦ, Bibl. Vulg.

(38) *Ἐξομολογεῖσθε*. Fortasse rectius ἐξομολογήσασθε imperat. mod. SYLBURG.

(39) *Τὸν Ἰησοῦν*. Articulum τόν omittit Nov. Porro Jesum denario numero significari infra dicit *Pædag*. lib. III, cap. 12. *Strom*. VI, c. 16.

(40) *Τῷ στοιχείῳ*. Τὸ στοχεῖον Bod.; Ἰ. τὸ στοιχεῖον Reg.

(41) *Παρὰ πότον*. Παρὰ πότου Bod.

ἡμᾶς εὐθέως· « Καὶ ἐξομολογήσασθε (42) αὐτῷ ἐν ᾠδαῖς χειλέων, » φησίν· « ὅτι ἐν προστάγματι αὐτοῦ πᾶσα εὐδοκία γίνεται· καὶ οὐκ ἔστιν ἐλάττωσις εἰς τὸ σωτήριον αὐτοῦ. » Ἀλλὰ καὶ ἐν τοῖς παλαιοῖς Ἕλλησι παρὰ τὰς συμποτικὰς εὐωχίας καὶ τὰς ἐπιψεκαζούσας κύλικας, Ἑβραϊκῶν κατ' εἰκόνα ψαλμῶν, ᾆσμα τὸ καλούμενον σκολιὸν (43) ᾔδετο, κοινῶς ἁπάντων ἅμα φωνῇ παιανιζόντων, ἔσθ' ὅτε δὲ καὶ ἐν μέρει περιελιττόντων τὰς προπόσεις τῆς ᾠδῆς· οἱ δὲ μουσικώτεροι αὐτῶν καὶ πρὸς λύραν ᾖδον. Ἀλλ' αἱ μὲν ἐρωτικαὶ μακρὰν ἐῤῥέτων (44) ᾠδαί· ὕμνοι δὲ ἔστων τοῦ Θεοῦ αἱ ᾠδαί· « Αἰνεσάτωσαν, » φησί, « τὸ ὄνομα αὐτοῦ ἐν χορῷ· ἐν τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλλάτωσαν (45) αὐτῷ. » Καὶ τίς ὁ ψάλλων χορός; αὐτό σοι διηγήσεται τὸ Πνεῦμα· « Ἡ αἴνεσις αὐτοῦ ἐν Ἐκκλησίᾳ ὁσίων· ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν. » Καὶ πάλιν ἐπιφέρει· « Ὅτι εὐδοκεῖ Κύριος ἐν τῷ λαῷ αὐτοῦ. » Καὶ γὰρ ἁρμονίας παραδεκτέον τὰς σώφρονας· ἀπωτάτω ὅτι μάλιστα ἐλαύνοντας τῆς ἐῤῥωμένης ἡμῶν διανοίας, τὰς ὑγρὰς ὄντως ἁρμονίας, αἳ περὶ τὰς καμπὰς τῶν φθόγγων κακοτεχνοῦσαι, εἰς θρύψιν καὶ βωμολοχίαν ἐκδιαιτῶνται· τὰ δὲ αὐστηρὰ καὶ σωφρονικὰ μέλη ἀποτάσσεται ταῖς τῆς μέθης ἀγερωχίαις. Καταλειπτέον οὖν τὰς χρωματικὰς ἁρμονίας (46) ταῖς ἀχρώμοις παροινίαις, καὶ τῇ ἀνθοφορούσῃ καὶ ἑταιρούσῃ (47) μουσικῇ.

A « Et confitemini ei, » inquit, « in canticis labiorum, quod in ejus jussu fiat quidquid ei visum **72** est, et ad ejus salutare nihil sit neque mancum, neque diminutum [a]. » Cæterum apud Græcos quoque veteres, in conviviis ad compotandum comparatis, et rorantibus poculis, ad Hebraicorum psalmorum similitudinem, canticum, quod appellabatur σκολιόν, canebatur, communiter omnibus voce simul pæana clamantibus, et nonnunquam etiam per cantici vices propinationem circumagentibus: qui autem erant ex eis musicæ ✠ paulo peritiores, etiam ad lyram canebant. Verum amatoria quidem procul absint cantica: sint autem cantica, Dei laudes: « Laudent, » inquit, « nomen ejus in choro, in tympano, et psalterio psallant ei [b]. » Et quis est B chorus, qui psallit? Ipse tibi narrabit Spiritus: « Laudatio ejus in Ecclesia sanctorum: exsultent propter regem ipsorum [c]. » Et rursus subjungit: « Quoniam beneplacitum est Domino in populo suo [d]. » Sunt enim admittendæ modestæ et pudicæ harmoniæ; contra a forti et nervosa nostra mente vere molles harmoniæ amandandæ quam longissime, quæ improbo flexuum vocis artificio, ad effeminatam mollitiem et scurrilitatem deducunt. Graves autem, et pudicæ modulationes ebrietatis proterviæ nuntium remittunt. Chromaticæ igitur harmoniæ, impudenti in vino protervice, floribusque redimitæ et meretriciæ musicæ, sunt relinquendæ.

ΚΕΦ. Ε'.

Περὶ γέλωτος.

C

Μιμηλοὺς δὲ ἀνθρώπους γελοίων, μᾶλλον δὲ καταγελάστων παθῶν, τῆς ἡμετέρας ἐξελαστέον πολιτείας. Πάντων γὰρ τῶν λόγων ἀπὸ διανοίας καὶ ἤθους ῥεόντων, οὐχ οἷόν τέ ἐστι γελοίους τινὰς προέσθαι λόγους, μὴ οὐχὶ ἀπὸ γελοίου ἤθους φερομένους. Τὸ γάρ, « Οὐκ ἔστι δένδρον καλὸν, ποιοῦν καρπὸν σαπρόν· οὐδὲ μὴν δένδρον σαπρὸν ποιοῦν καρπὸν καλὸν (48), » κἀνταῦθα ἁρμοστέον· καρπὸς διανοίας γὰρ ὁ λόγος ἐστίν. Εἰ τοίνυν τοὺς γελωτοποιοὺς ἐξοικιστέον τῆς ἡμεδαπῆς πολιτείας, πολλοῦ γε καὶ δεῖ ἡμῖν αὐτοῖς

CAP. V.

De risu.

Ridicularum autem, vel ridendarum potius affectionum imitatores, exigendi sunt a nostra republica. Cum enim verba omnia a mente et moribus emanent, fieri non potest, ut verba aliqua emittantur ridicula, quæ non procedant a moribus ridiculis. Illud enim: « Non est arbor bona, quæ facit fructus malos: neque arbor mala, quæ facit fructus bonos [e], » hic quoque applicandum est. Sermo enim fructus est mentis. Si ergo qui risum movent sunt exterminandi a nostra republica, longe absit,

✠ P. 195 ED. POTTER, 166 ED. PARIS.

[a] Sapient. Sirach. XXXIX, 20, 23. [b] Psal. CXLIX, 3. [c] Ib., 1, 2. [d] Ib., 4. [e] Matth. VII, 18; Luc. VI, 43.

(42) *Καὶ ἐξομ.* Imperfecte recitat Sirach. XXXIX, 15. Δότε τῷ ὀνόματι αὐτοῦ μεγαλωσύνην. Καὶ ἐξομολογήσασθε ἐν αἰνέσει αὐτοῦ, ἐν ᾠδαῖς χειλέων καὶ ἐν κινύραις. Dein c. 18: Ἐν προστάγματι αὐτοῦ πᾶσα ἡ εὐδοκία, καὶ οὐκ ἔστιν ὃς ἐλαττώσει τὸ σωτήριον αὐτοῦ.

(43) *Σκολιόν.* Sic nonnulli scribunt: sed melius est σκόλιον· habet enim hæc vox accentum in antepenult. ut distinguatur ab adjectivo σκολιόν, observante Eustathio in *Odyss.* H. Porro de scholiis conf. *Archæologiæ* nostræ *Græcæ* lib. IV, cap. 20.

(44) *Ἐῤῥέτων.* Ἐῤῥόντων Nov.

(45) *Ψαλλάτωσαν.* Scribe ψαλάτωσαν cum simplici λ. Sequentem sententiam nonnulli codices absque interrogatione exhibent: Καὶ τίς ὁ ψ. χορὸς, αὐτ. « Et quis sit psallens chorus, ipse tibi Spiritus narrabit. » Mox, Ἐκκλησίᾳ ὁσίῳ Nov.

(46) *Χρωματικὰς ἁρμ.* E musicæ generibus tertium habebatur « chromaticum, » quod præ mollitiæ infame erat.

D

(47) *Ἀνθοφορούσῃ καὶ ἑταιρούσῃ.* Apud veteres idem erat ἀνθοφορεῖν, quod ἑταιρεύειν, quod meretrices floridis plerumque vestibus uterentur. Hinc postea Clemens noster, *Pædag.* lib. III, cap. 2: Ὡς τὸν δραπέτην τὰ στίγματα, οὕτω τὴν μοιχαλίδα δείκνυσι τὰ ἀνθίσματα. « Quemadmodum fugitivum servum stigmata, sic meretricem floridæ vestes arguunt. » Solon lege jussit, τὰς ἑταίρας ἄνθινα φορεῖν, « ut meretrices floridas vestes gestarent, » ut refert Artemidorus lib. II, cap. 3. Quam legem Locrensibus imposuit Zaleucus, auctore Diodoro Siculo. Eadem apud Syracusanos obtinuit, teste Plutarcho apud Athenæum lib. XII, et apud Lacedæmonios, ut postea refert Clemens *Pædag.* lib. II, c. 10. Conf. *Archæologiæ* nostræ *Græcæ* lib. IV, c. 12.

(48) *Καρπὸν καλόν.* Καλὸν καρπόν Bod., Reg. Dein pro ἁρμοστέον Pal. habet ἁρμόσει, « conveniet, quadrabit. » SYLBURG.—Ἁρμόσαι. Nov., Reg., Bod. Mox, γὰρ rejiciunt Nov., Reg., Bod.

ut nobis permittamus risum movere. Absurdum enim est, quorum auditores esse prohibitum est, esse eorum imitatores. Multo autem est absurdius, studere ut ipse sis ridiculus, hoc est probris incessendus et irridendus. Si enim nemo e nobis ridiculam figuram suscipere, quemadmodum in pompis videmus nonnullos, sustinuerit, quomodo internum hominem magis ridiculam sustinere figuram jure passi fuerimus, idque palam? Quare non debemus sponte ridiculam assumere personam. Et quomodo in verbis esse et ✠ videri ridiculi operam dabimus, id quod est omnium quæ sunt in homine longe pretiosissimum, nempe sermonem, ludibrio habentes? Ridiculum est ergo hæc exercere, quandoquidem nec hujusmodi ridiculorum hominum sermo dignus est, qui audiatur: cum per ipsa nomina ad turpia facta consuefaciat. Urbane ergo et lepide loquendum est, non autem risus movendus. Quinetiam ipse risus est comprimendus: nam ipse quoque, si quomodo oportet proferatur, præ se fert decorem et honestatem: sin aliter prodeat, indicat intemperantiam. Nam, ut semel dicam, quæcunque sunt naturalia hominibus, ea ab illis minime tollenda sunt, sed eis potius modus et conveniens tempus adhibendum est. Non enim quoniam homo est animal facultate ridendi præditum, ideo perpetuo ridendum est, quandoquidem nec equus, cujus est proprius hinnitus, semper hinnit; sed tanquam animalia ratione prædita, oportet nos apte componere, ut gravitatis severitatem nostræ, nimiumque intensam vehementiam concinne remittamus, non autem inconcinne dissolvamus. Quæ vultus enim, tanquam musici alicujus instrumenti, fit per harmoniam decora remissio, appellata est Græce *μειδίαμα*. Ita et

A ἐπιτρέπειν γελωτοποιεῖν (49)· ἄτοπον γὰρ, ὧν ἀκροατὰς γενέσθαι κεκώλυται, τούτων εὑρίσκεσθαι μιμητάς. Πολλῷ δὲ ἔτι ἀτοπώτερον, γελοῖον αὐτὸν σπουδάζειν γενέσθαι, τουτέστιν ἐφύβριστον καὶ καταγέλαστον. Εἰ γὰρ γελοίως σχηματισθῆναι, καθάπερ ἐν ταῖς πομπαῖς ὁρῶνταί τινες, οὐκ ἂν ὑπομείναιμεν· πῶς ἂν εἰκότως τὸν ἐντὸς ἄνθρωπον, ἐπὶ τὸ γελοιότερον σχηματιζόμενον, ἀνασχοίμεθα, καὶ εἰς τὸ πρόσωπον; Οὔκουν ἑκόντες ἐπὶ τὸ γελοιότερον μεταστρέψαιμεν ἄν ποτε. Καὶ πῶς ἂν κατὰ τοὺς λόγους ἐπιτηδεύσαιμεν εἶναί τε καὶ φαίνεσθαι γελοῖοι, τὸ (50) τιμιώτερον πάντων τῶν ἐν ἀνθρώποις κτημάτων καταμωκώμενοι, τὸν λόγον; Χλεύη μὲν οὖν ἐπιτηδεύειν ταῦτα· ἐπεὶ μηδὲ ὁ τῶν γελοίων λόγος τοῖος ἀκροάσεως (51) ἄξιος, διὰ τῶν ὀνομάτων αὐτῶν ἐπὶ B τὰ αἰσχρὰ τῶν ἔργων ἐθίζων· χαριεντιστέον τε (52), οὐ γελωτοποιητέον. Ἀλλὰ καὶ αὐτὸν τὸν γέλωτα ἐπιστομιστέον· καὶ γὰρ αὖ καὶ αὐτὸς, ὃν μὲν δεῖ τρόπον ἐξαγόμενος, ἐμφαίνει κοσμιότητα· μὴ ταύτῃ δὲ χωρῶν, ἀκολασίαν ἐνδείκνυται. Ἁπλῶς γὰρ, ὁπόσα φυσικὰ τοῖς ἀνθρώποις ἐστὶ, ταῦτα οὐκ ἀναιρεῖν ἐξ αὐτῶν (53) δεῖ· μᾶλλον δὲ μέτρον αὐτοῖς καὶ καιρὸν ἐπιτιθέναι πρέποντα. Οὐ γὰρ ἐπειδὰν γελαστικὸν ζῶον ὁ ἄνθρωπος, γελαστέον τὰ πάντα· ἐπειδὰν οὐδὲ ὁ ἵππος, χρεμετιστικὸς ὢν, χρεμετίζει τὰ πάντα· ὡς δὲ ζῶα λογικὰ, σφᾶς αὐτοὺς ἁρμοστέον εὐκράτως, τὸ αὐστηρὸν τῆς σπουδῆς ἡμῶν καὶ τὸ ὑπέρτονον χαλῶντας ἐμμελῶς, οὐκ ἐκλύοντας ἐκμελῶς· ἡ μὲν γὰρ καθ' (54) ἁρμονίαν τοῦ προσώπου, καθάπερ ὀργάνου, C κόσμιος ἄνεσις μειδίαμα κέκληται διάχυσις· οὕτως ἀνακέκληται (55) καὶ πρόσωπον σωφρονούντων ὁ γέλως· ἡ δὲ ἐκμελὴς τοῦ προσώπου ἔκλυσις, εἰ μὲν ἐπὶ γυναικῶν γίνοιτο, κιχλιασμὸς (56) προσαγορεύεται, γέλως δέ ἐστι πορνικός· εἰ δὲ ἐπὶ ἀνδρῶν, καγ-

✠ P. 196 ED. POTTER, 167 ED. PARIS.

(49) *Γελωτοποιεῖν*. Epictetus cap. 54: Ἀπέστω δὲ καὶ τὸ γέλωτα κινεῖν. « Absit etiam, ut risum moveas. » Id quippe honesto gravique viro indignum judicabant.

(50) *Τό*. Abest a Nov.

(51) *Λόγος τοῖος ἀκρ*. Λόγος, τοῖς ἀκρ. Nov.

(52) *Τε*. Abest a Bod., Reg. Paulo post, ὃν μὲν δὴ τρόπον. Ibid. Dein, καὶ ταύτῃ δὲ χωρ. Nov.

(53) *Ἐξ αὐτῶν*. Codex, qui in Novo Collegio asservatur aliud fragmentum exhibet, quo continentur ea quæ sequuntur usque ad hæc verba in seq. capite, ὀφθαλμῶν παιδαγωγήσεις; al μετά.

(54) *Ἡ μὲν γὰρ κ.* A. ante διάχυσις interpungit. H. in tertium abhinc versum transfert, legitque, κιχλισμὸς καὶ διάχυσις προσαγορεύεται. Ego ἐξήγημα, seu glossulam, esse puto vocabuli μειδίαμα, desumptum ex sequentibus, ubi διαχέαι ἡμᾶς significat animum χαριεντισμῷ ita « perfundere, » ut vultus quoque μειδιάματι renideat. SYLBURG.—Transposita manifeste verba sunt, non aliter quam membra solent in luxato corpore. Cui tamen rei facile occurri potest. Nam quæ tentant viri eruditi, οὐδὲν πρὸς ἔπος. Et certum quidem est τὴν διάχυσιν poni in vitio plerumque. Quam cavendum esse et Stoici præcipiunt, et veteres theologi. Et Arnobius in mystica Baubonis historia, de Cerere: « Tum diffusior, » inquit, « facta per risum, aspernatam sumit, atque ebibit potionem. » Cæterum hoc loco restringitur, quia τὸ κόσμιος adhæret. Quare scribe, καθάπερ ὀργάνου κόσμιος ἄνεσις καὶ διάχυσις, μειδίαμα κέκληται. HEINSIUS.— Ego nihil mutandum sentio. Sensus est: « Illa enim vultus lætitia ac diffusio, quæ moderata et harmonica est, veluti decora quædam musici instrumenti remissio, μειδίαμα vocatur. » Vox διάχυσις transposita est: sed ejusmodi verborum transpositiones apud Clementem frequentissimæ sunt. Qualis illa est principio cap. IV hujus libri: Ὁ μὲν γάρ ἐστι μεθυστικὸς αὐλὸς, ἄλυς ἐρωτικῆς σχεδίας, τῆς ἀδημονίας, ὁ κῶμος.

(55) *Οὕτως ἀνα.* Sequentia sic fortasse legentur D melius, οὕτως καὶ ἀνὰ πρόσωπον σωφρονούντων κέκληται ὁ γέλως· ut significet, ejusmodi risum in moderati hominis vultum, etiam absque vitio, cadere. SYLBURG. —Facilior mutatio erit, si pro καί scribatur κατά, quæ voces sunt maxime εὐμετάβολοι· vel si tantum πρόσωπον mutetur in προσώπων, cui emendationi occasionem præbuit codex Reg. in quo super poster. o aliquis ω notavit. Sensus est: « Sic vocatur in vultu modestorum hominum, » vel « modestorum etiam vultuum, risus. » Epictetus cap. 43 jubet, γέλωτα μὴ πολὺν εἶναι, μηδὲ ἐπὶ πολλοῖς, μηδὲ ἀνειμένον· « risus ne sit multus, nec ob multa, nec effusus. » Ubi Simplicius, explicans quid sit γέλως ἀνειμένος, dicit, ἀλλὰ μειδιάματι μᾶλλον ἐοικέναι, ἐν τοῖς χείλεσιν ὀλίγην τὴν παράλλαξιν ἐργαζόμενον. « Sed labiis leviter diductis fieri, ut non magna vultus appareat mutatio, qui μειδίαμα dicitur. »

(56) *Κιχλιασμός*. Κιχλισμός Nov. et Fragm. Nov.

χασμός· γέλως ἐστὶν οὗτος μνηστηριώδης, κἀξυβρίζων· «Μωρὸς δὲ ἐν γέλωτι ἀνυψοῖ φωνὴν αὐτοῦ,» φησὶν ἡ Γραφή· «ἀνὴρ δὲ πανοῦργος μόγις ἡσυχῇ μειδιάσει.» Φρόνιμον λέγει τὸν πανοῦργον νῦν, τὸν (57) ἐναντίως τῷ μωρῷ διακείμενον. Ἀλλ' οὐδ' ἔμπαλιν εἶναι δεῖ σκυθρωπὸν, ἀλλὰ σύννουν· ἀποδέχομαι γὰρ (58) εὖ μάλα ἐκεῖνον, προσώποις μειδιῶντα, ὃς ἐφαίνετο μειδιόων βλοσυροῖσι προσώπασι, τὸν τοῖς βλοσυροῖς· ἧττον γὰρ ἂν καταγέλαστος ὁ γέλως αὐτῷ εἴη. Χρὴ δὲ καὶ τὸ μειδίαμα παιδαγωγεῖσθαι· καὶ εἰ μὲν ἐπ' αἰσχροῖς εἴη, ἐρυθριῶντας μᾶλλον ἢ μειδιῶντας φαίνεσθαι, μὴ συνήδεσθαι διὰ συμπάθειαν δοκῶμεν· εἰ δὲ ἐπὶ λυπηροῖς, κατηφεστέρους ἁρμόζει βλέπεσθαι, ἢ ἐφήδεσθαι δοκεῖν· τὸ μὲν γὰρ ἀνθρώπινον, οὐ λογισμοῦ τεκμήριον (59)· τὸ δὲ ὠμότητος ὑπόληψιν ἐνδείκνυται. Οὔτε γὰρ ἀεὶ γελαστέον· ἄμετρον γάρ· οὔτε πρεσβυτέρων, ἢ τινων ἑτέρων ἐντροπῆς ἀξίων, παρόντων· εἰ μὴ ἄρα τι αὐτοὶ εἰς τὸ διαχέαι ἡμᾶς χαριεντίσαιντο. Οὔτε μὴν (60) πρὸς τοὺς τυχόντας γελαστέον· οὐδ' ἐν παντὶ τόπῳ, οὐδὲ μὴν πᾶσιν, οὐδὲ ἐπὶ πᾶσιν. Μάλιστα γὰρ μειρακίοις καὶ γυναιξὶν ὄλισθος εἰς διαβολὰς ὁ γέλως ἐστίν. Τὸ δὲ καὶ φαίνεσθαι καταπληκτικὸν πόρρωθεν τῶν περιόντων (61) ἐστὶ φυγαδευτικόν. Δυνατὴ (62) γὰρ ἀποκρούσασθαι τῆς ἀσελγείας τὰς προσβολὰς καὶ ἐκ μόνης τῆς προσόψεως ἡ σεμνότης· πάντας (63) δὲ, ὡς ἔπος εἰπεῖν, τοὺς ἀνοήτους ὁ οἶνος (64)

Καί θ' ἁπαλὸν γελάσαι, καὶ ὀρχήσασθαι ἀνώγει,

εἰς μαλακίαν ἐκτρέπων τὸ ἀνδρόγυνον ἦθος· καὶ σχο-

A in vultu modestorum hominum quæ est diffusio, risus dicitur. Immoderata autem et inconcinna vultus dissolutio, si sit quidem in mulieribus, appellatur Græce κιχλισμός: is est autem risus meretricius. Si vero in viris, καγχασμός: est autem risus insolens et protervus ac procis conveniens. «Stultus autem in risu extollit vocem suam,» inquit Scriptura: «vir autem astutus vix sensim subridebit [a].» Astutum autem nunc dicit prudentem, qui contrario modo, quam stultus, affectus est. Sed neque rursus oportet esse tristem, sed gravem: illum enim magis admitto subridentem, ✠ qui severa visus est facie subridere, quam qui non severa: minus enim fuerit risus ille irridendus. Oportet autem ipsam quoque subrisionem doceri B et castigari, et si ob turpes res excitata fuerit, erubescere potius videri quam subridere, ne videamur per consensum collætari: si autem de rebus molestis, convenit potius tristiores videri, quam lætari: illud enim est considerationis humanæ indicium, hoc autem exhibet crudelitatis existimationem. Neque enim est semper ridendum: est enim immoderatum: neque si adsint seniores, vel aliqui, quos æquum est revereri: nisi forte ipsi quoque, ut nos exhilarent, urbane aliquid et lepide dixerint. Sed neque apud quoslibet ridendum est, neque in omni loco, sed neque omnibus, neque propter omnia. Maxime enim in adolescentulis et mulieribus risus facile ad calumniam trahitur. Rigorem autem præ se ferre eminus, eos, qui accedunt, abigit. Gravitas enim vel solo aspectu petulantiæ impetus frangere ac reprimere valet. **73** Omnes vero, ut verbo dicam, insipientes vinum

C *Et ridere jubet molle, et saltare lubenter,*

mores effeminatos convertens ad mollitiem. Est

✠ P. 197 ED. POTTER, 168 ED. PARIS. [a] Eccli. XXI, 23.

(57) *Τόν*. Τὸν δέ, Reg., Bod.

(58) *Ἀποδέχομαι γ.* A. ἀπ. γ. εὖ μ. ἐκεῖνον, ὃς ἐφαίνετο μειδιόων βλοσυροῖσι προσώπασι, ἢ τὸν μὴ βλοσυροῖσι προσώπασι μειδιῶντα. STILBURG.—Ut sibi constet sententia, dele vocem penultimam, quæ ex loco, qui mox sequitur, adhæsit. Quis enim ἀορίστως dicat, μειδιᾶν προσώποις; At vero μειδιᾶν προσώποις βλοσυροῖς, aut, ut Homerus loquitur, προσώπασι, est βλοσυρῶς μειδιᾶν. Nolo enim in re levi me excruciare, quod fecisse alios video. Studiosus enim aliquis Clementis, cum legisset in hoc loco προσώπασι, quod novum illi videbatur et inusitatum, in margine adnotarat τὸ προσώποις. Exempla rei ejusdem passim in Clemente occurrunt. HEINSIUS.—*Iliad.* K, de Ajace, μειδιόων βλοσυροῖσι προσώπασι. Ideo dixit προσώποις, deinde verba Homeri usurpans, προσώπασι· in quem locum scribens Eustathius: Σημείωσαι, ὅτι τὸ μειδιᾶν γέλωτος μὲν αὐστηρότερον, σκυθρωπότητος δὲ φαιδρότερον. Ita ut permixta sit hilaritas gravitati, nihilque interea de severitate detrahatur, quo minus venerabilis sit, et tamen tristitia vitetur. COLLECT.

(59) *Ἀνθρώπινον, οὐ λ. τ.* A. et C. cum Herveto interprete, ἀνθρωπίνου λογισμοῦ τεκμήριον. «Illud enim est humanæ ratiocinationis indicium.» STILBURG.

(60) *Οὔτε μ.* In eamdem sententiam Salvianus lib. VI *De providentia Dei*, «Christum,» inquit, «flevisse legimus, risisse nunquam legimus: et hoc utrumque in exemplum pro nobis: quia fletus, compunctio est animæ; risus, corruptio disciplinæ. D Nobis ridere et gaudere non sufficit, nisi cum peccato atque insania gaudeamus; nisi risus noster impuritatibus, nisi flagitiis misceatur: nec delectat ridere sine crimine. Rideamus et lætemur jugiter, dummodo innocenter. Quæ vecordia est, ut non possimus risum, nisi Dei injuriam in se habeat?» R. STILBURG.

(61) *Περιόντων*. F. rectius παριόντων. ID.

(62) *Δυνατή*. Ecclesiastæ VII: «Melior est ira; quia per tristitiam vultus corrigitur animus delinquentis.» Duo autem versus, qui deinceps citantur, Homeri sunt *Odyss.* Ξ, circa quadringentesimum et sexagesimum. Apud Stobæum etiam referuntur tit. *De incontinentia*, duo, inquam: nam illud, «Omnes autem,» non numerandum est inter versus, sed inter verba Clementis. COLLECT.

(63) *Πάντας*. Πάντα Nov. et Nov. Frag. Dein, ὡς ἔπος ἦν Nov. Frag.

(64) *Οἶνος*. Apud Plutarchum *Περὶ ἀδολεσχίας* et *Sympos.* lib. III, cap. 1, plenius citatur hic locus:

Οἶνος γάρ τ' ἐφέηκε πολύφρονά περ μάλ' ἀεῖσαι·
Καί θ' ἁπαλὸν γελάσαι, καί τ' ὀρχήσασθαι ἀνῆκε.

Itemque apud Stobæum tit. 18 *De incontinentia*, ubi tertii versus clausula sic legitur: ὅπερ τ' ἄρρητον ἄμεινον; per positionem producta περ, non cæsuram. Sunt autem Homeri *Od.* Ξ. STILBURG.

autem considerandum, quomodo hinc profecta dicendi licentia usque adeo auget petulantiam, ut ad turpiloquium eam perducat :

Et dixit, quod erat melius non dicere verbum.

Subdolorum itaque hominum maxime in vino perspici solent mores, ut qui sunt omni simulatione nudati, propter illiberalem ejus, quæ in vino oritur, petulantiæ licentiam; per quam sopitur quidem ratio, quæ in ipsa anima ebrietate oppressa est et gravata : agrestes autem excitantur affectiones, quæ in animi imbecillitatem facile dominatum occupant.

A πεῖν δεῖ, πῶς ἐντεῦθεν ἡ παῤῥησία τὴν ἀκοσμίαν εἰς αἰσχρολογίαν αὔξει·

Καί τι ἔπος προέηκεν (65), *ὅπερ ἄῤῥητον ἄμεινον.*

Μάλιστα γοῦν ἐν οἴνῳ καθορᾶσθαι τὰ ἤθη τῶν ὑπούλων συμβέβηκε, τῆς ὑποκρίσεως ἀπογυμνούμενα, διὰ τὴν ἀνελεύθερον παῤῥησίαν τῆς παροινίας· δι' ἣν κατακοιμίζεται μὲν ὁ λόγος, ἐν αὐτῇ τῇ ψυχῇ καρηβαρήσας τῇ μέθῃ· τὰ δὲ ἐκτράπελα ἐπεγείρεται πάθη, καταδυναστεύοντα τῆς ἀσθενείας τοῦ λογισμοῦ.

✠ CAP. VI.

De turpiloquio.

B A turpiloquio autem et nos omnino abstinere oportet, et eis, qui illo utuntur, os obstruere, et aspectu severiore, et vultus aversione, et ea, quæ vocatur, subsannatione, et sæpe etiam asperiori oratione. « Quæ enim, » inquit, « ex ore exeunt, coinquinant hominem[a]. » Communem, et gentilem, et indoctum, et petulantem eum ostendunt: non autem proprium, honestum, et temperantem. Cum autem turpia æque in audiendo, versentur et in spectando, divinus Pædagogus eadem ratione pueris luctantibus, ne aures eorum offendantur, pudicos sermones, veluti quædam aurium munimenta, adhibet, ne possit ad frangendam animam pervadere pulsatio fornicationis: oculos autem dirigit ad rerum honestarum spectaculum, melius esse dicens C labi pedibus, quam oculis. Hoc turpiloquium propulsans Apostolus, « Omnis, » inquit, « malus sermo ex ore vestro non procedat, sed si quis bonus [b]. » Et rursus : « Sicut decet sanctos, ne nominetur in vobis turpitudo, et stultiloquium, vel scurrilis urbanitas, quæ non conveniunt: sed potius gratiarum actio [c]. » Si autem, « qui stultum dixit fratrem, obnoxius est judicio [d], » quid de eo, qui stulta loquitur, pronuntiabimus? An non etiam de eo scriptum est : « Qui locutus verbum fuerit otiosum, reddet rationem Domino in die judicii [e]? » Et rursus : « Ex sermone tuo justificaberis, »

ΚΕΦ. Ϛʹ.

Περὶ αἰσχρολογίας.

Αἰσχρολογίας (66) δὲ παντελῶς αὐτοῖς τε ἡμῖν ἀφεκτέον, καὶ τοὺς χρωμένους αὐτῇ ἐπιστομιστέον, καὶ ὄψει δριμυτέρᾳ, καὶ προσώπου ἀποστροφῇ, καὶ τῷ ἀπομυκτισμῷ (67) καλουμένῳ, πολλάκις δὲ καὶ λόγῳ τραχυτέρῳ. « Τὰ γὰρ ἐξιόντα, φησὶν, ἐκ τοῦ στόματος κοινοῖ τὸν ἄνθρωπον (68)· » κοινὸν, καὶ ἐθνικὸν, καὶ ἀπαίδευτον, καὶ ἀσελγῆ δείκνυσιν αὐτόν· οὐχὶ δὲ ἴδιον (69), καὶ κόσμιον, καὶ σώφρονα. Πρὸς δὲ τὴν ἀκοὴν τῶν αἰσχρῶν καὶ τὴν θέαν, ὁμοίως (70) ἐχόντων, ὁ θεῖος Παιδαγωγὸς κατὰ τὰ αὐτὰ τοῖς παλαίουσι τῶν παιδίων, ὡς μὴ τὰ ὦτα θραύοιτο αὐτῶν, τοὺς σώφρονας περιτίθησι λόγους, καθάπερ ἀντωτίδας, ὡς μὴ δύνασθαι ἐξικνεῖσθαι εἰς θραῦσιν τῆς ψυχῆς τὸ κροῦμα (71) τῆς πορνείας· τοὺς δὲ ὀφθαλμοὺς κατευθύνει ἐπὶ τὴν θέαν τῶν καλῶν, ἄμεινον εἶναι λέγων, τοῖς ποσὶν ἢ τοῖς ὀφθαλμοῖς ὀλισθαίνειν. Ταύτην ἀποκρουόμενος τὴν αἰσχρολογίαν ὁ Ἀπόστολος, « Πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν, φησὶν, μὴ ἐκπορευέσθω, ἀλλ' εἴ τις ἀγαθός. » Πάλιν τε αὖ· « Καθὼς πρέπει ἁγίοις μὴ (72) ὀνομαζέσθω ἐν ὑμῖν αἰσχρότης, καὶ μωρολογία, ἢ εὐτραπελία· ἃ οὐκ ἀνῆκεν· ἀλλὰ μᾶλλον εὐχαριστία. » Εἰ δὲ « ὁ μωρὸν εἰπὼν τὸν ἀδελφὸν ἔνοχος εἰς κρίσιν, » τί περὶ τοῦ μωρολογοῦντος ἀποφαινούμεθα; ἢ (73) καὶ περὶ τούτου γέγραπται· « Ὃς ἂν λαλήσῃ λόγον ἀργὸν, ἀποδώσει λόγον τῷ (74) Κυρίῳ ἐν ἡμέρᾳ κρίσεως. » Αὖθίς τε· « Ἐκ τοῦ λό-

✠ P. 198 ED. POTTER, 168-169 ED. PARIS. [a] Matth. xv, 18. [b] Ephes. iv, 29. [c] Ib. v, 3, 4. [d] Matth. v, 22. [e] Ibid. xii, 36.

(65) *Προέηκεν*. Προσέηκεν Bod., Reg. Dein. ὅπερ τ' ἄῤῥητον Nov. et Nov. Frag., item Homerus *Odyss.* Ξ, vers. 461, ubi locus hic integer exstat.

(66) *Αἰσχρολογίας*. Similia habet Epictetus cap. 55 : Ἐπισφαλὲς δὲ καὶ τὸ εἰς αἰσχρολ., etc. « Periculosum est etiam ad orationis obscenitatem progredi : cum igitur tale quidpiam inciderit, aut (si feret opporturnitas), objurgabis eum qui sermonem illum injecerit : aut taciturnitate saltem, et rubore vultuque ostendes, eam orationem tibi displicuisse. »

(67) *Ἀπομυκτισμῷ*. Vel potius ἀπομυκτηρισμῷ, non enim μυκτίζειν, sed μυκτηρίζειν, dicitur τὸ χλευάζειν.

(68) *Τὸν ἄνθρ*. Inducantur ista, tanquam glossema : κοινὸν καὶ ἐθνικὸν, καὶ ἀπαίδευτον, καὶ ἀσελγῆ δείκνυσιν αὐτόν· οὐχὶ δὲ ἴδιον, καὶ κόσμιον, καὶ σώφρονα. Nihil enim sunt aliud, quam interpretatio τοῦ κοινοῖ, quam in margine ascripsit ali- D quis. Heinsius.

(69) *Ἴδιον*. Ἥδιον Nov., Nov. Fragm., Reg., Bod. Sed recepta lectio melior est : nam homini κοινῷ opponit τὸν ἴδιον, « non vulgarem. »

(70) *Καὶ τὴν θέαν, ὁμ*. Καὶ τὴν θέαν τῶν ὁμοίως ἐχόντων Pal., Nov., Nov. Fragm., Reg., Bod.

(71) *Κροῦμα*. Κροῦσμα Nov., Nov. Fragm.

(72) *Ἐκπορευέσθω..... μή*. Hæc exciderunt e Nov. Cæterum quæ sequuntur, Bib. Vulg. sic se habent : Πορνεία δὲ, καὶ πᾶσα ἀκαθαρσία, ἢ πλεονεξία μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις. Καὶ αἰσχρότης, καὶ μωρολογία, ἢ εὐτραπελία, τὰ οὐκ ἀνήκοντα, ἀλ. Quin etiam ea, quæ mox subjicit, Scripturæ loca διὰ μνήμης, uti alias solet, recitare videtur.

(73) *Ἠ*. Ἢ æque legi potest atque ἦ, i. e. « quomodo. » Vulgatum ἢ secutus est Hervetus, « annon et de illo scriptum est? » Sylburg.

(74) *Τῷ*. Abest a Nov., Nov. Fragm., Bod., Reg.

γου σου δικαιωθήσῃ, » φησίν· καί, « Ἐκ (75) τοῦ λόγου σου καταδικασθήσῃ. » Τίνες οὖν αἱ ἀντωτίδες αἱ σωτήριοι, καὶ τίνες αἱ τῶν ὀλισθηρῶν ὀφθαλμῶν παιδαγωγήσεις; αἱ μετὰ (76) τῶν δικαίων συναναστροφαί, προλαμβάνουσαι καὶ προεμφράττουσαι τὰ ὦτα, τοῖς ἀπάγειν τῆς ἀληθείας βουλομένοις.

Φθείρουσιν (77) *ἤθη χρήσθ' ὁμιλίαι κακαί,*

ἡ ποιητικὴ λέγει. Γενναιότερον δὲ ὁ Ἀπόστολος, « Γίνεσθε (78), φησίν, ἀποστυγοῦντες τὸ πονηρόν, κολλώμενοι τῷ ἀγαθῷ· » ὁ γὰρ μετὰ τῶν ἁγίων ἀναστρεφόμενος ἁγιασθήσεται. Πάντῃ οὖν ἀφεκτέον τῶν αἰσχρῶν ἀκουσμάτων, καὶ ῥημάτων, καὶ θεαμάτων· πολὺ δὲ μᾶλλον ἔργων αἰσχρῶν καθαρευτέον· τοῦτο μέν, ἐν ἀποδείξεσι καὶ παραγυμνώσεσι μερῶν τινων τοῦ σώματος, ὧν οὐ χρή· τοῦτο δέ, ταῖς ἐπιθεωρήσεσι τῶν ἀποῤῥητοτέρων μερῶν· οὐδὲ γὰρ ἠνέσχετο τοῦ δικαίου τὴν γύμνωσιν, αἰσχρὰν οὖσαν, ἐπιδεῖν σώφρων υἱός· ἐσκέπασε δὲ ἡ σωφροσύνη, ὃ ἐγύμνωσεν ἡ μέθη, τὸ περίοπτον τῆς ἀγνοίας παράπτωμα. Καθαρευτέον δὲ οὐδὲν ἧττον καὶ ταῖς προφοραῖς τῶν φωνῶν· αἷς ἄβατα εἶναι χρὴ τὰ ὦτα τῶν ἐν Χριστῷ πεπιστευκότων. Ταύτῃ μοι δοκεῖ ὁ Παιδαγωγὸς μηδὲ φθέγξασθαί τι τῶν τῆς αἰσχημοσύνης ἐφιέναι ἡμῖν, πόῤῥωθεν διαβάλλων (79) πρὸς τὴν ἀκολασίαν· δεινὸν (80) γὰρ ἀεὶ τὰς ῥίζας τῶν ἁμαρτημάτων ἐκκόπτειν· τό, « Οὐ μοιχεύσεις, » διὰ τοῦ, « Οὐκ ἐπιθυμήσεις· » καρπὸς γὰρ τῆς ἐπιθυμίας ἡ μοιχεία, τῆς ῥίζης τῆς κακῆς. Ὁμοίως οὖν κἀνταῦθα ὁ Παιδαγωγὸς τὴν ἄδειαν τῶν ὀνομάτων, ὡς χρῆσιν (81), διαβέβληκεν, τὴν ἄδειαν τῆς ἀκολασίας ἐπιμιξίαν ἐκκόπτων· τὸ γὰρ (82) ἐν τοῖς ὀνόμασιν ἀτακτεῖν, μελέτην ἐμποιεῖ τοῦ καὶ εἰς τὰ ἔργα ἀκοσμεῖν· τὸ δὲ περὶ τὴν φωνὴν σωφρονεῖν ἀσκεῖν ἐστι λαγνείας, καὶ καρτερεῖν (83). Διειλήφαμεν δὲ βαθυτέρῳ λόγῳ, ὡς ἄρα οὔτε ἐν τοῖς ὀνόμασιν, οὐδὲ μὴν ἐν τοῖς συνουσιαστικοῖς μορίοις, καὶ τῇ κατὰ γάμον συμπλοκῇ, καθ' ὧν κεῖται τὰ ὀνόματα, τὰ περὶ τὴν συνήθειαν οὐ τετριμμένα, ἡ τοῦ ὄντως (84) αἰσχροῦ προσηγορία τάττεται· οὐδὲ γὰρ γόνυ καὶ κνήμη καὶ τὰ

A inquit, « et ex sermone tuo condemnaberis [a]. » Quænam sunt ergo salutares aurium defensiones, et quænam sunt lubricorum oculorum disciplinæ? Quæ cum justis sunt conversationes, quæ aures præoccupant, et prius obstruunt adversus eos, qui volunt abducere a veritate.

Corrumpunt bonos mores colloquia prava,

inquit poetica. Præclarius autem Apostolus: « Estote, » inquit, « odio habentes malum, ✠ adhærentes bono [b]. » Qui enim cum sanctis versatur, sanctificabitur. Omnino ergo abstinendum est a turpibus auditionibus, et verbis, et spectaculis; sed multo magis a factis turpibus mundos esse oportet; partim quidem in ostendendis et nudandis aliquibus B partibus corporis, quas non decet: partim autem in contemplandis secretioribus partibus. Neque enim turpem justi hominis denudationem aspicere sustinuit modestus filius; sed texit modestia, quod nudarat ebrietas, spectandum lapsum inscientiæ [c]. Mundos autem nihilo secius esse oportet et a vocum prolationibus, quibus nullum esse oportet aditum ad aures eorum qui in Christo crediderunt. Hac ratione mihi videtur Pædagogus nihil, quod sit indecorum, nobis loqui permittere, longe ante nos præmuniens adversus incontinentiam: præclare enim et mira arte solet vitiorum radices exscindere, illud, verbi causa, « Non mœchaberis: » per illud « Non concupisces [d]. » Adulterium enim fructus est concupiscentiæ, quæ quidem est mala radix. C Similiter ergo hic quoque Pædagogus nominum licentiam tanquam usum reprehendit, ut licentiam ad intemperantiæ congressionem amputet: insolenter enim se in vocibus gerere, facit ut meditemur inhoneste facere. In vocibus autem esse modestum, est seipsum exercere ad fortiter sustinendam libidinis impressionem. Prolixiori autem oratione ostendimus, quod neque in nominibus, sed neque in partibus ad coitum pertinentibus, et nuptiali congressione, pro quibus supponuntur nomina, quæ

✠ P. 199 ED. POTTER, 169-170 ED. PARIS.
[d] Exod. xx, 14, 17.

[a] Matth. xii, 37. [b] Rom. xii, 9. [c] Genes. ix, 23.

(75) *Καί, ἐκ.* Perperam distinguunt vulg. editiones post Sylburgium: nam καί non est Clementis, sed Christi vox: Ἐκ γὰρ τῶν λόγων σου δικαιωθήσῃ, καὶ ἐκ τῶν λόγων σου καταδικασθήσῃ. Matth. xii, 37.

(76) *Αἱ μετά.* Hic desinit Nov. Fragm.

(77) *Φθείρουσιν.* Tragicus iambus de improborum commercio prolixius infra commendatur *Strom.* i, pag. 129. Sylburg.—Versus est Menandri ex comœdia, ut quidam volunt, *Thaide*, cujus et meminit Athenæus lib. xiii. Tertullianus i *Ad uxor.*, 8: « Convictum atque commercia Deo digna sectare, memor illius versiculi sanctificati per Apostolum:

Bonos corrumpunt mores congressus mali. »

I Cor. xv. Collect. Senarium hunc, quem Menandro plerique ascribunt, Socrates *Histor. eccl.* lib. iii, c. 14, et post eum Nicephorus lib. x, cap. 26, Euripidi tribuunt.

(78) *Γίνεσθε.* Additamentum Clementis.

(79) *Διαβάλλων.* « Præmuniens » Herveto, ac si scriptum esset διασφαλίζων, vel διαφράττων. Clemens paulo post eadem voce usus est, verum sensu paulum diverso: τὴν ἄδειαν τῶν ὀνομάτων διαβέβληκεν.

D (80) *Δεινόν.* Id habent editiones post Sylburgianam omnes, Herveti, ut videtur, versionem secutæ: verum Florent., Sylburg. et mss. codices δεινός exhibent, quod ad præcedens Παιδαγωγός refertur: quæ lectio quin vera sit, jure dubitari non potest.

(81) *Ὡς χρῆσιν.* Supervacanea videntur esse hæc verba, et forte e margine in textum irrepserunt.

(82) *Τὸ γάρ.* Scholiastes in marg. Bod., Reg.: Ὧν γὰρ οὐκ αἰσχύνεται τοὺς λόγους, τούτων πολλῷ δήπουθεν οὐδὲ τὰ ἔργα.

(83) *Ἀσκεῖν ἐστι λαγνείας, καὶ καρτερεῖν.* Huic sententiæ sensus haud constare videtur. Sylburgius scribi voluit cum præpositione, κατὰ τῆς λαγνείας, « contra libidinem. » In Nov. hoc modo se habet: Ἀσκεῖν ἐστιν ἁγνείας καρτερεῖν, « sustinere se ad castitatem exercere. » Non incommode, si scriptum fuisset ἁγνείαν in sing. numero. Particulam καί ad seq. refert idem codex, διειλήφαμεν δὲ καὶ βαθ.

(84) *Ὄντως.* Ὄντος Reg., Bod.

usu minime trita sunt, ejus, quod vere turpe est, ponitur appellatio. Nam neque genu, et tibia, et hujusmodi membra, et quæ eis imposita sunt nomina, sunt turpia, nec quæ per ea fit actio: membra autem et hominis verenda, verecundia quidem plena, non autem turpia censenda sunt. Turpis autem res est eorum operatio quæ fit præter leges, ideoque probro digna et supplicio. Turpe enim solum revera est vitium, et quæ per ipsum aguntur. His ergo consequenter jure vocetur turpiloquium, quæ de vitiosis factis habetur oratio. Ejusmodi est, si de adulterio, vel de puerorum amore disseratur, et quæ sunt hujusmodi. Quin etiam inepti ✠ ac futiles sermones vitandi sunt. « Ex multiloquio enim, » inquit, « non effugies peccatum [a]. » Luet ergo pœnas linguæ vitium. « Est » enim « tacens qui invenitur sapiens, et est qui odio habetur propter multam loquacitatem [b]. » Quin etiam ipse nugator affert sibi ipsi fastidium ac satietatem: « Qui enim multiplicat sermonem, odit animam suam [c]. »

74 CAP. VII.

Quænam observare oporteat eos, qui honeste simul victitant.

Absit quoque a nobis, ut irrideamus quemdam, a quo primum incipit contumelia, ex quibus lites, pugnæ, et inimicitiæ erumpunt. Diximus autem contumeliam esse ebrietatis ministram. Non ex solis autem factis, sed etiam ex verbis homo judicatur. « In convivio autem, » inquit, « ne argueris proximum, et ei opprobrii sermonem ne dixeris [d]. » Si enim vel maxime cum sanctis conversari præcipitur, sanctum irridere, peccatum est. « Ex ore enim insipientium, » inquit Scriptura, « baculus contumeliæ [e]: » baculum dicens, fundamentum contumeliæ, cui innititur, et super quam requiescit contumelia. Unde admiror Apostolum, qui hic quoque suadet, « neque scurrilia, neque quæ non convenit [f], » verba effundere. Si enim propter charitatem convenitur ad convivia: convivii autem finis est in eos, qui conveniunt, benevolentia: charitatem autem consequuntur cibus et potus: quomodo non est, ut ratio postulat, conversandum, et nec propter

A μέλη τοιαῦτα, οὐδὲ μὴν τὰ ἐπ' αὐτοῖς ὀνόματα, καὶ ἡ δι' αὐτῶν ἐνέργεια, αἰσχρά ἐστι· μέλη δὲ καὶ τὰ αἰδοῖα τοῦ ἀνθρώπου, αἰδοῦς (85), οὐκ αἰσχύνης κατηξιωμένα· αἰσχρὸν δὲ ἡ παράνομος αὐτῶν ἐνέργεια, αἴσχους καὶ ὀνείδους διὰ τοῦτο καὶ κολάσεως ἀξία. Μόνον γὰρ τῷ ὄντι αἰσχρὸν ἡ κακία καὶ τὰ κατὰ ταύτην ἐνεργούμενα. Τούτοις δὲ ἀναλόγως αἰσχρολογία εἰκότως ἂν καλοῖτο ἡ περὶ τῶν τῆς κακίας ἔργων λογοποιία· οἷον, τὸ περὶ μοιχείας διαλέγεσθαι, ἢ παιδεραστίας, καὶ τὰ παραπλήσια. Ναὶ μὴν καὶ τὴν φλύαρον ἀδολεσχίαν κατασιγαστέον· « Ἐκ γάρ τοι πολυλογίας οὐκ ἐκφεύξῃ, » φησὶν, « ἁμαρτίαν. » Δίκην ἄρα ὑφέξει ἡ γλωσσαργία (86)· « Ἔστι » γὰρ « σιωπῶν εὑρισκόμενος σοφὸς, καὶ ἔστι μισητὸς ἀπὸ πολλῆς λαλιᾶς. » Ἔτι δὲ καὶ (87) αὐτὸς αὐτῷ ὁ ἀδο- B λέσχης προσκορής· « Πλεονάζων (88) γὰρ λόγον, βδελύττεται τὴν ψυχὴν αὐτοῦ. »

ΚΕΦ. Ζ'.

Τίνα χρὴ παραφυλάττεσθαι τοὺς ἀστείως (89) συμβιοῦντας.

Ἀπέστω δὲ, ἀπέστω ἡμῶν καὶ τὸ σκώπτειν, ὕβρεως προκατάρχον, ἐξ ὧν ἔριδες, καὶ μάχαι, καὶ ἔχθραι διοιδαίνουσιν. Ὕβριν δὲ ἔφαμεν μέθης εἶναι διάκονον. Οὐκ (90) ἐκ μόνων δὲ τῶν ἔργων, ἀλλὰ καὶ ἐκ λόγων ἄνθρωπος κρίνεται. « Ἐν συμποσίῳ (91) δὲ, » φησὶ, « μὴ ἐλέγξῃς τὸν πλησίον· καὶ λόγον ὀνειδισμοῦ μὴ C εἴπῃς αὐτῷ. » Εἰ γὰρ καὶ τὰ μάλιστα παραγγέλλεται ἁγίοις συνεῖναι, σκώπτειν τὸν ἅγιον ἁμαρτία· « Ἐκ στόματος γὰρ ἀφρόνων, » φησὶν ἡ Γραφὴ, « βακτηρία ὕβρεως· » ἐπιβάθραν ὕβρεως, βακτηρίαν λέγουσα, ᾗ ἐπερείδεται καὶ ἐπαναπαύεται (92) ἡ ὕβρις. Ὅθεν ἄγαμαι τὸν Ἀπόστολον κἀνταῦθα παραινοῦντα, « μηδὲ τὰ εὐτράπελα, μηδὲ τὰ μὴ ἀνήκοντα » προΐεσθαι ἡμᾶς ῥήματα. Εἰ γὰρ δι' ἀγάπην αἱ ἐπὶ τὰς ἑστιάσεις συνελεύσεις, συμποσίου δὲ τὸ τέλος ἡ πρὸς τοὺς συνόντας φιλοφροσύνη, παρεπόμενα δὲ τῇ ἀγάπῃ ἡ βρῶσις καὶ ἡ πόσις· πῶς οὐ λογικῶς ἀναστρεπτέον, οὐδὲ διὰ τὴν (93) ἀγάπην ἀπορητέον; Εἰ γὰρ ὡς ἐπιτείνοντες τὴν πρὸς ἀλλήλους εὔνοιαν συνῆμεν,

P. 200 ED. POTTER, 170-171 ED. PARIS.

[a] Prov. x, 19. [b] Eccli. xx, 5. [c] Ibid. 8. [d] Eccli. xxxi, 41. [e] Prov. xiv, 3. [f] Ephes. v, 4.

(85) *Αἰδοῦς*. Ludit in etymo τῶν αἰδοίων. Cæterum αἰδώς et αἰσχύνη quomodo distinguantur, explicat Ammonius, lib. *De similibus et different. voc.*: Αἰδὼς καὶ αἰσχύνη διαφέρει, ὅτι ἡ μὲν αἰδώς ἐστιν ἐντροπὴ πρὸς ἕκαστον, ὡς σεβόμενός τις ἔχει· αἰσχύνη δὲ, ἐφ' οἷς ἕκαστος ἁμαρτὼν αἰσχύνεται, ὡς μὴ δέον τι πράξας. Καὶ αἰδεῖται μέν τις τὸν πατέρα, αἰσχύνεται δὲ, ὃς μεθύσκεται.

(86) *Γλωσσαργία*. Vide, num melius γλωσσαλγία. « Luet enim pœnas garrulitas. » Collect.— Et γλωσσαλγία quidem habet Nov. Verum haud opus est receptam hactenus lectionem sollicitare: sunt enim hæ voces synonymæ.

(87) *Ἔτι δὲ καί*. Sic editt. posteriores Sylburgio: in Flor. itemque mss. codd. exstat εἰ δὲ καί, quod Sylburgius mutandum sensit in ἤδη καί, « jam et. »

(88) *Πλεονάζων*. Ecclesiastici xx, 8: Ὁ πλεονάζων λόγῳ βδελυχθήσεται.

(89) *Ἀστείως*. Ἀστείους Bod. et editiones Sylburgiana posteriores.

D (90) *Οὐκ*. Respicit Christi dictum, quod recitat Matth. xii, 37.

(91) *Συμποσίῳ*. Οἴνου addit Ecclesiast. Mox post πλησίον ibidem additur καὶ μὴ ἐξουδενώσῃς αὐτὸν ἐν εὐφροσύνῃ αὐτοῦ.

(92) *Ὕβρεως... ἐπαναπαύεται*. Hæc e Nov. exciderunt.

(93) *Οὐδὲ διὰ τ.* Οὐδὲ τὴν ἀγάπην ἀπορητέον, omissa præpositione διά, Nov. Quod si eam retinere placeat, sic exp.: « Nec sunt propter amoris studium proponendæ quæstiones, quibus convivæ ad angustias redigantur. » Nam ἀπορεῖν Clemens « quærendi » sensu uti solet. Vult igitur nos διὰ τὴν ἀγάπην, « charitatis intuitu, » abstinere ab ejusmodi quæstionibus, quæ convivas difficultatibus perplexos irridendos proponerent. Quod si hic sensus placeat, hoc modo distinguenda est hæc sententia: Πῶς οὐ λογικῶς ἀναστρεπτέον; Οὐδὲ διὰ τὴν ἀγάπην ἀπορητέον· εἰ γάρ, etc.

πῶς ἔχθρας διὰ τοῦ σκώπτειν σαλεύομεν; Σιωπᾶν δὲ κρεῖττον ἢ ἀντιλέγειν, ἁμαρτίαν ἀμαθίᾳ προφερομένους (94). « Μακάριος ὡς ἀληθῶς (95) ἀνὴρ ὃς οὐκ ὠλίσθησεν ἐν στόματι αὐτοῦ, καὶ οὐ κατενύγη ἐν λύπῃ ἁμαρτίας· » ἤτοι μετανοήσας ἐφ' οἷς λαλήσας ἥμαρτεν· ἢ ἐν τῷ μηδένα λυπῆσαι λαλήσας. Καθόλου μὲν οὖν, νέοι μὲν καὶ νεάνιδες ὡς ἐπίπαν τῶν τοιῶνδε ἀπεχέσθων εὐωχιῶν, ὡς μὴ σφάλλοιντο περὶ ἃ μὴ προσῆκε· καὶ γὰρ ἀκούσματα ἀήθη, καὶ θέαματα ἀπρεπῆ, κυμαινομένης ἔτι ἐν αὐτοῖς τῆς πίστεως, ἐκριπίζει τὴν διάνοιαν· συνεργεῖ δὲ αὐτοῖς τὸ ἄστατον τῆς ἡλικίας, πρὸς τὸ εὐκατάφορον τῆς ἐπιθυμίας. Ἔσθ' ὅτε δὲ καὶ ἄλλοις παραίτιοι γίνονται σφαλμάτων, τὸ ἐπικίνδυνον τῆς ὥρας ἐπιδεικνύμενοι. Εὖ γάρ τοι παραγγέλλειν ἡ Σοφία φαίνεται· « Μετὰ ὑπάνδρου γυναικὸς μὴ κάθου τὸ σύνολον, καὶ μὴ συμμετακλιθῇς (96) ἐπ' ἀγκῶνα μετ' αὐτῆς· » τουτέστι, μὴ συνδείπνει πυκνότερον· μηδὲ ἔσθιε μετ' αὐτῆς. Διὸ καὶ ἐπιφέρει· « Μηδὲ συμβολὰς ποίει μετ' αὐτῆς (97) ἐν οἴνῳ, μήποτε ἐκκλίνῃ ἡ καρδία σου ἐπ' αὐτήν, καὶ τῷ αἵματί σου ὀλισθήσῃ εἰς ἀπώλειαν. » Σφαλερὰ γὰρ ἡ πάροινος ἐλευθερία, παρανθεῖν δυναμένη. « Ὕπανδρον » δὲ ὠνόμασεν, ἐπεὶ μείζων ὁ κίνδυνος τῷ λῦσαι τὴν δέσιν τῆς συμβιώσεως πειρωμένῳ· εἰ δὲ καὶ ἀνάγκη (98) τις περιτύχοι, παριέναι κελεύουσα, αἱ μὲν κεκαλύφθων ἄγαν ἀμπεχόνῃ ἔκτοσθεν (99), ἔνδοθεν δὲ αἰδοῖ. Ὅσαι δὲ μὴ ὕπανδροι, ἐσχάτη ταύταις (1) διαβολὴ εἰς ἀνδρῶν παρεῖναι συμπόσιον, καὶ ταῦτα οἰνωμένων. Οἱ δὲ ἐπὶ τὴν κλισίαν τὰς ὄψεις πήξαντες, ἀμετασάλευτοι τοῖς ἀγκῶσιν ἐρηρεισμένοι, μόνοις παρέστων τοῖς ὠσίν· εἰ δὴ καὶ καθέζοιντο, μὴ ἐναλλὰξ τὼ πόδε ἐχόντων· μηδὲ μὴν θάτερον τοῖν μηροῖν θατέρῳ ἐπιφερόντων, ἢ τὴν χεῖρα τῷ γενείῳ ὑπερειδόντων. Ἀγεννὲς γὰρ μὴ φέρειν αὑτόν, καὶ τοῦτο κατηγόρημα τοῦ νέου. Συνεχὲς δὲ καὶ τὸ μετακινούμενον ἐναλλάττειν τὸ σχῆμα, κουφότητος σύμβολον, σώφρονος δέ, εὐθέως ἐν βρώσει καὶ ἐν πόσει τὸ ἔλαττον αἱρεῖσθαι, καὶ τὸ σχολαιότερον, οὐ τὸ προπετέ-

θέσει ὀρθῇ. Ἐπαίτιος δὲ ὅρκος (37) περὶ πάντων τοῦ πωλουμένου ἀπέστω· ἀπέστω δὲ καὶ ἐπὶ τῶν ἄλλων ὁ ὅρκος. Καὶ ταύτῃ φιλοσοφούντων οἱ ἀγοραῖοι καὶ οἱ κάπηλοι· « Οὐ γὰρ λήψῃ τὸ ὄνομα Κυρίου (38) ἐπὶ ματαίῳ· οὐ γὰρ μὴ καθαρίσῃ Κύριος τὸν λαμβάνοντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ. » Τοὺς δὲ παρὰ ταῦτα πράττοντας, τοὺς φιλαργύρους, τοὺς ψεύστας, τοὺς ὑποκριτὰς, τοὺς καπηλεύοντας τὴν ἀλήθειαν (39), τῆς πατρῴας (40) ἐξέβαλεν αὐλῆς ὁ Κύριος, μὴ βουλόμενος ἀδίκου ἐμπορίας ἢ λόγων ἢ τῶν ἐξ ὕλης κτημάτων οἶκον εἶναι τὸν οἶκον τοῦ Θεοῦ τὸν ἅγιον. Ἐπὶ δὲ τὴν ἐκκλησίαν ἀκτέον (41) τὴν γυναῖκα καὶ τὸν ἄνδρα, ἐστολισμένους κοσμίως, ἀπλάστῳ βαδίσματι, ἐχεμυθίαν ἀσπαζομένους, ἀγάπην (42) ἀνυπόκριτον κεκτημένους, ἁγνοὺς τὰ σώματα, ἁγνοὺς τὰς καρδίας, ἐπιτηδείους προσεύξασθαι τῷ Θεῷ. Πλεῖον τοῦτο ἐχέτω ἡ γυνή· κεκαλύφθω (43) τὰ πάντα, πλὴν εἰ μὴ οἴκοι τύχοι· σεμνὸν γὰρ τὸ σχῆμα καὶ ἀκατάσκοπον (44)· καὶ οὔποτε αὐτὴ σφαλήσεται, πρὸς τῶν ὀμμάτων τὴν αἰδῶ καὶ τὴν ἀμπεχόνην θεμένη· οὔτε ἄλλον εἰς ὄλισθον ἁμαρτίας ἐκκαλέσεται, τὸ πρόσωπον ἀπογυμνουμένη. Τοῦτο γὰρ ὁ Λόγος βούλεται· ἐπεὶ πρέπον αὐτῇ ἐγκεκαλυμμένῃ προσεύχεσθαι (45). Τὴν δὲ Αἰνείου (46) γυναῖκά φασι δι' ὑπερβολὴν σεμνότητος μηδὲ τῆς Τροίας ἁλισκομένης περιδεᾶ γενομένην ἀποκαλύψασθαι· ἀλλὰ καίτοι φεύγουσαν ἐκ τῆς ἐκπυρώσεως, μεῖναι συγκεκαλυμμένην. Τοιούτους δὲ ἐχρῆν παρ' ὅλον τὸν βίον φαίνεσθαι καὶ διαπλάττεσθαι τοὺς Χριστῷ τελουμένους, οἵους σφᾶς ἐν ἐκκλησίαις ἐπὶ τὸ σεμνότερον σχηματίζουσι, καὶ εἶναι, μὴ δοκεῖν εἶναι τοιούτους· οὕτω πραεῖς, οὕτως εὐλαβεῖς, ἀγαπητικοὺς οὕτω. Νυνὶ δὲ, οὐκ οἶδ' ὅπως, συμμεταβάλλονται τοῖς τόποις καὶ τὰ σχήματα καὶ τοὺς τρόπους· καθάπερ καὶ τοὺς πολύποδας (47) ταῖς πέτραις φασὶν ἐξομοιουμένους, αἷς ἂν προσομιλῶσι, τοιούτους φαίνεσθαι καὶ τὴν χροιάν. Τὸ γοῦν τῆς συναγωγῆς ἔνθεον μετὰ τὴν ἐνθένδε ἀπαλλαγὴν ἀποθέμενοι, τοῖς πολλοῖς ἐξομοιοῦνται, μεθ' ὧν καὶ διαιτῶνται· μᾶλλον δὲ ἐλέγχονται, τὴν ἐπίπλαστον ἀποθέμενοι τῆς σεμνότητος ὑπόκρισιν,

A est prohibitum. Interea qui aliquid vendit aut emit, eorum, quæ a se venduntur aut emuntur nunquam dicat duo pretia: unum autem ac simplex dicens, et vera dicere studens, si id non consequatur, dum veritatem assequitur, dives est recta animi affectione. Absit autem ante omnia jusjurandum, causa rerum, quæ venduntur, susceptum. Absit autem etiam in aliis jusjurandum, et ita philosophentur negotiatores forenses, et caupones: « Non assumes nomen Domini in vano: neque enim eum mundaverit Dominus, qui nomen ejus in vano assumit [a]. » Eos autem, ✠ qui præter hæc faciunt, qui sunt avari, mendaces, hypocritæ, qui veritatem cauponantur, ex paterna aula expulit Dominus, nolens injustæ negotiationis, vel verborum, vel materialium possessionum domum esse

B sanctam domum Domini. In ecclesiam autem venire oportet virum et mulierem, honeste indutos, simplici incessu, silentium amplectentes, charitatem non fictam possidentes, castos corpore, castos corde, ad Deum rogandum aptos. Hoc amplius habeat mulier: semper tecta sit, nisi domi fuerit. Est enim is honestus habitus, et ex quo nihil possit offensionis suscipi. Ipsa enim nunquam labetur, si et verecundiam et vestem ante oculos posuerit: nec ad peccati lapsum alium provocabit, dum vultum suum aperit. Hoc enim Logos requirit, quandoquidem convenit eam tectam orare. Dicunt autem Æneæ uxorem per insignem honestatem, ne cum Troja quidem caperetur perterritam se detexisse: sed

C etiam dum ab incendio fugeret, mansisse coopertam. Oporteret autem tales in tota vita et videri et effingi eos, qui Christo initiantur, quales se in ecclesiis ad gravitatem et honestatem componunt; et esse, non autem videri esse tales, adeo mites, adeo pios ac religiosos, adeo charitati deditos. Nunc autem, nescio quomodo, una cum locis habitum et mores mutant, non secus ac polypos dicunt petris, quibus adhærescunt, assimilatos, videri quoque colore esse tales. Postquam itaque excesserunt e congregatione, deposita illa, quæ in ea erat, divinitus

✠ P. 300 ED. POTTER, 256 ED. PARIS. [a] Exod. xx, 7.

(37) *Ὅρκος*. Respicit adagium, quod e Platone, comico poeta, citari solet: Ὅρκος περὶ παντὸς ἀπέστω. « Juramentum ante omnia absit. »

(38) *Κυρίου*. Κυρίου τοῦ Θεοῦ σου, Exod. Mox, Κύριος ὁ Θεός σου. Ibid.

(39) *Καπηλεύοντας τὴν ἀλ.* Sic B. Paulus II Cor. II, 17: Καπηλεύοντες τὸν λόγον τοῦ Θεοῦ.

(40) *Τῆς πατρῴας*. Respicit Matth. XXI, 12, 13; Marc. XI, 15, 16, 17; vel Luc. XIX, 46.

(41) *Ἀκτέον*. Pal. ms. ἀκτέον et ἀνακτέον. Sylburg.

(42) *Ἀγάπην*. Respicit Rom. XII, 9; vel II Cor. VI, 6.

(43) *Κεκαλύφθω*. Conf. *Apostolicarum Constitutionum* lib. I, cap. 8 sub finem.

(44) *Σεμνὸν . . . καὶ ἀκατάσκοπον*. « Honestus et ab exploratoribus tutus, qui κατάσκοποί sunt. » Hervetus in libro suo correxit ἀκατάκοποι. Utrumque minus usitatum est. Paulo post (*col.* 661) Clemens ait: Καὶ θεασαμένους ἔστιν ἁμαρτεῖν. Sequitur autem, quod illud Æschyli refert de Amphiarao in Ἑπτὰ ἐπὶ

D Θήβαις, apud Plutarchum Aristidi affictum:

Οὐ γὰρ δοκεῖν δίκαιος, ἀλλ' εἶναι θέλει.
Neque enim videri justus hic, sed esse vult

Quod autem paulo post (*col.* 661) ex sacris Litteris est, citatur ex IV Prov. v. 25: « Oculi tui recta videant, et palpebræ tuæ præcedant gressus tuos: » Græce, Οἱ ὀφθαλμοί σου ὀρθὰ βλεπέτωσαν, τὰ δὲ βλέφαρά σου νευέτω δίκαια. Aquila et Theodotio verterunt: Οἱ ὀφθαλμοί σου εὐθυνέτωσαν κατεναντίον. Ad verbum ex Hebræo: « Oculi tui ad rectum aspiciant, et palpebræ tuæ dirigant viam tuam coram te. » Apud Theoph. lib. II *ad Autolycum*, eodem modo legitur hic locus quo apud Clementem: quamobrem sane miror, cur ita verterit Clauserus: « Oculi tui in directum aspiciant, et palpebræ tuæ rectum teneant iter ante te. » Collect.

(45) *Προσεύχεσθαι*. Respicit I Cor. XI, 5.

(46) *Αἰνείου*. Pal. ms. Αἰνεία et Αἰνείου. Nomen autem uxoris Æneæ, Creüsa, ex poetis et historiis notum est. Sylburg.

(47) *Πολύποδας*. Alludit ad Theognidos distichon,

inspirata quasi sanctitate, multitudini, cum qua versantur, assimilantur: vel potius deposita falsa ac simulata gravitatis persona, deprehenduntur quales esse ignorabantur: et cum, qui de Deo habitus est, sermonem venerati sunt, eum illic relinquunt, ubi audiverunt: foris autem impiis modis et amatoriis canticis se oblectant, tibiarum cantu, plausu, temulentia, et quovis cœno ac sorde oppleti. Hoc autem dum cantant et recantant ii, qui immortalitatem antea celebrabant, tandem perniciosissimam mali male canunt palinodiam: « Comedamus et bibamus, ✠ cras enim moriemur [a]. » Ii autem non cras vere, sed jam Deo mortui sunt, « sepelientes » suos « mortuos, » hoc est, seipsos in mortem infodientes. Eis autem fortiter resistit Apostolus : « Ne erretis, neque adulteri, neque molles, neque masculorum concubitores, neque fures, neque avari, neque ebriosi, neque maledici, » et quæcunque alia his adjungit, « regnum Dei possidebunt [b]. » Quod si in regnum Dei vocati simus, digne regno ambulemus, Deum diligentes et proximum. Dilectio autem non in osculo censetur, sed in benevolentia. Illi autem nihil aliud osculo quam ecclesias conturbant, cum ipsam non habeant intus amicitiam. Etenim hoc utique turpem movit suspicionem et maledicentiam, quod impudenter osculo uterentur, quod esse oportebat mysticum. Id « sanctum [c] » vocavit Apostolus. Regno digne gustato, ore modesto et clauso benevolentiam animi dispensemus, per quod maxime se exserit mansuetudo morum. Est autem aliud quoque osculum incestum, veneno plenum, sanctitatem simulans. An nescitis, quod etiam pha-

A οἷοι (48) ὄντες ἐλελήθεσαν· καὶ τὸν περὶ τοῦ (49) Θεοῦ λόγον σεβασάμενοι, καταλελοίπασιν ἔνδον, οὗ ἤκουσαν· ἔξωθεν δὲ ἄρα μετὰ τῶν ἀθέων ἀλύουσι κρουμάτων καὶ τερετισμάτων ἐρωτικῶν, αὐλῳδίας τε καὶ κρότου, καὶ μέθης, καὶ παντὸς ἀναπιμπλάμενοι συρφετοῦ· τοῦτο δὴ ᾄδοντες καὶ ἀντᾴδοντες αὐτοὶ, οἱ πρόσθεν ἐξυμνοῦντες ἀθανασίαν, ἐπὶ τέλει τὴν ἐξωλεστάτην κακοὶ κακῶς ψάλλοντες παλινῳδίαν, « Φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν. » Οἱ δὲ οὐκ αὔριον ἀληθῶς, ἀλλ' ἤδη τεθνήκασι τῷ Θεῷ, « θάπτοντες (50) » τοὺς σφετέρους « νεκροὺς, » τουτέστιν αὐτοὺς εἰς θάνατον κατορύττοντες. Ἀντιτάσσεται (51) δὲ αὐτοῖς εὖ μάλα ἐῤῥωμένως, ὁ Ἀπόστολος· « Μὴ πλανᾶσθε, οὔτε μοιχοὶ (52), οὔτε μαλακοὶ, οὔτε ἀρσενοκοῖται, οὔτε κλέπται, οὔτε πλεονέκται, B οὔτε (53) μέθυσοι, οὐ λοίδοροι, » καὶ ὅσα ἄλλα (54) τούτοις ἐπᾴδει, « βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν. » Εἰ δὲ (55) καὶ εἰς βασιλείαν (56) Θεοῦ κεκλήμεθα, ἀξίως τῆς βασιλείας πολιτευώμεθα, Θεὸν ἀγαπῶντες καὶ τὸν πλησίον. Ἀγάπη δὲ οὐκ ἐν φιλήματι, ἀλλ' ἐν εὐνοίᾳ κρίνεται. Οἱ δὲ οὐδὲν ἀλλ' ἢ φιλήματι καταψοφοῦσι (57) τὰς ἐκκλησίας, τὸ φιλοῦν ἔνδον οὐκ ἔχοντες αὐτό. Καὶ γὰρ δὴ καὶ τοῦτο ἐκπέπληκεν ὑπονοίας αἰσχρᾶς (58), καὶ βλασφημίας, τὸ ἀναίδην (59) χρῆσθαι τῷ φιλήματι, ὅπερ ἐχρῆν εἶναι μυστικόν· « Ἅγιον » αὐτὸ κέκληκεν ὁ Ἀπόστολος· ἀπογευομένης (60) ἀξίως τῆς βασιλείας, πολιτευώμεθα τῆς ψυχῆς τὴν εὔνοιαν διὰ στόματος σώφρονος καὶ μεμυκότος, δι' οὗ μάλιστα διακονεῖται τρόπος ἥμερος. Ἔστι δὲ καὶ ἄλλο ἄναγνον φίλημα, πλῆρες C ἰοῦ, ἁγιωσύνην ὑποκρινόμενον. Ἢ οὐκ ἴστε, ὅτι καὶ τὰ φαλάγγια (61), προσαπτόμενα μόνον τῷ στόματι,

✠ P. 301 ED. POTTER, 257 ED. PARIS. [a] I Cor. xv, 32. [b] I Cor. vi, 9, 10. [c] Rom. xvi, 16, etc.

Πουλύποδος νόον ἴσθι πολύτροπον, de cujus solertia meminerunt etiam Aristoteles, Plutarchus, Ælianus, Plinius. SYLBURG.

(48) *Οἷοι*. Οἷον Nov.

(49) *Τοῦ*. Hic articulus e Pal. additus. SYLBURG. Consentiunt Reg. Bod., dissentit vero Nov.

(50) *Θάπτοντες*. Respicit Christi dictum Ἀκολούθει μοι, καὶ ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς. Matth. viii, 22; Luc. ix, 60.

(51) *Ἀντιτάσσεται*. Ἀντιτάσσετε Bod.; utrumque habet Reg. Mox, πλανᾶσθαι pro πλανᾶσθε, Nov. Verum αι et ε sunt εὐμετάβολοι propter soni similitudinem.

(52) *Οὔτε μ*. Οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μ. apud Paulum. Mox, οὔτε μαλ... πλεονέκται, abesse a Pal. ms. refert Sylburg.

(53) *Οὔτε*. Οὐ Nov.

(54) *Καὶ ὅσα ἄλ*. Nil ibi sequitur, nisi οὐχ ἅρπαγες.

(55) *Εἰ δέ*. H. ἐπεὶ δέ. Nostra lectio εἰ δέ petita ex Pal. ms.; Flor. ed. perperam habet ἔτι δέ. SYLBURG.— Εἰ δέ habent etiam codices nostri.

(56) *Εἰς βασ*. Respicit I Thess. ii, 12 : Εἰς τὸ περιπατῆσαι ὑμᾶς ἀξίως τοῦ Θεοῦ τοῦ καλοῦντος ὑμᾶς εἰς τὴν ἑαυτοῦ βασιλείαν καὶ δόξαν.

(57) *Φιλήματι καταψοφοῦσι*. Hinc patet, nonnullos vel eo tempore osculo charitatis abusos fuisse. Cui malo mederi nonnulli e veteribus conati sunt. Athenagoras præceptum velut e S. Scriptura recitat, *Legat*. pag. 128, edit. Oxon.: Πάλιν ἡμῖν λέγοντος τοῦ Λόγου, Ἐάν τις διὰ τοῦτο ἐκ δευτέρου καταφιλήσῃ, ὅτι ἤρεσεν αὐτῷ· καὶ ἐπιφέροντος, Οὕτως οὖν ἀκριβώσασθαι τὸ φίλημα, μᾶλλον δὲ τὸ προσκύνημα δεῖ· ὡς, εἴ που μικρὸν τῇ διανοίᾳ παραθολωθείη, ἔξω ἡμᾶς τῆς αἰωνίου τιθέντος ζωῆς· « Lego nobis dicente : Si quis osculum suæ cupiditatis causa repetierit : et inferente : Itaque moderari osculum, vel salutationem potius, oportet; ut quæ vel si parum impura cogitatione inquinata fuerit, a vita æterna nos alienet. » *Constitutionum apostolicar*. lib. ii, cap. 57 : Εἶτα καὶ ἀσπαζέσθωσαν ἀλλήλους οἱ ἄνδρες, καὶ ἀλλήλας αἱ γυναῖκες, τῷ ἐν Κυρίῳ φιλήματι· ἀλλὰ μή τις δολίως, ὡς Ἰούδας τὸν Κύριον φιλήματι παρέδωκε· « His transactis, mutuo se salutent viri, mutuo se mulieres, osculo in Domino : nemo autem dolose id agat, sicut Judas Dominum osculo tradidit. » Ejusdem operis lib. viii, D c. 11 : Καὶ ὁ διάκονος εἰπάτω πᾶσιν· « Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ· » καὶ ἀσπαζέσθωσαν οἱ τοῦ κλήρου τὸν ἐπίσκοπον, οἱ λαϊκοὶ ἄνδρες τοὺς λαϊκοὺς, αἱ γυναῖκες τὰς γυναῖκας· « Diaconus vero dicat omnibus : « Salutate vos invicem in osculo sancto : » et clerici osculentur episcopum, laici vero laicos, feminæ feminas. »

(58) *Ἐκπέπληκεν ὑπ. αἰσχρᾶς*. « Explevit turpi suspicione. » Hervetus legisse videtur ἐκκέκληκεν ὑπονοίας αἰσχρᾶς, dum vertit, « turpem movit suspicionem. » SYLBURG.

(59) *Ἀναίδην*. Ἀνέδην Bod., Reg. Solent autem hæ voces a librariis inter se permutari.

(60) *Ἀπογευομένης*. Ἀπαγορευομένης Bod., sed ἀπογευομένης in marg. exhibet. Verum ἀπογευομένης in textu, ἀπαγορευομένης in marg. habet Reg.

(61) *Φαλάγγια*. Respicit Socratis dictum, quod infra plenius recitat *Strom*. ii, pag. 412 : Ὁ γοῦν Σωκράτης φυλάσσεσθαι κελεύε. τὰ ἀναπείθοντα μὴ

ἡδοναῖς ἐπιτρίβει τοὺς ἀνθρώπους; φιλήματα δὲ A πολλάκις ἐνίησιν ἰὸν ἀκολασίας. Σαφὲς τοίνυν ἡμῖν γεγένηται, ὡς οὐκ ἔστιν ἀγάπη τὸ φίλημα· « Ἡ γὰρ ἀγάπη τοῦ Θεοῦ (62) ἐστίν. » Αὕτη δέ ἐστιν ἡ (63) ἀγάπη τοῦ Θεοῦ, » φησὶν Ἰωάννης, « ἵνα τὰς ἐντολὰς τηρήσωμεν, » οὐχ ἵνα σαίνωμεν ἀλλήλους ἐν τῷ στόματι· « Καὶ αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσίν. » Ἀλλὰ μὴν καὶ οἱ κατὰ τὰς ὁδοὺς ἀγαπητῶν ἀσπασμοί, παῤῥησίας ἀνοήτου γέμοντες, καταφανῶν τοῖς ἐκτὸς (63*) εἶναι βουλομένων, οὐδὲ ἐλαχίστης μετέχουσι χάριτος· εἰ γὰρ (64) « ἐν τῷ ταμιείῳ » μυστικῶς « προσεύχεσθαι » τῷ Θεῷ δίκαιον, ἑπόμενον ἂν εἴη καὶ « τὸν πλησίον, » ὃν δεύτερον ἀγαπᾷν κελευόμεθα, ὁμοίως τῷ Θεῷ, καὶ μυστικῶς φιλοφρονεῖσθαι ἔνδοθεν, « ἐξαγοραζομένους τὸν καιρόν· τὸ γὰρ ἅλας τῆς γῆς ἡμεῖς. Ὃς δ' ἂν εὐλογῇ, » φησί, « φίλον τὸ πρωῒ μεγάλῃ τῇ φωνῇ, B καταρωμένου οὐδὲν διαφέρειν δόξει. » Δοκεῖ δὲ ὑπὲρ πάντα τῆς τῶν γυναικῶν ὄψεως ἀπεστράφθαι· οὐ γὰρ ἁψαμένους μόνον, ἀλλὰ καὶ θεασαμένους ἔστιν ἁμαρτεῖν· ὧν μάλιστα ἀποφεύγειν χρὴ τὸν γνησίως παιδαγωγούμενον· « Οἱ ὀφθαλμοί γάρ σου ὀρθὰ βλεπέτωσαν· τὰ δὲ βλέφαρα (65) νευέτω δίκαια. » Μὴ γὰρ οὐκ ἐξὸν καὶ ἰδόντα καρτερεῖν, ἀλλὰ τὸ ἐμπεσεῖν φυλακτέον. Δυνατὸν γὰρ ἰδόντα ὀλισθεῖν· ἀμήχανον δέ, μὴ ἰδόντα, ἐπιθυμεῖν. Οὐ γὰρ τὸ καθαρεύειν μόνον ἀπόχρη τοῖς σώφροσιν, ἀλλὰ καὶ τὸ ἐκτὸς εἶναι τοῦ ψόγου σπουδαστέον, πᾶσαν ἀποκλείσαντας ὑπονοίας αἰτίαν, πρὸς συγκεφαλαίωσιν ἁγνείας· ὡς μὴ μόνον εἶναι ἡμᾶς πιστούς, ἀλλὰ καὶ ἀξιοπίστους φανῆναι. Καὶ γὰρ οὖν καὶ τοῦτο παραφυλακτέον, ὥς φησιν ὁ C Ἀπόστολος, « μή τις ἡμᾶς μωμήσηται· προνοούμενοι γὰρ καλά, οὐ μόνον ἐνώπιον Κυρίου, ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων. Ἀπόστρεψον δὲ τὸν (66) ὀφθαλμὸν ἀπὸ γυναικὸς κεχαριτωμένης, καὶ μὴ καταμάνθανε κάλλος ἀλλότριον, » φησὶν ἡ Γραφή· κἂν πύθῃ τὴν αἰτίαν, προσεπεξηγήσεταί σοι· « Ἐν γὰρ κάλλει γυναικὸς πολλοὶ ἀπεπλανήθησαν, καὶ ἐκ τούτου φιλία ὡς πῦρ ἀνακαίεται, » εἰς πῦρ ἄγουσα ἀκατάπαυστον διὰ τὴν ἁμαρτίαν· ἡ ἐκ πυρὸς ὁρμωμένη φιλία, ἣν ἔρωτα κεκλήκασιν.

langia, si ore tantum tangant, graves dolores hominibus afferunt? Oscula autem impudicitiæ sæpe virus immittunt. Manifestum itaque nobis factum est, osculum non esse dilectionem : « dilectio enim est Dei [a]. Hæc est autem dilectio Dei, » inquit Joannes, « ut mandata servemus : » non ut nos invicem ore demulceamus : « et mandata ejus gravia non sunt [b]. » Cæterum dilectorum quoque in via salutationes, cum stulta libertate plenæ sint, et ab iis fiant, qui volunt per res externas sese
111 ostentare, ne minimam quidem habent gratiam. Si enim in « adyto » mystice Deum « orare » ✠ convenit, consequens fuerit « proximum » quoque, quem secundo loco jubemur « diligere, » similiter ac Deum, et mystice intus complecti, « occasionem redimentes : nos enim sumus sal terræ [c]. Qui autem amico mane magna voce benedixit, ab eo, qui exsecratur, nihil videbitur differre [d]. » Videtur autem super omnia esse aversandus mulierum aspectus : non solum enim si tangantur, sed etiam si spectentur, peccari potest : quæ maxime vitare oportet eum, qui recte instituitur : « Oculi » enim « tui recta videant, supercilia autem recta annuant [e]. » Etsi enim fieri potest, ut quamvis viderit, se fortiter gerat, verumtamen ne cadat, cavendum est. Fieri enim potest, ut qui viderit, labatur; sed fieri non potest, ut qui non viderit, concupiscat. Non solum enim temperantibus satis est ut sint puri, sed etiam adhibenda est opera ut sint ab omni reprehensione alieni, ut sit consummata castitas, omni exclusa suspicionis causa : ut non simus solum fideles, sed etiam videamur fide digni. Etenim hoc quoque cavendum est, ut ait Apostolus, « ne quis nos reprehendat; providentes enim bona non solum coram Domino, sed etiam coram hominibus [f]. Averte autem oculum a muliere gratiosa, et ne discas alienam pulchritudinem [g], » inquit Scriptura. Et si causam roges, ipsa tibi enarrabit : « In pulchritudine enim mulieris multi seducti sunt, et ex ea, tanquam ignis, accenditur amicitia [h], » peccatum : amicitia, inquam, quæ ex igne oritur, quæ ad ignem nunquam cessaturum deducit propter quam appellarunt amorem.

ΚΕΦ. ΙΒ'.

Ἐπιδρομὴ κεφαλαιώδης ὁμοίως τοῦ ἀρίστου βίου·

CAP. XII.

Brevis optimæ vitæ similiter pertractatio, et quot loca

✠ P. 302 ED. POTTER, 257-258 ED. PARIS. [a] I Joan. IV, 7. [b] Ibid. V, 3. [c] Matth. V, 13. [d] Prov. XXVII, 14. [e] Prov. IV, 25. [f] II Cor. VIII, 20, 21. [g] Eccli. IX, 8. [h] Ibid., 9.

πεινῶντας ἐσθίειν καὶ μὴ διψῶντας πίνειν· καὶ τὰ βλέμματα καὶ τὰ φιλήματα τῶν καλῶν, ὡς χαλεπώτερον σκορπίων καὶ φαλαγγίων ἰὸν ἐνιέναι πεφυκότα. « Socrates itaque jubet cavere illecebras, quæ suadent ut non esurientes comedamus, et bibamus non sitientes : et pulchrorum obtutus et oscula, ut quæ soleant scorpiis et araneis gravius venenum immittere. »

(62) *Τοῦ Θ.* Ἐκ τοῦ Θ. Joan.

(63) *Ἡ.* Articulum omittunt Bod., Reg. Mox, ἐντολὰς αὐτοῦ τηρῶμεν, Joan.

(63*) *Τοῖς ἐκτός.* I. e. hominibus « externis, » seu ethnicis. Id enim malim, quam « per res externas, » ut vertit Hervetus.

(64) *Εἰ γάρ.* Hæc e diversis S. Scripturæ locis composita sunt : nempe Matth. VI, 6 : Σὺ δὲ ὅταν D προσεύχῃ, εἴσελθε εἰς τὸ ταμεῖόν σου. Matth. XXII, 39, ubi cum Christus dixerat πρώτην ἐντολὴν esse ἀγαπᾷν τὸν Θεόν, statim addit : Δευτέρα δὲ ὁμοία αὐτῇ· Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν. Coloss. IV, 5 : Ἐν σοφίᾳ περιπατεῖτε, τὸν καιρὸν ἐξαγοραζόμενοι· quibus similia occurrunt etiam Ephes. V, 15, 16. Denique, Matth. V, 13 : Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς, ait ad suos discipulos Christus.

(65) *Βλέφαρα.* Σου addunt Prov. Mox, βλεπέτω pro νευέτω Bod., Reg. Quæ sequuntur, hoc modo confusa et mutilata exhibet Nov. Μὴ γὰρ οὐκ ἐξὸν καὶ ἰδόντα ὀλισθεῖν· ἀμήχανον· τὸ ἐμπεσεῖν φυλακτέον· δυνατὸν γάρ, ἰδόντα ὀλισθεῖν· ἀμηχ.

(66) *Τόν.* Abest ab Eccli. Mox, εὐμόρφου pro κεχαριτωμένης. Dein, Ἐν κάλλει γ. π. ἐπλανήθησαν. Ibid.

Scripturæ sanctæ vitam Christianorum describunt.

Ego vero iis quoque, qui uxores duxerint, consuluerim, ne unquam uxores suas coram famulis osculentur : nam nec famulis quidem unquam arridere permisit Aristoteles, tantum abest ut in eorum conspectu videatur quisquam complecti uxorem. Melius est autem, ut domi a matrimonio incipientes, honestatem ostendamus; est enim maxima hæc temperantiæ conjunctio, quæ puram spirat ac redolet voluptatem. Admodum enim pulchre dicit tragœdia :

✠ *O feminæ, quam in rebus humanis nihil,*
Non regna et aurum, non opum vis maxima
Tot comitates, tot voluptates ferunt,
Quot temperantis feminæ et viri boni
Mens justa, si non illa negligit virum ?

Hæc præcepta justitiæ, quæ ab iis, qui mundanam sequuntur sapientiam, dicta sunt, sunt minime recusanda. Scientes ergo suum cujusque officium, « in timore conversemini tempore vestri incolatus, scientes quod non corruptibilibus, argento et auro, redempti sumus ex vana conversatione a patribus tradita, sed pretioso sanguine, tanquam Agni immaculati, et in quem nulla cadit reprehensio, Christi[a]. Satis ergo fuit præteritum tempus, » ait Petrus, « ad faciendam gentium voluntatem, dum ambulavimus in lasciviis, concupiscentiis, temulentiis, comessationibus, potationibus, et nefariis idolorum cultibus.[b] » Limitem habemus crucem Domini, qua, tanquam vallo, cingimur, et separamur a prioribus peccatis. Regenerati ergo, in veritate affigamur, resipiscamusque atque sanctificemur : Quoniam « oculi Domini super justos, et aures ejus in deprecatione ipsorum : vultus autem Domini super facientes mala[c]. Et quis est, qui sit nobis male facturus, si bonum secuti fuerimus[d]? » Optima autem institutio, est moderatio, quæ est decorum undequaque perfectum, ac stabilis et ordinata potestas, ea, quæ sunt inter se invicem conjuncta et cohærentia, factis recte distribuens, virtute insuperabilis. Hæc quidem si asperius dixerim,

A *Ὅσαι τῶν ἁγίων Γραφῶν χαρακτηρίζουσι τὸν τῶν Χριστιανῶν βίον.*

Ἐγὼ (67) δὲ καὶ τοῖς γεγαμηκόσι παραινέσαιμι ἄν, οἴκοι τὰς γυναῖκας τάς σφων (68) μή ποτε κατὰ πρόσωπον οἰκετῶν φιλεῖν· οὐδὲ γὰρ προσγελᾷν δούλοις Ἀριστοτέλης εἴα ποτέ· πολλοῦ γε καὶ δεῖ, κατ' ὄψιν αὐτῶν φιλοφρονούμενον φαίνεσθαι τὴν γυναῖκα. Ἄμεινον δὲ, οἴκοθεν ἀρξαμένους ἀπὸ τοῦ γάμου, τὴν σεμνότητα ἐπιδείκνυσθαι· μεγίστη γὰρ ἡ σωφροσύνης συζυγία, καθαρᾶς ἡδονῆς ἀποπνέουσα (69). Πάνυ γοῦν θαυμασίως ἡ τραγῳδία φησί·

Φεῦ φεῦ (70), γυναῖκες, ὡς ἐν ἀνθρώποις ἄρα,
Οὐ χρυσὸς, οὐ τυραννὶς, οὐ πλούτου χλιδὴ
Τοσοῦτον εἶχε διαφόρους τὰς ἡδονὰς,
B *Ὡς ἀνδρὸς ἐσθλοῦ καὶ γυναικὸς εὐσεβοῦς*
Γνώμη δικαία, καὶ φρονοῦσα τἀνδρικά;

Ταῦτα τῆς δικαιοσύνης τὰ παραγγέλματα, καὶ παρὰ τοῖς τὴν κοσμικὴν μετιοῦσι σοφίαν ἐκφωνηθέντα, οὐ παραιτητέον. Ἐγνωκότες οὖν τὸ ἑκάστου ἔργον, « ἐν φόβῳ τὸν τῆς παροικίας ὑμῶν χρόνον ἀναστράφητε, εἰδότες, ὅτι οὐ φθαρτοῖς, ἀργυρίῳ ἢ χρυσίῳ (71), ἐλυτρώθημεν ἐκ τῆς ματαίας ἡμῶν ἀναστροφῆς πατροπαραδότου, ἀλλὰ τιμίῳ αἵματι, ὡς Ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου, Χριστοῦ. Ἀρκετὸς οὖν ὁ παρεληλυθὼς χρόνος, ὁ Πέτρος φησὶ, τὸ βούλημα τῶν ἐθνῶν κατειργάσθαι, πεπορευμένους ἐν ἀσελγείαις, ἐπιθυμίαις, οἰνοφλυγίαις, κώμοις, πότοις, καὶ ἀθεμίτοις εἰδωλολατρίαις. » Ὅρον ἔχομεν, τὸν σταυρὸν τοῦ Κυρίου, ᾧ περισταυρούμεθα καὶ περιθριγκούC μεθα (72) τῶν προτέρων ἁμαρτιῶν· ἀναγεννηθέντες τοίνυν, προσηλωθῶμεν ἐν τῇ ἀληθείᾳ, καὶ ἀνανήψωμέν τε, καὶ ἁγιασθῶμεν· ὅτι « οἱ (73) ὀφθαλμοὶ Κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν· πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακά. Καὶ τίς ὁ κακώσων ἡμᾶς (74), ἐὰν τοῦ ἀγαθοῦ ζηλωταὶ γενώμεθα; » Ἡ δὲ ἀρίστη ἀγωγὴ, εὐταξία (75) ἐστὶ, παντελὴς οὖσα εὐσχημοσύνη, καὶ δύναμις τεταγμένη βεβαία (76), τῶν ἑξῆς ἀλλήλοις κειμένων ἐν ἔργῳ καλῶς ἀποδοτικὴ, κατ' ἀρετὴν ἀνυπέρβλητος. Ταῦτα εἰ καὶ τραχύτερον προηνέχθην (77), οἰκονομούμενος τῆς ἐπανορθώσεως τὴν σωτηρίαν, ἐμοὶ

✠ P. 303 ED. POTTER, 258-259 ED. PARIS. [a] I Pet. I, 17, 18, 19. [b] Ibid. IV, 3. [c] Psal. XXXIII, 16, 17. [d] I Pet. III, 13.

(67) Ἐγώ. Imitari videtur illud Pauli I Cor. VII, 10 : Τοῖς δὲ γεγαμηκόσι παραγγέλλω οὐκ ἐγώ, etc.

(68) *Τάς σφων*. Τάς σφων, et τὰς αὐτῶν Pal. SYLBURG. — Utrumque abest a Nov.

(69) *Καθαρᾶς ἡδονῆς ἀπ*. Pal., καθαρὰς ἡδονὰς ἀποπνέουσα. Vulgatæ lectionis exemplum supra pag. 76. SYLBURG. — Καθαρὰς ἡδονὰς ἀπ. habent etiam Bod., Reg.

(70) *Φεῦ φεῦ*. Citantur a Stobæo hi versus tit. 65; sed in tertia ejus editione tribuuntur Apollonidæ cuidam, ut et in libro manuscripto, præcedens autem versus Euripidi relinquitur : at in prima editione præcedens sententia Apollonidæ dicebatur. Postremum autem hujus carmen apud Clementem habuit, καὶ φρονοῦσα τ' ἀνδρικά· at apud Stobæum, τἄνδικα, « legitime affecta, quæ justa sapit. » COLL.

(71) *Ἢ χρυσίῳ*. Abest a Reg. et Bod. Dein, ἐλυτρώθητε apud Petr. Mox, ματαίας ὑμῶν ἀν. Paulo post, Ἀρκετὸς γὰρ ἡμῖν ὁ παρεληλυθὼς χρόνος τοῦ D βίου τὸ θέλημα τῶν ἐθνῶν κατεργάσασθαι, Petr.

(72) *Περιθριγκούμεθα*. Περιτριγγούμεθα, Bod., Reg.

(73) *Οἱ*. Abest a psalm.

(74) *Ἡμᾶς*. Ὑμᾶς, Petr. Mox, μιμηταὶ pro ζηλωταὶ, Ibid.

(75) *Εὐταξία*. Hujus virtutis similem huic definitionem tradunt Stoici apud Stobæum *Eclog. ethic.* lib. II, c. 4, p. 168 : Εὐταξίαν δὲ, ἐπιστήμην τοῦ ποτε πρακτέον, καί τι μετά τι, καὶ καθόλου τῆς τάξεως τῶν πράξεων. Definiunt εὐταξίαν, « scientiam temporis rerum gerendarum, earumque consecutionis, et, ut summatim dicam, ordinis. »

(76) *Καὶ… βεβαία*. Hæc absunt a Pal. SYLBURG.— Absunt etiam a Reg. et Bod. τῶν ἑξῆς abest etiam a Reg.

(77) *Προηνέχθην*. Προσηνέχθην Pal. SYLBURG. — Προσηνέχθη Bod., Reg. Hic etiam Sylburgius adnotat, τραχύτερος legi posse pro τραχύτερον.

μὲν λελέχθων, φησὶν ὁ Παιδαγωγός· ἐπειδὴ « ὁ ἐλέγχων, μετὰ παῤῥησίας, εἰρηνοποιεῖ· » ὑμεῖς δὲ, εἰ μὲν ἀκούσεσθέ μου, σωθήσεσθε· εἰ δ' οὐ προσέξετε (78) τοῖς εἰρημένοις, οὔ μοι μέλει· μέλει δὲ ὅμως καὶ οὕτως· « τὴν γὰρ μετάνοιαν τοῦ ἁμαρτωλοῦ μᾶλλον ἢ τὸν θάνατον αἱρεῖται. Ἢν δὲ εἰσακούσητέ (79) μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε, » ὁ Παιδαγωγὸς πάλιν λέγει· « γῆς ἀγαθὰ (80) » τὰ ἀνθρώπεια ὀνομάζων καλὰ, τὸ κάλλος, τὸν πλοῦτον, τὴν ὑγίειαν, καὶ τὴν ἰσχὺν, τὴν τροφήν· ἀγαθὰ μὲν γὰρ ὄντως, « ἃ οὔτε οὖς ἤκουσεν, οὔτε ἐπὶ καρδίαν ἀνέβη ποτὲ (81), » περὶ τὸν ὄντως ὄντα βασιλέα, τὰ ὄντως (82) ὄντα, ἀγαθὰ ὄντα, καὶ ἀναμένοντα ἡμᾶς· ἀγαθῶν γάρ ἐστι καὶ δοτὴρ, καὶ φύλαξ· κατὰ μετουσίαν δὲ ἐκείνων, τὰ τῇδε συνωνυμεῖ· παιδαγωγοῦντος ἐν Θεῷ τοῦ Λόγου, τὴν ἀνθρώπων (83) ἀσθένειαν, ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὴν νόησιν. Ὅσα μὲν οὖν οἴκοι παραφυλακτέον, καὶ ὡς τὸν βίον ἐπανορθωτέον, ὁ Παιδαγωγὸς ἡμῖν ἄδην διείλεκται· ἃ δ' οὖν, καὶ κατὰ τὰς ὁδοὺς ὁμιλεῖν αὐτῷ φίλον τοῖς παιδίοις, ἄχρις ἂν ἀγάγῃ αὐτὰ πρὸς τὸν διδάσκαλον, ταῦτα δὲ ἡμῖν ἐν κεφαλαίου (84) μέρει δι' αὐτῶν ὑποτίθεται καὶ παρατίθεται τῶν Γραφῶν, γυμνὰς παρατιθέμενος τὰς παραγγελίας, ἁρμοζόμενος μὲν τῷ χρόνῳ τῆς καθοδηγήσεως, τὰς δὲ ἐξηγήσεις αὐτῶν ἐπιτρέπων τῷ διδασκάλῳ· καὶ γὰρ ὁ νόμος αὐτοῦ τὸν φόβον (85) ὑπεκλύειν βούλεται, τὸ ἑκούσιον ἐλευθερώσας εἰς πίστιν. Ἄκουε, φησὶν, ὦ παιδίον, καλῶς παιδαγωγούμενον, τὰ κεφάλαια τῆς σωτηρίας· γυμνώσω γὰρ τὸ ἦθος τὸ ἐμαυτοῦ, καὶ σοὶ ταύτας καλὰς ἐντολὰς ὑποθήσομαι, δι' ὧν ἀφίξῃ πρὸς σωτηρίαν· ἄγω δέ σε ὁδὸν τὴν σωτήριον· ἀπόστα τῶν τῆς πλάνης ὁδῶν· « ὅτι Κύριος γινώσκει (86) ὁδὸν δικαίων, καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται. » Ἕπου τοίνυν, ὦ παιδίον, τὴν ἀγαθὴν ὁδὸν, ἣν ἄν σοι ἐξηγήσωμαι, τὰ ὦτά μοι ὑποσχὼν τὰ ἀκουστικά· « καὶ δώσω σοι θησαυροὺς σκοτεινοὺς, ἀποκρύφους, ἀοράτους » ἔθνεσιν, ἡμῖν δὲ ὁρατούς (87)· σοφίας δὲ θησαυροὶ, ἀνέκλειπτοι (88)· οὓς θαυμάζων ὁ Ἀπόστολος, « Ὦ βάθος, φησὶ, πλούτου καὶ σοφίας. » Θησαυροὶ δὲ ὑφ' ἑνὸς πολλοὶ χορηγούμενοι Θεοῦ· οἱ μὲν διὰ τοῦ νόμου, οἱ δὲ, διὰ τῶν (89) προφητῶν ἀποκαλύπτονται· οἱ δὲ, τῷ θείῳ στόματι· ἄλλος δὲ τοῦ Πνεύματος τῇ ἑπτάδι (90) ἐπᾴδων· εἷς δὲ ὢν ὁ Κύριος, διὰ πάντων τούτων ὁ αὐτός ἐστι Παιδαγωγός. Ἔστι μὲν οὖν αὐτόθεν κεφαλαιώδης ὑποθήκη, καὶ βιωτικὴ παραίνεσις, πάντα ἐμπεριέχουσα· « Καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, ποιεῖτε

A procurans emendationis vestræ salutem, atqui » me quidem dicta sint, inquit Pædagogus, quoniam « qui libere arguit, est pacificus[a]. » Vos autem si me quidem audieritis, salvi eritis. Quod si ea, quæ dicta sunt, non attenderitis, non est mihi curæ: et sic tamen curæ est: « peccatoris » enim « mavult pœnitentiam quam mortem[b]. » Sin » autem « me audiveritis, bona terræ comedetis[c], » dicit rursus Pædagogus: « bona terræ » humana bona nominans, formam, divitias, sanitatem, vires, et alimentum: vere enim bona sunt ea, « quæ ✠ neque auris audivit, neque unquam in cor ascenderunt[d]: » quæ sunt apud eum qui vere rex est, quæ vere sunt, et vere sunt bona, et nos exspectant; bonorum enim est et donator et custos.
B per illorum autem participationem, quæ hic sunt, eodem nomine appellantur: scilicet hoc modo hominum imbecillitatem Logos in Deo deducit a sensilibus ad intelligentiam. Quæcunque sunt ergo domi observanda, et quo modo vita sit corrigenda, nobis abunde disseruit Pædagogus. Quæ itaque solet in via lubenter dicere pueris, donec eos ad magistrum deduxerit, ea a nobis veluti in summa per ipsas Scripturas subjicit et apponit, nuda præcepta adducens, tempori quidem deductionis **112** atque institutionis ea accommodans, interpretationes autem eorum magistro relinquens. Ejus enim lex vult timorem solvere, liberum animi arbitrium in fidem liberans. Audi, inquit, o puer, qui recte institueris, capita salutis: aperiam enim mores meos, et tibi
C pulchra hæc præcepta suggeram, per quæ pervenies ad salutem: duco autem te per viam salutarem: discede a viis erroris; « quoniam novit Dominus viam justorum, et via impiorum peribit[e]. » Sequere ergo, o puer, bonam viam, qua ego te deducam, aures mihi præbens audientes, « et dabo tibi thesauros arcanos, occultos, et qui non possunt videri[f] » a gentibus, a nobis autem possunt: sapientiæ autem thesauri non possunt deficere: quos admirans Apostolus: « O profunditas, » inquit, « divitiarum et sapientiæ[g]. » Thesauri autem multi ab uno Deo suppeditantur: hi quidem per legem, illi vero per prophetas revelantur: alii vero ori divino, alius vero heptachordo spiritus concinit.
D Cum sit autem unus Dominus, est idem per hos omnes Pædagogus. Hic est ergo, quod omnia summatim complectitur, præceptum, et ad vitam utilis

✠ P. 304 ED. POTTER, 259-260 ED. PARIS. [a] Prov. x, 10 sec. LXX. [b] Ezech. xviii, 23. [c] Isa. i, 19. [d] I Cor. ii, 9. [e] Psal. i, 6. [f] Isa. xlv, 3. [g] Rom. xi, 33.

(78) *Προσέξετε*. Προσάξετε, Nov.

(79) *Ἢν δὲ εἰσ*. Καὶ ἐὰν θέλητε, καὶ εἰσ. Isa.

(80) *Ἀγαθά*. Sic scribi debet. Verum primæ Clementis editiones ἀγαθῆς exhibent, ut etiam codices mss. Sed aliquis super ῆς final. scripsit α in Bod. et Reg.

(81) *Οὔτε... ποτέ*. Καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη apud Paulum. Οὔτε ἐπὶ κ. ἀνθρώπου ἀ. π. Nov., Bod. Mox, περιττὸν pro περὶ τόν, Nov.

(82) *Τὰ ὄν*. Τὰ ὄντως ὄντα ἀγαθὰ, ὄντα καὶ ἀν. Bod., Reg.

(83) *Τὴν ἀνθ*. Τὴν τῶν ἀνθ. Nov.

(84) *Κεφαλαίου*. Κεφαλαίῳ Bod., Reg.

(85) *Φόβον*. Respicit Rom. viii, 15, ubi dicit Apostolus legem πνεῦμα εἰς δουλείαν dedisse.

(86) *Κύριος γιν*. Γινώσκει Κύριος Psalm.

(87) *Ἔθνεσιν, ἡμῖν δὲ ὁρατούς*. Hæc interpretamenti loco adjecit auctor.

(88) *Σοφίας δὲ θησαυροὶ ἀνέκλειπτοι*. Hæc a Pal. ms. absunt. SYLBURG. — Absunt etiam a Bod. et Reg. Respicit autem Luc. xii, 33: Θησαυρὸν ἀνέκλειπτον ἐν οὐρανοῖς.

(89) *Τῶν*. Abest a Bod. et Reg.

(90) *Τῇ ἑπτάδι*. Nempe septem donis S. Spiritus, quæ enumerantur Isa. xi, 2. 3.

admonitio : « Quemadmodum vultis ut vobis faciant homines, vos quoque eis facite [a]. » Possunt etiam duobus omnia præcepta comprehendi, ut dicit Dominus : « Diliges Deum tuum in toto corde tuo, et in tota anima tua, et in tota virtute tua ; et proximum tuum sicut teipsum. » Deinde ex his infert : « Ex hoc dependent tota lex et prophetæ [b]. » Jam vero ei, qui interrogavit, « Quid faciam ut vitæ æternæ hæreditatem possideam ? Nosti mandata, » respondit. Qui cum affirmasset, « Hoc fac, inquit, et salvus eris [c]. » Verumtamen est etiam distinctius adducenda Pædagogi benignitas per varia et salutaria ✠ præcepta, ut ex copiosa salute et Scripturarum ordinatione, ea promptius inveniamus. Est nobis, qui per Moysem datus est, Decalogus, simplici et unius generis elemento significans, salutarem peccatis appellationem definiens : « Non mœchaberis. Idola non adorabis. Pueris stuprum non inferes. Non furaberis. Non dices falsum testimonium. Honora patrem tuum et matrem tuam [d], » et ea quæ illa consequuntur. Hæc sunt a nobis servanda, et quæcumque alia in lectione ipsa Bibliorum præcipi videbimus nobis. Porro autem præcipit etiam per Isaiam. « Lavamini, et mundi estote, auferte scelera ab animabus vestris coram oculis meis, discite bonum facere, quærite judicium, liberate eum qui injuria afficitur, judicate orphano, et justificate viduam ; et venite, et disceptemus, dicit Dominus [e]. » Multa etiam apud alios præcepta invenerimus : quemadmodum, verbi gratia, de precatione : « Bona opera, oratio Domino accepta, » dicit Scriptura. Et exponitur etiam modus orationis : « Si videris, » inquit, « nudum, operi eum, et necessarios seminis tui non despicies : tunc erumpet mane lumen tuum, et medelæ tuæ cito exorientur, et ambulabit ante te justitia tua, et gloria Dei te complectetur [f]. » Quis est autem fructus hujus orationis ? « Tunc clamabis, et Deus te exaudiet. Adhuc loquente te, dicet : Ecce adsum [g]. » De jejunio autem : « Curnam mihi jejunatis ? » ait Dominus ; « non hoc jejunium ego elegi, et diem, ut homo humiliet animam suam. Ne si collum quidem tuum flexeris ut circum, et

A καὶ ὑμεῖς αὐτοῖς (91). » Δυνατὸν δὲ καὶ διὰ δυεῖν (92) ἐμπεριλαβεῖν τὰς ἐντολάς, ὥς φησιν ὁ Κύριος· « Ἀγαπήσεις τὸν Θεόν σου ἐν ὅλῃ καρδίᾳ σου, καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου, καὶ ἐν ὅλῃ τῇ ἰσχύϊ σου· καὶ τὸν πλησίον σου ὡς σεαυτόν. » Εἶτα ἐκ τούτων ἐπιφέρει· « Ἐν τούτῳ ὅλος ὁ νόμος, καὶ οἱ προφῆται κρέμανται. » Ναὶ μὴν καὶ πρὸς τὸν πυθόμενον, « Τί ποιήσας, ζωὴν αἰώνιον κληρονομήσω ; » « Τὰς ἐντολὰς οἶδας, » ἀπεκρίνατο· τοῦ δὲ καταφήσαντος, « Τοῦτο ποίει, φησὶ, καὶ σωθήσῃ. » Οὐ μὴν ἀλλὰ καὶ (93) διαιρετικώτερον τὸ φιλάνθρωπον τοῦ Παιδαγωγοῦ διὰ τῶν ποικίλων καὶ σωτηρίων ἐντολῶν παραθετέον, ὡς ἔχοιμεν πρὸς ἀφθόνου σωτηρίας καὶ τῆς διατάξεως τῶν Γραφῶν, ἑτοιμοτέραν τὴν εὕρεσιν. Ἔστιν ἡμῖν ἡ Δεκάλογος ἡ διὰ Μωϋσέως, ἁπλῷ καὶ μονογενεῖ αἰνιττομένη στοιχείῳ (94), προσηγορίαν σωτήριον ἁμαρτιῶν περιγράφουσα· B « Οὐ μοιχεύσεις· Οὐκ εἰδωλολατρήσεις· Οὐ παιδοφθορήσεις (95)· Οὐ κλέψεις· Οὐ ψευδομαρτυρήσεις· Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου (96)· » καὶ τὰ ἀκόλουθα τούτοις. Ταῦτα ἡμῖν παραφυλακτέον, καὶ ὅσα ἄλλα κατὰ τὰς ἀναγνώσεις τῶν Βιβλίων παραγγέλλεται. Παραγγέλλει δὲ καὶ διὰ Ἡσαΐου· « Λούσασθε, καὶ (97) καθαροὶ γένεσθε· ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου· μάθετε καλὸν ποιεῖν· ἐκζητήσατε κρίσιν· ῥύσασθε ἀδικούμενον· κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήραν· καὶ δεῦτε, καὶ διελεγχθῶμεν (98), λέγει Κύριος. » Πολλὰς δ' ἂν καὶ παρὰ τοῖς ἄλλοις εὕρομεν ὑποθήκας· οἷον φέρε, εὐχῆς μὲν πέρι, « Τὰ ἔργα (99) τὰ ἀγαθὰ, » φησὶν, « εὐχὴ Κυρίῳ δεκτὴ, » λέγει ἡ Γραφή. C Καὶ ὁ τρόπος τῆς εὐχῆς ὑπαγορεύεται· « Ἐὰν ἴδῃς (1), » φησὶ, « γυμνὸν, περίβαλε, καὶ ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου οὐχ ὑπερόψει· τότε ῥαγήσεται πρώϊμον τὸ φῶς σου, καὶ τὰ ἰάματά σου ταχὺ ἀνατελεῖ, καὶ προπορεύσεται ἔμπροσθεν ἡ δικαιοσύνη σου, καὶ ἡ δόξα τοῦ Θεοῦ περιστελεῖ σε. » Τίς οὖν ὁ καρπὸς τῆς εὐχῆς ταύτης ; « Τότε ἐπιβοήσῃ (2), καὶ ὁ Θεὸς ὑπακούσεταί σου· ἔτι λαλοῦντός σου, ἐρεῖ, Ἰδοὺ πάρειμι. » Περὶ δὲ νηστείας, « Ἵνα τί μοι, φησὶ, νηστεύετε ; » λέγει Κύριος· « οὐ ταύτην τὴν νηστείαν ἐγὼ ἐξελεξάμην, καὶ ἡμέραν, ἄνθρωπον ταπεινοῦν τὴν ψυχὴν αὐτοῦ ; Οὐδ' ἂν κάμψῃς ὡς κρίκον τὸν

✠ P. 305 ED. POTTER, 260-261 ED. PARIS. [a] Luc. VI, 31. [b] Matth. XXII, 37, 39, 40 ; Luc. X, 25. [c] Luc. XVIII, 18, 20 ; X, 25, 26, 27, 28. [d] Exod. XX, Deut. V. [e] Isa. I, 16, 17, 18. [f] Isa. LVIII, 7, 8. [g] Ibid., 9.

(91) *Ποιεῖτε καὶ ὑμ. ἀ.* K. ὑμ. ποιεῖτε αὐτ. ὁμ., Luc.

(92) *Δυεῖν*. Δυοῖν Bod., Reg. In iis, quæ mox sequuntur ex Evangeliis, non tam ipsa verba, quam sensum exhibet.

(93) *Καί*. Abest a Nov.

(94) *Ἁπλῷ καὶ μονογενεῖ στοιχείῳ*. Nempe τῷ ι. Sic apud Philonem, Basilium, Gregorium, Cyrillum, alios, ut in Philone adnotat H. Sylburg. Nicetas in Gregorii Nazianz. orat. 42 : « Decas autem prima unitas perfecta, et generatrix perfectionis dicitur ; quoniam est alia quoque unitas, nempe prima unitas ; verum illa, tametsi principium numerorum est, eosque procreat, nequaquam tamen perfecta est ; at prima decas has duas prærogativas habet ; alteram quod perfecta est : quatenus ad hanc usque numeri progrediuntur, ac rursus revolvuntur ; alteram, quod perfectionis est procreatrix, centenarium enim numerum, qui perfectissimus est, producit. »

D Alibi etiam Clemens hanc litteram refert ad nomen Jesu. Conf. *Pædag.* lib. II, cap. 4.

(95) *Οὐ παιδοφθορήσεις*. Conf. quæ superius dicta sunt ad *Protr.* pag. 67 edit. Paris.

(96) *Σου*. Abest a Nov., Reg.

(97) *Καί*. Abest ab Isa. Mox, post ὀφθαλμῶν μου interserit hæc : παύσασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν.

(98) *Δεῦτε καὶ δ.* Δεῦτε δ. omisso καί. Isa.

(99) *Τὰ ἔργα*. Hæc verba nullibi reperio. Eorum sensus occurrit Philip. IV, 18 ; Hebr. XIII, 16, etc.

(1) *Ἐὰν ἴδ.* Ἐὰν δὲ ἴδ. Nov. Mox, φανήσεται pro ῥαγήσεται, Nov. Dein, ὑπάρχοντα pro ἰάματα, Pal., Bod., Reg. Mox, ἔμπροσθέν σου ἡ δ. Isa.

(2) *Ἐπιβοήσῃ*. Βοήσῃ. Isa. Mox, εἰσακούσεται pro ὑπακούσεται. Mox, νηστεύετε, ὡς σήμερον ἀκουσθῆναι ἐν κραυγῇ τὴν φωνὴν ὑμῶν ; οὐ ταύτην τὴν ν. ἐξ. Dein, ταπεινοῦν ἄνθρωπον, inverso ordine. Paulo post, οὕτω pro οὕτως. Ibid.

τράχηλόν σου, καὶ σάκκον καὶ σποδὸν ὑποστρώσῃ, οὐδ' οὕτως καλέσετε νηστείαν δεκτήν. » Τί οὖν αἰνίττεται ἡ νηστεία; « Ἰδοὺ αὕτη (3), » φησὶν, « ἡ νηστεία ἣν ἐγὼ ἐξελεξάμην, λέγει Κύριος· Λῦε πάντα σύνδεσμον ἀδικίας· διάλυε στραγγαλιὰς βιαίων συναλλαγμάτων· ἀπόλυέ τε θραυσμένους ἐν ἀφέσει, καὶ πᾶσαν ἄδικον συγγραφὴν διάσπα. Διάθρυπτε πεινῶντι τὸν ἄρτον σου· καὶ πτωχοὺς ἀστέγους εἴσαγε εἰς τὸν οἶκόν σου· ἐὰν ἴδῃς γυμνὸν, περίβαλε. » Ναὶ μὴν καὶ περὶ τῶν (4) θυσιῶν· « Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; λέγει Κύριος· πλήρης εἰμὶ ὁλοκαυτωμάτων, καὶ κριῶν (5)· καὶ στέαρ ἀρνῶν, καὶ αἷμα ταύρων καὶ ἐρίφων, οὐ βούλομαι· οὐδ' ἂν ἔρχησθε ὀφθῆναί μοι. Τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; πατεῖν μου τὴν αὐλὴν, οὐ προσθήσεσθε (6)· ἐὰν φέρητε σεμίδαλιν, μάταιον θυμίαμα βδέλυγμά μοι ἐστίν· τὰς νουμηνίας ὑμῶν καὶ τὰ σάββατα οὐκ ἀνέχομαι. » Πῶς οὖν θύσω τῷ Κυρίῳ; « Θυσία (7) », φησὶ, « τῷ Κυρίῳ πνεῦμα συντετριμμένον. » Πῶς οὖν στέψω (8), ἢ μύρῳ χρίσω, ἢ τί θυμιάσω τῷ Κυρίῳ; « Ὀσμὴ (9), » φησὶν, « εὐωδίας τῷ Θεῷ καρδία δοξάζουσα τὸν πεπλακότα αὐτήν. » Ταῦτα στέφη, καὶ θυσίαι, καὶ ἀρώματα, καὶ ἄνθη τοῦ Θεοῦ. Ἔτι περὶ ἀνεξικακίας, « Ἐὰν ἁμάρτῃ (10), » φησὶν, « ὁ ἀδελφός σου, ἐπιτίμησον αὐτῷ· καὶ ἐὰν μετανοήσῃ, ἄφες αὐτῷ. Ἐὰν ἑπτάκις τῆς ἡμέρας ἁμάρτῃ εἰς σὲ, καὶ τὸ ἑπτάκις ἐπιστρέφῃ πρὸς σὲ, λέγων, Μετανοῶ, ἄφες αὐτῷ· » καὶ τοῖς μὲν στρατευομένοις διὰ Ἰωάννου παραγγέλλει, « ἀρκεῖσθαι (11) μόνοις τοῖς ὀψωνίοις· » τοῖς δὲ τελώναις, « μηδὲν πλέον πράσσειν παρὰ τὰ διατεταγμένα· » δικαστῇ δὲ, « Οὐ λήψῃ (12), » φησὶ, « πρόσωπον ἐν κρίσει· τὰ γὰρ δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς βλεπόντων, καὶ λυμαίνεται ῥήματα δίκαια, ῥύσασθαι ἀδικουμένους (13). » Ἀλλὰ καὶ τοῖς οἰκονομικοῖς· « Κτῆσις (14) ἐπισπουδαζομένη μετὰ ἀνομίας ἐλάσσων γίνεται. » Ναὶ μὴν καὶ περὶ ἀγάπης, « Ἀγάπη, » φησὶ, « καλύπτει πλῆθος ἁμαρτιῶν. » Καὶ περὶ πολιτείας, « Ἀπόδοτε τὰ Καίσαρος Καίσαρι· καὶ τὰ τοῦ Θεοῦ, τῷ Θεῷ. » Ὅρκου δὲ πέρι, καὶ μνησικακίας· « Μὴ ἐγὼ (15) ἐνετειλάμην τοῖς πατράσιν

A saccum ac cinerem substraveris, ne sic quidem vocabitis jejunium acceptum. » Quid ergo sibi vult jejunium? « Ecce hoc est, » inquit, « jejunium, quod elegi, dicit Dominus: solve omne vinculum iniquitatis: dissolve perversos nexus violentorum contractuum: libera eos, qui sunt offensi in acceptilatione, et injustam omnem scripturam discerpe. Frange esurienti panem tuum, et pauperes, qui tecto carent, introduc in domum tuam, cum videris nudum, operi eum [a]. » Jam vero de sacrificiis quoque: « Quid mihi multitudo sacrificiorum vestrorum, dicit Dominus? Plenus sum holocaustis arietum: et adipem agnorum, et sanguinem taurorum et hædorum nolo, nec ✠ veneritis ut a me videamini. Quis enim requisivit hæc de manibus vestris? Atrium meum calcare non B adjicietis. Si similam afferatis, inane incensum mihi est abominatio, neomenias vestras, et sabbata non fero [b]. » Quomodo ergo sacrificabo Domino? « Sacrificium, » inquit, « Domino spiritus contritus [c]. » Quomodo igitur coronabo, vel ungam unguento, vel Domino quodnam incensum offeram? « Odor, » inquit, « suavitatis Deo est cor, quod glorificat eum, qui ipsum fecit. » Hæ sunt coronæ, et sacrificia, et aromata, et flores Dei. Præterea de malorum tolerantia: « Si peccaverit, » inquit, « frater tuus, ipsum argue, et si eum pœnituerit, ei remitte. Si septies in die in te peccaverit, et septies ad te convertatur, dicens: Pœnitet, remitte ei [d]. » Et iis, quidem, « qui militant, » per Joannem præcipit, « ut sint solis stipendiis contenti. » C Publicanis autem, « ut non amplius exigant, quam sit constitutum [e]. » Judici autem, « Non accipies, » inquit, « personam in judicio: dona enim excæcant oculos videntium, et corrumpunt verba justa, ut liberent eos, qui afficiuntur injuria [f]. » Quinetiam iis, qui student œconomiæ: « Possessio, quæ paratur cum iniquitate, minor redditur [g]. » Quinetiam de charitate: « Charitas, » inquit, « operit multitudinem peccatorum [h]. » Et de reipublicæ **113** administratione: « Reddite quæ sunt Cæsaris, Cæsari; et quæ sunt Dei, Deo [i]. » De jureju-

✠ P. 306 ED. POTTER, 261-262 ED. PARIS. [a] Isa. 4, 5, 6, 7. [b] Ibid. I, 11, 12, 13. [c] Psal. L, 19. [d] Luc. XVII, 3, 4. [e] Luc. III, 13. [f] Exod. XXIII, 8. [g] Prov. XIII, 11. [h] I Petr. IV, 8. [i] Matth. XXII, 21; Marc. XII, 17; Luc. XX, 25.

(3) *Ἰδοὺ αὔτ.* Οὐχὶ τοιαύτην νηστείαν ἐξελεξάμην, λέγει Κύριος· ἀλλὰ λῦε π. Isa. Mox, ἀπόστελλε pro ἀπόλυε. Dein, συγγραφὴν ἄδικον, inverso ordine. Ibid.

(4) *Τῶν.* Abest a Nov.

(5) *Ὁλοκαυτωμάτων, καὶ κριῶν.* Illud καὶ e vulg. Isaiæ se addidisse ait Sylburg. Id vero rejiciunt præter edit. Flor. nostri codices unanimiter. Ὁλοκαύτωμα τῶν κριῶν Bod., Reg., Mox, τράγων pro ἐρίφων, Isa. Dein, τὴν αὐλήν μου, inverso ordine. Paulo post σάββατα καὶ ἡμέραν μεγάλην οὐκ ἀν. Ibid.

(6) *Προσθήσεσθε.* Per necessitatem usurpatum indicat προσθήσεσθε, quia subjunctivo futuro carent verba omnia, hoc vero etiam aoristo primo. SYLB.

(7) *Θυσία, φησὶ, τῷ Κυρίῳ.* Hæc a Nov. absunt.

(8) *Στέψω.* Coronæ et cætera, quæ hic recenset, ad sacrificia pertinebant. Cf. *Archæologiæ* nostræ lib. II.

(9) *Ὀσμή.* Sic Irenæus lib. IV, cap. 32: « Quemadmodum alibi ait: Sacrificium Deo, cor contribulatum; odor suavitatis Deo, cor clarificans eum qui D plasmavit. » Verum hæc verba in S. Scriptura reperire nondum potui.

(10) *Ἁμάρτῃ.* Ἁμάρτῃ εἰς σέ, Luc. Mox, καὶ ἐὰ ἑπτάκ. Dein, καὶ ἑπτάκις τῆς ἡμέρας ἐπιστρέψῃ ἐπὶ σέ . . . ἀφήσεις. Ibid.

(11) *Ἀρκεῖσθαι.* Ἀρκεῖσθε, Bod., Reg. Dein, μόνοις abest a Luc. Mox, τὸ διατεταγμένον Luc.

(12) *Οὐ λ.* Καὶ δῶρα οὐ λήψῃ, Exod. Illud Οὐ λήψῃ πρόσωπον ἐν κρίσει, petitum est e Deuteron. I, 17: Οὐκ ἐπιγνώσῃ πρόσωπον ἐν κρίσει. Conf. Deut. XVI, 19.

(13) *Ῥύσασθαι ἀδικουμένους.* Scribe ex Nov. ῥύσασθε ἀδικουμένους, « liberate eos qui injuria affecti sunt, » quod præcipit Isaias c. I, 17, nisi quod ibi ἀδικούμενον singul. numero legatur. Hæc enim verba nec in Exodo, nec in Deuteronomio reperiuntur.

(14) *Κτῆσις.* Ὕπαρξις Prov. Mox, καλύψει, pro καλύπτει, Petr.

(15) *Μὴ ἐγώ.* Hæc verba in S. Scriptura frustra quæsiveris. Similia dicunt Jeremias cap. VII, 22, 23,

rando autem, et de injuriæ acceptæ recordatione: « Nunquid ego mandavi patribus vestris exeuntibus e terra Ægypti, ut offerrent mihi holocausta et sacrificia? Sed hoc mandavi vobis: Unusquisque vestrum adversus proximum in corde suo injuriæ acceptæ non recordetur, falsum jusjurandum non diligat. » Quinetiam mendacibus et superbis minatur: illis quidem hoc modo: « Væ iis, qui dicunt dulce amarum, et amarum dulce. » His vero sic: « Væ prudentes in seipsis, et coram seipsis scientes [a]. Qui enim seipsum humiliat, exaltabitur: et qui seipsum exaltat, humiliabitur [b]. » Et « misericordes » quidem « beatos » pronuntiat, « quoniam ipsi misericordiam consequentur [c]. » « Iram » autem infelicem pronuntiat Sapientia, quoniam « ipsos quoque prudentes perdet [d]. » Jam vero jubet quoque ✠ « inimicos diligere, et iis, qui nos exsecrantur, benedicere; orareque pro iis qui nobis insultant, et nos injuria afficiunt. Ei qui te, » inquit, « percutit in maxillam, præbe ei et alteram. Et si quis abstulerit tibi tunicam, ne prohibeas, quo minus tollat etiam pallium [e]. » De fide autem: « Quæcumque petieritis in oratione credentes, accipietis [f], » inquit: « infidelibus » autem « nihil est fidum, » ut ait Pindarus. Ac famulis quidem utendum est, tanquam nobis ipsis: sunt enim homines, sicut nos: Deus enim est omnibus, liberis et servis, ex æquo, si consideres. Oportet autem fratres quoque peccantes non punire, sed reprehendere: « Qui suo enim parcit baculo, suum odit filium [g]. » Præterea gloriæ quidem expellit cupiditatem, dicens: « Væ vobis, Pharisæi, quoniam amatis primas sedes in synagogis, et salutationes in foro [h]. » Peccatoris autem amplectitur pœnitentiam, quæ peccata sequitur, pœnitentiam diligens. Solus enim Logos est, in quem peccatum non cadit. Est enim peccatum natura omnibus innatum et commune: post peccatum autem resipiscere, non est cujusvis hominis, sed ejus, qui est jure magnifaciendus. De communicatione autem: « Venite, » inquit, « ad me omnes benedicti, este hæredes regni vobis parati a constitutione mundi. Esurivi enim, et dedistis mihi comedendum: sitivi, et dedistis mihi po-

A ὑμῶν, ἐκπορευομένοις (16) ἐκ γῆς Αἰγύπτου, προσένεγκαί (17) μοι ὁλοκαυτώματα καὶ θυσίας, Ἀλλὰ τοῦτο ἐνετειλάμην αὐτοῖς· Ἕκαστος ὑμῶν, κατὰ τοῦ πλησίον ἐν τῇ καρδίᾳ αὐτοῦ μὴ μνησικακείτω· ὅρκον ψευδῆ μὴ ἀγαπάτω. » Ἀλλὰ καὶ ψεύσταις καὶ τετυφωμένοις προσαπειλεῖ· τοῖς μὲν ὧδέ πως· « Οὐαὶ (18) τοῖς λέγουσι τὸ γλυκὺ πικρὸν, καὶ τὸ πικρὸν γλυκύ· » τοῖς δὲ ὡδί· « Οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς, καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες· ὁ γὰρ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται, καὶ ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται » Καὶ « τοὺς μὲν ἐλεήμονας » μακαρίζει, « ὅτι αὐτοὶ ἐλεηθήσονται· » ὀργὴν δὲ ἡ Σοφία ταλανίζει, ὅτι ἄρα « ἀπολέσει (19) καὶ φρονίμους. » Ἤδη δὲ ἀγαπᾷν τοὺς ἐχθροὺς κελεύει, καὶ τοὺς καταρωμένους ἡμᾶς εὐλογεῖν, προσεύχεσθαί τε ὑπὲρ τῶν ἐπη-
B ρεαζόντων ἡμᾶς. « Τῷ τύπτοντί σε, » φησίν, « εἰς (20) τὴν σιαγόνα, πάρεχε καὶ τὴν ἄλλην· καὶ ἐὰν ἄρῃ σου τις τὸν χιτῶνα, μὴ κωλύσῃς καὶ τὸ ἱμάτιον. » Περὶ δὲ τῆς πίστεως· « Πάντα ὅσα ἐὰν αἰτήσησθε (21) ἐν τῇ προσευχῇ πιστεύοντες, λήψεσθε, » φησίν. « Πιστὸν (22) δὲ ἀπίστοις οὐδὲν, » κατὰ Πίνδαρον. Καὶ οἰκέταις (23) μὲν χρηστέον, ὡς ἑαυτοῖς· ἄνθρωποι γάρ εἰσιν, ὡς ἡμεῖς· ὁ γὰρ Θεὸς πᾶσιν, τοῖς ἐλευθέροις καὶ τοῖς δούλοις, ἐστὶν, ἂν σκοπῇς, ἴσος. Δεῖ δὲ καὶ τοὺς πλημμελοῦντας τῶν ἀδελφῶν (24) οὐ κολάζειν, ἐπιτιμᾷν (25) δέ· « Ὁ γὰρ φειδόμενος, » φησί, « τῆς βακτηρίας ἑαυτοῦ μισεῖ τὸν ἑαυτοῦ υἱόν. » Ἔτι τὴν μὲν φιλοδοξίαν ἀποσκορακίζει· « Οὐαὶ ὑμῖν, Φαρισαῖοι, » λέγων, « ὅτι ἀγαπᾶτε τὴν πρωτοκαθεδρίαν ἐν ταῖς συναγωγαῖς, καὶ τοὺς ἀσπασμοὺς ἐν
C ταῖς ἀγοραῖς· » τὴν δὲ μετάνοιαν (26) τοῦ ἁμαρτωλοῦ ἀσπάζεται, τὴν ἑπομένην ταῖς ἁμαρτίαις μετάνοιαν ἀγαπῶν· μόνος (27) γὰρ ἀναμάρτητος αὐτὸς ὁ Λόγος· τὸ μὲν γὰρ ἐξαμαρτάνειν πᾶσιν ἔμφυτον καὶ κοινόν· ἀναδραμεῖν δὲ μετὰ τὴν ἁμαρτίαν οὐ τοῦ τυχόντος ἀνδρὸς, ἀλλὰ ἀξιολόγου. Περὶ δὲ τῆς μεταδόσεως, « Δεῦτε (28), » εἶπε, « πρός με πάντες οἱ εὐλογημένοι· κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· ἐπείνασα γὰρ, καὶ δεδώκατέ (29) μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με· γυμνὸς, καὶ περιεβάλετέ με· ἀσθενὴς, καὶ ἐπεσκέψασθέ με· ἐν
D φυλακῇ ἤμην, καὶ ἤλθετε πρός με. » Καὶ πότε τι

✠ P. 307 ED. POTTER. [a] Isa. v, 20, 21. [b] Luc. xiv, 11; xviii, 14. [c] Matth. v, 7. [d] Prov. xv, 1 sec. LXX. [e] Matth. v, 40; Luc. vi, 27, 28, 29. [f] Matth. xxi, 22. [g] Prov. xiii, 24. [h] Luc. xi, 43.

et Zacharias cap. viii, 16, e quibus locis conjunctis et paulum mutatis hæc Clemens composuisse videtur.

(16) *Ἐκπορευομένοις*. Abest a Nov.

(17) *Προσένεγκαι*. Pal. ms. προσενέγκαι, infinito modo. Sylb.— Consentit Reg., eaque vera lectio est.

(18) *Οὐαί*. Οὐαὶ οἱ λέγοντες τὸ πονηρὸν, καλὸν... οἱ τιθέντες τὸ πικρὸν γλυκὺ, καὶ τὸ γλυκὺ πικρόν. Isai. Paulo post: Ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν, ταπεινωθήσεται, καὶ ὁ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται, Luc.

(19) *Ἀπολέσει*. Ἀπόλλυσι Prov.

(20) *Εἰς*. Ἐπί, Luc. Paulo post, καὶ ἀπὸ τοῦ αἴροντός σου τὸ ἱμάτιον καὶ τὸν χιτῶνα μὴ κωλύσῃς, Luc. Verum Matthæus χιτῶνα λαβεῖν θέλοντι jubet ἀφεῖναι τὸ ἱμάτιον. Quæ Clemens, διὰ μνήμης S. Scripturas recitans, cum Lucæ verbis commiscuisse videtur.

(21) *Ἐὰν αἰτήσησθε*. Ἂν αἰτ. Bod., Reg., αἰτήσητε, Matth.

(22) *Πιστόν*. Exstat inter Pindari fragmenta.

(23) *Οἰκέταις*. Respicere videtur Coloss. iv, 1; Ephes. vi, 9, etc.

(24) *Ἀδελφῶν*. Οἰκετῶν, Nov.

(25) *Ἐπιτιμᾷν*. II Tim. iv, 2. Mox, Ὃς φείδεται τῆς βακτηρίας, μισεῖ τὸν υἱὸν αὐτοῦ, Prov. Dein, Οὐαὶ ὑμῖν τοῖς Φαρισαίοις, Luc.

(26) *Μετάνοιαν*. Ezech. xviii, 23, et alibi passim.

(27) *Μόνος*. Nempe secundum naturam; B. Maria dono gratiæ erat ἀναμάρτητος. Mox, τὸ μὲν ἐξαμαρτ. omisso γὰρ, Bod.

(28) *Δεῦτε*. Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός, Matth. Mox, πρός με abest a Bod.

(29) *Δεδώκατε*. Ἐδώκατε, Matth., Nov. Mox ξένος ἤμην, καὶ συνηγάγετέ με abest a Bod. et Reg. Dein, ἠσθένησα pro ἀσθενὴς, Matth.

τούτων τῷ Κυρίῳ πεποιήκαμεν ἡμεῖς; Αὐτὸς ἐρεῖ A πάλιν ὁ Παιδαγωγὸς, τὴν εὐποιίαν καὶ τῶν ἀδελφῶν ἀγαπητικῶς εἰς ἑαυτὸν μετατρέπων (30), καὶ λέγων· « Ἐφ' ὅσον ἐποιήσατε τοῖς μικροῖς τούτοις, ἐμοὶ ἐποιήσατε. Καὶ ἀπελεύσονται οἱ τοιοῦτοι εἰς ζωὴν αἰώνιον. » Τοιοίδε μὲν οἱ λογικοὶ νόμοι, οἱ παρακλητικοὶ λόγοι (31) οὐκ ἐν πλαξὶ (32) λιθίναις, δακτύλῳ γεγραμμέναις Κυρίου, ἀλλ' ἐν καρδίαις ἀνθρώπων ἐναπογεγραμμένοι, ταῖς μόνον φθορὰν οὐκ ἐπιδεχομέναις. Διὰ τοῦτό τοι κατεάγασιν αἱ πλάκες τῶν σκληροκαρδίων, ἵν' αἱ πίστεις τῶν νηπίων (33) ἐν μαλθακαῖς τυπωθῶσι διανοίαις. Ἄμφω δὲ τὼ νόμω διηκόνουν τῷ Λόγῳ εἰς παιδαγωγίαν τῆς ἀνθρωπότητος, ὁ (34) μὲν διὰ Μωϋσέως, ὁ δὲ δι' ἀποστόλων. Οἵα γ' οὖν (35) καὶ δι' ἀποστόλων ἡ παιδαγωγία, ἀναγκαῖόν μοι δοκεῖ καὶ περὶ τοῦ εἴδους διαλεχθῆναι τούτου· B μᾶλλον δὲ ἐμαυτοῦ (36) μεμνημένος ὁ Παιδαγωγός φησιν· ἃς αὐτὰς σπερματικῶς πάλιν τὰς ὑποθήκας ἐκθήσομαι (37)· « Ἀποθέμενοι τὸ ψεῦδος, λαλεῖτε ἀλήθειαν ἕκαστος (38) μετὰ τοῦ πλησίον αὐτοῦ· ὅτι ἐσμὲν ἀλλήλων μέλη (39). Ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν, μηδὲ δίδοτε τόπον τῷ διαβόλῳ. Ὁ κλέπτων μηκέτι κλεπτέτω· μᾶλλον δὲ κοπιάτω, ἐργαζόμενος τὸ ἀγαθὸν (40), ἵνα ἔχῃ μεταδιδόναι τῷ χρῄζοντι. Πᾶσα πικρία, καὶ ὀργὴ, καὶ θυμὸς, καὶ κραυγὴ, καὶ βλασφημία ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ. Γίνεσθε εἰς ἀλλήλους χρηστοὶ, εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς, καθὼς καὶ ὁ Θεὸς ἐν Χριστῷ ἐχαρίσατο ὑμῖν. Γίνεσθε οὖν φρόνιμοι, καὶ μιμηταὶ (41) τοῦ Θεοῦ, ὡς τέκνα ἀγαπητά· καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ὑμᾶς (42). C Αἱ μὲν γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ὑποτασσέσθωσαν, ὡς τῷ Κυρίῳ· οἱ δὲ ἄνδρες τὰς γυναῖκας τὰς ἑαυτῶν ἀγαπάτωσαν, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν Ἐκκλησίαν. » Ἀγαπάτωσαν οὖν ἀλλήλους (43) οἱ συνεζευγμένοι, « ὡς τὰ ἴδια σώματα. Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν. Οἱ πατέρες, μὴ παρ-

A πρᾶξιν ἅμα καὶ αἵρεσιν ἀποδεκτέον οὐ τὴν ἀμεμφῆ, ἀλλ' ἣν οὐδεὶς εὐλόγως καταμέμφεται. Οὐχ εὐθὺς (59) δ', εἴ τις μὴ προηγουμένως ἐπιτελεῖ, κατὰ περίστασιν αὐτὸ ποιεῖ· ἀλλὰ οἰκονομούμενός τι θεοσόφως, καὶ συμπεριφερόμενος ἐνεργήσει· Οὔτε γὰρ ὁ ἔχων τὴν ἀρετὴν χρήζει τῆς ἐπὶ τὴν ἀρετὴν ἔτι ὁδοῦ, οὔθ' ὁ ἐῤῥωμένος ἀναλήψεως. Καθάπερ (60) γὰρ οἱ γεωργοὶ προαρδεύσαντες τὴν γῆν, οὕτω δὲ καὶ ἡμεῖς τῷ ποτίμῳ τῶν παρ' Ἕλλησι λόγων προαρδεύομεν τὸ γεῶδες αὐτῶν, ὡς παραδέξασθαι τὸ καταβαλλόμενον σπέρμα πνευματικὸν, καὶ τοῦτο εὐμαρῶς ἐκθρέψαι δύνασθαι. Περιέξουσι δὲ οἱ Στρωματεῖς ἀναμεμιγμένην τὴν ἀλήθειαν τοῖς φιλοσοφίας δόγμασι, μᾶλλον δὲ ἐγκεκαλυμμένην καὶ ἐπικεκρυμμένην, καθάπερ τῷ λεπύρῳ τὸ ἐδώδιμον τοῦ καρύου· ἁρμόζει γὰρ, B οἶμαι, τῆς ἀληθείας τὰ σπέρματα μόνοις φυλάσσεσθαι τοῖς τῆς πίστεως γεωργοῖς. Οὐ λέληθε δέ με καὶ τὰ θρυλλούμενα πρός τινων, ἀμαθῶς ψοφοδεῶν· χρῆναι λεγόντων περὶ τὰ ἀναγκαιότατα καὶ συνέχοντα τὴν πίστιν καταγίνεσθαι· τὰ δὲ ἔξωθεν (61) καὶ περιττὰ ὑπερβαίνειν, μάτην ἡμᾶς τρίβοντα καὶ κατέχοντα περὶ τοῖς οὐδὲν συμβαλλομένοις πρὸς τὸ τέλος. Οἱ δὲ καὶ πρὸς κακοῦ ἂν τὴν φιλοσοφίαν εἰσδεδυκέναι τὸν βίον νομίζωσιν ἐπὶ λύμῃ τῶν ἀνθρώπων, πρός τινος εὑρετοῦ πονηροῦ (62). Ἐγὼ δὲ, ὅτι μὲν ἡ κακία κακὴν φύσιν ἔχει, καὶ οὔποτ' ἂν καλοῦ τινος ὑποσταίη γεωργὸς γενέσθαι, παρ' ὅλους ἐνδείξομαι τοὺς Στρωματεῖς, αἰνισσόμενος ἀμηγέπη θείας C ἔργον προνοίας καὶ φιλοσοφίαν.

✠ P. 326 ED. POTTER, 278 ED. PARIS.

(59) *Οὐκ εὐθύς*. Nec his verbis, prout jam se habent, sensus constat. Restitui debet post ἐπιτελεῖ negativa particula, quæ propter duplicem, quæ præcessit, negationem per librariorum imperitiam excidisse videtur. Scribe igitur: Οὐχ εὐθὺς δ' εἴ τις μὴ προηγουμένως ἐπιτελεῖ, εἰ κατὰ περίστασιν αὐτὸ ποιεῖ· « Non autem statim sequitur, quod si quis aliquid per se nolit facere, ipsum non esse urgente aliquo casu id facturum; verum tunc divina quodammodo arte aliquod medium inveniet, et sese præsentibus accommodans, effectum dabit. » Quem sensum quæ sequuntur, confirmant. Hinc paulo etiam post ait, philosophiam non fuisse κατὰ τὸν προηγούμενον λόγον, hoc est « per se, » ingressam, sed quod suadendæ veritati inserviret.

(60) *Καθάπερ*. Legendum videtur, καθάπερ γὰρ οἱ γεωργοὶ προαρδεύσαντες τὴν γῆν, εἶθ' οὕτω τὸ σπέρμα καταβάλλουσιν, οὕτω δὴ καὶ ἡμεῖς ... SYLBURG. — Quod in Latina versione expressum est.

(61) *Τὰ δὲ ἔξωθεν*. Præcipitur *Constitut. apostol.* D lib. I, cap. 6: Τῶν ἐθνικῶν βιβλίων πάντων ἀπέχου· « Ab omnibus gentilium libris abstine. » Qua de re conf. quæ ad ea verba adnotavit Cotelerius.

(62) *Πονηροῦ*. Nempe diabolo, cui auctori nonnulli e veteribus Christianis philosophiam imputarunt. *Strom.* VI, pag. 693: Πῶς οὖν οὐκ ἄτοπον, τὴν ἀταξίαν καὶ τὴν ἀδικίαν προσνέμοντας τῷ διαβόλῳ, ἐναρέτου πράγματος τοῦτον, τῆς φιλοσοφίας, δοτῆρα ποιεῖν; « Quomodo non est absurdum, ut cum diabolo confusionem et injustitiam tribuamus, eum rei præclaræ, philosophiæ scilicet, datorem constituere? » Conf. etiam *Strom.* V, pag. 550, et *Strom.* I, pag. 310, quæque ibi adnotantur.

✠ CAPUT II.

Occurrit quorumdam objectioni, vituperantium quod tam multa e philosophia desumpta libris suis inserat.

Ὑπὲρ δὲ τῶν ὑπομνημάτων τῶν περιειληφότων κατὰ τοὺς ἀναγκαίους καιροὺς τὴν Ἑλληνικὴν δόξαν, τοσοῦτόν φημι τοῖς φιλεγκλήμοσι· πρῶτον μὲν, εἰ καὶ ἄχρηστος εἴη φιλοσοφία, εἰ εὔχρηστος ἡ τῆς ἀχρηστίας βεβαίωσις, εὔχρηστος· ἔπειτα, οὐδὲ καταψηφίσασθαι τῶν Ἑλλήνων οἷόν τε, ψιλῇ τῇ περὶ τῶν δογματισθέντων αὐτοῖς χρωμένους φράσει, μὴ συνεμβαίνοντας εἰς τὴν κατὰ μέρος ἄχρι συγγνώσεως ἐκκάλυψιν. Πιστὸς γὰρ εὖ μάλα ὁ μετ' ἐμπειρίας ἔλεγχος· ὅτι καὶ τελειοτάτη ἀπόδειξις εὑρίσκεται ἡ γνῶσις τῶν κατεγνωσμένων. Πολλὰ δ' οὖν, καὶ μὴ συμβαλλόμενα εἰς τέλος, συγκοσμεῖ τὸν τεχνίτην· καὶ ἄλλως ἡ πολυμαθία διασυστατικὴ τυγχάνει τοῦ παρατιθεμένου τὰ κυριώτατα τῶν δογμάτων (63) πρὸς πειθὼ τῶν ἀκροωμένων, θαυμασμὸν ἐγγεννῶσα τοῖς κατηχουμένοις, καὶ πρὸς τὴν ἀλήθειαν συνίστησιν. Ἀξιόπιστος δὲ ἡ τοιαύτη ψυχαγωγία, δι' ἧς κακουμένην οἱ φιλομαθεῖς παραδέχονται τὴν ἀλήθειαν, πρὸς τὸ μήτε αὖ τὴν φιλοσοφίαν λυμαίνεσθαι τὸν βίον, ψευδῶν (64) πραγμάτων καὶ φαύλων ἔργων δημιουργὸν ὑπάρχουσαν· ἥν τινες διαβεβλήκασιν, ἀληθείας οὖσαν εἰκόνα ἐναργῆ, θείαν δωρεὰν Ἕλλησι δεδομένην· μήτε ἡμᾶς ἀποσπᾶσθαι τῆς πίστεως, οἷον ἀπό τινος ἀπατηλοῦ τέχνης καταγοητευομένους· ἀλλ' ὡς ἔπος εἰπεῖν, περιβολῇ πλείονι χρωμένους, ἀμηγέπη συγγυμνασίαν τινὰ πίστεως ἀποδεικτικὴν ἐκπορίζεσθαι. Ναὶ μὴν καὶ συναφῇ τῶν δογμάτων διὰ τῆς ἀντιπαραθέσεως (65) τὴν ἀλήθειαν μνηστεύεται, δι' ἧς ἐξηκολούθηκεν ἡ γνῶσις· οὐ κατὰ προηγούμενον λόγον τῆς φιλοσοφίας παρεισελθούσης, διὰ δὲ τὸν (66) ἀπὸ τῆς γνώσεως καρπὸν ἡμῶν, βέβαιον λαμβανόντων πεῖσμα τῆς ἀληθοῦς καταλήψεως, διὰ τῆς τῶν ὑπονοουμένων ἐπιστήμης (67). Σιωπῶ γὰρ ὅτι οἱ Στρωματεῖς τῇ πολυμαθίᾳ σωματοποιούμενοι, κρύπτειν ἐντέχνως τὰ τῆς γνώσεως βούλονται σπέρματα. Καθάπερ οὖν ὁ τῆς ἄγρας ἐρωτικὸς, ζητήσας, ἀνιχνεύσας, ἐρευνήσας, κυνοδρομήσας, αἱρεῖ τὸ θηρίον· οὕτω καὶ τἀληθὲς γλυκύτητι (68) φαίνεται ζητηθὲν, καὶ πόνῳ πορισθέν. Τί δή ποτ' οὖν ὧδε διατετάχθαι φίλον ἔδοξεν εἶναι τοῖς ὑπομνήμασιν; Ὅτι μέγας ὁ κίνδυνος, τὸν ἀπόρρητον ὡς ἀληθῶς τῆς ὄντως φιλοσοφίας λόγον ἐξορχήσασθαι (69) τοῖς ἀφειδῶς πάντα μὲν ἀντιλέγειν ἐθέλουσιν οὐκ ἐν δίκῃ,

A De commentariis autem hisce, qui, cum necessarium fuerit, Græcorum complexi sunt opinionem, hactenus respondeo iis, qui reprehendendi studio delectantur. Primum quidem, etiamsi sit inutilis philosophia, tamen si inutilem eam confirmare est utile, jam utilis est. Deinde nec iis licet Græcos condemnare, quibus in eorum decretis nil ultra nudas voces perceptum est, priusquam ea sigillatim atque intime explorata atque cognita habuerint. Est enim ea refutatio fide dignissima, quæ sequitur experientiam : quippe cum eorum, quæ condemnaveris certa cognitio perfectissimæ demonstrationis loco erit. Præterea multa, quæ ad finem non conferant, tamen artifici ornamentum afferunt. Et alioqui varia ac multiplex doctrina, B eum, qui maxime principalia dogmata proponit, fidei auditorum commendat, discipulis admirationem ipsius ingenerans, et ad veritatem eos adducit. Fidem autem faciet ejusmodi oblectatio, per quam a vulgo vituperatam studiosi recipiunt veritatem, quod neque ipsa philosophia vitæ perniciem afferat, quam ac si esset rerum falsarum et malorum operum artifex, quidam falso calumniati sunt, cum sit evidens veritatis imago, donum Græcis datum divinitus; neque nos per ipsam tanquam a quibusdam decepti præstigiis a fide abducamur: sed potius majori munimento tecti, et socium quodammodo exercitationem, qua fides pleniorem demonstrationem accipiet, lucrati sumus. Quinetiam C dum contraria dogmata inter se conferuntur, veritas magis elucescit. Hinc consequitur scientia. Atque adeo haudquaquam per se inducitur philosophia, sed propter fructus ex scientia provenientes ; quia nobis per scientiam rerum animo comprehensarum firmatur veræ perceptionis persuasio. Taceo quod libri hi multiplici ac varia doctrina in unum corpus coagmentati, volunt artificiose celare semina cognitionis. Quemadmodum ergo qui studio tenetur venationis, postquam quæsiit, investigavit, indagavit, canes, qui cursu persequerentur, emisit, feram capit ; ita etiam apparet verum dulcedine quæsitum, et labore paratum. Quanam ergo de causa sic tuos commentarios tibi ordinare visum est? Quo-

✠ P. 327 ED. POTTER, 279 ED. PARIS.

D

(63) *Τὰ κυριώτατα τῶν δογμάτων*. Sic alibi τὰ κύρια τῶν δογμάτων, τὰ γενναιότατα τῶν δογμάτων, etc., pag. 303, 358, 475, 550, 618, 629, 675, 770.

(64) *Ψευδῶν*. Hallucinatur omnino Hervetus, qui hæc in philosophiæ vituperium dicta existimavit; cum moneat tantum auctor, ne re præstantissima abutamur, quod fecere hæretici. Confer pag. 282, 283, 287, 318, 635, 636, præter innumera alia loca. LOWTH.

(65) *Διὰ τῆς ἀντιπαραθέσεως*. Quia sc. τῷ ἐναντίῳ τὰ ἐναντία πέφυκε μάλιστα γνωρίζεσθαι, inquit Philo, p. 191. H. SYLBURG.

(66) *Διὰ δὲ τ.* Hæc sic distingue, διὰ δὲ τὸν ἀπὸ τῆς γνώσεως καρπόν· ἡμῶν βέβαιον λ. quod in Latina versione expressimus.

(67) *Διὰ τῆς τῶν ὑπονοουμένων ἐπιστήμης*. « Per cognitionem eorum quæ figurate et per involucrum proferuntur. » Vid. p. 557, inquit Lowthius.

(68) *Γλυκύτητι*. Scribe, γλύκυ τι φαίνεται ζητηθέν. Hoc est, « ita veritas demum suavis videtur esse, si investigetur et labore paretur. » Nam quemadmodum in fine septimi, ita hic Clemens methodum occultam in his libris et confusam excusat: in quibus, sicut notat accuratus censor Photius, σποράδην τε καὶ ὥσπερ οὐκ ἐν τάξει τὴν τῶν κεφαλαίων παράθεσιν ποιεῖται. HEINSIUS.

(69) *Ἐξορχήσασθαι*. Sic superius *Pædag.* lib. III, cap. 3 : Τὰ ἀπόρρητα εἰς τὸ συμφανὲς ἀπογυμνοῦντας ἐξορχουμένους, et *Protrept.*, pag. 9, edit. Paris. : Οὐκ ἐξορχήσομαι τὰ μυστήρια. Quem locum videsis.

niam magnum est periculum vere arcanam ✠ veræ philosophiæ rationem iis propalare, qui profuse quidem ac petulanter, sed non jure volunt contra omnes dicere, omnia autem nomina ac verba turpiter et indecore ejaculantur, et seipsos fallentes, et eorum, qui sibi adhærent, oculos præstringentes. « Hebræi enim signa petunt, » ut ait Apostolus, « Græci autem sapientiam quærunt [a]. »

A πάντα δὲ ὀνόματα καὶ ῥήματα ἀποῤῥίπτουσι· οὐδαμῶς κοσμίως, αὐτούς τε ἀπατῶντες (70), καὶ τοὺς ἐχομένους αὐτῶν γοητεύοντες. « Ἑβραῖοι μὲν γὰρ, σημεῖα αἰτοῦσιν, » ᾗ φησιν ὁ Ἀπόστολος· « Ἕλληνες δὲ σοφίαν ζητοῦσι. »

CAPUT III.

Contra sophistas et inutilis scientiæ jactatores.

Magna est autem turba ejusmodi : ac eorum quidem aliqui voluptatibus mancipati, cum non velint credere, omni veneratione dignam irrident veritatem, barbariem ejus habentes ludibrio. Aliqui autem alii seipsos erigentes, ansas calumniandi sermones nostros invenire contendunt, contentiosas comparantes quæstiones dictiuncularum venatores, pusillarum quarumdam artium æmulatores, litigatores, et jurgiorum consarcinatores, ut ait ille Abderitanus :

Lingua volubilis est hominum, nec pauca profatur :
Dictorum omnimodum hinc atque hinc divisio multa est.

Et :

Quod verbum edideris, te tale audire necesse est.

Ob hanc ergo artem se efferentes sophistæ infelices, canoris quibusdam suis nugis garrientes, cum in nominum delectu et certa dictionum compositione et connexione per totam vitam laborant, turturibus apparent loquaciores, eos, quibus pruriunt aures, non satis, ut mihi videtur, viriliter demulcentes et titillantes :

Verborum non stilla cadens, sed flumen inertum.

Et certe quemadmodum veteribus in calceis, imbecilla iis sunt alia et diffluunt, sola autem eis restat

III. Πολὺς δὲ ὁ τοιόσδε ὄχλος· οἱ μὲν αὐτῶν, ἡδοναῖς δεδουλωμένοι, ἀπιστεῖν ἐθέλοντες, γελῶσι τὴν ἁπάσης σεμνότητος ἀξίαν ἀλήθειαν, τὸ βάρβαρον ἐν παιδείᾳ τιθέμενοι (71)· οἱ δέ τινες, σφᾶς αὐτοὺς ἐπαίροντες, διαβολὰς τοῖς λόγοις ἐξευρίσκειν βιάζονται, B ζητήσεις ἐριστικὰς ἐκπορίζοντες, λεξιδίων θηράτορες (72), ζηλωταὶ τεχνυδρίων, ἐριδαντέες (73) καὶ ἱμαντελικτέες, ὡς ὁ Ἀβδηρίτης ἐκεῖνός φησιν·

Στρεπτὴ γὰρ γλῶσσα βροτῶν· πολέες δ' ἔνι μῦθοι
Παντοίων· ἐπέων δὲ πολὺς νομὸς ἔνθα καὶ ἔνθα.

Καὶ,

Ὁπποῖόν κε εἴπῃσθα ἔπος, τοῖόν κ' ἐπακούσαις.

Ταύτῃ γοῦν ἐπαιρόμενοι τῇ τέχνῃ οἱ κακοδαίμονες σοφισταὶ, τῇ σφῶν αὐτῶν στωμυλλόμενοι τερθρείᾳ, ἀμφὶ τὴν διάκρισιν τῶν ὀνομάτων καὶ τὴν ποιὰν τῶν λέξεων σύνθεσίν τε καὶ περιπλοκὴν τὸν πάντα πονούμενοι βίον, C τρυγόνων (74) ἀναφαίνονται λαλίστεροι· κνήθοντες (75) καὶ γαργαλίζοντες οὐκ ἀνδρικῶς, ἐμοὶ δοκεῖν, τὰς ἀκοὰς τῶν κνίσασθαι γλιχομένων·

Ποταμὸς (76) ἀτέχνων ῥημάτων, οὐδὲ σταλαγμός·

ἀμέλει καὶ καθάπερ τῶν παλαιῶν ὑποδημάτων, τὰ μὲν ἄλλα αὐτοῖς ἀσθενεῖ καὶ διαῤῥεῖ, μόνη δὲ ἡ

✠ P. 328 ED. POTTER, 280 ED. PARIS. [a] I Cor. I, 22.

(70) *Αὐτούς τε ἀπ.* H., αὐτούς τε ἀπατῶντας, καὶ τοὺς ἐχομένους αὐτῶν γοητεύοντας. SYLBURG. Αὐτοῖς τε ἀπατῶντες, καὶ τοῖς ἐχομένοις αὐτῶν γοητεύοντες, edit. Flor. Vera lectio esse videtur, quam in textu exhibuimus. Mox, Ἰουδαῖοι pro Ἑβραῖοι, et σημεῖον pro σημεῖα, I Cor. I, 22.

(71) *Τὸ βάρβ. ἐν παιδείᾳ τιθέμενοι.* « Barbariem doctrinæ » Christianæ « causantes, » nempe pro ratione incredulitatis. Nisi potius cum Sylburgio legendum sit, τὰ βάρβ. ἐν παιδιᾷ τιθέμενοι, quod in Latina versione expressum est. Vide supra p. 109.

(72) *Θηράτορες*. Ionicæ dialecto magis convenit θηρήτορες, vel ut in ms. epitome est, θηρητῆρες. Sequenti versu si pro γάρ legamus γὰρ τά, aut μὲν γὰρ, recte constabit metrum. SYLBURG. Vera lectio est : Στρεπτὴ δὲ γλῶσσ' ἐστὶ β. ex *Iliad.* Υ, vers. 248.

(73) *Ἐριδαντέες*. Quos non ineleganti voce « Vitilitigatores » vocavit Cato, testante Plinio, eos non minore gratia ἐριδαντέας, et ἱμαντελικτέας, dixit Democritus Abderita : illud quod jurgia ferant litigiosi ; hoc vero, quod veluti nexus quosdam vinculorum implicent, quibus alios involvant irretiantque. Clemens *Strom.* lib. I : Ἐριδαντέες μὲν καὶ ἱμαντελικτέες, ὡς ὁ Ἀβδερίτης ἐκεῖνός φησιν : quæ lectio apud Plutarchum I, *Symposiacorum* decade nonnihil corrupta, legitur hoc modo ἐριδανταίων δὲ, D κατὰ Δημόκριτον, καὶ ἱμαντελικταίων λόγους ἀφετέον· id est, « missas facere oportet eorum fabulas qui de lana caprina rixantur, et nodos texunt, ut est apud Democritum. » H. Junius cent. 8, proverb. 78. At ἱμαντελικταίους exponit H. Stephanus, « qui veluti funes loreos tortuosis nodis implicant. » Versus autem, qui sequuntur, non Democriti sunt, sed Homeri *Iliad.* K. COLLECT.

(74) *Τρυγόνων*. Hervetus τεττίγων maluit; sed frustra. Conf. Hesychius v. Τρυγονοψάλλειν.

(75) *Κνήθοντες*. Respicit I Tim. IV, 3 : κνηθόμενοι τὴν ἀκοήν.

(76) *Ποταμός*. P. Leopardus lib. IX *Emendat.*, cap. 3. Exstat apud Stobæum Theocriti Chii in Anaximenem oratorem scomma his verbis : Θεόκριτος ὁ Χῖος, Ἀναξιμένους λέγειν μέλλοντος, Ἄρχεται, εἶπε, λέξεων μὲν ποταμὸς, νοῦ δὲ σταλαγμός. Id est, « Theocritus Chius, cum Anaximenes orator esset habiturus orationem : Incipit, inquit, verborum quidem flumen, sed mentis gutta. » Clemens Alex. *Strom.* l. I, similem huic locum habet, sed depravatum, ποταμὸν ἀτέχνων ῥημάτων, οὐδὲ σταλαγμόν, quod Gentianus perperam ita vertit, « Verborum, » etc. Legendum autem νοῦ, id est, « flumen inertium verborum, mentis autem gutta. » COLLECT.

γλῶσσα ὑπολείπεται. Παγκάλως ὁ Ἀθηναῖος ἀποτεί-νεται, καὶ γράφει Σόλων·

Εἰς γὰρ γλῶσσαν (77) *ὁρᾶτε, καὶ εἰς ἔπη αἱμύλου [ἀνδρός.*
Εἰς ἔργον (78) *δ' οὐδὲν γιγνόμενον βλέπετε.*
Ὑμῶν δ' εἷς μὲν ἕκαστος ἀλώπεκος ἴχνεσι βαίνει,
Σύμπασιν δ' ὑμῖν χαῦνος ἔνεστι νόος.

Τοῦτό που (79) αἰνίσσεται ἡ σωτήριος ἐκείνη φωνή· « Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσιν· Ὁ δὲ Υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνει (80). » Μόνῳ γάρ, οἶμαι, τῷ πιστεύοντι, διακεκριμένῳ τέλεον τῶν ἄλλων, τῶν πρὸς τῆς Γραφῆς θηρίων εἰρημένων, ἐπαναπαύεται τὸ κεφάλαιον τῶν ὄντων, ὁ χρηστὸς καὶ ἥμερος Λόγος, « ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν· Κύριος » γὰρ « μόνος γινώσκει τοὺς διαλογισμοὺς τῶν σοφῶν, ὅτι εἰσὶ μάταιοι » σοφοὺς δήπου τοὺς σοφιστάς, τοὺς περὶ τὰς λέξεις καὶ τὰς τέχνας περιττοὺς (81), καλούσης τῆς Γραφῆς. Ὅθεν οἱ Ἕλληνες καὶ αὐτοὶ τοὺς περὶ ὁτιοῦν πολυπράγμονας σοφοὺς ἅμα καὶ « σοφιστὰς » (82) παρωνύμως κεκλήκασι. Κρατῖνος γοῦν ἐν τοῖς *Ἀρχιλοχείοις* (83), ποιητὰς (84) καταλέξας, ἔφη·

Οἷον σοφιστῶν σμῆνος ἀνεδειφήσατε.

Ἰοφῶν (85) τε ὁμοίως ὁ κωμικὸς ἐν *Αὐλῳδοῖς σατύροις* ἐπὶ ῥαψῳδῶν καὶ ἄλλων τινῶν λέγει·

. . . . . Καὶ γὰρ εἰσελήλυθεν
Πολλῶν σοφιστῶν ὄχλος ἐξηρτυμένος.

Ἐπὶ τούτων καὶ τῶν παραπλησίων, ὅσοι τοὺς κενοὺς μεμελετήκασι λόγους, ἡ θεία Γραφὴ παγκάλως λέγει· « Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω. »

A lingua. Pulchre ergo eos insectans, scribit Solon Atheniensis:

121 *Ad linguam aspicitis, et dulcia verba lo- [quentes:*
✠ *At quod fit nemo spectat agentis opus.*
Ac quivis vestrum vulpis vestigia figit,
Et mentem vacuam putidulamque gerit.

Hoc utique significat vox illa salutaris: « Vulpes foveas habent, Filius autem hominis non habet ubi caput reclinet [a]. » Super enim solo eo, ut arbitror, qui credit, perfecte separato a cæteris hominibus, quas Scriptura bestias vocat, rerum omnium caput conquiescat ac princeps, nempe benignus et mansuetus Logos, « qui comprehendit sapientes in astutia ipsorum: Dominus » enim « solus cognoscit
B disceptationes sapientum, quod vanæ sunt [b]: » sapientes utique Scriptura vocante sophistas, qui in dictionibus versantur et artibus superfluis. Unde ipsi quoque Græci eos, qui in re aliqua curiose versantur, sapientes simul et « sophistas » denominative appellarunt. Cratinus itaque, cum in *Archilochiis* poetas recensuisset, ait:

Quales sophistas perpetim scrutamini.

Et similiter Iophon comicus in *Aulædis Satyris.* dicit de rhapsodis et aliquibus aliis:

..... Namque introit
Una sophistarum caterva plurima.

De iis et similibus, qui se inani dicendi genere
C exercuerunt, pulcherrime dicit divina Scriptura: « Perdam sapientiam sapientum, et prudentiam prudentum abolebo [c]. »

✠ P. 329 ED. POTTER, 280 ED. PARIS. [a] Matth. VIII, 20; Luc. IX, 58. [b] Job V, 13; I Cor. III, 19, 20; Psal. XCIII. 11. [c] Isa. XXIX, 14; I Cor. I, 19.

(77) *Εἰς γὰρ γλ.* Reperiuntur hæc carmina inter opera Solonis cum cæteris gnosticis, edita, p. 138, sed ordine mutato, primum enim tertio loco ponitur, in quo et legitur non ut apud Clementem, καὶ εἰς ἔπη αἱμύλου ἀνδρός, sed, καὶ εἰς ἔπος αἰόλον ἀνδρός, « Versutaque verba loquentis; » et in tertio χαῦνος, « mollis » vertitur: « Omnibus at vobis mollis inest animus. » Collect.

(78) *Εἰς ἔργον.* Hic pentameter additus est ex Plutarcho et Diogene Laertio. Sylburg.

(79) *Τοῦτό που.* Sic scribendum, quod priores editiones τοῦ τόπου exhibuerunt.

(80) *Κλίνει.* Κλίνῃ, Evang.

(81) *Τοὺς περὶ τὰς λέξεις καὶ τὰς τέχνας περιττούς.* « Qui verborum atque artium scientia excellunt. » Eodem sensu περιττός paulo post occurrit, ubi τὸ περὶ τὰς αἰσθήσεις περιττόν, « excellentia sensuum » dicitur.

(82) *Σοφοὺς ἅμα καὶ σοφιστάς.* Diogenes Laertius in procemio his gemina dicit: Οἱ δὲ σοφοὶ καὶ σοφισταὶ ἐκαλοῦντο· καὶ οὐ μόνον, ἀλλὰ καὶ οἱ ποιηταὶ, σοφισταί· καθὰ καὶ Κρατῖνος ἐν Ἀρχιλόχῳ τοὺς περὶ Ὅμηρον καὶ Ἡσίοδον ἐπαινῶν, οὕτως καλεῖ· « Ipsi vero sapientes sophistæ etiam sunt dicti. Neque hi solum, verum poetæ quoque sophistarum appellatione honorantur. Nam Cratinus in *Archilocho*, Homerum et Hesiodum admiratus, ita illos vocat. » Hinc Herodotus lib. I Solonem ac reliquos sapientes σοφιστάς vocavit: et Solon πρῶτος σοφιστής ab Isocrate dictus est oratione *Περὶ ἀντιδόσεως*. Postea sophistæ nomen eos solos significabat, « qui ostentatio-
D nis, aut quæstus causa philosophabantur, » ut ait Cicero *Acad. quæst.* lib. II.

(83) Ἀρχιλοχείοις. Primo scribe Ἀρχιλόχοις· quod drama ab Athenæo et aliis non semel adducitur: versum autem Cratini hoc modo:

Οἷον σοφιστῶν σμῆνος ἀεὶ διφήσατε.

Quales sophistas perpetim scrutamini. Heinsius.

Athenæus lib. III citat Cratinum ἐν Ἀρχιλόχοις, *in Archilochis:* et lib. IV atque aliis locis. Collect. — Laertius, loco superius dicto, Ἀρχίλοχον hanc fabulam vocavit: verum in quibusdam ejus codicibus Ἀρχιλόχοις plurale scriptum esse, adnotavit H. Stephanus. Menagius ibi adnotat, « legendum esse Ἀρχιλόχοις, ut legitur apud Hephæstionem in *Enchiridio* p. 50, aut Ἀρχιλοχείοις, ut legitur apud Clementem Alexandrinum. Rectius, Ἀρχιλόχοις· et ita rescribo, inquit, apud Clementem. »

(84) *Ποιητάς.* Hanc lectionem Herveto debemus; olim scriptum erat ποιηταῖς.

(85) *Ἰοφῶν.* Is. Casaubonus *De satyrica poesi* lib. I, cap. 5, ait: « Sophoclis filius, et in Tragœdiarum satyricorumque scriptione successor fuit Iophon. Videtur hic esse, cujus laudantur Clementi Alex. Αὐλῳδοὶ σάτυροι· ipse tamen comicum poetam appellat, non tragicum. Locus est in primo *Strom.:* Ἰοφῶν ὁ κωμικὸς ἐν Αὐλῳδοῖς σατύροις, etc. An scripserat Clemens ὁ τραγικός; an aliud agens hallucinatur? nam equidem præter Sophoclis filium, quem paternæ scriptionis æmulum fuisse constat,

CAPUT IV.

Humanas artes, non minus quam rerum divinarum scientiam, a Deo esse profectas.

Homerus autem et fabrum vocat sapientem: et de Margite, si id opus utique Homeri est, sic scribit:

✠ *Hunc nec aratorem dii fossoremve crearunt,*
Ullo aliove modo sapientem, arsque abfuit omnis.

Hesiodus autem cum Linum citharœdum dixisset esse « cujusvis sapientiæ peritum, » nautam etiam non veretur dicere sapientem, scribens:

Nautica in arte aliquid qui nec sapit.

Daniel autem propheta, « Mysterium, » inquit, « quod rex rogat, non est sapientum, magorum, incantatorum, Gazarenorum potestas, ut regi annuntient, sed est Deus in cœlo revelans [a]. » Ubi quidem appellat « sapientes » Babylonis. Quod autem Scriptura « sapientiam » appellet communi nomine omnem mundanam, sive scientiam, sive artem; aliæ autem sunt disciplinæ, quas insuper humana ratio adinvenit; et quod a Deo sit omnis artificiosa et sapiens inventio, manifestum erit, si hanc dictionem adjecerimus: « Et locutus est Dominus ad Moysen, dicens: Ecce vocavi Beseleel filium Uri, filii Or de tribu Juda, et implevi eum divino spiritu sapientiæ, ut in omni opere excogitet et architectetur, operetur aurum et argentum, et æs, et hyacinthum, et purpuram et coccinum, et ut operetur opera lapidea, et fabrilem artem lignorum, » etc. usque ad « omnia opera [b]. » Deinde vero generalem infert rationem: « Et cuilibet intelligenti corde dedi intelligentiam [c]; » hoc est, ei, qui potest ipsam recipere labore et exercitatione. Rursus autem aperte scriptum est ex nomine Domini: « Et tu loquere omnibus sapientibus mente, quos implevi spiritu sensus [d]. » Habent quidem aliquam peculiarem naturæ proprietatem, qui sunt sapientes mente. Duplicem autem sensus spiritum accipiunt ab ea, quæ est principalis sapientia, ii, qui

A Ὅμηρος δὲ καὶ τέκτονα σοφὸν (86) καλεῖ· καὶ περὶ τοῦ *Μαργείτου*, εἰ δὴ αὐτοῦ (87), ὧδέ πως γράφει·

Τὸν δ' οὔτ' ἄρ σκαπτῆρα θεοὶ θέσαν, οὔτ' ἀροτῆρα,
Οὔτ' ἄλλως τι σοφόν· πάσης δ' ἡμάρτανε τέχνης.

Ἡσίοδος γὰρ τὸν κιθαριστὴν Λῖνον, *παντοίας σοφίας δεδαηκότα* εἰπών, καὶ ναύτην οὐκ ὀκνεῖ λέγειν σοφόν·

Οὔτε τι ναυτιλίης σεσοφισμένον,

γράφων. Δανιὴλ δὲ ὁ προφήτης, « Τὸ μυστήριον, » φησὶν, « ὃ ὁ βασιλεὺς ἐρωτᾷ (88), οὐκ ἔστι σοφῶν, μάγων, ἐπαοιδῶν, Γαζαρηνῶν δύναμις, τοῦ ἀναγγεῖλαι τῷ βασιλεῖ· ἀλλ' ἔστι Θεὸς ἐν οὐρανῷ ἀποκαλύπτων. » Καὶ δὴ τοὺς Βαβυλῶνος « σοφοὺς » προσαγο-
B ρεύει. Ὅτι δὲ « σοφίαν (89) » ὁμωνύμως καλεῖ ἡ Γραφὴ πᾶσαν τὴν κοσμικὴν εἴτε ἐπιστήμην, εἴτε τέχνην· ἄλλαι δέ εἰσιν αἱ κατ' ἐπισύνθεσιν ἀνθρωπίνῳ λογισμῷ ἐπινενοημέναι· καὶ ὡς θεόθεν ἡ τεχνικὴ καὶ ἡ σοφὴ ἐπίνοια, σαφὲς ἔσται παραθεμένοις τήνδε τὴν λέξιν· « Καὶ ἐλάλησε Κύριος πρὸς Μωσῆν, λέγων· Ἰδοὺ ἀνακέκληκα (90) τὸν Βεσελεὴλ τὸν τοῦ Οὐρὶ, τὸν Ὤρ, τῆς φυλῆς Ἰούδα· καὶ ἐνέπλησα αὐτὸν πνεῦμα θεῖον σοφίας, καὶ συνέσεως, καὶ ἐπιστήμης, ἐν παντὶ ἔργῳ διανοεῖσθαι καὶ ἀρχιτεκτονῆσαι, ἐργάζεσθαι τὸ χρυσίον, καὶ τὸ ἀργύριον, καὶ τὸν χαλκὸν, καὶ τὴν ὑάκινθον, καὶ τὴν πορφύραν, καὶ τὸ κόκκινον, καὶ τὰ λιθουργικὰ, καὶ τεκτονικὴν (91) τῶν ξύλων ἐργάζεσθαι, » ἕως « καὶ ἅπαντα τὰ ἔργα. » Ἔπειτα ἐπιφέρει καθολικὸν δὴ λόγον· « Καὶ παντὶ
C τῷ συνετῷ καρδίᾳ δέδωκα σύνεσιν· » τουτέστιν, τῷ οἵῳ τε ἐπιδέξασθαι πόνῳ καὶ συνασκήσει. Πάλιν τε αὖ διαῤῥήδην ἐξ ὀνόματος Κυρίου γέγραπται· « Καὶ σὺ λάλησον πᾶσι τοῖς σοφοῖς τῇ διανοίᾳ, οὓς ἐνέπλησα πνεῦμα αἰσθήσεως (92). » Ἔχουσι μέν τι οἰκεῖον φύσεως ἰδίωμα οἱ σοφοὶ τῇ διανοίᾳ· λαμβάνουσι δὲ πνεῦμα αἰσθήσεως παρὰ τῆς κυριωτάτης σοφίας διτ-

✠ P. 330 ED. POTTER, 281 ED. PARIS. [a] Dan. II, 27, 28. [b] Exod. XXXI, 2-5. [c] Ibid., 6. [d] Exod. XXVIII, 3.

alium eo nomine dramaticum poetam novi nullum. Suidas, Ἰοφῶν, Ἀθηναῖος τραγικὸς, υἱὸς Σοφοκλέους τοῦ τραγῳδοποιοῦ. » Hæc ille. Reinesius *Var. lect.* lib. I, cap. 23, hæc dicit: « Ἰοφῶν δ' ὁμοίως ὁ κωμικὸς ἐν Αὐλῳδοῖς σατύροις· nomen poetæ, quod insolentius erat, corruptum est: id mutandum in Νικοφῶν. Hunc enim Athenæus lib. III, VI et IX, laudat ἐν Σειρῆσιν, ἐν Χειρογάστορσιν. Harpocration et Pollux eodem nomine. Ejus *Adonida* actam Olymp. XCVII, a. 2. Schol. Aristoph. *Pluto*. Binomine autem fuit illud Nicophontis drama: unde legendum apud Clementem, ἐν Αὐλῳδοῖς ἢ Σατύροις. De Iophonte Cnosio alia res est. Is enim vatum oracula heroicis versibus exposuit, ut constat e Pausaniæ *Atticis*. »

(86) *Τέκτονα σοφόν*. Respicit *Iliad*. O, vers. 411:

Τέκτονος ἐν παλάμῃσι δαήμονος, ὅς ῥά τε πά-
[σης
Εὖ εἰδῇ σοφίης, ὑποθημοσύνῃσιν Ἀθήνης.

(87) *Εἰ δὴ αὐτοῦ*. Epitome ms. ἤδη αὐτοῦ. Meminit autem Margitæ hujus etiam Aristoteles *Ethic. ad Nicomach*. 7, et lib. *Περὶ ποιητικῆς*· itemque Plato in *Alcibiade* altero. SYLBURG. — Aristoteles

VI *Ethic*., cap. 7, ad Nicomach., Homero tribuit
D hos versus ut Clemens; at Dion, Hesiodo. Suidas Margiten fuisse docet a comœdiis irrisum ob stultitiam, qui ultra quinarium numerare non poterat, et matrem suam aliquando interrogavit juvenis, an ex eodem patre edita esset. Margitas autem et stultos vocabant, ut Alexandrum Æschines in orat. contra Ctesiphontem. COLLECT.

(88) *Ἐρωτᾷ*. Ἐπερωτᾷ, Dan. Mox, δύναμις, τοῦ abest. Dein, ἀλλ' ἢ ἐστι pro ἀλλ' ἔστι. Ibid.

(89) *Σοφίαν*. De homonymia σοφίας appellatione agit etiam Basil. 186. H. SYLBURG.

(90) *Ἀνακέκλ*. Ἀνακέκλημαι ἐξ ὀνόματος τὸν Βεσ. τὸν τοῦ Οὐρείου, Exod. Paulo post, κόκκινον τὸ νηστόν. Ibid.

(91) *Τεκτονικήν*. Exod., τὰ τεκτονικὰ τῶν ξύλων ἐργάζεσθαι κατὰ πάντα τὰ ἔργα. Alioqui Clemens noster particula ἕως uti solet in abbreviatis locorum citationibus, pro « et cætera usque ad . . . » ut infra pag. 155, 180, 181, et alibi. Paulo post καὶ ἐγὼ δέδωκα σύνεσιν, τουτέστι . . . SYLBURG.

(92) *Πνεῦμα αἰσθ*. Πνεύματος σοφίας καὶ αἰσθ., Exod.

τὸν, ἐπιτηδείους σφᾶς αὐτοὺς παραστήσαντες· οἱ A μὲν γὰρ τὰς βαναύσους μετιόντες τέχνας τοῦ περὶ τὰς αἰσθήσεις ἀπολαύουσι περιττοῦ· ἀκοῆς μὲν ὁ κοινῶς λεγόμενος μουσικὸς, ἁφῆς δὲ ὁ πλαστικὸς (93), καὶ φωνῆς ὁ ᾠδικὸς, ὀσφρήσεως, ὁ μυρεψικὸς, ὄψεως ὁ τῶν ἐν ταῖς σφραγῖσιν ἐντυπωμάτων τορευτικὸς, οἱ δὲ ἀμφὶ τὴν παιδείαν διατρίβοντες τὴν συναίσθησιν χορηγοῦνται· καθ' ἣν τῶν μέτρων οἱ ποιηταὶ (94) καὶ τῆς λέξεως οἱ σοφισταὶ, καὶ τῶν συλλογισμῶν οἱ διαλεκτικοὶ, καὶ οἱ φιλόσοφοι τῆς κατ' αὐτοὺς θεωρίας ἀντιλαμβάνονται. Εὑρετικὸν γὰρ καὶ ἐπινοητικὸν ἡ συναίσθησις, ἐπιβάλλειν πιθανῶς ἀναπείθουσα· συναύξει δὲ τὴν ἐπιβολὴν ἡ εἰς ἐπιστήμην συνάσκησις. Εἰκότως τοίνυν ὁ Ἀπόστολος « πολυποίκιλον » εἴρηκε « τὴν σοφίαν τοῦ Θεοῦ, πολυμερῶς καὶ πολυτρόπως, » B διὰ τέχνης, διὰ ἐπιστήμης, διὰ πίστεως, διὰ προφητείας, τὴν ἑαυτῆς ἐνδεικνυμένην δύναμιν εἰς τὴν ἡμετέραν εὐεργεσίαν· « Ὅτι (95) πᾶσα σοφία παρὰ Κυρίου, καὶ μετ' αὐτοῦ ἐστιν εἰς τὸν αἰῶνα· » ἤ φησιν ἡ τοῦ Ἰησοῦ σοφία. « Ἐὰν γὰρ τὴν φρόνησιν τήν τε αἴσθησιν ἐπικαλέσῃ μεγάλῃ τῇ φωνῇ, καὶ ζητήσῃς αὐτὴν ὥσπερ ἀργυρίου θησαυροὺς, καὶ προθύμως ἐξιχνιάσῃς, νοήσεις θεοσέβειαν, καὶ αἴσθησιν θείαν εὑρήσεις. » Πρὸς ἀντιδιαστολὴν τῆς κατὰ φιλοσοφίαν αἰσθήσεως εἴρηκεν ὁ προφήτης, ἣν μεγαλοφυῶς καὶ μεγαλοπρεπῶς ἐξερευνᾷν διδάσκει, εἰς τὴν ἐπὶ τὴν θεοσέβειαν προκοπήν. Ἀντέθηκεν οὖν αὐτῇ τὴν ἐν θεοσεβείᾳ αἴσθησιν, τὴν γνῶσιν αἰνισσόμενος, καὶ τάδε λέγων· « Ὁ γὰρ Θεὸς δίδωσι σοφίαν ἐκ τοῦ ἑαυτοῦ στόματος, αἴσθησίν τε ἅμα καὶ φρόνησιν, καὶ C θησαυρίζει δικαίοις βοήθειαν· » τοῖς γὰρ ὑπὸ φιλοσοφίας δεδικαιωμένοις βοήθεια θησαυρίζεται καὶ ἡ εἰς θεοσέβειαν συναίσθησις.

se ipsos idoneos exhibuerunt. Qui persequuntur enim artes sordidas, sensibus excellentissimis fruuntur: auditu quidem, qui dicitur communiter musicus, tactu vero, figulus; et voce, cantor; olfactu, unguentarius; visu, qui ea, quæ in sigillis exprimuntur, est cælandi facultate præditus. Qui autem in doctrina versantur, suppeditatam habent consensionem, per quam poetæ modos, dictionem rhetores, et syllogismos dialectici, et philosophi apprehendunt eam, quæ ad se pertinet, contemplationem. Ad inveniendum enim et excogitandum res est apta consensio: ✠ hæc enim studiis animum applicare persuadet: quam applicationem exercitatio in scientiam postea auget et intendit. Merito ergo Apostolus « multiformem » dixit « Dei sapientiam [a], » ut quæ « multifariam multisque modis [b], » per artem, per scientiam, per fidem, per prophetiam, suam ostentat potentiam ad nostrum beneficium. « Quoniam omnis sapientia a Domino, et cum ipso est in sæcula, » ut dicit Jesu Sapientia. [c] « Si enim prudentiam et sensum magna voce invocaveris, et eam quæsieris, sicut argenti thesauros, et prompto et alacri animo investigaris, intelliges Dei cultum, et sensum divinum invenies [d]. » Quod dixit propheta, ut hunc distingueret a sensu, qui in philosophia versatur, quem præclare ac magnanime investigare jubet, utpote ad profectus in pietate faciendos utilem. Huic itaque eum, qui in pietate versatur, sensum opposuit, quo religionis scientiam innuit, his verbis: « Deus enim dat sapientiam ex ore suo, et sensum simul et prudentiam, et justis instar thesauri recondit auxilium. » Iis enim, qui a philosophia fuere justificati, auxilium reconditur ea quoque consensio, quæ ducit ad pietatem in Deum.

CAPUT V.

Philosophiam theologiæ ancillari; quod illustrat allegorica interpretatione historiæ Saræ et Agaris.

Ἦν μὲν οὖν (96) πρὸ τῆς τοῦ Κυρίου παρουσίας εἰς δικαιοσύνην Ἕλλησιν ἀναγκαία φιλοσοφία· νυνὶ δὲ χρησίμη πρὸς θεοσέβειαν γίνεται, προπαιδεία τις οὖσα τοῖς τὴν πίστιν δι' ἀποδείξεως καρπουμένοις· ὅτι « ὁ πούς σου, » φησὶν, « οὐ μὴ προσκόψῃ, » ἐπὶ τὴν πρόνοιαν τὰ καλὰ ἀναφέροντος, ἐάν τε Ἑλ- D ληνικὰ ᾖ, ἐάν τε ἡμέτερα. Πάντων μὲν γὰρ αἴτιος τῶν καλῶν ὁ Θεός· ἀλλὰ τῶν μὲν, κατὰ προηγούμενον, ὡς τῆς τε Διαθήκης τῆς Παλαιᾶς, καὶ τῆς Νέας, τῶν δὲ κατ' ἐπακολούθημα, ὡς τῆς φιλοσοφίας. Τάχα δὲ καὶ προηγουμένως τοῖς Ἕλλησιν ἐδόθη τότε, πρὶν ἢ τὸν Κύριον καλέσαι καὶ τοὺς Ἕλληνας· « ἐπαιδαγώγει » γὰρ καὶ αὐτὴ τὸ Ἑλληνικὸν, ὡς « ὁ νόμος » τοὺς Ἑβραίους, « εἰς Χριστόν. » Προπαρα-

Atque erat quidem ante Domini adventum philosophia Græcis necessaria ad justitiam: nunc autem est utilis ad pietatem, cui necessario præmittenda est ab iis, qui fidem ex demonstratione percipiunt. Quoniam « pes, » inquit, « tuus non offenderit [e], » si quæ bona sunt, ad Dei providentiam referas, sive Græca sint, sive nostra. Omnium enim bonorum Deus est causa: sed aliorum quidem principaliter, ut Testamenti **122** Veteris et Novi: aliorum autem per consequentiam, sicut philosophiæ. Quam tamen verisimile est, ipsum Græcis per se dedisse, priusquam Dominus Græcos quoque vocasset. Nam ipsa quoque Græcos « Pædagogi more docebat, » sicut « lex » Hebræos « ad

✠ P. 331 ED. POTTER, 282 ED. PARIS. [a] Ephes. III, 10. [b] Hebr. I, 1. [c] Eccli. I, 1. [d] Prov. II, 3-5. [e] Prov. III, 23.

(93) *Ὁ πλαστικός*. Conf. Tatianus edit. Oxon. pag. 120, not. 2; Athenagoras p. 59, not. 1.

(94) *Οἱ ποιηταί*. Ποιηταί in Flor. edit. articulo caret. Sed addendum esse satis declarant commata sequentia. SYLBURG.

(95) *Ὅτι*. Hæc e Proverb. II imperfecte et διὰ μνήμης recitavit auctor.

(96) *Ἦν μὲν οὖν*. Sic infra *Strom.* I, pag. 319: Καθ' ἑαυτὴν ἐδικαίου ποτὲ καὶ φιλοσοφία τοὺς Ἕλληνας. « Per se quoque olim Græcos justificavit philosophia. » Qua de re conf. Vossius *Historiæ Pelagianæ* lib. III, part. III, thes. 11.

Christum [a] « Præparat ergo philosophia, ei viam muniens, qui a Christo perficitur. « Jam sapientiam, » inquit Salomon, « vallo circumda, et te exaltabit, corona autem voluptatis te proteget [b]. » Nam cum tu eam philosophia, et multo prudenti rectoque ejusmodi sumptu, tanquam lorica, munieris, sophistis inaccessam servabis. Atque est quidem una via veritatis, sed in eam, tanquam in fluvium perennem, alia aliunde fluenta influunt. Divine ergo dictum est: « Audi, fili mi, et mea verba suscipe, ut sint tibi ✠ multæ viæ vitæ: vias enim sapientiæ doceo te, ne te deficiant fontes [c], » qui ex ipsa terra scaturiunt. Non autem unius tantum justi vias plures salutares recensuit, verum infert alias multorum multas justorum vias, hoc modo id indicans: « Viæ autem justorum splendent sicut lux [d]. » Fuerint autem mandata quoque, et præcedaneæ disciplinæ, viæ et adminicula vitæ. « Jerusalem, Jerusalem, quoties volui congregare filios tuos, sicut gallina congregat pullos suos [e]? » Jerusalem autem exponitur « visio pacis. » Significat ergo prophetice eos, qui pacifice res sacras inspexerint, ad vocationem multis modis institui. Quid ergo? « voluit » quidem, non autem potuit. Quot autem modis? aut ubi? Bis: per prophetas, et per adventum. Multimodam ergo sapientiam ostendit dictio, « quoties: » et per omnes qualitatis et quantitatis modos cum in tempore, tum etiam in æternitate quosdam omnino servat: « Quoniam Spiritus Domini replevit orbem terræ [f]. » Quod si quis vim afferens, dicat: « Ne animum adhibe mulieri malæ, mel enim distillat a labiis mulieris meretricis, » Græcam esse dicens eruditionem, audiat quæ deinceps sequuntur: « Quæ ad tempus ungit guttur suum: » philosophia autem non adulatur. Quamnam ergo meretricem significat? Dilucide infert: « Stultitiæ enim pedes deducunt eos, qui ea utuntur, post mortem ad inferos; ejus autem vestigia minime sunt stabilia. » Fac ergo, ut via tua longe absit a stulta voluptate: « Ne steteris

A σκευάζει τοίνυν ἡ φιλοσοφία, προοδοποιοῦσα τὸν ὑπὸ Χριστοῦ τελειούμενον. « Αὐτίκα τὴν σοφίαν, » ὁ Σαλομὼν, « περιχαράκωσον, » φησὶ, « καὶ ὑπερυψώσει σε (97)· στεφάνῳ δὲ τρυφῆς ὑπερασπίσει σε· » ἐπεὶ καὶ σὺ, τῷ θριγκῷ ὑπεροχυρώσας (98) αὐτὴν, διὰ φιλοσοφίας καὶ πολυτελείας ὀρθῆς (99), ἀνεπίβατον τοῖς σοφισταῖς τηρήσεις. Μία μὲν οὖν ἡ τῆς ἀληθείας ὁδός· ἀλλ' εἰς αὐτὴν, καθάπερ εἰς ἀέναον ποταμὸν, ἐκρέουσι τὰ ῥεῖθρα ἄλλα ἄλλοθεν. Ἐνθέως οὖν ἄρα εἴρηται· « Ἄκουε, υἱέ μου, καὶ δέξαι ἐμοὺς λόγους, » φησὶν, « ἵνα σοι γένωνται πολλαὶ ὁδοὶ βίου· ὁδοὺς γὰρ σοφίας διδάσκω σε, ὅπως μὴ ἐκλίπωσίν σε αἱ πηγαὶ » αἱ τῆς αὐτῆς ἐκβλύζουσαι γῆς. Οὐ δὴ μόνον (1) ἑνός τινος δικαίου ὁδοὺς πλείονας σωτηρίους κατέλεξεν· ἐπιφέρει δὲ ἄλλας πολ- B λῶν πολλὰς δικαίων ὁδοὺς (2), μηνύων ὧδέ πως· « Αἱ δὲ ὁδοὶ τῶν δικαίων ὁμοίως φωτὶ λάμπουσιν. » Εἶεν δ' ἂν καὶ αἱ ἐντολαὶ καὶ αἱ προπαιδεῖαι, ὁδοὶ καὶ ἀφορμαὶ τοῦ βίου. « Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὡς ὄρνις τοὺς νεοσσούς; » Ἱερουσαλὴμ δὲ « ὅρασις εἰρήνης » ἑρμηνεύεται. Δηλοῖ τοίνυν προφητικῶς τοὺς εἰρηνικῶς ὑποπτεύσαντας (3), πολυτρόπως εἰς κλῆσιν παιδαγωγεῖσθαι (4). Τί οὖν; « ἠθέλησε » μὲν, οὐκ ἠδυνήθη δέ; Ποσάκις δὲ ἢ ποῦ; Δὶς, διά τε προφητῶν, καὶ διὰ τῆς παρουσίας. Πολύτροπον μὲν οὖν τὴν σοφίαν ἡ « ποσάκις » ἐνδείκνυται λέξις, καὶ καθ' ἕνα ἕκαστον τρόπον ποιότητός τε καὶ ποσότητος πάντως σώζει τινὰς, ἔν τε τῷ χρόνῳ, ἔν τε τῷ αἰῶνι· « Ὅτι Πνεῦμα C Κυρίου πεπλήρωκε τὴν οἰκουμένην. » Κἂν τις βιαζόμενος λέγῃ· « Μὴ πρόσεχε φαύλῃ γυναικί· μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης· » τὴν Ἑλληνικὴν εἶναι παιδείαν, ἐπακουσάτω τῶν ἑξῆς· « Ἡ πρὸς καιρὸν λιπαίνει (5) σὸν φάρυγγα, » φησί· φιλοσοφία δὲ οὐ κολακεύει. Τίνα τοίνυν αἰνίσσεται τὴν ἐκπορνεύσασαν; ἐπιφέρει ῥητῶς· « Τῆς γὰρ ἀφροσύνης οἱ πόδες κατάγουσι τοὺς χρωμένους αὐτῇ μετὰ θάνατον εἰς ᾅδην· τὰ δὲ ἴχνη αὐτῆς οὐκ ἐρείδεται. » Μακρὰν οὖν ποίησον ἀπὸ τῆς ἄφρονος ἡδονῆς τὴν σὴν ὁδόν· « Μὴ ἐπιστῇς θύραις (6) οἴκων

✠ P. 332 ED. POTTER, 283 ED. PARIS. [a] Gal. III, 24. [b] Prov. IV, 8, 9. [c] Ibid. IV, 10, 11, 21. [d] Prov. IV, 18. [e] Matth. XXIII, 37. Luc. XIII, 34. [f] Sap. I, 7.

(97) *Ὑπερυψώσει*. Ὑψώσει, Proverb.

(98) *Ὑπεροχυρώσας*. Permutata partium qualitate, legi potest, ὑπερωχύρωσας..... τηρήσας. SYLBURG.

(99) *Πολυτελείας ὀρθῆς*. Interpres videtur legisse πολυμαθείας ὀρθῆς, dum vertit, « multam rectam eruditionem, » inquit Sylburg. Petavio legendum videbatur, πολιτείας ὀρθῆς, « recto vivendi instituto. » *Theolog. dogm.*, prolegom. cap. 4, art. 8.

(1) *Οὐ δὴ μόνον*. Flor. edit. οὗ δὴ μ., quam lectionem sequitur etiam Herveti versio, sed omissa particula μόνον· « quo quidem in loco unius cujusdam justi vias plures salutares recensuit. » Sed οὐ μόνον legendum esse, ex sequentibus satis liquet. SYLBURG.—Quæ seq. ex Evangeliis, e memoria recitavit auctor.

(2) *Πολλὰς δικαίων ὁδούς*. Clemens non multo post, p. 288 ed. Paris.: Ἀλλ' αἱ μὲν εἰς δικαιοσύνην ὁδοὶ, πολυτρόπως σώζοντος τοῦ Θεοῦ (ἀγαθὸς γάρ), πολλαί τε καὶ ποικίλαι, καὶ φέρουσαι εἰς τὴν κυρίαν ὁδόν τε καὶ πύλην· ἐὰν δὲ τὴν βασιλικήν τε καὶ αὐθεντικὴν εἴσοδον ζητῇς, ἀκούσῃ· « Αὕτη ἡ πύλη τοῦ Κυρίου· δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ. » Πολλῶν τοίνυν ἀνεῳγμένων πυλῶν ἐν δικαιοσύνῃ, αὕτη ἣν ἐν Χριστῷ, ἐν ᾗ μακάριοι πάντες οἱ εἰσελθόντες. « Sed viæ quidem D ad justitiam, cum Deus variis nos modis servet (est enim bonus), sunt multæ et variæ, quæ tendunt ad Dominicam viam et portam. Quod si regiam viam, et authenticum quæris ingressum, audies: « Hæc est porta Domini, justi intrabunt in eam. » Cum ergo multæ apertæ sint portæ in justitia, hæc in Christo invenienda est, in quam beati omnes qui intrarunt. » Quorum verborum postrema perioche e Clementis Romani epistola sumpta est.

(3) *Ὑποπτεύσαντας*. Lege ἐποπτεύσαντας, ut supra p. 276. LOWTH.

(4) *Παιδαγωγεῖσθαι*. Lege παιδαγωγῆσθαι, temp. præterito. SYLB.

(5) *Ἡ πρὸς καιρὸν λ.* Ἡ πρὸς χάριν λαλοῦσα, λ. superius *Pæd.* lib. III, cap. 11, p. 250 edit. Paris., quem locum videsis.

(6) *Μὴ ἐπιστῇς θύρ.* Μὴ ἐγγίσῃς πρὸς θύρ. Proverb. Mox, ζωήν σου pro τὴν σὴν ζωήν. Dein, καὶ μεταμεληθήσῃ ἐπ' ἐσχάτων pro εἶτα μεταμελήσει σοι ἐπὶ γήρως. Ibid.

αὐτῆς, ἵνα μὴ προῇ ἄλλοις τὴν σὴν ζωήν. » Καὶ A ἐπιμαρτυρεῖ· « Εἶτα μεταμελήσει σοι ἐπὶ γήρως, ἡνίκα ἂν κατατριβῶσί σου σάρκες σώματος. » Τοῦτο γὰρ τέλος τῆς ἄφρονος ἡδονῆς. Καὶ ταῦτα μὲν ταύτῃ· ὁπηνίκα δ' ἂν φῇ, « Μὴ πολὺς ἴσθι πρὸς ἀλλοτρίαν· » χρῆσθαι μὲν, οὐκ ἐνδιατρίβειν δὲ καὶ ἐναπομένειν τῇ κοσμικῇ παιδείᾳ παραινεῖ· προπαιδεύει γὰρ τῷ κυριακῷ Λόγῳ τὰ κατὰ τοὺς προσήκοντας καιροὺς ἑκάστῃ γενεᾷ συμφερόντως δεδομένα. Ἤδη γάρ (7) τινες τοῖς φίλτροις τῶν θεραπαινίδων δελεασθέντες, ὠλιγώρησαν τῆς δεσποίνης φιλοσοφίας, καὶ κατεγήρασαν οἱ μὲν αὐτῶν ἐν μουσικῇ, οἱ δὲ ἐν γεωμετρίᾳ, ἄλλοι δὲ ἐν γραμματικῇ, οἱ πλεῖστοι δὲ ἐν ῥητορικῇ. Ἀλλ' ὡς « τὰ (8) ἐγκύκλια » μαθήματα συμβάλλεται πρὸς φιλοσοφίαν, τὴν δέσποιναν αὐτῶν, οὕτω καὶ φιλοσοφία αὐτὴ πρὸς σοφίας κτῆσιν B συνεργεῖ. Ἔστι γὰρ ἡ μὲν φιλοσοφία ἐπιτήδευσις σοφίας, ἡ σοφία δὲ ἐπιστήμη (9) θείων καὶ ἀνθρωπίνων, καὶ τῶν τούτων αἰτίων. Κυρία τοίνυν ἡ σοφία

ad fores domus ejus, ut non tradat aliis vitam tuam. » Tum attestatur: « Deinde te pœnitebit in senectute, quando contritæ fuerint carnes tui corporis. » Hic est enim finis stultæ voluptatis. Et hæc quidem ita se habent. Cum autem dixerit: « Ne sis multum apud alienam [a], » uti quidem, sed non immorari et permanere in doctrina sæculari admonet. Verbo enim Domini præparant, ac prius instituunt, quæ temporibus convenientibus unicuique generationi utiliter data sunt. Jam enim quidam ancillarum inescati philtris, contempserunt dominam philosophiam, et ex ipsis alii quidem consenuerunt in musica, alii vero in geometria, ✠ alii autem in grammatica, plurimi autem in rhetorica. Sed quemadmodum liberales, quas vocant ἐγκυκλίους, hoc est « circulares » disciplinæ, conferunt ad philosophiam, quæ est ipsorum domina: ita etiam ipsa philosophia ad parandam conducit sapientiam. Est enim philosophia

✠ P. 333 ED. POTTER, 284 ED. PARIS.

[a] Prov. v, 2, 3, 5, 8, 9, 11, 20.

(7) *Ἤδη γάρ*. Hæc Clemens sumpsit e Philonis Judæi lib. *De cong. erud. quær. gratia*, p. 435: Τινὲς γὰρ, τοῖς φίλτροις τῶν θεραπαινίδων δελεασθέντες, ὠλιγώρησαν τῆς δεσποίνης φιλοσοφίας, καὶ κατεγήρασαν, οἱ μὲν ἐν ποιήμασιν, οἱ δὲ ἐν γραμμαῖς, οἱ δὲ ἐν χρωμάτων κράσεσιν, οἱ δὲ ἐν ἄλλαις μυρίαις, οὐ δυνηθέντες ἐπὶ τὴν ἀστὴν ἀναδραμεῖν. « Sunt enim qui ancillarum illecebris inescati, parvi penderunt heram philosophiam, et consenuerunt, quidam in poematibus, quidam in delineationibus, quidam in colorum temperaturis, alii in aliis rebus innumeris, non valentes sese ad matronam recipere. »

(8) *Ἀλλ' ὡς τά*. Hæc etiam sumpta sunt e Philone, C qui paulo post verba modo laudata, sic pergit: Καὶ μὴν ὥσπερ τὰ ἐγκύκλια συμφέρει πρὸς φιλοσοφίας ἀνάληψιν, οὕτω καὶ φιλοσοφία πρὸς σοφίας κτῆσιν. Ἔστι γὰρ φιλοσοφία ἐπιτήδευσις σοφίας, σοφία δὲ ἐπιστήμη θείων καὶ ἀνθρωπίνων, καὶ τῶν τούτων αἰτίων. Γένοιτ' οὖν ὥσπερ ἡ ἐγκύκλιος μουσικὴ, φιλοσοφίας, οὕτω καὶ φιλοσοφία δούλη σοφίας. Φιλοσοφία δὲ ἐγκράτειαν μὲν γαστρὸς, ἐγκράτειαν δὲ τῶν μετὰ γαστέρα, ἐγκράτειαν δὲ καὶ γλώττης ἀναδιδάσκει. Ταῦτα λέγεται μὲν εἶναι δι' αὑτὰ αἱρετὰ, σεμνότερα δὲ φαίνοιτο, εἰ Θεοῦ τιμῆς καὶ ἀρεσκείας ἕνεκα, ἐπιτηδεύοιτο· « Atqui sicut circulares, seu liberales, artes conferunt ad acquirendam philosophiam, ita philosophia ad parandam sapientiam. Est enim philosophia meditatio sapientiæ: sapientia vero, scientia rerum divinarum humanarumque, et causarum insuper. Ergo sicut encyclopædia musica philosophiæ servit, ita philosophia sapientiæ. At philosophia nos docet continere linguam, ventrem, et ea, quæ D sub ventre sunt. Hæc quamvis per se expetenda, angustiora tamen fiunt, quando in honorem Dei et causa religionis exercentur, » Ἐγκύκλιος παιδεία, « liberalium disciplinarum orbis » qualis fuerit, aliis etiam locis innuit Clemens: conf. p. 316, 343, 359, 428, 656, 661, 709, ed. Paris. His porro similia dicit Clementis discipulus, Origenes, *Contra Celsum* lib. III, p. 146, 147: Εἰ δὲ παραστήσεις μοι διδασκάλους πρὸς φιλοσοφίαν προπαιδεύοντας, καὶ ἐν φιλοσοφίᾳ γυμνάζοντας, οὐκ ἀποτρέψομεν ἀπὸ τούτων τοὺς νέους· πειράσομαι δὲ προγυμνασομένους αὐτοὺς ὡς ἐν ἐγκυκλίοις μαθήμασι καὶ τοῖς φιλοσοφουμένοις ἀναβιβάσαι ἐπὶ τὸ σεμνὸν καὶ ὑψηλὸν τῆς ἀληθείας τοὺς πολλοὺς Χριστιανῶν μεγαλοφωνίας, περὶ τῶν μεγίστων καὶ ἀναγκαιοτάτων διαλαμβανόντων· « Quod si mihi dederis præceptores philosophiam docentes et exercentes, a talibus non deterrebimus juvenes: sed ubi fuerint in horum scholis et orbe, ut vocant, disciplinarum præexercitati, subveham eos altius ad Christianorum sublimem ignotamque vulgo grandiloquentiam, disserentem de rebus maxime arduis et necessariis, » etc. Idem *Philocaliæ* cap. 13, p. 41, 42: Δύναται οὖν ἡ εὐφυΐα σου Ῥωμαῖόν σε νομικὸν ποιεῖν τέλειον, καὶ Ἑλληνικόν τινα φιλόσοφον τῶν νομιζομένων ἐλλογίμων αἱρέσεων. Ἀλλ' ἐγὼ τῇ πάσῃ τῆς εὐφυΐας δυνάμει σου ἐβουλόμην καταχρήσασθαί σε τελικῶς μὲν εἰς Χριστιανισμὸν, ποιητικῶς δέ. Διὰ τοῦτ' ἂν ηὐξάμην παραλαβεῖν σε καὶ φιλοσοφίας Ἑλλήνων τὰ οἱονεὶ εἰς Χριστιανισμὸν δυνάμενα γενέσθαι ἐγκύκλια μαθήματα, ἢ προπαιδεύματα, καὶ τὰ ἀπὸ γεωμετρίας καὶ ἀστρονομίας χρήσιμα ἐσόμενα εἰς τὴν τῶν ἱερῶν Γραφῶν διήγησιν· ἵν', ὥσπερ φασὶ φιλοσόφων παῖδες περὶ γεωμετρίας, καὶ μουσικῆς, γραμματικῆς τε καὶ ῥητορικῆς, καὶ ἀστρονομίας, ὡς συνερίθων φιλοσοφίᾳ, τοῦθ' ἡμεῖς εἴπωμεν καὶ περὶ αὐτῆς φιλοσοφίας πρὸς Χριστιανισμόν· « Potest igitur ingenium tuum Romanum te jurisconsultum facere absolutissimum, et Græcum philosophum ex iis sectis, quæ præstantiores habentur. Ego vero omni ingenii et animi contentione te uti volebam, quod finem attinet, ad Christianismum, sed et quoad effectionem. Idcirco cupiebam e philosophia Græcorum ea te accipere, quæ ad Christianam doctrinam circulares disciplinæ, vel præludia esse possunt, quæque ex geometria et astronomia usui futura sunt ad sacrarum Litterarum interpretationem: ut quod de geometria, musica, grammatica, rhetorica, et astronomia philosophi prædicant, tanquam philosophiæ sociis et adjutricibus, id nos de philosophia ad Christianam religionem dicamus. »

(9) *Οὕτω καὶ φιλόσοφ... σοφία δὲ ἐπ.* Οὕτω καὶ φιλοσοφία αὐτὴ πρὸς φιλοσοφίας κτῆσιν συνεργεῖ· ἔστι γὰρ ἡ μὲν φιλοσοφία ἐπιτήδευσις, ἡ σοφία δὲ ἐπ. edit. Flor. Φιλοσοφίας in σοφίας mutavit Sylburg., quem reliqui editores postea secuti sunt. Nos integram sententiam ex Philone restituimus. His porro similia sunt, quæ Stoici de « philosophia » ac « sapientia » tradebant. Plutarchus principio lib. I *De placitis philosophor.*: Οἱ μὲν οὖν Στωϊκοὶ ἔφασαν τὴν μὲν σοφίαν εἶναι θείων τε καὶ ἀνθρωπίνων ἐπιστήμην, τὴν δὲ φιλοσοφίαν ἄσκησιν τέχνης ἐπιτηδείου. « Stoici igitur dicebant, sapientiam quidem divinarum humanarumque rerum scientiam esse: philosophiam vero accommodatæ artis exercitationem. » Clemens *Pædag.* lib. I, cap. ult., philosophiam ex mente Stoicorum definit ἐπιτήδευσιν λόγου ὀρθότητος. Eamdem, quam hic Clemens, sapientiæ definitionem tradit Origenes *Con-*

quidem exercitatio sapientiæ, sapientia vero rerum divinarum et humanarum, et causarum ipsarum scientia. Est enim sapientia domina philosophiæ, sicut illa illius, quæ præcedit, disciplinæ. Si enim philosophia profitetur continentiam et linguæ et ventris, et eorum quæ sunt sub ventrem, et est propter se eligenda : at multo videbitur venerabilior et præstantior, si exerceatur propter Dei honorem et cognitionem. Eorum autem, quæ dicta sunt, per hæc præbebit Scriptura testimonium. Sara erat olim sterilis, Abrahæ uxor; cum autem non pareret Sara, ancillam suam nomine Agar Ægyptiam permittit Abrahæ ad liberorum susceptionem. Sapientia ergo, quæ cum fideli cohabitat (fidelis autem et justus reputatus est Abraham) erat adhuc sterilis et sine liberis in illa generatione, ut quæ nihil adhuc Abrahæ, quod esset ex virtute, peperisset. Merito autem volebat, ut qui etiamnum in progressu erat, cum mundana disciplina (per Ægyptum autem allegorice significatur mundus) prius congrederetur, postea autem ad se quoque accedens divina providentia gigneret Isaac. Interpretatur autem Philo ✠ Agar quidem « incolatum : » hic enim dictum est, « Ne multum sis apud alienam [a] : » Saram autem, « meum principatum. » Licet ergo ei, qui disciplinis prius est institutus, venire ad sapientiam, quæ vel maxime principatum obtinet, ex qua crescit genus Israeliticum. Ex quibus ostenditur, sapientiam esse doctrina comparabilem, ad quam pervenit Abraham, ex contemplatione cœle-

τῆς φιλοσοφίας, ὡς ἐκείνη τῆς προπαιδείας. Εἰ γὰρ ἐγκράτειαν φιλοσοφία ἐπαγγέλλεται γλώσσης τε καὶ γαστρὸς, καὶ τῶν ὑπὸ γαστέρα, καὶ ἔστι δι' αὑτὴν αἱρετή· σεμνοτέρα φανεῖται καὶ κυριωτέρα, εἰ Θεοῦ τιμῆς τε καὶ γνώσεως ἕνεκεν ἐπιτηδεύοιτο. Τῶν εἰρημένων μαρτυρίαν παρέξει ἡ Γραφὴ διὰ τῶνδε· Σάῤῥα (10) στεῖρα ἦν πάλαι, Ἀβραὰμ δὲ γυνή· μὴ τίκτουσα ἡ Σάῤῥα, τὴν ἑαυτῆς παιδίσκην, ὀνόματι Ἀγὰρ, τὴν Αἰγυπτίαν, εἰς παιδοποιίαν ἐπιτρέπει τῷ Ἀβραάμ. Ἡ σοφία τοίνυν, ἡ τῷ πιστῷ σύνοικος, (πιστὸς δὲ εὐλογίσθη (11) Ἀβραὰμ καὶ δίκαιος·) στεῖρα ἦν ἔτι καὶ ἄτεκνος κατὰ τὴν γενεὰν ἐκείνην, μηδέπω μηδὲν ἐνάρετον ἀποκυήσασα τῷ Ἀβραάμ. Ἠξίου δὲ εἰκότως, τὸν ἤδη καιρὸν ἔχοντα προκοπῆς, τῇ κοσμικῇ παιδείᾳ (Αἴγυπτος δὲ ὁ κόσμος ἀλληγορεῖται·) συνευνασθῆναι πρότερον, ὕστερον δὲ, καὶ αὐτῇ προσελθόντα κατὰ τὴν θείαν πρόνοιαν, γεννῆσαι τὸν Ἰσαάκ. Ἑρμηνεύει δὲ ὁ Φίλων τὴν μὲν Ἀγὰρ (12) « παροίκησιν· » ἐνταῦθα γὰρ εἴρηται· « Μὴ πολὺς ἴσθι πρὸς ἀλλοτρίαν· » τὴν Σάῤῥαν (13) δὲ « ἀρχή μου. » Ἔνεστιν οὖν, προπαιδευθέντα, ἐπὶ τὴν ἀρχικωτάτην σοφίαν ἐλθεῖν, ἀφ' ἧς τὸ Ἰσραηλιτικὸν γένος αὔξεται. Ἐξ ὧν δείκνυται διδακτικὴν (14) εἶναι τὴν σοφίαν, ἣν μετῆλθεν Ἀβραὰμ, ἐκ τῆς τῶν οὐρανίων θέας μετιὼν εἰς τὴν κατὰ Θεὸν πίστιν τε καὶ δικαιοσύνην. Ἰσαὰκ (15) δὲ « τὸ αὐτομαθὲς » ἐνδείκνυται· διὸ καὶ Χριστοῦ τύπος εὑρίσκεται. Οὗτος μιᾶς γυναικὸς ἀνὴρ, τῆς Ῥεβέκκας, ἣν « ὑπομονὴν » μεταφράζουσιν· πλείοσι δὲ συνέρχεσθαι ὁ Ἰακὼβ (16) λέγεται ὡς ἂν « ἀσκητὴς » ἑρμηνευόμενος. Διὰ πλειόνων δὲ

✠ P. 334 ED. POTTER. [a] Proverb. v, 20.

tra Celsum lib. III, p. 154, ejus partem superius recitavit Clemens *Pædag.* lib. II, cap. 2, p. 154. Eamdem alii philosophiæ tribuunt quam a σοφίᾳ non distinguunt, Alcinous *Anim. in Porphyr.* cap. 1 : Φιλοσοφία δέ ἐστιν ἐπιστήμη θείων καὶ ἀνθρωπίνων πραγμάτων· « Philosophia autem est rerum divinarum humanarumque scientia. »

(10) *Σάῤῥα.* Hæc etiam a Philone didicit Clemens : nam hic haud procul a principio libri superius memorati in persona Saræ hæc dicit : Εἴσελθε οὖν, φησὶ, πρὸς τὴν παιδίσκην μου, τὴν τῶν μέσων καὶ ἐγκυκλίων ἐπιστημῶν μέσην παιδείαν, ἵνα τεκνοποιήσῃ πρότερον ἐξ αὐτῆς· αὖθις γὰρ δυνήσῃ καὶ τῶν πρὸς τὴν δέσποιναν ὁμιλιῶν, γενέσεις παίδων γνησίων ἀπόνασθαι· « Ingredere igitur, inquit, ad ancillam meam mediarum et encyclicarum artium mediam disciplinam, ut prius ex ea liberos suscipias; posthac enim poteris ex consuetudine cum domina frui legitimis liberis. » Ibidem plura ejusdem argumenti occurrunt, quibus Philo reliquas artes ac disciplinas sapientiæ quodammodo ancillari ostendit.

(11) *Εὐλογίσθη.* Scribendum cum Sylburgio ἐλογίσθη. Respicit enim Rom. IV, 9 : ἐλογίσθη τῷ Ἀβραὰμ ἡ πίστις εἰς δικαιοσύνην.

(12) *Ἀγάρ.* Philo, paulo post verba jam laudata, hæc adjicit : Γένος μὲν ἔστιν Αἰγυπτία, καλεῖται δὲ Ἀγάρ. Τοῦτο δὲ ἑρμηνευθέν ἐστι παροίκησις· « Siquidem Ægyptia genere, nominatur Agar. Hoc autem si interpretere, est incolatus. »

(13) *Τὴν Σάῤῥαν.* Philo non procul a principio libri *Περὶ τῶν χερουβίμ*, etc., ait : Σάῤῥα δὲ σύμβολον ἀρχῆς ἐμῆς· καλεῖται γὰρ ἀρχή μου· « Sarra vero symbolum principatus mei ; significatur enim eo nomine principatus meus. » Ibidem etiam allegoriam Saræ Abrahami et Agaris latius prosequitur.

(14) *Διδακτικήν.* « Docendi potestate præditam, » male vertit Hervetus. Vult enim auctor, « sapientiam doctrina comparari posse. » Quo sensu Philo, a quo Clemens hæc sumpsit, hac voce usus est, libri *Περὶ τῆς εἰς τὰ προπαιδ. συνόδου*, p. 429 : Διὰ τί; ὅτι καὶ διδακτικὴ ἀρετὴ, ἣν Ἀβραὰμ μέτεισιν· « Quare? quia virtus, quam Abraham prosequitur, docibilis est. » Si quis tamen διδακτή apud Clementem, et διδακτήν apud Philonem substituere malit, haud repugnabo. Sunt enim hujusmodi voces εὐμετάβολοι. Sic enim hujus *Strom.* p. 297, μεθεκτοί pro μεθεκτικοί occurrit, et ἐφεκτοί pro ἐφεκτικοί *Strom.* VIII, p. 777. Porro notum est, Stoicos etiam docuisse, virtutem esse διδακτήν, quod tradit in Zenone Laertius lib. VII, seg. 91.

(15) *Ἰσαάκ.* Hujus etymon et allegoriam Philoni debet Clemens : qui libri superius memorati pag. 429 eo allusit : Τὸ δὲ αὐτομαθὲς γένος, οὗ ἐκοινώνησεν Ἰσαάκ. « At genus, » inquit, « a seipso doctum, in quo Isaac censetur, » etc. Deinde Rebeccæ interpretationem tradit : Καλεῖται δὲ παρὰ μὲν Ἕλλησιν Ὑπομονὴ, παρὰ δὲ τοῖς Ἑβραίοις Ῥεβέκκα· « Vocatur autem a Græcis Tolerantia, ab Hebræis vero Rebecca. » Quam etymologiam aliis etiam pluribus locis enarrat. Eamdem Clemens superius refert *Pædag.* lib. I, cap. 5, p. 90 edit. Paris.

(16) *Ὁ Ἰακώβ.* Philo, loco superius dicto, hæc adjicit : Καὶ ἡ δι' ἀσκήσεως τελουμένη, περὶ ἣν Ἰακὼβ ἐσπουδακέναι φαίνεται· διὰ πλειόνων γὰρ καὶ διαφερόντων αἱ ἀσκήσεις δογμάτων, ἡγουμένων, προαπαντώντων, ὑστεριζόντων, πόνους τοτὲ μὲν ἐλάττους, τοτὲ δὲ μείζους ἐχόντων· « Itidem quæ per meditationem absolvitur, quod genus virtutis Jacob sectatum apparet : meditationes enim constant ex compluribus variis dogmatibus, antecedentibus, consequentibus, citius aut serius occurrentibus, et labores nunc minores, nunc majores exhibentibus. » Quæ verba Clemens abbreviavit.

καὶ διαφερόντων αἱ ἀσκήσεις δογμάτων· ὅθεν καὶ A Ἰσραὴλ (17), οὗτος μετονομάζεται, ὁ τῷ ὄντι « διορατικὸς, » ὡς ἂν πολύπειρός τε καὶ ἀσκητικός. Εἴη δ' ἄν τι καὶ ἄλλο δηλούμενον διὰ τῶν τριῶν προπατόρων, κυρίαν εἶναι τὴν σφραγῖδα τῆς γνώσεως, ἐκ φύσεως, καὶ μαθήσεως, καὶ ἀσκήσεως συνεστῶσαν. Ἔχοις δ' ἂν καὶ ἄλλην εἰκόνα τῶν εἰρημένων, τὴν Θήμαρ (18) ἐπὶ τριόδου καθεσθεῖσαν, καὶ πόρνης δόξαν παρασχοῦσαν· ἣν ὁ φιλομαθὴς Ἰούδας, (« δυνατὸς (19) » δὲ ἑρμηνεύεται,) ὁ μηδὲν ἄσκεπτον καὶ ἀδιερεύνητον καταλιπὼν, ἐπεσκέψατο, καὶ πρὸς αὐτὴν ἐξέκλινε, σώζων τὴν πρὸς τὸν Θεὸν ὁμολογίαν. Διὰ τοῦτο καὶ ὁ Ἀβραὰμ, παραζηλούσης τῆς Σάῤῥας τὴν Ἀγὰρ παρευδοκιμοῦσαν αὐτὴν (20), ὡς ἂν τὸ χρήσιμον ἐκλεξάμενος μόνον τῆς κοσμικῆς φιλοσοφίας, « Ἰδοὺ ἡ παιδίσκη ἐν ταῖς χερσί σου· B χρῶ αὐτῇ ὡς ἄν σοι ἀρεστὸν ᾖ, » φησί· δηλῶν ὅτι, Ἀσπάζομαι μὲν τὴν κοσμικὴν παιδείαν, καὶ ὡς νεωτέραν, καὶ ὡς συνθεραπαινίδα· τὴν δὲ ἐπιστήμην τὴν σὴν, ὡς τελείαν δέσποιναν, τιμῶ καὶ σέβω. « Καὶ ἐκάκωσεν (21) αὐτὴν Σάῤῥα· » Ἴσον τῷ, Ἐσωφρόνισε

A stium transiens ad eam, quæ ex Deo est, fidem et justitiam. Per Isaac autem id, quod « per se didicit, » indicatur. Quare etiam Christi typus invenitur. Is fuit vir unius uxoris, nempe Rebeccæ, quam transferunt « tolerantiam. » Dicitur autem Jacob congredi cum pluribus, ut qui exponatur « exercitator. » Fiunt autem exercitationes per plura et differentia dogmata. Unde hic etiam nominatur Israel, qui revera est vi « perspiciendi » præditus, ut qui sit multarum rerum peritus, et ad exercendum accommodatus. Fuerit etiam aliquid aliud quod significatur per tres illos priores patres, nempe esse firmum ac validum cognitionis signaculum, quod constat ex natura, et doctrina, et exercitatione. Habueris autem etiam aliam eorum, quæ dicta sunt, B similitudinem, Thamar, quæ sedit in trivio, **123**
et visa est esse meretrix, quam studiosus Judas ✠ (exponitur autem « potens »), qui nihil reliquit, quod non consideret ac scrutetur, consideravit, et ad eam declinavit, servans eam, quam habuit, in Deum « confessionem. » Unde etiam Abra-

✠ P. 335 ED. POTTER, 285 ED. PARIS.

(17) *Ἰσραήλ*. Philo ejusdem libri p. 431 : Ἰσραὴλ γὰρ *ὁρῶν Θεὸν* ἑρμηνεύεται. « Israel enim *videns Deum* explicatur. » Sed Clemens fortasse ea Philonis verba præ oculis habuit, quæ occurrunt libri *Περὶ μέθης* p. 251 : Ἡνίκα γοῦν ὁ ἀσκητὴς Ἰακὼβ, καὶ τοὺς ἀρετῆς ἄθλους διαθλῶν, ἔμελλεν ἀκοὰς ὀφθαλμῶν ἀντιδιδόναι, καὶ λόγους ἔργων, καὶ προκοπὰς τελειότητος, τοῦ φιλοδώρου Θεοῦ βουληθέντος αὐτοῦ τὴν διάνοιαν ἐνομματῶσαι, ἵνα ταῦτ' ἐναργῶς ἴδῃ, ἃ πρότερον ἀκοῇ παρελάμβανε· (πιστοτέρα γὰρ ὄψις ὤτων·) ἐπήχησαν οἱ χρησμοί· C Οὐ κληθήσεται τὸ ὄνομα αὐτοῦ Ἰακὼβ, ἀλλὰ Ἰσραὴλ ἔσται σου τὸ ὄνομα, ὅτι ἴσχυσας μετὰ Θεοῦ καὶ μετὰ ἀνθρώπων δυνατῶς. Ἰακὼβ μὲν οὖν μαθήσεως καὶ προκοπῆς ὄνομα, ἀκοῆς ἐξηρτημένων δυνάμεων, Ἰσραὴλ δὲ τελειότητος. Ὅρασιν γὰρ Θεοῦ μηνύει τοὔνομα. « Quando igitur exercitator ille Jacob exantlans virtutis certamina, permutaturus erat aures pro oculis, verba pro operibus, profectum pro perfectione, benignissimo Deo volente illustrare mentis ejus oculos, ut jam manifeste cerneret, quæ prius auditu perceperat (oculis enim tutius creditur, quam auribus), insonuit ei hoc oraculum : « Non « nominaberis posthac Jacob, sed Israel erit nomen « tuum, quia cum Deo validus fuisti, et cum ho- « minibus. » Est igitur Jacob discentis et proficientis nomen, pendentis ex auditus viribus, perfecti vero Israel. Nam « visionem Dei » nomen id significat. » Eamdem etymologiam superius tradit Clemens, *Pædag.* lib. I, c. 7, p. 110 edit. Paris., et infra *Strom.* II, p. 367. Eo alludunt *Constitutiones apostolicæ*, lib. VII, cap. 36 : Τὸν ἀληθινὸν Ἰσραὴλ, τὸν θεοφιλῆ, τὸν ὁρῶντα Θεόν « Verum Israel, Deo charum, quique Deum videt. » Optatus Milevitanus sub fin. lib. II : « Israel, id est, qui mente Deum videat. » Justino martyri *Dialogi cum Tryphone*, pag. 354, Israel est ἄνθρωπος νικῶν δύναμιν. « Homo vincens virtutem ; » Tertulliano « cum Deo invalescens. » Qui de « visione Dei » loquuntur, Israelem ducunt a verbo ראה. Sed longe præstat alia etymologia e sacris Scripturis petita, a verbo שרה et nomine שר, secundum quam Israel Josepho est ἀντιστὰς ἀγγέλῳ Θείῳ. Hieronymo Israel est *princeps cum Deo*, vel, *princeps Dei.* « Quamvis igitur, » inquit, « grandis auctoritatis, et eloquentiæ, et ipsorum umbra nos opprimat, qui Israel « virum, » sive « mentem videntem Deum » transtulerunt ; nos magis Scripturæ, et angeli, et Dei, qui ipsum Israel vocavit, auctoritate ducimur, quam cujuslibet eloquentiæ sæcularis. » Verum in Hebraicis vocibus explicandis sæpe lapsi sunt Patres Græci Latinique.

(18) *Θήμαρ*. Vulg. Bibliis Θάμαρ est, Gen. XXXVIII. SYLBURG. — Porro hanc etiam allegoriam e libro Philonis superius dicto sumpsit Clemens, pag. 442 : Θάμαρ ἐπὶ τριόδου καθέζεται, πόρνης δόξαν παρασχοῦσα τοῖς ὁδῷ βαδίζουσιν, ἵνα οἱ περιέργως ἔχοντες, ἀνακαλύψαντες ἀναφήνωσι, καὶ καταθεάσωνται τὸ ἄψαυστον καὶ ἀμίαντον καὶ παρθένιον ὄντως αἰδοῦς καὶ σωφροσύνης εὐπρεπέστατον κάλλος· τίς C οὖν ὁ ἐξεταστικὸς, καὶ φιλομαθὴς, καὶ μηδὲν ἄσκεπτον καὶ ἀδιερεύνητον τῶν ἐγκεκαλυμμένων πραγμάτων παραλιπεῖν ἀξιῶν ἐστιν, ὅτι μὴ ὁ ἀρχιστράτηγος, καὶ βασιλεὺς, καὶ ταῖς πρὸς Θεὸν ὁμολογίαις ἐμμένων τε καὶ χαίρων, ὄνομα Ἰούδας ; « Thamar sedet in trivio, pro meretrice se ostentans prætereuntibus, ut curiosior quispiam velum detrahat, et intemerati virgineique pudoris pulchritudinem decentissimam conspiciat. Sed quis est ille quæsitor discendi cupidus, nihil indiscussum et inexploratum sinens, nisi summus ille dux et rex, libenter perstans in icto semel cum Deo fœdere, Judas nomine? »

(19) *Δυνατός*. Philoni Judas est Κυρίῳ ἐξομολόγησις, lib. *De plantatione Noe*, pag. 233 : Ἰούδας, ὃς ἑρμηνεύεται *Κυρίῳ ἐξομολόγησις*. « Judas, qui explicatur *Domino confessio*. » Idem, lib. I *De legis allegor.* pag. 55 : Τοῦ μὲν ἐξομολογουμένου ὁ Ἰούδας σύμβολον· « Judas confitentem significat. » Ad quod etiam non solum alludit Philo in verbis proxime superiori nota allatis, sed etiam Clemens in iis D quæ jam sequuntur : Σώζων τὴν πρὸς Θεὸν ὁμολογίαν· « Servans confessionem in Deum. » Et *Strom.* VII, p. 763 : Ἰουδαία γὰρ ἐξομολόγησις ἑρμηνεύεται· « Judæa enim exponitur confessio. » *Constitutionum apostol.* lib. II, cap. 60 : Ἰούδας γὰρ ἐξομολόγησις ἑρμηνεύεται. « Judas enim confessio exponitur. » Ubi hæc adnotavit Cotelerius : « Passim auctores Judam de confessione et laude, confessore et laudatore interpretantur. At Clementi Alexandrino in *Miscellaneo* I, p. 285, « Judas » est « potens, » δυνατός, יד quippe significat « robur » ac « potestatem, » et ידה « dejecit, » quod est potentis. »

(20) *Αὐτήν*. F. αὐτῇ SYLBURG. — Hæc etiam Clemens sumpsit e libro Philonis *De cong. quær. erud. gratia*, p. 446.

(21) *Καὶ ἐκάκ.* Philo libri jam dicti pag. 447 : Διόπερ ἐπιφέρει· Καὶ ἐκάκωσεν αὐτὴν, ἴσον τῷ ἐνουθέτησε καὶ ἐσωφρόνισε· « Quapropter mox additur : Et afflixit eam : ac si dixisset, castigavit, et coegit

ham, cum Sara æmularetur Agar, quæ erat in majori quam ipsa existimatione, ut qui sæcularis philosophiæ solum id, quod est utile, elegisset, « Ecce, » inquit[a], « ancilla in manibus tuis, utere ea ut lubet. » Quasi diceret : Sæcularem quidem amplector doctrinam, et ut juniorem, et ut conservam : scientiam autem tuam, ut perfectam dominam, honoro, et colo. « Et afflixit eam Sara, » quod perinde est ac correxit et admonuit. Recte itaque dictum est : « Noli negligere disciplinam Domini, neque defatigeris cum ab eo argueris. Quem enim diligit Dominus, castigat : flagellat autem omnem filium, quem recipit[b]. » Ac prædictæ quidem Scripturæ, cum eas in aliis locis examinabimus, alia mysteria repræsentare comperientur. Hic vero id solum dicimus, quod philosophia inquisitionem veritatis et naturæ rerum contineat : hæc autem est veritas, de qua ipse dixit Dominus : « Ego sum veritas[c]. » Et rursus, quod disciplina, quæ præcedit eam, quæ est in Christo, quietem, exerceat mentem et excitet intelligentiam, generando ingenii acumen aptum ad inquirendum per veram philosophiam, quam inventam, vel potius acceptam, mystæ habent ab ipsa Veritate.

A καὶ ἐνουθέτησεν. Εὖ γοῦν εἴρηται, « Παιδείας Θεοῦ (22), υἱὲ, μὴ ὀλιγώρει· μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος. Ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν, ὃν παραδέχεται. » Κατ' ἄλλους μέντοι γε τόπους (23) ἐξεταζόμεναι αἱ προειρημέναι γραφαὶ ἄλλα μυστήρια μηνύουσι παρεστάναι. Φαμὲν τοίνυν ἐνθένδε γυμνῷ τῷ λόγῳ, τὴν φιλοσοφίαν ζήτησιν ἔχειν περὶ ἀληθείας καὶ τῆς τῶν ὄντων φύσεως· ἀλήθεια δὲ αὕτη, περὶ ἧς ὁ Κύριος αὐτὸς εἶπεν, « Ἐγώ εἰμι ἡ ἀλήθεια· » τήν τε αὖ προπαιδείαν τῆς ἐν Χριστῷ ἀναπαύσεως, γυμνάζειν τὸν νοῦν, καὶ διεγείρειν τὴν σύνεσιν, ἀγχίνοιαν γεννῶσαν ζητητικὴν διὰ φιλοσοφίας ἀληθοῦς, ἣν εὑρόντες, μᾶλλον (24) δὲ εἰληφότες, B παρ' αὐτῆς τῆς ἀληθείας ἔχουσιν οἱ μύσται.

CAPUT VI.

Institutione plerumque, non natura, bonos fieri, multumque ad eruditionem virtutem conferre.

Multum autem confert ea promptitudo, quam prævia exercitatio conciliat, ad videndum ea quæ oportet : mentis autem fuerint exercitatio ea quæ mente possunt percipi. Triplex autem eorum natura, quæ in quantis continuis, et quantis discretis, et iis, quæ sunt dicenda, consideratur. Quæ enim ex demonstrationibus conficitur oratio, perfectam animæ fidem facit ejus, quod consequitur, ut non putet id, quod demonstratum est, aliter se habere : nec sinit ut iis succumbat, quæ nobis per fraudem incurrunt. In his ergo disciplinis a sensilibus expurgatur et excitatur anima, ut possit veritatem perspicere. Victus enim, et bona eruditio, si servetur, bonas efficit naturas : et ✠ bonæ naturæ talem suscipientes disciplinam, fiunt adhuc prioribus meliores, cum ad alia, tum ad gignendum, quemadmodum in aliis animalibus. Unde etiam dicit : « Vade ad formicam, o piger, et efficere illa sapientior, » quæ « multum » et omnis generis « nutrimentum recondit tempore messis » adversus minas hiemis[d]. « Aut vade ad apem, et disce quam laboriosa sit : ipsa enim omne pratum depascens, unum favum generat. » Si autem « oras in cella[e] » sicut docuit Dominus « adorare spiritu[f], » non utique cura tua solum circa domum versabitur, sed etiam circa animam, quænam sint ei tribuenda, et quem-

Πολλὰ δ' ἡ ἑτοιμότης πρὸς τὸ τὰ δέοντα ὁρᾷν διὰ τῆς προγυμνασίας συμβάλλεται· εἴη δ' ἂν γυμνασία τῷ νῷ τὰ νοητά. Τριττὴ δὲ ἡ τούτων φύσις, ἔν τε ποσοῖς, καὶ πηλίκοις, καὶ λεκτοῖς θεωρουμένη. Ὁ γὰρ ἀπὸ τῶν ἀποδείξεων λόγος, ἀκριβῆ πίστιν ἐντίθησι τῇ ψυχῇ τοῦ παρακολουθοῦντος, ὥστε μηδ' ἂν ἄλλως ἔχειν τὸ ἀποδειχθὲν οἴεσθαι· τοῖς τε αὖ δι' ἀπάτην ὑποτρέχουσιν ἡμῖν, ὑποπίπτειν οὐκ ἐᾷ. Ἐν τούτοις οὖν τοῖς μαθήμασιν ἐκκαθαίρεταί τε τῶν αἰσθητῶν, C καὶ ἀναζωπυροῦται ἡ ψυχὴ, ἵνα δή ποτε ἀλήθειαν διιδεῖν δυνηθῇ. Τροφὴ (25) γὰρ, καὶ ἡ παίδευσις ἡ χρηστὴ σωζομένη, φύσεις ἀγαθὰς ποιεῖ· καὶ αἱ φύσεις αἱ χρησταὶ, τοιαύτης παιδείας ἀντιλαμβανόμεναι, ἔτι βελτίους τῶν πρότερον φύονται εἴς τε τὰ ἄλλα, καὶ εἰς τὸ γεννᾷν, ὥσπερ καὶ ἐν τοῖς ἄλλοις ζώοις. Διὸ καί φησιν· « Ἴθι πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρέ· καὶ γενοῦ ἐκείνου σοφώτερος, » ὃς « πολλὴν » καὶ παντοδαπὴν ἐν τῷ ἀμήτῳ παρατίθεται πρὸς « τὴν τοῦ χειμῶνος » ἀπειλὴν « τὴν τροφήν· ἢ, Πορεύθητι πρὸς τὴν μέλισσαν, καὶ μάθε ὡς ἐργάτις ἐστί· καὶ αὐτὴ γὰρ, πάντα τὸν λειμῶνα ἐπινεμομένη, ἓν κηρίον γεννᾷ. » Εἰ δὲ « ἐν τῷ ταμιείῳ εὔχῃ, » ὡς ὁ Κύριος ἐδίδαξε « πνεύματι προσκυνεῖν, » οὐκ ἔτι περὶ τὸν οἶκον εἴη ἂν μόνη ἡ οἰκονομία, ἀλλὰ καὶ περὶ τὴν ψυχὴν, D τίνα τε ἐπινεμητέον αὐτῇ, καὶ ὅπως, καὶ ὁπόσον· τίνα τε ἀποθετέον καὶ ἐπιθησαυριστέον εἰς αὐ-

✠ P. 336 ED. POTTER, 286 ED. PARIS. [a] Gen. xvi, 6. [b] Prov. iii, 11, 12. Heb. xii, 5, 6. [c] Joan xiv, 6. [d] Prov. vi, 6, 8. [e] Matth. vi, 6. [f] Joan. iv, 23.

officium facere. » Item paulo post p. 449, Salomonis dictum recitat, quod hic apud Clementem sequitur.

(22) *Παιδείας Θ.* Υἱὲ, μὴ ὀλιγώρει παιδείας Κυρίου, Prov. Υἱέ μου, μὴ ὀλ. π. Κ. Hebr. Philo eodem modo hæc verba recitat, quo Clemens. Mox, καὶ μὴ ἐκλύου pro μηδὲ ἐκλύου, Philo. Dein, ἐλέγχει pro παιδεύει, Proverb. et Philo : sed παιδεύει exstat. Hebr.

(23) *Τόπους.* Scribi etiam possit τύπους, « typos. » Sic paulo superius Isaac dicitur Χριστοῦ τύπος.

(24) *Ἣν εὑρόντες, μ.* Malim sic distinguere : Ἣν εὑρόντες, μᾶλλον δὲ εἰληφότες παρ' αὐτῆς τῆς Ἀληθείας, ἔχ. « Quam inventam, vel potius ab ipsa Veritate acceptam, habent mystæ. » Ubi per « veritatem » intelligit Christum.

(25) *Τροφή.* « Victui » comparat scientias : quippe quibus mens nutrita et aucta, ad « generationem, » seu inventionem, apta fit, quemadmodum victu corpus.

A την· καὶ ὅτε ταῦτα προκομιστέον, καὶ πρὸς οὕστινας. Οὐ γὰρ φύσει, μαθήσει δὲ, οἱ καλοὶ κἀγαθοὶ γίνονται, καθάπερ ἰατροὶ καὶ κυβερνῆται. Ὁρῶμεν γοῦν κοινῶς οἱ πάντες τὴν ἄμπελον καὶ τὸν ἵππον· ἀλλ' ὁ μὲν γεωργὸς εἴσεται, εἰ ἀγαθὴ πρὸς καρποφορίαν, ἢ κακὴ ἡ ἄμπελος· καὶ ὁ ἱππικὸς ἄθυμον (26), ἢ ταχὺν διακρίνει ῥᾳδίως· τὸ δ' ἄλλους παρ' ἄλλους εὖ πεφυκέναι πρὸς ἀρετὴν, ἐπιτηδεύματα μέν τινα τῶν οὕτω πεφυκότων παρὰ τοὺς ἑτέρους ἐνδείκνυται· τελειότητα δὲ κατ' ἀρετὴν, οὐδ' ἥν τιν' οὖν τῶν ἄμεινον φύντων κατηγορεῖ, ὁπότε καὶ οἱ κακῶς πεφυκότες πρὸς ἀρετὴν, τῆς προσηκούσης παιδείας τυχόντες, ὡς ἐπίπαν καλοκἀγαθίας ἤνυσαν· καὶ αὖ τὰ ἐναντία, οἱ ἐπιτηδείως φύντες, ἀμελείᾳ γεγόνασι κακοί. Φύσει δ' αὖ κοινωνικοὺς καὶ δικαίους ὁ Θεὸς ἡμᾶς ἐδημιούργησεν, ὅθεν οὐδὲ τὸ δίκαιον ἐκ μόνης φαίνε- B σθαι τῆς θέσεως ῥητέον· ἐκ δὲ τῆς ἐντολῆς ἀναζωπυρεῖσθαι τὸ τῆς δημιουργίας ἀγαθὸν νοητέον, μαθήσει παιδευθείσης τῆς ψυχῆς ἐθέλειν αἱρεῖσθαι τὸ κάλλιστον (27). Ἀλλὰ καθάπερ καὶ ἄνευ γραμμάτων πιστὸν εἶναι δυνατόν φαμεν· οὕτω συνεῖναι (28) τὰ ἐν τῇ πίστει λεγόμενα οὐχ οἷόν τε, μὴ μαθόντα, ὁμολογοῦμεν. Τὰ μὲν γὰρ εὖ λεγόμενα προσίεσθαι, τὰ δὲ ἀλλότρια μὴ προσίεσθαι, οὐχ ἁπλῶς ἡ πίστις, ἀλλ' ἡ περὶ τὴν μάθησιν πίστιν ἐμποιεῖ. Εἰ δ' ἡ ἄγνοια, ἀπαιδευσία τε ἅμα καὶ ἀμαθία, τὴν ἐπιστήμην τῶν θείων καὶ ἀνθρωπίνων ἐντίθησι τῇ διδασκαλίᾳ, ἀλλ' ὡς ἐν πενίᾳ βίου ὀρθῶς ἐστι βιοῦν, οὕτω δὲ καὶ ἐν περιουσίᾳ ἔξεστι· καὶ ῥᾷον ἅμα καὶ θᾶττον σὺν τῇ προπαιδείᾳ θηρᾶσαι ἄν τινα τὴν ἀρετὴν ὁμολογοῦμεν, C οὐδὲ δίχα τούτων ἀθήρατον οὖσαν· πλὴν καὶ τότε τοῖς μεμαθηκόσι, καὶ τὰ αἰσθητήρια (29) συγγεγυμνασμένοις. « Μῖσος μὲν γὰρ, » φησὶν ὁ Σολομὼν, « ἐγείρει νεῖκος, ὁδοὺς δὲ ζωῆς φυλάσσει παιδεία· » ὡς μὴ ἀπατηθῆναι, ὡς μὴ κλαπῆναι πρὸς τῶν ἐπὶ βλάβῃ τῶν ἀκροωμένων κακοτεχνίαν ἠσκηκότων. « Παιδεία (30) δὲ ἀνεξέλεγκτος (31) πλανᾶται, » φησί· καὶ χρὴ μετεῖναι τὸ ἐλεγκτικὸν εἶδος, ἕνεκα τοῦ τὰς δόξας τὰς ἀπατηλὰς διακρούεσθαι τῶν σοφιστῶν· Εὖ γοῦν καὶ Ἀνάξαρχος εὐδαιμονικῶς (32) ἐν τῷ *Περὶ βασιλείας* γράφει· « Πολυμαθείη κάρτα μὲν ὠφελεῖ, κάρτα δὲ βλάπτει τὸν ἔχοντα· ὠφελέει μὲν τὸν ἄξιον ὄντα (33), βλάπτει δὲ, τὸν ῥηϊδίως φωνέοντα πᾶν ἔπος, κ' ἐν παντὶ δήμῳ. Χρὴ δὲ καιροῦ μέτρα εἰδέ-

admodum, et quantum; et quænam sint reponenda, et in ipsam recondenda; et quando ea afferenda, et ad quos. Non enim natura, sed doctrina viri boni et honesti fiunt, quemadmodum medici et gubernatores. Omnes itaque communiter videmus vitem et equum: sed sciet quidem agricola, vitisne ad ferendum fructum bona sit, an mala; et qui equorum habet cognitionem, facile discernit ignavum vel celerem. Alios autem esse aliis natura ad virtutem aptiores, ostendunt quidem quædam studia eorum, qui sunt aliis natura aptiores; virtutis autem perfectionem inesse istis, qui sunt meliori natura, nullam arguit, quod etiam qui natura minime apti sunt ad virtutem, eam quam par est assecuti disciplinam, vel ad omne genus probitatis et honestatis pervenerint; et contra, qui natura apti erant ad virtutem, evaserint mali negligentia et incuria. Cum vero nos natura ad societatem aptos justosque Deus fabricatus est, justitia ex sola constitutione oriri dicenda non est, sed potius id, quod a creatione inerat, bonum vi præcepti suscitari intelligendum est, cum ex doctrina didicerit anima velle quod optimum est eligere. Sed quemadmodum vel sine litteris fidelem posse esse dicimus, ita quæ in fide dicuntur non posse intelligere eum, qui non est doctus, confitemur. Quæ enim bene dicuntur admittere, aliena autem non admittere, non simplex fides, sed ea demum, quæ cum doctrina juncta est, efficit. Quod si ignorantia, imperitia simul et inscitia, rerum divinarum et humanarum scientiam æque affert ac doctrina: at quemadmodum in egestate licet recte vivere, ita etiam licet in abundantia: quin et facilius simul et celerius disciplinis liberalibus institutum posse aliquem virtutem assequi confitemur: quæ tamen non est ejusmodi, ut sine iis capi non possit; sed tunc quoque ab iis, qui didicerunt, et sensus habent exercitatos. ✠ « Odium enim, » inquit Salomon, « excitat contentio, vias autem vitæ custodit disciplina [a]; » ut non decipiamur neque circumveniamur ab iis qui, ad auditorum perniciem, improbam artem exercuerunt: « Disciplina autem vagatur, » inquit, « inconfutabilis [b]. » Oportet itaque arguendi et refellendi genus persequi, ut sophistarum fallaces repellamus

✠ P. 337 ED. POTTER, 287 ED. PARIS. [a] Prov. x, 12, 17. [b] Ibid., 17.

(26) *Ἄθυμον*. Forte verius ῥᾴθυμον, « segnem. » SYLBURG.

(27) *Τὸ κάλλιστον*. Videtur respexisse ad illud Theognidis: Κάλλιστον τὸ δικαιότατον· « Res pulcherrima, quæ justissima. » Idem Aristoteles docet v *Ethic. ad Nicomachum*. F. Morellus P. R. COLLECT.

(28) *Συνεῖναι*. H. mavult συνιέναι, præs. temp. SYLBURG.

(29) *Τὰ αἰσθητήρια*. Respicit Hebr. v, 14: Τελείων δέ ἐστιν ἡ στερεὰ τροφὴ, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ.

(30) *Παιδεία*. Rectius vulg. Biblia Prov. x, παιδείᾳ, dat. casu. SYLBURG.

(31) *Ἀνεξέλεγκτος*. « Correptionem deserens, » vel « contemnens. » Nesciit interpres hoc e Prov. x, 17, secundum LXX desumptum: alibi etiam turpissime lapsus est in sententiis e Græco τῶν Ο' de- D sumptis, Latine vertendis. LOWTH.

(32) *Εὖ γοῦν καὶ Ἀνάξαρχος εὐδαιμονικῶς*. Εὐδαιμονικῶς agnoscit etiam *Epitome* ms. H. dubitat, an legendum sit ὁ εὐδαιμονικός. SYLBURG. — Vel, retenta voce εὐδαιμονικῶς, scribendum: Εὖ γοῦν Ἀνάξαρχος καὶ εὐδαιμονικῶς· « Bene igitur Anaxarchus, ac prout decebat eum, qui εὐδαιμονικός » dictus est. Scribit enim Laertius in Anaxarcho, Οὗτος διὰ τὴν ἀπάθειαν καὶ εὐκολίαν τοῦ βίου εὐδαιμονικὸς ἐκαλεῖτο· « Hic Anaxarchus ob animi constantiam, et facilem vivendi rationem fortunatus appellabatur. » Idem tradunt etiam Ælianus *Variæ historiæ* lib. IX, cap. 37, et Sextus Empiricus lib. *Adv. mathematicos* pag. 146. Id cognominis nonnullis etiam aliis datum, scribunt Athenæus lib. XII, et Laertius in sui operis procemio.

(33) *Τὸν ἄξιον ὄντα*. H., τὸν μὴ διεξιόντα. SYLBURG.

opiniones. Recte profecto ac divine Anaxarchus scribit in libro *De regno* : « Multa ac varia doctrina multum quidem juvat, multum autem lædit eum, qui eam possidet. Juvat quidem eum, qui dignus est : lædit autem eum, qui quidvis dicit, et coram universo populo. Oportet autem scire mensuram temporis. Hic est autem finis sapientiæ. Quicunque autem canunt præ foribus, etiamsi quid sapienter ac perite cecinerint, non reputantur sapientes, sed opinionem subeunt stultitiæ. » Et Hesiodus :

A ναι· σοφίης γὰρ οὗτος ὅρος· ὅσοι δὲ καὶ θύρησιν (34) ἀείδουσιν, ἢ ἣν πη πεπνυμένα ἀείδωσιν, οὐ τιθέμενοι ἐν σοφίῃ, γνώμην δ' ἔχουσι μωρίης. » Καὶ Ἡσίοδος·

124 *Musarum, reddunt hominem quæ multa loquentem*
Divinum, vocalem.

Μουσάων, αἵ τ' ἄνδρα πολυφραδέοντα τιθεῖσαι
Θέσπιον, αὐδήεντα·

In verbis enim copiosum dicit « multa loquentem; » acrem autem ac vehementem, « vocalem ; » et « divinum, » eum, qui est peritus, et philosophus, et sciens veritatis.

εὔπορον μὲν γὰρ ἐν λόγοις, « τὸν πολυφράδμονα » λέγει· δεινὸν δὲ, « τὸν αὐδήεντα (35)· » καὶ « θέσπιον, » τὸν ἔμπειρον, καὶ φιλόσοφον, καὶ τῆς ἀληθείας ἐπι- B στήμονα.

CAPUT VII.

Philosophiam ad divinam virtutem viam aperire, eamque non particularis alicujus sectæ, sed eclecticam.

Apparet itaque, præcedaneas illas liberales Græcorum disciplinas, una cum ipsa philosophia, venire divinitus ad homines, non principaliter, sed quemadmodum imbres erumpunt in terram bonam, et in fimum, et super domos. Similiter autem germinat et herba et frumentum, et nascitur etiam ficus in monimentis, et si qua est arbor impudentior. Et quæ temere nascuntur, in specie quidem supra ea, quæ vera sunt, emergunt, quoniam eamdem pluviæ vim assequuntur; sed non eamdem habent gratiam, quam ea, quæ in solo pingui nata sunt, ut quæ statim exsiccari vel velli soleant. Porro autem huic quoque loco est utilis parabola « sementis [a], » quam Dominus est interpretatus. Unus enim est agricola terræ, quæ est in hominibus, qui a principio seminat a constitutione mundi nutritia semina, qui illis unoquoque tempore Dominum Logon impluit; tempora autem et loca, quæ susceperunt, genuere differentiam. Et alioqui agricola non solum frumentum (etsi hujus quoque plures sint differentiæ), sed etiam alia semina seminat, ✠ hordeum, fabas, pisa, cicer, et semina quæ olera in hortis producunt, et flores. Ejusdem est autem agriculturæ, et plantandi officium, et operandi quæcunque pertinent ad ipsa plantaria, hortos, et pomaria, et in summa, ad omnis generis arbores producendas et alendas. Similiter autem non sola ars pascendarum ovium, sed et boum equorumque et canum alendorum et curandarum apum artes omnes, et, ut summatim dicam, quæ in curandis gregibus animalibusque nutriendis versantur, inter se quidem secundum magis et minus differunt, sed sunt omnes vitæ utiles. Philosophiam autem, non dico Stoicam, nec Platonicam, aut Epicuream, et Aristotelicam, sed quæcunque ab his sectis recte dicta sunt, quæ docent justitiam cum pia scientia, hoc totum selectum, dico philoso-

Καταφαίνεται τοίνυν προπαιδεία ἡ Ἑλληνική, σὺν καὶ αὐτῇ φιλοσοφίᾳ θεόθεν ἥκειν εἰς ἀνθρώπους, οὐ κατὰ προηγούμενον, ἀλλ' ὃν τρόπον οἱ ὑετοὶ καταῤῥήγνυνται εἰς τὴν γῆν τὴν ἀγαθὴν, καὶ εἰς τὴν κοπρίαν, καὶ ἐπὶ τὰ δώματα. Βλαστάνει δ' ὁμοίως καὶ πόα καὶ πυρός· φύεταί τε καὶ ἐπὶ τῶν μνημάτων συκῆ, καὶ εἴ τι τῶν ἀναιδεστέρων δένδρων· καὶ τὰ φυόμενα ἐν τύπῳ προκύπτει τῶν ἀληθῶν· ὅτι τῆς αὐτῆς τοῦ ὑετοῦ ἀπέλαυσε δυνάμεως· ἀλλ' οὐ τὴν αὐτὴν ἔσχηκε χάριν τοῖς ἐν τῷ πίονι φυεῖσιν, ἤτοι ξηρανθέντα, ἢ ἀποτιλθέντα. Καὶ δὴ κἀνταῦθα χρησιμεύει ἡ « τοῦ σπόρου » παραβολὴ, ἣν ὁ Κύριος ἡρμήνευσεν. Εἷς γὰρ ὁ τῆς ἐν ἀνθρώποις γῆς γεωργὸς, ὁ ἄνωθεν σπείρων ἐκ καταβολῆς κόσμου τὰ C θρεπτικὰ σπέρματα, ὁ τὸν Κύριον καθ' ἕκαστον καιρὸν ἐπομβρίσας Λόγον· οἱ καιροὶ δὲ καὶ οἱ τόποι οἱ δεκτικοὶ τὰς διαφορὰς ἐγέννησαν. Ἄλλως τε ὁ γεωργὸς οὐ πυροὺς μόνον, (καίτοι καὶ τούτων πλείους εἰσὶ διαφοραί·) σπείρει δὲ καὶ τὰ ἄλλα σπέρματα, κριθάς τε καὶ κυάμους, καὶ πίσον, καὶ ἄρακα, καὶ τὰ κηπευόμενα, καὶ τὰ ἀνθευτικὰ σπέρματα. Τῆς αὐτῆς δὲ γεωργίας καὶ ἡ φυτουργία, καὶ ἐργάζεσθαι ὅσα εἰς αὐτά τε τὰ φυτώρια, καὶ εἰς παραδείσους, καὶ τὰ ὡραῖα, καὶ ὅλως παντοίων δένδρων φύσιν καὶ τροφήν. Ὡσαύτως δὲ οὐχ ἡ ποιμενικὴ μόνη, ἀλλὰ καὶ ἡ βουκολική; ἱπποτροφική τε καὶ κυνοτροφικὴ, καὶ μελισσουργικὴ, τέχναι πᾶσαι· συνελόντι δ' εἰπεῖν, ἀγελοκομική τε καὶ ζωοτροφικὴ ἀλλήλων μὲν τῷ μᾶλλον καὶ ἧττον διαφέρουσι, πλὴν D αἱ πᾶσαι βιωφελεῖς. Φιλοσοφίαν δὲ, οὐ τὴν Στωϊκὴν λέγω, οὐδὲ τὴν Πλατωνικὴν, ἢ τὴν Ἐπικούρειόν τε, καὶ Ἀριστοτελικήν· ἀλλ' ὅσα εἴρηται παρ' ἑκάστῃ τῶν αἱρέσεων τούτων καλῶς, δικαιοσύνην μετὰ εὐσεβοῦς ἐπιστήμης ἐκδιδάσκοντα, τοῦτο σύμπαν τὸ ἐκλεκτικὸν (36) φιλοσοφίαν φημί. Ὅσα δὲ ἀνθρωπίνων λογισμῶν ἀποτεμόμενοι παρεχάραξαν, ταῦτα οὐκ ἄν ποτε θεῖα εἴποιμ' ἄν. Ἤδη δὲ κἀκεῖνο σκο-

✠ P. 338 ED. POTTER, 288 ED. PARIS. [a] Matth. XIII, Marc. IV.

(34) Ὅσοι δὲ καὶ θ. *Epitome ms.*, ὅσοι δὲ καὶ Θεοῦ ῥῆσιν ἀείδουσιν. Ἄν πη πεπνυμένα ἀείδωσιν... H. SYLBURG.

(35) *Δεινὸν δὲ τὸν αὐδήεντα.* Respexisse videtur Homeri de Circe dictum, *Odyss.* K, vers. 136 :

Κίρκη ἐϋπλόκαμος, δεινὴ θεὸς αὐδήεσσα.
Circe pulchricoma acris dea vocalis.

(36) *Τὸ ἐκλεκτικόν.* Probat hic Clemens eorum

A πῶμεν, ὡς εἴ ποτε οἱ μὴ ἐπιστάμενοι (37), διαβιοῦσι καλῶς εὖ ποιεῖν· εὐποιΐᾳ γὰρ περιπεπτώκασιν· ἔνιοι δὲ καὶ εὐστοχοῦσι διὰ συνέσεως εἰς τὸν περὶ ἀληθείας λόγον· « Ἀβραὰμ » δὲ « οὐκ ἐξ ἔργων ἐδικαιώθη, » ἀλλ' « ἐκ πίστεως. » Οὐδὲν οὖν ὄφελος αὐτοῖς μετὰ τὴν τελευτὴν τοῦ βίου, κἂν εὐεργῶς ὦσι νῦν, εἰ μὴ πίστιν ἔχοιεν. Διὰ τοῦτο γὰρ Ἑλλήνων φωνῇ ἑρμηνεύθησαν (38) αἱ Γραφαὶ, ὡς μὴ πρόφασιν ἀγνοίας προβάλλεσθαι δυνηθῆναί ποτε αὐτοὺς, οἵους τε ὄντας ἐπακοῦσαι καὶ τῶν παρ' ἡμῖν, ἣν μόνον ἐθελήσωσιν. Ἄλλως τις περὶ ἀληθείας λέγει, ἄλλως ἡ ἀλήθεια ἑαυτὴν ἑρμηνεύει· ἕτερον στοχασμὸς ἀληθείας, ἕτερον ἡ ἀλήθεια· ἄλλο ὁμοίωσις, ἄλλο αὐτὸ τὸ ὄν. Καὶ ἡ μὲν μαθήσει καὶ ἀσκήσει περιγίνεται, ἡ δὲ δυνάμει καὶ πίστει. Δωρεὰ γὰρ ἡ διδασκαλία
B τῆς θεοσεβείας, χάρις δὲ ἡ πίστις. Ποιοῦντες (39) γὰρ τὸ θέλημα τοῦ Θεοῦ, τὸ θέλημα γινώσκομεν. « Ἀνοίξατε οὖν, » φησὶν ἡ Γραφὴ, « πύλας δικαιοσύνης, εἰσελθὼν ἐν αὐταῖς ἐξομολογήσομαι τῷ Κυρίῳ· » ἀλλ' αἱ μὲν, εἰς δικαιοσύνην ὁδοὶ, πολυτρόπως σώζοντος τοῦ Θεοῦ, (ἀγαθὸς γάρ·) πολλαί τε καὶ ποικίλαι, καὶ φέρουσαι εἰς τὴν κυρίαν ὁδόν τε καὶ πύλην. Ἐὰν δὲ τὴν βασιλικήν τε καὶ αὐθεντικὴν εἴσοδον ζητῇς, ἀκούσῃ· « Αὕτη ἡ πύλη (40) τοῦ Κυρίου· δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ. » Πολλῶν τοίνυν ἀνεῳγμένων πυλῶν ἐν δικαιοσύνῃ, αὕτη (41) ἣν ἐν Χριστῷ· ἐν ᾗ μακάριοι πάντες οἱ εἰσελθόντες, καὶ κατευθύνοντες τὴν πορείαν αὐτῶν ἐν ὁσιότητι γνωστικῇ. Αὐτίκα ὁ Κλήμης ἐν τῇ « πρὸς Κορινθίους
C

A phiam; cætera autem, quæ ex humanis ratiocinationibus præsecta adulterarunt, ea nunquam divina dixerim. Jam vero illud quoque consideremus, an quando recte vivunt, qui nesciunt bene facere; accidit enim, ut bene faciant: nonnulli autem per intelligentiam ad veritatis verbum feruntur, tanquam ad scopum: « Abraham » autem « non ex operibus justificatus est, » sed « ex fide [a]: » nihil ergo eis post vitæ finem proderit, etiam si nunc recte operentur, nisi fidem habeant. Propterea enim Græcorum lingua expositæ sunt Scripturæ, ut nullum unquam ignorantiæ possint prætextum afferre, cum possint quæ sunt apud nos audire, si tantum voluerint. Aliter dicit aliquis de veritate, aliter veritas seipsam interpretatur. Aliud est veri-
B tatis conjectura, et aliud veritas; aliud rei similitudo, aliud ipsa res. Et altera quidem accedit disciplina et exercitatione, altera vero potestate et fide. Est enim donum doctrina pietatis, gratia vero fides. Facientes enim Dei voluntatem, voluntatem cognoscimus. « Aperite ergo, » inquit Scriptura, « portas justitiæ, ingressus in eas confitebor Domino [b]. » Sed viæ quidem ad justitiam, cum Deus servet multis modis (est enim bonus), sunt multæ et variæ, et ferentes ✠ ad Dominicam viam et portam. Quod si viam regiam et authenticum ingressum quæris, audies: « Hæc est porta Domini, justi intrabunt in eam [c]. » Cum ergo multæ apertæ
C sint portæ in justitia, hæc in Christo invenienda

✠ P. 339 ED. POTTER, 289 ED. PARIS. [a] Rom. IV. [b] Psal. CXVII, 19. [c] Psal. CXVII, 20.

sententiam, qui ἐκλεκτικήν, « electivam, » philosophiam sectabantur, ac proinde alieno arbitrio soluti, solam veritatem, a quocunque prodita esset, amplecti sese velle dicebant. Hæc porro secta recentissima omnium fuit: nam, ut in fine proœmii sui refert Laertius, ἔτι πρὸ ὀλίγου καὶ ἐκλεκτική τις αἵρεσις εἰσήχθη ὑπὸ Ποτάμωνος τοῦ Ἀλεξανδρέως, ἐκλεξαμένου τὰ ἀρέσαντα ἐξ ἑκάστου τῶν αἱρέσεων· « Haud ita pridem eclectica, seu electiva, quædam secta a Potamone Alexandrino invecta est, qui de singulis sectis ea, quæ sibi placuere, elegit. » Hunc autem Potamonem πρὸ Αὐγούστου, καὶ μετ' αὐτόν· « Ante Augustum, et post eum, » vixisse, memorat Suidas. Quinetiam inter medicinæ studiosos, quidam apud Galenum occurrunt ἐκλεκτικοί, qui Festo Latine « Miscelliones » dicuntur. Unde Galenus *Περὶ τῶν ἁμαρτημάτων καὶ παθῶν τῆς ψυχῆς*, se monitum a parente refert, ne cui sese sectarum ad-
D diceret, verum ab omnibus discens, et de omnibus judicium ferens, laudem quæreret; quod se fecisse alibi gloriatur. Quintilianus etiam lib. III, cap. 1: « Neque enim me cujusquam, » inquit, « sectæ velut quadam superstitione addixi. » Necnon ante Potamonis tempora Dio, paucique similes eamdem philosophandi rationem instituerunt, licet proprio sectæ nomine caruerint. Quod de se Cicero profitetur, *De offic.* lib. I, cap. 2: « Quoniam utrique, et Socratici et Platonici, esse volumus. » Et cap. 6: « Sequimur igitur hoc quidem tempore, et hac in quæstione potissimum Stoicos, non ut interpretes, sed, ut solemus, e fontibus eorum, judicio arbitrioque nostro, quantocunque modo videbitur, hauriemus. »

(37) *Οἱ μὴ ἐπ.* Hervetus interpres, οἱ μὴ ἐπιστάμενοι εὖ ποιεῖν διαβιοῦσι καλῶς· « quod si quando recte vivunt, qui nesciunt benefacere. » SYLBURG.— Videtur aliquid ad supplendam sententiam deesse.

(38) *Ἑρμηνεύθησαν*. Rectius ἡρμηνεύθησαν cum augmento, ut præced. paulo superius. SYLBURG.

(39) *Ποιοῦντες*. Respicit Joan. VII, 17: Εἴ τις θέλει τὸ θέλημα αὐτοῦ ποιεῖν, γίνεται περὶ τῆς διδαχῆς, πότερον ἐκ τοῦ Θεοῦ ἐστιν, ἢ ἐγὼ ἀπ' ἐμαυτοῦ λαλῶ. Hinc sequitur, veritatis agnitionem non tam ab humana sagacitate, quam a dono ac gratia Dei provenire. Mox adnotat Sylburgius vulg. Biblia, Psalm. CXVII, aliquantum hic variare.

(40) *Αὕτη ἡ π.* Hæc Clemens *Strom.* VI, pag. 646 ed. Par., per memoriæ lapsum Barnabæ tribuit. Sunt autem Clementis Romani verba paulum mutata, quæ in ejus *ad Corinth. Epist.* 1, c. 48, occurrunt.

(41) *Πολλῶν τοίν. ἀν. πυλῶν ἐν δικαιοσύνῃ, αὕτ.* Huic lectioni favere videtur, quod autor superius pag. 283, edit. Paris., dixit, δικαίου πολλὰς ὁδοὺς, « justi multas vias » esse. Recentiores vero editiones in *Strom.* VI hunc locum sic exhibent: Πολλῶν τοίνυν ἀνεῳγμένων πυλῶν, ἡ δικαιοσύνη αὕτ.· « Cum multæ apertæ sint portæ, justitia est ea in Christo. » Sed verior lectio esse videtur, quam ibi editio Florentina, necnon Clemens Romanus exhibet: Πολλῶν τοίνυν πυλῶν ἀνεῳγμένων, ἡ ἐν δικαιοσύνῃ, αὕτη.... « Cum ergo multæ portæ apertæ sint, quæ est in justitia, ea sola est in Christo. » Quod olim docuerunt Cotelerius in suis ad Clementem Romanum adnotationibus, et Menardus in judicio de S. Barnaba, ejus *Epistolæ* præmisso. Porro simili metaphora usus est Ignatius, *Epist. ad Philadelph.* cap. 9, ubi de Christo hæc dicit: Αὐτὸς ὢν θύρα τοῦ Πατρὸς, δι' ἧς εἰσέρχονται Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, καὶ οἱ Ἀπόστολοι, καὶ ἡ Ἐκκλησία. Ei vero Christus ansam præbuit, ubi de se dixit: Ἐγώ εἰμι ἡ θύρα· δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται. Joan. X, 9.

est, in quam beati omnes qui intrarunt, et iter suum direxerunt in gnostica sanctitate. Jam Clemens in *Epistola ad Corinthios*, his verbis inquit, exponens differentiam eorum, qui sunt probati in Ecclesia : « Sit aliquis fidelis, sit potens in explicanda cognitione, sit sapiens in discretione sermonum, sit stupendus in operibus. »

A Ἐπιστολῇ, « κατὰ λέξιν φησὶ, τὰς διαφορὰς ἐκτιθέμενος τῶν κατὰ τὴν Ἐκκλησίαν δοκίμων· « Ἤτω τις πιστός· ἤτω δυνατός τις γνῶσιν ἐξειπεῖν· ἤτω σοφὸς ἐν διακρίσει λόγων (42)· ἤτω γοργὸς ἐν ἔργοις (43). »

CAPUT VIII.

Artem sophisticam, aliasque quæ in verbis tantum versentur, non perinde utiles esse habendas.

Ars autem sophistica, quam sectati sunt Græci, tanquam rem præclaram et magni faciendam, est potestas imaginativa, verbis falsas opiniones tanquam veras ingenerans. Præbet enim ad persuadendum quidem artem dicendi, ad contendendum vero, litigandi ac decertandi. Hæ autem artes, si cum philosophia conjunctæ non fuerint, cuilibet exitiales erunt. Aperte itaque Plato « malam artem » appellavit sophisticam : et eum sequens Aristoteles, eam quamdam decipiendi artem pronuntiat, ut quæ totum sapientiæ officium probabiliter surripiat, et profiteatur sapientiam, in qua non est versata, nec in ea studium posuit. Ut paucis autem dicam, quemadmodum artis quidem dicendi principium est id quod probabile, opus vero, argumentum, et finis, persuasio : ita artis litigandi, principium est, id, quod apparet; opus vero, contentio : et finis, victoria. Eodem enim modo sophisticæ quoque artis principium quidem est id, quod apparet; opus vero duplex, unum quidem ex rhetorica, quod perpetua oratione rem persequitur ; alterum vero ex dialectica, interrogans ; ejus vero finis est admiratio. Et quæ rursus in scholis vulgo jactatur dialectica, est philosophi exercitatio in eo, quod est opinabile, contradicendi facultatis gratia. In his autem nusquam est veritas. Merito ergo egregius Apostolus supervacaneas has, quæ in vocibus consistunt, artes vilipendens, « Si quis non accedit, » inquit, « ad sanos sermones, ✠ doctrina autem aliqua est inflatus, nihil sciens, sed laborans circa quæstiones et pugnas **125** verborum, ex quibus fit lis, invidia, maledictum, suspiciones malæ, concertationes hominum mente corruptorum, et privatorum veritate [a]. » Vides quomodo in eos invectus sit, logicam eorum artem « morbum » appellans, propter quam se efferunt, quibus cordi est hæc ars garrula et improba, sive sint Græci, sive etiam barbari sophistæ. Pulcherrime ergo dicit tragicus Euripides in *Phœnissis :*

Ἡ δὲ σοφιστικὴ τέχνη, ἣν ἐζηλώκασιν Ἕλληνες, δύναμίς ἐστι φανταστικὴ, διὰ λόγων δοξῶν ἐμποιητικὴ ψευδῶν ὡς ἀληθῶν· παρέχει γὰρ πρὸς μὲν πειθὼ τὴν ῥητορικὴν, πρὸς τὸ ἀγωνιστικὸν δὲ τὴν ἐριστικήν. Αἱ τοίνυν τέχναι, εἰ μὴ μετὰ φιλοσοφίας B γένωνται, βλαβερώτεραι παντί που εἶεν ἄν. Ἄντικρυς γὰρ οὖν ὁ Πλάτων « κακοτεχνίαν » προσεῖπε τὴν σοφιστικήν· ὅ τε Ἀριστοτέλης (44) ἑπόμενος κλεπτικήν τινα αὐτὴν ἀποφαίνεται, ἅτε τὸ ὅλον τῆς σοφίας ἔργον πιθανῶς ὑφαιρουμένην, καὶ ἐπαγγελλομένην σοφίαν, ἣν οὐκ ἐμελέτησεν. Ἐν βραχεῖ δὲ εἰπεῖν, καθάπερ τῆς ῥητορικῆς ἀρχὴ μὲν τὸ πιθανὸν, ἔργον δὲ τὸ ἐπιχείρημα (45), καὶ τέλος ἡ πειθώ· οὕτω τῆς ἐριστικῆς ἀρχὴ μὲν τὸ δόξαν, ἔργον δὲ τὸ ἀγώνισμα, καὶ τέλος ἡ νίκη. Τὸν αὐτὸν γὰρ τρόπον καὶ τῆς σοφιστικῆς ἀρχὴ μὲν τὸ φαινόμενον, ἔργον δὲ διττόν· τὸ μὲν ἐκ ῥητορικῆς, διεξοδικὸν φαινόμενον (46), τὸ δὲ ἐκ διαλεκτικῆς, ἐρωτητικόν· τέλος δὲ αὐτῆς ἡ ἔκπληξις. Ἥ τε αὖ θρυλλουμένη κατὰ τὰς διατριβὰς C διαλεκτικὴ γύμνασμα φιλοσόφου περὶ τὸ ἔνδοξον δείκνυται, ἀντιλογικῆς ἕνεκεν δυνάμεως. Οὐδαμοῦ δ' ἐν τούτοις ἡ ἀλήθεια. Εἰκότως τοίνυν ὁ γενναῖος ἀπόστολος, ἐκφαυλίζων τὰς περιττὰς ταύτας τῶν λέξεων τέχνας, « Εἴ τις μὴ προσέρχεται ὑγιαίνουσι λόγοις, » φησὶ, « διδασκαλίᾳ δέ τινι τετύφωται, μηδὲν ἐπιστάμενος, ἀλλὰ νοσῶν περὶ ζητήσεις καὶ λογομαχίας, ἐξ ὧν γίνεται ἔρις, φθόνος, βλασφημία, ὑπόνοιαι πονηραὶ, διαπαρατριβαὶ (47) διεφθαρμένων ἀνθρώπων τὸν νοῦν, καὶ ἀπεστερημένων τῆς ἀληθείας. » Ὁρᾷς ὅπως πρὸς αὐτοὺς κεκίνηται, « νόσον » ὀνομάζων τὴν λογικὴν τέχνην αὐτῶν, ἐφ' ᾗ σεμνύνονται, οἷς φίλη ἡ στωμύλος αὕτη κακοτεχνία, εἴτε Ἕλληνες εἶεν, εἴτε καὶ βάρβαροι σοφισταί. Παγκάλως οὖν ὁ τραγικὸς Εὐριπίδης ἐν ταῖς *Φοινίσσαις* λέγει·

Iniqua vero oratio,
In se ægra, pharmacis eget sapientibus.

D ... *Ὁ δ' ἄδικος* (48) *λόγος,*
Νοσῶν ἐν αὑτῷ, φαρμάκων δεῖται σοφῶν.

✠ P. 340 ED. POTTER, 290 ED. PARIS. [a] I Tim. vi, 3, 4, 5.

(42) *Ἐν διακρίσει λόγων.* Ἐν δικαίᾳ κρίσει λόγων Clemens Rom. Verum cum Clemens noster *Strom.* vi, pag. 647, διακρίσει retineat, vix dubitari potest, quin ea vera lectio sit. Quo facit etiam, quod διακρίσει apud S. Paulum exstet, cujus Epist. I ad Corinth. xii, 8, 9, 10, præ oculis habuisse videtur Clemens, dum hæc scriberet.

(43) *Ἤτω γοργὸς ἐν ἔργοις.* Ἤτω ἁγνὸς ἐν ἔργοις Clemens Rom. Sed noster *Strom.* vi : Ἤτω γοργὸς ἐν ἔργοις, ἤτω ἁγνός. Quæ lectio, ut plenior, sic fortasse verior est.

(44) *Ὅ τε Ἀριστ.* Malim ᾧ τε Ἀριστ.

(45) *Ἔργον δὲ τὸ ἐπιχείρημα.* « Opus vero epicherema. » Quod ad rhetorem quomodo pertineat, disce ex Fabio lib. v, cap. 10. Collect.

(46) *Φαινόμενον.* Hæc vox e præcedenti sententiæ membro irrepsisse videtur. Quæ seq. ex I Tim. vi, διὰ μνήμης recitavit auctor.

(47) *Διαπαρατριβαί.* Παραδιατριβαί, I Tim. vi, ut significentur διατριβαί, quæ παρά τε τὸν καιρὸν, καὶ παρὰ τὸ δέον. Sylburg.

(48) *Ὁ δ' ἄδ.* Hi versus occurrunt in Euripidis *Phœniss.* v. 474 et 475, e quo pro αὐτῷ scribendum in versu posteriore αὑτῷ, « se. » Ita etiam schol. ἐν ἑαυτῷ κακῶς ἔχων. Eadem correctio facienda in Theodoreti serm. 1 *De curandis Græc. affect.*, pag. 478.

« Ὑγιαίνων » μὲν γὰρ ὁ σωτήριος εἴρηται Λόγος, αὐτὸς ὢν ἀλήθεια· καὶ τὸ ὑγιαῖνον αἰεὶ ἀθάνατον μένει· ἡ δὲ ἀπὸ τοῦ ὑγιεινοῦ τε καὶ θείου διάκρισις ἀθεότης τε καὶ πάθος θανατηφόρον. Λύκοι (49) οὗτοι ἅρπαγες, προβάτων κῳδίοις ἐγκεχρυμμένοι, ἀνδραποδισταί τε καὶ ψυχαγωγοὶ εὔγλωσσοι, κλέπτοντες μὲν ἀφανῶς, διελεγχόμενοι δὲ λησταί, αἱρεῖν (50) ἀγωνιζόμενοι καὶ δόλῳ καὶ βίᾳ ἡμᾶς δὴ τοὺς ἀπερίττους, ὡς ἂν εἰπεῖν ἀδυνατωτέρους. A

Ἀγλωσσίᾳ (51) *δὲ πολλάκις ληφθεὶς ἀνὴρ,*
Δίκαια λέξας, ἧσσον εὐγλώσσου φέρει.
Νῦν δ' εὐρόοισι στόμασι τἀληθέστατα
Κλέπτουσιν, ὥστε μὴ δοκεῖν ἃ χρὴ δοκεῖν·

ἡ τραγῳδία λέγει. Τοιοῦτοι δὲ οἱ ἐριστικοὶ οὗτοι, εἴτε αἱρέσεις μετίοιεν, εἴτε καὶ διαλεκτικὰ συνασκοῖεν τεχνύδρια· οὗτοι « οἱ τὰ κατάρτια (52) κατασπῶντες, B καὶ μηθὲν ὑφαίνοντες, » φησὶν ἡ Γραφή· ματαιοπονίαν ἐζηλωκότες, ἣν « κυβείαν ἀνθρώπων (53) » ὁ Ἀπόστολος ἐκάλεσε, « καὶ πανουργίαν, πρὸς τὴν μεθοδείαν τῆς πλάνης ἐπιτήδειον. Εἰσὶ γάρ, » φησί, « πολλοὶ ἀνυπότακτοι, ματαιολόγοι, φρεναπατοῦντες (54). » Οὔκουν οὐ πᾶσιν εἴρηται, « Ὑμεῖς ἐστε οἱ ἅλες τῆς γῆς. » Εἰσὶ γάρ τινες τῶν καὶ τοῦ λόγου ἐπακηκοότων τοῖς ἰχθύσι τοῖς θαλασσίοις ἐοικότες, οἳ δὴ ἐν ἅλμῃ ἐκ γενετῆς τρεφόμενοι, ἁλῶν ὅμως πρὸς τὴν σκευασίαν δέονται. Ἐγὼ γ' οὖν καὶ πάνυ ἀποδέχομαι τὴν τραγῳδίαν λέγουσαν·

Ὦ παῖ (55), *γένοιντ' ἂν εὖ λεγόμενοι οἱ λόγοι*
Ψευδεῖς· ἐπῶν δὲ κάλλεσιν νικῷεν ἂν
Τἀληθές· ἀλλ' οὐ τοῦτο τἀκριβέστατον·
Ἀλλ' ἡ φύσις καὶ τοὐρθόν· ὃς δ' εὐγλωσσίαν (56) C
Εἰ καὶ σοφὸς μέν, ἀλλά γε τὰ πράγματα
Κρείσσω νομίζω τῶν λόγων ἀεί ποτε.

Οὔ ποτε ἄρα ὀρεκτέον τοῖς πολλοῖς ἀρέσκειν· ἃ μὲν γὰρ ἐκείνους εἰδείην (57), οὐκ ἀσκοῦμεν ἡμεῖς· ἃ δὲ ἡμεῖς ἴσμεν, μακρὰν ἐστὶ τῆς ἐκείνων διαθέσεως. « Μὴ γινώμεθα κενόδοξοι, » φησὶν ὁ Ἀπόστολος, « ἀλλήλους προκαλούμενοι, ἀλλήλους φθονοῦντες. » Ταύτῃ τοι ὁ φιλαλήθης Πλάτων, οἷον θεοφορούμενος.

✠ P. 341 ED. POTTER, 291 ED. PARIS.

« Sanus » enim dictus est Logos salutaris, cum ipse sit veritas; et id, quod sanum est semper, manet immortale. Quæ est autem ab eo, quod est sanum et divinum, separatio, est impietas et lethalis affectio. Hi sunt lupi rapaces tecti pellibus ovium, plagiarii, et diserti animarum abigei; qui clam quidem furantur, sed fures esse convincuntur, qui et dolo et vi nos simplices conantur superare, ut qui minus eis in dicendo valeamus.

Vir impeditus sæpe linguæ infantia,
Cum justa dixit, at diserto habet minus.
Nunc flumine oris, vera quæ sunt, occulunt,
Ne veritas appareat, cum sit tamen :

inquit tragœdia. Tales autem sunt litigiosi isti, sive sectas sectentur, sive artes, nescio quas, exerceant dialecticas. Isti sunt, qui « funiculos trahunt, » inquit Scriptura, « et nihil texunt, » inanem laborem plurimi facientes, quem « hominum aleam et astutiam » ipse vocavit Apostolus, « aptam ad erroris insidias [a]. Sunt enim, » inquit, « multi inobedientes, vaniloqui, mentem decipientes [b]. » Non omnibus ergo dictum est : « Vos estis sal terræ [c]. » Sunt enim aliqui, etiam ex iis qui verbum audiunt, marinis piscibus similes, qui cum ab ipso ortu in salso nutriantur, salibus tamen ad condiendum indigent. Ego itaque vel lubentissime admitto tragœdiam, quæ dicit :

O nate, sermo commode dictus potest
Quoque esse falsus, vicitque oratio
✠ *Diserta verum : nec potissima hæc puto,*
Sed recta naturamque : at eloquentia,
Quanquam erudita, non placet : verum placet
Res ipsa, pulchris præferenda vocibus.

Multis ergo placere, minime est expetendum. Quæ enim sunt illis jucunda, nos non exercemus ; quæ nos autem scimus, procul sunt ab illorum affectione. « Ne simus, » inquit Apostolus, « inanis gloriæ cupidi, nos invicem provocantes, invicem invidentes [d]. » Sic itaque veri amator Plato, veluti

[a] Ephes. IV, 14. [b] Tit. I, 10. [c] Matth. V, 13. [d] Galat. V, 26.

(49) *Λύκοι.* Respicit Matth. VII, 15 : Προσέχετε δὲ ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες.

(50) *Αἱρεῖν.* Aptius αἱρεῖν, « capere. » SYLBURG.

(51) *Ἀγλωσσίᾳ.* Apud Stobæum lib. *De calumnia* 40, ex Euripide citatur in Alexandra, sed corrupte legitur εὐγλωσσίᾳ, pro ἀγλωσσίᾳ. Itaque hic Clementis locus emendationem confirmat Th. Canteri lib. II, cap. 5, *Var. lect.* Atque adeo falsum videtur, inquit, secundum Euripidem, quod inquit Statius Cæcilius, « eloquentiam innocentiam esse, » ut est apud Apuleium. COLLECT. D

(52) *Κατάρτια.* Κατάρτια est etiam in *Epitome ms.* Hervetus interpres legit σπαρτία, « funiculos. » SYLBURG. — Vertendum « telas : » est enim κατάρτιον idem, quod ἱστός. Quam vero scripturam respexerit auctor, reperire nondum potui.

(53) *Κυβείαν ἀνθρώπων.* Hoc reposui pro κυβείαν αὐτὴν e Vulg. Ephes. IV. SYLBURG. — Etenim ἀνθρώπων in mss., ut fieri solet, abbreviatum in ανων, per librariorum negligentiam in αὐτὴν transiisse videtur.

(54) *Φρεναπατοῦντες.* Φρεναπάται, Tit. Mox, τὸ ἅλας pro οἱ ἅλες, Matth.

(55) *Ὦ παῖ.* Hos incerti poetæ versus hoc modo emendavit explicavitque Grotius *Excerpt. e trag. et com. Græcis*, pag. 461 :

Ὦ παῖ, γένοιντ' ἂν καὶ λεγόμενοι εὖ λόγοι
Ψευδεῖς· ἐπῶν δὲ κάλλεσιν νικῷεν ἂν
Τἀληθές· ἀλλ' οὐ τοῦτό τ' ἀκριβέστατον,
Ἀλλ' ἡ φύσις καὶ τοὐρθόν. Ὃς δ' εὐγλωσσίαν
Ἀσκεῖ, σοφὸς μέν· ἀλλ' ἐγὼ τὰ πράγματα
Κρείσσω νομίζω τῶν λόγων ἀεί ποτε.

O nate, sæpe bene polita oratio
Est falsa : blandis interim verum dolis
Exsuperat : at non ideo res hæc optima est,
Sed indoles virtusque. Qui lingua valet,
Doctum fatebor : sed tamen verbis ego
Res ante habendas et putavi, et nunc puto.

(56) *Εὐγλωσσίαν.* Cum εὐγλωσσίαν subaudiendum κατά, περί, vel similis. In seq. vers. lego, ἀλλ' ἐγὼ τὰ πράγμ. SYLBURG.

(57) *Ἐκείνους εἰδείην.* Interpres legit ἐκείνους ἥδει, seu ἐκείνοις ἁνδάνει. Alioqui legi etiam posset ἐκείνους εἰδεῖμεν, subaudito ex sequentibus verbo ἀσκεῖν, « quæ illos exercere sciverimus. » SYLBURG. — Emendandum putat F. Morellus Pr. Reg. ἃ μὲν γὰρ ἐκεῖνοι εἰδεῖεν· « Vulgo itaque ut placeas desi-

a Deo incitatus, dicit: « Ego, » inquit, « sum ejusmodi, ut nulli alii credam nisi rationi, quæ mihi consideranti optima visa fuerit. » Eos ergo reprehendit, qui absque mente et scientia credunt opinionibus: utpote quod non oporteat, relicta recta et sana ratione, ei credere, quæ est falsi particeps. A veritate enim aberrasse malum est: vera autem dicere, et ea quæ sunt opinari, bonum. Bonis autem inviti quidem privantur homines; privantur tamen, vel circumventi, vel præstigiis decepti, vel coacti, et cum non crediderint. Atque qui credidit quidem, sua sponte capitur; circumvenitur autem, qui in contrariam persuasionem traducitur, oblitus quod alia quidem tempus, alia vero ratio aufert imprudenti. Cogit autem sæpe dolor, et angor, et rursus contentio, et ira, postquam suscepta fuerit opinio. Postremo autem præstigiis decipiuntur, qui vel a voluptate sunt inducti, vel timore perterriti. Sunt autem hæ mutationes omnes voluntariæ. Atque nihil quidem horum unquam acceperit scientia.

A « Ὡς ἐγὼ (58) τοιοῦτος, » φησίν, « ὁποῖος οὐδενὶ ἄλλῳ ἢ τῷ λόγῳ πείθεσθαι, ὡς ἄν μοι σκοπουμένῳ βέλτιστος φαίνοιτο. » Αἰτιᾶται γοῦν τοὺς ἄνευ νοῦ καὶ ἐπιστήμης δόξαις πιστεύοντας· ὡς μὴ προσῆκον, ἀφιεμένους τοῦ ὀρθοῦ καὶ ὑγιοῦς λόγου, τῷ κοινωνοῦντι τοῦ ψεύδους πιστεύειν. Τὸ μὲν γὰρ ἐψεῦσθαι τῆς ἀληθείας κακόν ἐστι· τὸ δὲ ἀληθεύειν, καὶ τὰ ὄντα δοξάζειν, ἀγαθόν. Τῶν δὲ ἀγαθῶν ἀκουσίως μὲν στέρονται ἄνθρωποι· στέρονται δὲ ὅμως, ἢ κλαπέντες, ἢ γοητευθέντες, ἢ βιασθέντες, καὶ μὴ πιστεύσαντες. Ὁ μὲν δὴ πιστεύσας ἑκὼν ἤδη παραναλίσκεται· κλέπτεται δὲ ὁ μεταπεισθεὶς, ἐκλαθόμενος ὅτι τῶν μὲν ὁ χρόνος, τῶν δὲ ὁ λόγος ἐξαιρούμενος λανθάνει. Βιάζεταί τε πολλάκις ὀδύνη τε καὶ ἀλγηδὼν φιλονεικία τε αὖ καὶ θυμὸς μετὰ τὸ δοξάσαι· καὶ ἐπὶ πᾶσι B γοητεύονται οἱ ἤτοι ὑφ' ἡδονῆς κηληθέντες (59) ἢ ὑπὸ φόβου δείσαντες· πᾶσαι δὲ, ἑκούσιοι τροπαί· καὶ τούτων οὐδὲν ἄν ποτε ἐπιστήμη ἐκλάβοι.

CAPUT IX.

Scientias humaniores ad Scripturas recte intelligendas esse omnino necessarias.

Nonnulli autem, qui se putant esse ingeniosos, nec philosophiam attingere volunt, nec dialecticam, sed nec contemplationem discere naturalem, sed solam et nudam fidem requirunt; perinde ac si cum nullam vitis curam gesserint, velint ab initio statim botros accipere. Dicitur autem Dominus « vitis » allegorice [a], a quo cum cura et agri cultura, quæ fit secundum Logon, fructus est vindemiandus. Putare oportet, fodere, ligare, et reliqua facere. Falce, ut sentio, ✠ et ligone, et aliis rusticis instrumentis ad vitis curam opus est, ut nobis fructum producat esculentum. Quemadmodum autem in agricultura, ita etiam in medicina, ille utiliter didicit, qui varias attigit disciplinas, ut possit melius colere et curare: ita hic etiam eum bene et utiliter eruditum existimo, qui omnia refert ad veritatem, adeo ut ex geometria et musica, et ex grammatica et ipsa philosophia colligens quod est utile, tutam ab insidiis servet fidem. Porro autem athleta, ut prius dictum est, contemnitur, qui se non prius instruxit ad certamen. Jam vero gubernatorem quoque laudamus multarum rerum experientia instructum, qui urbes multorum vidit hominum mores; quemadmodum et medicum multos expertum ægrotos...

Ἔνιοι δὲ, εὐφυεῖς οἰόμενοι εἶναι, ἀξιοῦσι μήτε φιλοσοφίας ἅπτεσθαι, μήτε διαλεκτικῆς, ἀλλὰ μηδὲ τὴν φυσικὴν θεωρίαν ἐκμανθάνειν· μόνην δὲ καὶ ψιλὴν τὴν πίστιν ἀπαιτοῦσιν· ὥσπερ εἰ μηδεμίαν ἠξίουν ἐπιμέλειαν ποιησάμενοι τῆς ἀμπέλου, εὐθὺς ἐξ ἀρχῆς τοὺς βότρυας λαμβάνειν. « Ἄμπελος » δὲ ὁ Κύριος ἀλληγορεῖται, παρ' οὗ μετ' ἐπιμελείας καὶ C τέχνης γεωργικῆς τῆς κατὰ τὸν Λόγον τὸν καρπὸν τρυγητέον. Κλαδεῦσαι δεῖ, σκάψαι, ἀναδῆσαι, καὶ τὰ λοιπὰ ποιῆσαι· δρεπάνου τε, οἶμαι, καὶ μακέλλης, καὶ τῶν ἄλλων ὀργάνων τῶν γεωργικῶν πρὸς τὴν ἐπιμέλειαν τῆς ἀμπέλου χρεία· ἵνα ἡμῖν τὸν ἐδώδιμον καρπὸν ἐκφύῃ. Καθάπερ δὲ ἐν γεωργίᾳ, οὕτω καὶ ἐν ἰατρικῇ, χρηστομαθὴς ἐκεῖνος, ὁ ποικιλωτέρων μαθημάτων ἁψάμενος, ὡς βέλτιον γεωργεῖν τε καὶ ὑγιάζειν δύνασθαι· οὕτω κἀνταῦθα χρηστομαθῆ φημι τὸν πάντα ἐπὶ τὴν ἀλήθειαν ἀναφέροντα· ὥστε καὶ ἀπὸ γεωμετρίας, καὶ μουσικῆς, καὶ ἀπὸ γραμματικῆς, καὶ φιλοσοφίας αὐτῆς, δρεπόμενον τὸ χρήσιμον, ἀνεπιβούλευτον φυλάσσειν τὴν πίστιν. Παρορᾶται δὲ καὶ ὁ ἀθλητὴς, ὡς προείρηται· ἀλλ' εἰς τὴν σύνταξιν συμβαλλόμενος (60). Αὐτίκα καὶ κυβερνήτην τὸν πολύπειρον ἐπαινοῦμεν, ὃς πολλῶν (61) ἀνθρώπων D

✠ P. 342 ED. POTTER, 292 ED. PARIS.

[a] Joan. xv, 1.

derandum non est. Quæ namque novit ille, nos non exercemus: quæ vero nos scimus, procul sunt ab illius affectibus. » COLLECT. — Idem Lowthio videtur. Scribi etiam possit ἐκείνους ᾔδειαν, vel ᾔδοιεν.

(58) *Ὡς ἐγώ*. Hæc in Platonis *Critone*, pag. 34, de se profitetur Socrates: Ὡς ἐγὼ οὐ μόνον νῦν, ἀλλὰ καὶ ἀεὶ τοιοῦτος, οἷος τῶν ἐμῶν μηδενὶ ἄλλῳ πείθεσθαι ἢ τῷ λόγῳ, ὃς ἄν μοι λογιζομένῳ βέλτιστος φαίνηται. Eadem verba sic recitavit Theodoretus, ut ei partim cum Clemente, partim cum Platone conveniret, serm. 1 *De curat. Græc. affect.*, p. 477: Ἦ οὐ τοιαῦτα καὶ Σωκράτης τῷ Κρίτωνι ἔλεγεν; Ὡς ἐγὼ οὐ μόνον νῦν, ἀλλὰ καὶ ἀεὶ τοιοῦτος, οἷος τῶν ἐμῶν οὐδενὶ ἄλλῳ πείθεσθαι ἢ τῷ λόγῳ, ὃς ἄν μοι λογιζομένῳ βέλτιστος φαίνοιτο· « An non talia Critoni Socrates dicebat? Ego autem non modo nunc, sed semper talis esse percupio, qui nulli meorum magis parendum esse, quam rationi existimem, quæ consulenti mihi optima videatur. » Porro ex utroque apud Clementem ὃς ἄν μ. pro ὡς ἄν μ. substituendum videtur.

(59) *Κληθέντες*. Verius κηληθέντες. SYLBURG.

(60) *Ἀλλ' εἰς τὴν σύντ. συμβαλ.* Forte, ὁ μὴ ἄλλῳ εἰς τὴν σύνταξιν συμβαλλόμενος, « qui non cum alio componitur. » Hervetus vertit. « qui se non prius ad certamen instruxit. » SYLBURG.

(61) *Ὃς πολλ.* Respicit Homeri *Odyss.* A, vers. 3, ubi de Ulysse dicit:

Πολλῶν δ' ἀνθρώπων ἴδεν ἄστεα, καὶ νόον ἔγνω.
Multorum mores hominum qui vidit, et urbes.

εἶδεν ἄστεα· καὶ ἰατρὸν τὸν ἐν πείρᾳ πολλῶν γεγενημένον· ᾗ τινες καὶ τὸν ἐμπειρικὸν ἀναπλάττουσιν. Ὁ δὲ πρὸς τὸν βίον ἀναφέρων ἕκαστα τὸν ὀρθὸν, ἔκ τε τῶν Ἑλληνικῶν καὶ τῶν βαρβαρικῶν ὑποδείγματα κομίζων, πολύπειρος οὗτος τῆς ἀληθείας ἰχνευτὴς, καὶ τῷ ὄντι πολύμητις (62), δίκην τῆς βασάνου λίθου· (ἢδ' (63) ἐστὶ Λυδή), διακρίνειν πεπιστευμένη τὸ νόθον ἀπὸ τοῦ ἰθαγενοῦς χρυσίου· καὶ ἱκανὸς ὢν χωρίζειν ὁ πολύϊδρις ἡμῶν καὶ γνωστικὸς σοφιστικὴν μὲν φιλοσόφου, κομμωτικὴν δὲ γυμναστικῆς, καὶ ὀψοποιικὴν ἰατρικῆς, καὶ ῥητορικὴν διαλεκτικῆς, καὶ μετὰ τὰς (64) ἄλλας τῆς κατὰ τὴν βάρβαρον φιλοσοφίαν αἱρέσεις, αὐτῆς τῆς ἀληθείας. Πῶς δὲ οὐκ ἀναγκαῖον περὶ νοητῶν φιλοσοφοῦντα διαλαβεῖν τὸν ἐπιποθοῦντα τῆς τοῦ Θεοῦ δυνάμεως ἐπίβολον γενέσθαι; Πῶς δὲ οὐχὶ καὶ διαιρεῖσθαι χρήσιμον τάς τε ἀμφιβόλους φωνὰς, τάς τε ὁμωνύμως ἐκφερομένας κατὰ τὰς Διαθήκας; Παρ' ἀμφιβολίαν (65) γὰρ ὁ Κύριος τὸν διάβολον κατὰ τὸν τοῦ πειρασμοῦ σοφίζεται χρόνον· καὶ οὐκ ἔτι ἔγωγε ἐνταῦθα συνορῶ, ὅπως ποτὲ ὁ τῆς φιλοσοφίας (66) καὶ τῆς διαλεκτικῆς εὑρετὴς, ὥς τινες ὑπολαμβάνουσι, παράγεται, τῷ κατ' ἀμφιβολίαν ἀπατώμενος τρόπῳ. Εἰ δὲ οἱ προφῆται καὶ οἱ ἀπόστολοι οὐ τὰς τέχνας ἐγνώκεσαν, δι' ὧν τὰ κατὰ φιλοσοφίαν ἐμφαίνεται γυμνάσματα· ἀλλ' ὁ νοῦς γε τοῦ προφητικοῦ καὶ τοῦ διδασκαλικοῦ πνεύματος ἐπικεκρυμμένως λαλούμενος, διὰ τὸ μὴ πάντων εἶναι τὴν συνεῖσαν ἀκοὴν, τὰς ἐντέχνους ἀπαιτεῖ πρὸς σαφήνειαν διδασκαλίας. Ἀσφαλῶς γὰρ ἐγνώκεσαν τὸν νοῦν ἐκείνων οἱ προφῆται καὶ οἱ τοῦ πνεύματος μαθηταί· ἐκ γὰρ πίστεως, καὶ ὡς οὐχ οἷόν τε ῥᾳδίως, ὡς τὸ Πνεῦμα (67) εἴρηκεν· ἀλλ' οὐχ οὕτως ἐκδέξασθαι (68) μὴ μεμαθηκότας. « Τὰς δὲ ἐντολὰς (69) » φησὶν, « ἀπογράψαι δισσῶς, βουλήσει, καὶ γνώσει τοῦ ἀποκρίνασθαι λόγους ἀληθείας τοῖς προβαλλομένοις σοι. » Τίς οὖν ἡ γνῶσις τοῦ ἀποκρίνασθαι, ἢ τίς καὶ τοῦ ἐρωτᾷν; Εἴη δ' ἂν αὕτη διαλεκτική. Τί δ'; οὐχὶ καὶ τὸ λέγειν ἔργον ἐστὶ, καὶ τὸ ποιεῖν ἐκ τοῦ Λόγου γίνεται; Εἰ γὰρ μὴ Λόγῳ (70) πράττοιμεν, ἀλόγως ποιοῖμεν ἄν. Τὸ λογικὸν δὲ ἔργον κατὰ Θεὸν ἐκτελεῖται· « Καὶ οὐδὲν χωρὶς αὐτοῦ ἐγένετο, » φησὶ, τοῦ Λόγου τοῦ Θεοῦ. Ἢ οὐχὶ καὶ ὁ Κύριος Λόγῳ (71) πάντα ἔπραξεν; ἐργάζεται δὲ καὶ τὰ κτήνη, ἐλαυνόμενα ἀναγκάζοντι τῷ φόβῳ· οὐχὶ (72)

A num; et medicum, qui multa est expertus, qua ratione effingunt quidam etiam empiricum. Qui autem singula refert ad rectam vitam, exempla afferens ex Græcis et ex barbaris, is valde peritus veritatis investigator, et multi revera consilii, instar lapidis indicis (is est autem Lydius) creditur posse discernere aurum adulterinum a probo, et aptus esse ad separandum is, qui ex nobis habet multam rerum experientiam et gnosticus est, sophisticam quidem a philosophia, ornatricem autem a gymnastica, et culinariam a medicina, et **126** dicendi artem a dialectica, quinetiam alias hæreses, quæ sunt in barbara philosophia, ab ipsa veritate. Quomodo autem non necesse est, ut de iis, quæ intelligentia percipiuntur, tractet philosophando, B qui Dei velit potentiam attingere? Quomodo autem non est etiam utile, dividere voces, quæ sunt ancipites, et quæ in Testamentis efferuntur æquivoce? Ex amphibolia enim Dominus sapienter eludit diabolum in tempore tentationis. Nec ego hic utique video, quonam modo philosophiæ et dialecticæ inventor, ut quidam existimant, inducitur deceptus tropo amphiboliæ. Quod si prophetæ et apostoli non fuerint ejusmodi artibus instructi, quibus philosophiæ exercitationes ostenduntur: at mens prophetici et præceptoris Spiritus occulte enuntiata, propterea quod non sint aures omnium intelligentes, sine cognitione artium haud facile explicari potest. Secure enim noverunt illorum sensum prophetæ et C Spiritus discipuli. Ex fide enim eum perceperunt, et, qui modus cæteris haud facilis fuerit, prout innuit Spiritus; sed non tam facile percipere possunt ii, qui non didicerunt. « Præcepta autem, » inquit, « scribe dupliciter: nempe voluntate, et cognitione respondendi ✠ verba veritatis iis qui tibi proponunt [a]. » Quænam est autem respondendi, vel quæ etiam interrogandi scientia? Fuerit quidem hæc dialectica. Quid vero? an non in dicendo etiam laborandum est? et facere est ex Logo? Si non enim Logo, seu ratione, agamus, citra rationem fecerimus. Opus autem rationale ex Deo efficitur. « Et nihil sine ipso factum est [b], » inquit: Logo, inquam, Deo. An non etiam Dominus omnia fecit Logo? Operantur autem etiam jumenta acta cogente

✠ P. 343 ED. POTTER, 292-293 ED. PARIS.

[a] Proverb. XXII, 20, 21. [b] Joan. I, 3.

(62) *Πολύμητις*. Πολύμητις Ὀδυσσεὺς ubique in *Odyssea* occurrit.

(63) *Ἢδ'*. Divise quoque scribi potest ἢ δ'. SYLBURG.

(64) *Καὶ μετὰ τ.* Καὶ ματὸ τ. mendose edit. Flor. Forte καὶ μὴν καὶ τὰς ἄλλας τὰς κατὰ τὴν β. ID.

(65) *Ἀμφιβολίαν*. Conf. Matth. IV, 4.

(66) *Ὁ τῆς φιλ.* Hoc adversus eos dictum, qui philosophiæ aliarumque artium inventionem diabolo tribuerunt.

(67) *Ὡς τὸ Πν.* Sensus non constat, nisi ante hæc verba subintelligamus vocem ἐγνώκεσαν ex sententia superiore. LOWTH.

(68) *Ἀλλ' οὐχ οὕτως ἐκ.* Subintelligendum ἐστί.

(69) *Τὰς δὲ ἐντ.* Hæc hactenus parum intellecta fuisse videntur: sed facilia erunt advertenti auctorem respicere Proverb. XXII, 20, 21: Καὶ σὺ δὲ ἀπόγραψαι αὐτὰ σεαυτῷ τρισσῶς, εἰς βουλὴν καὶ γνῶσιν, ἐπὶ τὸ πλάτος τῆς καρδίας σου. Διδάσκω οὖν σε D ἀληθῆ λόγον καὶ γνῶσιν ἀγαθὴν ὑπακούειν, τοῦ ἀποκρίνασθαί σε λόγους ἀληθείας τοῖς προβαλλομένοις σοι. Quare substituendum ἀπόγραψαι imperat. pro ἀπογράψαι infinit. mod. et hoc modo distinguendum: Τὰς δὲ ἐντολὰς, φησὶν, ἀπόγραψαι, etc. Quod Latine expressum est.

(70) *Λόγῳ*. In his, quæ sequuntur, ludit in voce Λόγου, quæ « Logon, » Dei filium, « rationem, » et « sermonem » significat.

(71) *Λόγῳ*. Ps. XXXII, 6: Τῷ λόγῳ τοῦ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν.

(72) *Οὐχί*. Hæc etiam sine interrogatione explicari possunt: « Et jumenta quidem metu coacta, laborant; nequaquam vero qui orthodoxi dici meruerunt, in bona opera feruntur, nescientes quid faciant. »

metu. Num etiam qui vocantur orthodoxi, bona opera aggrediuntur, nescientes quæ faciunt?

δὲ καὶ οἱ ὀρθοδοξασταὶ καλούμενοι ἔργοις προσφέρονται καλοῖς, οὐκ εἰδότες ἃ ποιοῦσιν;

CAPUT X.

Majorem bene faciendi, quam bene dicendi, curam esse habendam.

Propterea ergo Servator, cum panem accepisset, primum locutus est, et egit gratias; deinde, cum panem fregisset, apposuit, ut comedamus ex ratione, et cum Scripturas agnoverimus, vitam instituamus per obedientiam. Quemadmodum autem qui mala utuntur oratione, nihil differunt ab iis qui malo facto utuntur (calumnia enim est ministra gladii, et affert dolorem maledictum, ex quibus est vitæ eversio: hæc autem fuerint opera improbæ orationis); ita etiam qui bona utuntur oratione, prope accedunt ad eos qui bonis factis utuntur. Recreat itaque animam oratio, et hortatur ad honestatem. Beatus est autem, qui utraque manu utitur. Neque ergo qui bene potest facere, est maledictis incessendus ab eo qui bene potest dicere, neque est vituperandus qui bene potest dicere, ab eo qui bene facere potest. Faciat autem uterque id ad quod natura est aptus. Quod autem alter factum ostendit, hoc alter loquitur, beneficentiæ veluti viam præparans, et deducens auditores, ut bene operentur. Est enim etiam salutaris oratio, sicut opus salutare. Atque justitia quidem certe non consistit absque oratione. Quemadmodum autem beneficio affici nemo potest, si nemo bene faciat; ita tollitur obedientia et fides, nisi tum præceptum, tum etiam qui est ipsum explicaturus, simul assumantur. Nunc autem altero alterius gratia, et verbis et factis, abundamus. Ars autem contentiosa et sophistica est penitus repudianda, quandoquidem ipsæ sophistarum dictiones non solum multorum oculos præstringunt, et eos seducunt, sed nonnunquam etiam vim afferentes, Cadmeam ✠ referunt victoriam. Est enim longe verissimus ille psalmus: « Justus vivet in finem, quoniam non videbit interitum, quando viderit sapientes morientes [a]. » Quosnam autem dicit sapientes, audi ex Jesu Sapientia: « Non est sapientia improbitatis scientia [b]. » Eam autem dicit, quam excogitarunt artes, quæ in dicendo et disserendo versantur. « Quæres ergo apud malos sapientiam, et non invenies [c]. » Et si rursus roges, quænam ea est? « Os justi, » inquiet tibi, « distillabit sapien-

Διὰ τοῦτο οὖν ὁ Σωτὴρ, ἄρτον λαβὼν, πρῶτον ἐλάλησεν καὶ εὐχαρίστησεν· εἶτα κλάσας τὸν ἄρτον προέθηκεν (73), ἵνα δὴ φάγωμεν λογικῶς, καὶ τὰς Γραφὰς ἐπιγνόντες, πολιτευσώμεθα καθ' ὑπακοήν. Καθάπερ δὲ οἱ λόγῳ χρώμενοι πονηρῷ, οὐδὲν τῶν ἔργῳ χρωμένων πονηρῷ διαφέρουσιν· ἡ γὰρ διαβολὴ ξίφους διάκονος, καὶ λύπην ἐμποιεῖ βλασφημία· ἐξ ὧν αἱ τοῦ βίου ἀνατροπαί· ἔργα τοῦ πονηροῦ λόγου εἶεν ἂν ταῦτα· οὕτω καὶ οἱ λόγῳ ἀγαθῷ κεχρημένοι συνεγγίζουσι τοῖς τὰ καλὰ τῶν ἔργων ἐπιτελοῦσιν. Ἀνακτᾶται γοῦν καὶ ὁ λόγος τὴν ψυχὴν, καὶ ἐπὶ καλοκἀγαθίαν προτρέπει· μακάριος δὲ ὁ περιδέξιος. Οὔτ' οὖν βλασφημητέος ὁ εὐποιητικὸς πρὸς τοῦ εὖ λέγειν δυναμένου, οὐδὲ μὴν κακιστέος ὁ οἷός τε εὖ λέγειν, πρὸς τοῦ εὖ ποιεῖν ἐπιτηδείου· πρὸς δὲ ᾧ (74) ἑκάτερος πέφυκεν, ἐνεργούντων. Ὁ δ' οὖν τὸ ἔργον δείκνυσι, τοῦτο ἕτερος λαλεῖ, οἷον ἑτοιμάζων τῇ εὐποιΐᾳ τὴν ὁδὸν, καὶ ἐπὶ τὴν εὐεργεσίαν ἄγων τοὺς ἀκούοντας. Ἔστι γὰρ καὶ σωτήριος λόγος, ὡς καὶ ἔργον σωτήριον. Ἡ δικαιοσύνη γ' οὖν οὐ χωρὶς λόγου συνίσταται. Ὡς δὲ τὸ εὖ πάσχειν περιαιρεῖται, ἐὰν τὸ εὖ ποιεῖν ἀφελοῦμεν· οὕτως ἡ ὑπακοὴ καὶ πίστις ἀναιρεῖται μήτε τῆς ἐντολῆς, μήτε τοῦ τὴν ἐντολὴν σαφηνιοῦντος συμπαραλαμβανομένων. Νυνὶ δὲ ἀλλήλων ἕνεκα εὐποροῦμεν, καὶ λόγων καὶ ἔργων. Τὴν δὲ ἐριστικήν τε καὶ σοφιστικὴν τέχνην παραιτητέον παντελῶς· ἐπεὶ καὶ αἱ λέξεις αὐταὶ τῶν σοφιστῶν οὐ μόνον γοητεύουσι, κλέπτουσι (75) τοὺς πολλοὺς, βιαζόμεναι δ' ἔσθ' ὅτε, Καδμείαν νίκην (76) ἀπηνέγκαντο. Παντὸς γὰρ μᾶλλον ἀληθὴς ὁ ψαλμὸς ἐκεῖνος· « Ὁ δίκαιος (77) ζήσεται εἰς τέλος, ὅτι οὐκ ὄψεται καταφθορὰν, ὅτ' ἂν ἴδῃ σοφοὺς ἀποθνήσκοντας. » Τίνας δὴ σοφοὺς λέγει; ἄκουσον ἐκ τῆς σοφίας Ἰησοῦ· « Οὐκ ἔστι σοφία πονηρίας ἐπιστήμη. » Ταύτην δὴ λέγει, ἣν ἐπενόησαν τέχναι λεκτικαί τε καὶ διαλεκτικαί. « Ζητήσεις οὖν σοφίαν παρὰ κακοῖς, καὶ οὐχ εὑρήσεις. » Κἂν πύθῃ πάλιν ποίαν ταύτην, « Στόμα δικαίου, » φήσει σοι, « ἀποστάξει (78) σοφίαν· » σοφία δὲ ὁμωνύμως τῇ ἀληθείᾳ ἡ σοφιστικὴ λέγεται τέχνη. Ἐμοὶ δὲ εἰκότως, οἶμαι, πρόκειται, βιοῦν μὲν κατὰ τὸν Λόγον, καὶ νοεῖν τὰ σημαινόμενα· εὐγλωτ-

✠ P. 344 ED. POTTER, 293-294 ED. PARIS.

[a] Psal. XLVIII, 10, 11. [b] Eccli. XIX, 22. [c] Prov. XIV, 6.

(73) *Κλάσας τὸν ἄρτον προέθηκεν.* « Panem » igitur, cum fregisset, edendum proposuit, non tantum ejus speciem. Conf. Matth. XXVI, 26, etc.

(74) *Πρὸς δὲ ᾧ.* Forte rectius πρὸς δὲ ὃ, « ad quod autem. » SYLBURG.

(75) *Γοητεύουσι, κλέπτουσι.* Γοητεύουσαι κλέπτουσι commentatorem secutus scripsi, sed mallem reliquisse vulg. lectionem γοητεύουσι, κλέπτουσι· quia post infra similem copulæ ellipsim animadverti, p. 133, 153, 184, 185. SYLBURG.

(76) *Καδμείαν νίκην.* « Cadmeam victoriam » appellant, quæ victori perinde ac victo perniciem affert, a Cadmi terrigenis, quos fabulantur sese mutuo ad unum omnes occidisse. Alii dictam existimant a victoria, qua Thebani, Cadmei scilicet cives, Adrasto, Argivorum rege, devicto, haud minus ipsi damnum perpessi sunt. Pausanias, *Bœotic.*, pag. 556 edit. Hanov.: Ὡς τὸ σύμπαν στράτευμα πλὴν Ἀδράστου φθαρῆναι. Ἐγένετο δὲ καὶ αὐτοῖς τὸ ἔργον οὐκ ἄνευ κακῶν μεγάλων· καὶ ἀπ' ἐκείνου, τὰ σὺν ὀλέθρῳ τῶν κρατησάντων, Καδμείαν ὀνομάζουσι νίκην. « Totus itaque exercitus, uno Adrasto excepto, est ad internecionem cæsus. Sed ea Thebanis victoria magna stetit clade. Ex eo usurpatum, ut si qua victores pernicies opprimat, *Cadmea* victoria dicatur. »

(77) *Ὁ δίκαιος.* A Clemente additum.

(78) *Ἀποστάξει.* Ἀποστάζει, Proverb.

τίαν δὲ μήποτε ζηλοῦντα, ἀρκεῖσθαι μόνῳ τῷ αἰνίξασθαι τὸ νοούμενον. Ὁποίῳ δὲ ὀνόματι δηλοῦται τοῦτο, ὅπερ παραστῆσαι βούλομαι, οὐθέν μοι μέλει (79). Σωθῆναι γὰρ εὖ οἶδ' ὅτι, καὶ συνάρασθαι τοῖς σώζεσθαι γλιχομένοις, βέλτιστόν ἐστιν, οὐχὶ συνθεῖναι τὰ λεξείδια καθάπερ τὰ κόσμια. « Κἂν φυλάξῃς (80), » φησὶν ὁ Πυθαγόρειος ἐν τῷ Πλάτωνος *Πολιτικῷ*, « τὸ μὴ σπουδάζειν ἐπὶ τοῖς ὀνόμασι (81), πλουσιώτερος εἰς γῆρας ἀναφανήσῃ φρονήσεως. » Καὶ ἔν γε τῷ *Θεαιτήτῳ* εὕροις ἂν πάλιν· « Τὸ δὲ εὐχερὲς τῶν ὀνομάτων τε καὶ ῥημάτων, καὶ μὴ δι' ἀκριβείας ἐξεταζόμενον, τὰ μὲν πολλὰ οὐκ ἀγεννὲς, ἀλλὰ μᾶλλον τὸ τούτου ἐναντίον, ἀνελεύθερον· ἔστι δ' ὅτε ἀναγκαῖον. » Ταῦτα, ὡς ἔνι μάλιστα, διὰ βραχέων ἐξήνεγκεν ἡ Γραφή· « Μὴ πολὺς ἐν ῥήμασι γίνου, » λέγουσα· ἡ μὲν γὰρ λέξις οἷον ἐσθὴς ἐπὶ σώματος· τὰ δὲ πράγματα, σάρκες εἰσὶ καὶ νεῦρα. Οὐ χρὴ τοίνυν τῆς ἐσθῆτος πρὸ τῆς τοῦ σώματος σωτηρίας κήδεσθαι· εὐτελῆ γὰρ οὐ μόνον δίαιταν, ἀλλὰ καὶ λόγον ἀσκητέον ἀπέριττόν τε καὶ ἀπερίεργον, τῷ τὸν ἀληθῆ βίον ἐπανῃρημένῳ, εἴ γε τὴν τρυφὴν ὡς δολεράν τε καὶ ἄσωτον παραιτοίμεθα· καθάπερ τὸ μύρον καὶ τὴν πορφύραν οἱ παλαιοὶ Λακεδαιμόνιοι (82), δολερὰ μὲν τὰ ἵματα, δολερὰ δὲ τὰ χρίσματα ὑπολαβόντες ὀρθῶς, καὶ ὀνομάσαντες· ἐπεὶ μήτε ἐκείνη καλὴ σκευασία τροφῆς, ἡ πλείω τῶν τρεφόντων ἔχουσα τὰ ἡδύσματα· μήτε λόγου χρῆσις ἀστεία ἡ τέρπειν μᾶλλον ἢ ὠφελεῖν τοὺς ἀκούοντας δυναμένη. Μούσας (83) σειρήνων ἡδίους ἡγεῖσθαι Πυθαγόρας παραινεῖ (84)· τὰς σοφίας (85) ἀσκεῖν μὴ (86) μετὰ ἡδονῆς διδάσκων, ἀπατηλὸν δὲ τὴν ἄλλην διελέγχων ψυχαγωγίαν. Σειρῆνας δὲ παραπλεύσας, εἷς ἀρκεῖ· καὶ τῇ Σφιγγὶ ὑποκρινάμενος (87) ἄλλος εἷς· εἰ δὲ

A tiam [a]. » Sapientia autem dicitur ars sophistica perinde ac veritas. Mihi autem non sine causa, ut existimo, constitutum est Logo convenienter vivere; ea autem, quæ significantur, intelligere; eloquentiam autem nunquam sectari, sed contentum esse, si quovis modo quid intelligam, significem. Quo autem nomine significetur id quod volo exponere, nihil mihi curæ est. Servari enim et opem ferre iis qui servari cupiunt, puto esse optimum, non autem dictiunculas, tanquam quædam ornamenta, componere. « Et si caveris, » inquit Pythagoreus in Platonis *Politico*, « ne sis de nominibus nimium sollicitus, prudentia locupletior apparebis in senectute. » Et rursus invenies in *Theæteto*: « Nominum autem et verborum facilitas, et non nimis B accurata examinatio, ut plurimum non est sordida et illiberalis, sed ejus potius contrarium, est tamen nonnunquam etiam necessaria. » Hæc, quam fieri potest, brevissime Scriptura enuntiavit, dicens: « Ne multum verseris in verbis. » Dictio enim est tanquam vestis in corpore; res autem sunt carnes et nervi. Non oportet ergo majorem vestis quam salutis corporis curam gerere. Non solum enim frugalis vitæ ratio, sed etiam a supervacaneo cultu ornatuque aliena oratio exercenda est ei qui veram vitam elegit: siquidem delicias ut dolosas et luxuriosas repudiamus, sicut unguentum et purpuram veteres Lacedæmonii, dolosas quidem vestes, et dolosas unctiones recte reputantes et nominantes; quoniam nec honestus est **127** ille cibi C apparatus, qui plura habet ✠ condimenta quam ea, quæ nutriunt; nec est bellus urbanusve orationis

✠ P. 345 ED. POTTER, 294-295 ED. PARIS.

[a] Prov. x, 31.

(79) *Μέλει*. Hoc pro vulg. λέγει repos. e fragmento ms. H. SYLBURG.

(80) *Κἂν φυλάξῃς*. Verba sunt hospitis Pythagorei in Platonis *Politico*, p. 531: Καλῶς γε, ὦ Σώκρατες· κἂν διαφυλάξῃς τὸ μὴ σπουδάζειν ἐπὶ τοῖς ὀνόμασι, πλουσιώτερος εἰς τὸ γῆρας ἀναφανήσῃ. « Egregie respondisti, o Socrates; et si verborum curiositatem vitabis, evades in senectute admodum prudentior. » Eamdem sententiam recitavit Theodoretus *De curand. Græc. affect.*, p. 470. Quæ sequuntur e Platonis *Theæteto*, a Socrate prolata ibi occurrunt pag. 134.

(81) *Σπουδάζειν ἐπὶ τοῖς ὀν*. Σπουδάζειν τοῖς ὀν. absque præpos. Fragment. ms. H. SYLBURG. — Sed receptam lectionem Plato ac Theodoretus firmant.

(82) *Λακεδαιμόνιοι*. Clemens superius, *Pæd.* lib. II, cap. 8, p. 177, edit. Paris.: Οὐ γὰρ θέμις δολερὰ εἵματα, καὶ χρίσματα εἰς τὴν ἀληθείας παρεισιέναι πόλιν. Plutarchus *Sympos.* lib. III, quæst. 1, cuidam barbaro hoc dictum tribuit: Ἦ καὶ τὸ μὲν μύρον εἰκότως ὑποδυσωπούμεθα καὶ τὴν πορφύραν διὰ τὴν ἐπίθετον πολυτέλειαν, ὡς δολερὰ εἵματα καὶ χρίσματα. « Unde unguentum nobis merito suspectum est, purpuraque, ceu fallax indumentum, et dolosus veluti color formidaretur. » De Lacedæmoniis conf. Cragius *De repub. Lacedæm.*, lib. III, instit. 1 et 5.

(83) *Μούσας*. Th. Canterus lib. II, cap. 1, *Var. lect.* similem ex Theodoreto locum profert lib. VIII, *De curat. Græc.*: « Pythagoram puto comptos lepidosque sermones Sirenibus opinatum esse persimiles, Musis vero, qui nihil inducti decoris fucique præferentes, nudam veritatis formam ostendunt. » COLLECT.

(84) *Παραινεῖ*. Ritterhusius not. in verba Porphyrii, quæ mox recitabuntur, conjecit scribendum esse παρῄνει, « hortabatur. » Verum Clemens aliique in hujusmodi rebus præsenti tempore uti solent. Veteres enim per ingenii sui monimenta nos etiamnum hortantur ac monent.

(85) *Τὰς σοφίας*. Accipiendum pro « sapientiæ partes » aut « genera: » vel legendum τὴν σοφίαν. SYLBURG.

(86) *Μή*. Redundare videtur: vel pro μὴ scribendum μέν. Voluit enim Pythagoras « cum voluptate sapientiam conjungi, » voluptates nempe reliquas, quæ a sapientia alienæ essent, improbans. Solent autem Musæ pro symbolo honestæ et cum virtute conjunctæ, Sirenes autem pravæ vitiosæque voluptatis haberi. Porphyrius lib. *De vita Pythagoræ*: Διττὴν γὰρ εἶναι διαφορὰν ἡδονῶν· τὴν μὲν ἐν γαστρὶ καὶ ἀφροδισίοις διὰ πολυτελείας κεχωρισμένην ἀπείκαζε ταῖς ἀνδροφόνοις σειρήνων ᾠδαῖς· τὴν δ' ἐπὶ καλοῖς καὶ δικαίοις, τοῖς πρὸς τὸ ζῆν ἀναγκαίοις, ὁμοίως καὶ παραχρῆμα ἡδεῖαν, καὶ εἰς τὸ ἐπιὸν ἀμεταμέλητον· ἣν ἔφασκεν ἐοικέναι μουσῶν τινι ἁρμονίᾳ. « Duplex enim voluptatum discrimen esse: quarum illam, quæ ventri et Veneris libidinibus opum profusione indulget, Sirenum homicidis cantionibus comparabat; alteram vero, quæ in rebus honestis atque justis et ad vitam necessariis consisti, eam pariter et inpræsentiarum jucundam esse, neque postmodum pœnitentiam comitem habere: hanc ille Musarum cuidam concentui similem esse dicebat. » Horatius, *Sat.* III, lib. II, vers. 14:

. . . . Vitanda est improba Siren,
Desidia . . . .

(87) *Ὑποκρινάμενος*. Verius ἀποκρινάμενος,

usus, qui auditores magis aptus est delectare quam juvare. Musas existimare Sirenibus jucundiores admonet Pythagoras, docens non cum voluptate exercere sapientias, arguens autem deceptricem aliam animi oblectationem. Qui navigando prætervectus est Sirenas, unus sufficit; et qui Sphingi respondit, unus alius, aut etiam, si vultis, ne unus quidem. Non oportet ergo unquam dilatare phylacteria, vanum æmulando gloriæ studium. Sufficit autem gnostico, si ei vel unus inventus sit auditor. Licet ergo et Pindarum Bœotium audire, qui scribit : *Non apud omnes licet veterem aperire orationem, præterquam fidelissimis silentii viis. Stimulus autem pugnæ est dominans oratio.* Admodum ergo recte nos vehementer admonet beatus Apostolus, « ne verbis contendamus sine ulla utilitate, ad eversionem auditorum : profanas autem vocum novitates vitemus. Ad magnam enim proficiunt impietatem, et sermo eorum serpit ut cancer[a]. »

A βούλεσθε, μηδὲ εἷς (88). Οὔκουν πλατύνειν (89) τὰ φυλακτήρια χρή ποτε, κενοδοξίαν ζηλοῦντας· ἀρκεῖ δὲ τῷ γνωστικῷ κἂν εἷς μόνος ἀκροατὴς εὑρεθῇ. Ἔστι γ' οὖν ἀκοῦσαι καὶ Πινδάρου (90) τοῦ Βοιωτίου γράφοντος· *Μὴ πρὸς ἅπαντας ἀναῤῥῆξαι τὸν ἀρχαῖον λόγον· Ἔσθ' ὅτε πιστοτάταις* (91) *σιγᾶς ὁδοῖς. Κέντρον δὲ μάχας Ὁ κρατιστεύων λόγος.* Διατείνεται οὖν εὖ μάλα ὁ μακάριος Ἀπόστολος παραινῶν ἡμῖν « μὴ λογομαχεῖν τε δι' οὐδὲν (92) χρήσιμον, ἐπὶ καταστροφῇ τῶν ἀκουόντων· τὰς δὲ βεβήλους κενοφωνίας, περιίστασθαι· ἐπὶ πλεῖον γὰρ προκόπτουσιν ἀσεβείας, καὶ ὁ λόγος αὐτῶν ὡς γάγγραινα νομὴν ἕξει. »

CAPUT XI.

Quænam sit sapientia mundana et philosophia quam devitare nos vult Apostolus.

Hæc ergo « sapientia mundi, stultitia est apud B Deum. « Et horum « sapientum cognoscit Deus cogitationes, quod vanæ sunt[b]. » Nemo ergo glorietur, humana præcellens cogitatione. Recte enim scriptum est in Jeremia : « Ne glorietur sapiens in sapientia sua, et ne glorietur fortis in fortitudine sua, et ne glorietur dives in divitiis suis; sed in hoc glorietur, qui gloriatur, quod intelligat et cognoscat quod ego sum Deus faciens misericordiam, et judicium, et justitiam super terram: quoniam in his est voluntas mea, dicit Dominus[c]. » — « Ne confidamus in nobis ipsis, sed in Deo, qui suscitat mortuos, » inquit Apostolus, « qui ex tanta morte nos eripuit ; ut fides nostra non sit in sapientia hominum, sed in virtute Dei. Spiritualis ✠ enim dijudicat omnia, ipse autem a nullo dijudicatur[d]. » Illa C quoque ejus audio : « Hæc autem dico, ne quis vos decipiat in probabilitate sermonis[e] neque subingrediatur, qui deprædatur. » Et rursus : « Videte ne quis sit qui vos seducat per philosophiam et inanem deceptionem, secundum traditionem hominum, secundum elementa mundi, et non secundum Christum ;[f] » philosophiam quidem non omnem, sed Epicuream[g], cujus etiam meminit Paulus in Actibus apostolorum, reprehendens, quæ tollit providentiam, et in deorum numerum refert volu-

Αὕτη οὖν « ἡ σοφία τοῦ κόσμου μωρία παρὰ Θεῷ ἐστιν· » καὶ τούτων « τῶν σοφῶν Κύριος γινώσκει τοὺς διαλογισμοὺς, ὅτι εἰσὶ μάταιοι. « Μηδεὶς (93) τοίνυν καυχάσθω, ἐν ἀνθρωπίνῃ προανέχων διανοίᾳ. Εὖ γάρ τοι ἐν τῷ Ἱερεμίᾳ γέγραπται· » Μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ ἰσχυρὸς ἐν τῇ ἰσχύϊ αὐτοῦ· καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ· ἀλλ' ἐν (94) τούτῳ καυχάσθω ὁ καυχώμενος, συνιέναι καὶ γινώσκειν ὅτι ἐγώ εἰμι Κύριος ὁ ποιῶν ἔλεος, καὶ κρῖμα, καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς· ὅτι ἐν τούτοις τὸ θέλημά μου, λέγει Κύριος. » « Ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ Θεῷ τῷ ἐγείροντι τοὺς νεκροὺς, » ὁ Ἀπόστολος φησὶν, « ὃς ἐκ τηλικούτου θανάτου ἐῤῥύσατο ἡμᾶς, ἵνα ἡ πίστις ἡμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ' ἐν δυνάμει Θεοῦ. Ὁ γὰρ (95) πνευματικὸς ἀνακρίνει πάντα, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται. » Ἐπαΐω δὲ κἀκείνων αὐτοῦ· « Ταῦτα (96) δὲ λέγω, ἵνα μηδεὶς ὑμᾶς παραλογίζηται ἐν πιθανολογίᾳ, μηδὲ ὑπεισέρχηται ὁ συλαγωγῶν. » Καὶ πάλιν· « Βλέπετε οὖν, μή (97) τις ἔσται ὑμᾶς ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης, κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ κόσμου, καὶ οὐ κατὰ Χριστόν· » φιλοσοφίαν μὲν οὐ πᾶσαν, ἀλλὰ τὴν Ἐπικούρειον, ἧς καὶ μέμνηται ἐν ταῖς Πράξεσιν τῶν ἀποστόλων ὁ Παῦλος, διαβάλλων, πρόνοιαν ἀναιροῦσαν καὶ ἡδονὴν

✠ P. 346 ED. POTTER, 295-296 ED. PARIS.

[a] II Tim. II, 14, 16, 17. [b] I Cor. III, 19, 20. [c] Jerem IX, 23, 24. [d] II Cor. I, 9, 10; I Cor. II, 5, 15. [e] Col. II, 4, 8. [f] Ibid., 8. [g] Act. XVII, 18.

« qui Sphingi ad ænigma respondit. » SYLBURG.

(88) *Μηδὲ εἷς*. Nempe quod fabulosa sint, quæ de Œdipo feruntur.

(89) *Οὔκουν πλατύνειν*. Respicit Christi de Pharisæis dictum, Matth. XXIII, 5 : Πάντα δὲ τὰ ἔργα αὐτῶν ποιοῦσι πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις· πλατύνουσι δὲ τὰ φυλακτήρια αὐτῶν, καὶ μεγαλύνουσι τὰ κράσπεδα τῶν ἱματίων αὐτῶν.

(90) *Πινδάρου*. Pindari effatum memorat etiam post Clementem Theodoretus, *De curat. Græc. affect.* serm. 1, pag. 482 : Ἢ οὐδὲ Πινδάρῳ τῷ λυρικῷ πείθεσθε, σαφῶς ἀπαγορεύοντι, μὴ πρὸς πάντας ἀναῤῥῆξαι τὸν ἀρχαῖον λόγον ; « An Pindaro, poetæ lyrico, auscultandum non putatis, aperte prohibenti antiquum sermonem cunctis aperire? »

(91) *Ἔσθ' ὅτε π.* F. legendum ἔσθ' ὅτε πιστοτάτα D σιγᾶς ὁδός. « Est cum silentii via fidelissima est : » seu, « Nonnunquam silentium est tutissimum. » SYLBURG.

(92) *Δι' οὐδέν*. Εἰς οὐδὲν apud B. Paulum. In sequentibus etiam Apostoli verba paulum mutata ad suum institutum accommodat.

(93) *Μηδείς*. Respicit id, quod apud B. Paulum sequitur : Ὥστε μηδεὶς καυχάσθω ἐν ἀνθρώποις.

(94) *Ἀλλ' ἐν*. Ἀλλ' ἢ ἐν, et mox συνιεῖν pro συνιέναι, Jerem.

(95) *Γάρ*. Δέ apud Paul., quod Clemens in γάρ mutavit.

(96) *Ταῦτα*. Τοῦτο, Coloss., ut etiam paulo post.

(97) *Βλέπετε οὖν, μή*. Βλέπετε, μή τις ὑμᾶς ἔσται, Coloss.

ἐκθειάζουσαν, καὶ εἰ δή τις ἄλλη τὰ στοιχεῖα ἐκτετίμηκε, μὴ ἐπιστήσασα τὴν ποιητικὴν αἰτίαν τούτοις, μηδὲ ἐφαντάσθη τὸν Δημιουργόν. Ἀλλὰ καὶ οἱ Στωϊκοὶ, ὧν καὶ αὐτῶν μέμνηται, σῶμα ὄντα τὸν Θεὸν (98) διὰ τῆς ἀτιμοτάτης ὕλης πεφοιτηκέναι λέγουσιν οὐ καλῶς. « Παράδοσιν δὲ ἀνθρωπίνην » τὴν λογικὴν τερθρείαν λέγει. Διὸ κἀκεῖνα ἐπιστέλλει· « Τὰς νεωτέρας (99) ζητήσεις φεύγετε· » μειρακιώδεις γὰρ αἱ τοιαῦται φιλονεικίαι. « Ἀρετὴ δὲ οὐ φιλομειράκιον, » ὁ φιλόσοφος λέγει Πλάτων· καὶ τὸ ἀγώνισμα ἡμῶν, κατὰ τὸν Λεοντῖνον Γοργίαν, διττῶν δὲ ἀρετῶν δεῖται, τόλμης καὶ σοφίας· τόλμης μὲν, τὸ κίνδυνον ὑπομεῖναι, σοφίας δὲ, τὸ αἴνιγμα γνῶναι. Ὁ γάρ τοι Λόγος, καθάπερ τὸ κήρυγμα τὸ Ὀλυμπιάσι, καλεῖ μὲν τὸν βουλόμενον, στεφανοῖ δὲ τὸν δυνάμενον· ἀκίνητον μὲν, ὅτι πρὸς (1) ἀλήθειαν, καὶ τῷ ὄντι ἀργὸν οὐ βούλεται εἶναι τὸν πιστεύσαντα ὁ Λόγος. « Ζητεῖτε, γὰρ, καὶ εὑρήσετε, » λέγει· ἀλλὰ τὴν ζήτησιν εἰς εὕρεσιν περαιοῖ (2), τὴν καινὴν (3) ἐξελάσας φλυαρίαν, ἐγκρίνων δὲ τὴν ὀχυροῦσαν τὴν πίστιν ἡμῖν θεωρίαν. « Τοῦτο δὲ λέγω, ἵνα μή τις ὑμᾶς παραλογίζηται ἐν πιθανολογίᾳ, » φησὶν ὁ Ἀπόστολος· διακρίνειν δηλονότι τὰ ὑπ' αὐτῶν (4) λεγόμενα μεμαθηκόσι, καὶ ἀπαντᾷν πρὸς τὰ ἐπιφερόμενα δεδιδαγμένοις. « Ὡς οὖν παρελάβετε Ἰησοῦν Χριστὸν (5) τὸν Κύριον, ἐν αὐτῷ περιπατεῖτε, ἐῤῥιζωμένοι καὶ ἐποικοδομούμενοι ἐν αὐτῷ, καὶ βεβαιούμενοι ἐν τῇ πίστει. » Πειθὼ δὲ ἡ βεβαίωσις τῆς πίστεως. « Βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν » ἀπὸ τῆς πίστεως τῆς εἰς τὸν Χριστὸν « διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης, » τῆς ἀναιρούσης τὴν Πρόνοιαν, « κατὰ παράδοσιν τῶν ἀνθρώπων· » ἡ γὰρ κατὰ τὴν θείαν παράδοσιν φιλοσοφία ἵστησι τὴν πρόνοιαν καὶ βεβαιοῖ· ἧς ἀναιρεθείσης, μῦθος ἡ περὶ τὸν Σωτῆρα οἰκονομία φαίνεται· « κατὰ τὰ στοιχεῖα τοῦ κόσμου, καὶ οὐ κατὰ Χριστὸν, » φερομένων ἡμῶν. Ἡ γὰρ ἀκόλουθος Χριστῷ διδασκαλία καὶ τὸν Δημιουργὸν ἐκθειάζει, καὶ τὴν πρόνοιαν μέχρι τῶν κατὰ μέρος ἄγει, καὶ τρεπτὴν καὶ γενητὴν οἶδε τὴν τῶν στοιχείων φύσιν· καὶ πολιτεύεσθαι εἰς δύναμιν ἐξομοιωτικὴν τῷ Θεῷ διδάσκει, καὶ τὴν οἰκονομίαν ὡς ἡγεμονικὸν, τῆς ἁπάσης προΐεσθαι παιδείας. Στοιχεῖα δὲ σέβουσι, Διογένης (6) μὲν τὸν ἀέρα, Θά-

platem; et si qua alia honore affecit elementa, quæ iis non præficit causam efficientem, nec apprehendit Opificem. Quin etiam Stoici [a], quorum ipse quoque meminit, non recte dicunt Deum, cum sit corpus, vilissimam pervasisse materiam. « Traditionem » autem « humanam » vocat logicam subtilitatem. Quamobrem illa quoque scribit: « Juveniles fugite quæstiones [b]: » sunt enim pueriles hujusmodi contentiones. « Virtus autem non tenetur amore juvenum, » inquit Plato philosophus; et certamen nostrum, ut vult Gorgias Leontinus, duabus opus habet virtutibus, audacia et sapientia: audacia quidem, ut adeat periculum; sapientia autem, ut discernat ænigma. Logos enim, quemadmodum in Olympia præconium, vocat quidem eum, qui vult, sed coronat eum, qui potest esse invictus: quoniam revera Logos non vult otiosum esse eum qui credidit. « Quærite » enim, inquit, « et invenietis [c]: » sed inquisitionem terminat inventione, recentes nugas exterminans, approbans autem contemplationem, quæ nostram fidem confirmat. « Hoc autem dico, ne quis vos decipiat in probabilitate sermonis [d], » ait Apostolus; ut qui, quæ ab eis dicuntur, discernere scilicet didiceritis, et iis, quæ objiciuntur, occurrere docti sitis. « Sicut ergo accepistis Jesum Christum Dominum, in eo ambulate radicati et superædificati in ipso, et confirmati in fide [e]. » Est autem persuasio, fidei confirmatio. « Videte ne quis sit qui vos abducat » a fide in Christum « per philosophiam et inanem deceptionem, » quæ tollit providentiam, « secundum traditionem hominum [f]. » Quæ est enim secundum traditionem divinam philosophia, constituit et confirmat providentiam: qua sublata videtur ✠ fabula Servatoris œconomia, cum nos « secundum elementa hujus mundi, et non secundum Christum [g] » feramur. Quæ est enim Christo consentanea doctrina, et opificem Deum esse asserit, et deducit providentiam usque ad singularia, et talem elementorum novit esse naturam, ut in eam cadat ortus et mutatio; eaque docet ad id dirigi, ut vim assimilantem Deo habeamus; ejusque dispensationem omni do-

✠ P. 347 ED. POTTER. [a] Act. XVII, 18. [b] II Tim. II, 22, 23. [c] Matth. VII, 7. [d] Col. II, 4. [e] Ibid., 6, 7. [f] Ibid., 8. [g] Ibid. 8.

(98) *Σῶμα ὄντα τὸν Θ.* Clemens in *Protrept.* p. 44 edit. Paris.: Οὐδὲ μὴν τοὺς ἀπὸ τῆς Στοᾶς παρελεύσομαι, διὰ πάσης ὕλης, καὶ διὰ τῆς ἀτιμοτάτης, τὸ Θεῖον διήκειν λέγοντας, οἳ καταισχύνουσιν ἀτεχνῶς τὴν φιλοσοφίαν. « Sed nec Stoicos prætermittam, qui omnem, quantumvis vilem et abjectam, materiam dicunt Deum pervadere, qui plane philosophiam dedecorant. » Item *Strom.* V, pag. 591, ubi conf. adnotata.

(99) *Τὰς νεωτ.* Nullibi monet Apostolus τὰς νεωτέρας ζητήσεις φεύγειν. Verum Timotheo scribit, τὰς μωρὰς ...ζητήσεις παραιτεῖν, II Tim. II, 23, et τὰς νεωτερικὰς ἐπιθυμίας φεύγειν, II Tim. II, 22. Quæ Clemens, e memoria S. Scripturas recitans, commiscuisse videtur.

(1) *Στεφανοῖ δὲ τὸν δυνάμενον· ἀκίνητον μὲν, ὅτι π.* Hervetus legit ἀνίκητον· fortasse verius, ἀκίνητον μέντοι πρὸς ἀλ., « immotum tamen, » etc. Guil. Canterus pro ὅτι legit ἔτι. SYLBURG. — Scribe τὸν δυνάμενον ἀνίκητον μένειν, quemadmodum legisse Hervetus videtur: non quod placet Sylburgio. HEINSIUS. — Mallem, τὸν δυνάμενον ἀκίνητον μένειν ὅτι πρὸς ἀλ., « qui valet immotus persistere, quantum ad veritatem spectat. » Respicit enim pugiles, qui « immoti » adversariorum ictus sustinebant. Ἀνίκητον frigidius est.

(2) *Περαιοῖ.* Si quis περατοῖ malit, per me licet. SYLBURG.

(3) *Καινήν.* Καινὴν agnoscit etiam Herveti versio, « recentibus nugis; » sed haud scio an verius κενὴν, « inanem. » ID.

(4) *Ὑπ' αὐτῶν.* Lege ὑπ' αὐτοῦ, inquit Lowthius.

(5) *Ἰησοῦν Χριστόν.* Τὸν Χριστὸν Ἰησοῦν, Coloss.

(6) *Διογένης.* Ms. H. Διομένης. SYLBURG. — Conf. quæ superius dicta sunt *Protrept.* pag. 42 edit. Paris.

ctrinæ, ut principium, præmitti debere. Elementa autem colunt, Diogenes quidem aerem; Thales vero aquam; Hippasus vero ignem; et qui principia faciunt atomos, philosophiæ nomen arrogantes, impii quidam homunculi et voluptati dediti. « Propterea oro, inquit, ut dilectio vestra adhuc magis et magis abundet in agnitione et omni sensu, ad hoc ut vos probetis quæ sunt potiora [a]. » Nam « quando eramus, inquit Apostolus, parvuli, sub elementis hujus mundi eramus servientes. Parvulus autem, etiamsi sit hæres, nihil differt a servo usque præfinitum tempus patris [b]. » Parvuli ergo sunt etiam philosophi, nisi a Christo viri fiant. Si enim « filius ancillæ non futurus sit hæres cum filio liberæ [c], » at est quidem certe semen Abrahæ, quod non ex promissione donum suscepit proprium. **128** « Perfectorum autem est solidus cibus, qui propter habitum habent sensus exercitatos ad discretionem boni et mali. Quisquis enim est lactis particeps, non est peritus sermonis justitiæ, cum sit parvulus [d], » et nondum sciat verbum, per quod credidit et operatur, nec possit in ipso reddere rationem. « Omnia autem probate, inquit Apostolus, et quod bonum est tenete [e]. » Spiritalibus id dicens, qui omnia quæ dicuntur ex veritate, dijudicant, utrum videantur an sint vera. « Inconfutabilis autem vagatur disciplina, et plagæ et reprehensiones dant disciplinam sapientiæ, » reprehensiones scilicet, quæ sunt cum dilectione. « Cor enim rectum exquirit cognitionem. Quoniam qui quærit Deum, cognitionem invenit cum justitia. Qui ipsam autem recte quæsierunt, pacem invenerunt [f]. »—« Et cognoscam non sermonem eorum qui inflati sunt, sed virtutem: » eos, qui sunt opinione sapientes, et se quidem esse putant, non autem sunt sapientes, reprehendens, hæc scribit: « Non enim est in sermone regnum Dei [g]. » Non, inquam, in eo, qui non est verus, sed opinione ✠ tantum probabilis. « In virtute » autem dixit, seu potentia; sola enim est potens veritas. Et rursus: « Si quis putat se nosse aliquid, nondum novit sicut nosse oportet. » Nunquam est enim veritas opinio. Sed « cognitionis quidem opinio inflat » et fastu replet, « charitas autem ædificat, » quæ non in opinione versatur, sed veritate. Unde, « si quis diligit, is cognitus est [h], » inquit.

A λης δὲ τὸ ὕδωρ· Ἵππασος δὲ τὸ πῦρ· καὶ οἱ τὰς ἀτόμους ἀρχὰς ὑποτιθέμενοι, φιλοσοφίας ὄνομα ὑποδυόμενοι, ἄθεοί τινες ἀνθρωπίσκοι καὶ φιλήδονοι. « Διὰ τοῦτο προσεύχομαι, φησὶν, ἵνα ἡ ἀγάπη ὑμῶν ἔτι μᾶλλον καὶ μᾶλλον περισσεύῃ ἐν ἐπιγνώσει καὶ πάσῃ αἰσθήσει, εἰς τὸ δοκιμάζειν ὑμᾶς τὰ διαφέροντα. » Ἐπεὶ « ὅτε ἦμεν νήπιοι, φησὶν ὁ αὐτὸς Ἀπόστολος, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι. Ὁ δὲ νήπιος, κἂν κληρονόμος ᾖ, οὐδὲν δούλου διαφέρει, ἄχρι τῆς προθεσμίας τοῦ πατρός. » Νήπιοι οὖν καὶ οἱ φιλόσοφοι, ἐὰν μὴ ὑπὸ τοῦ Χριστοῦ ἀπανδρωθῶσιν. Εἰ γὰρ « οὐ κληρονομήσει ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ τῆς ἐλευθέρας, » ἀλλά γ' οὖν σπέρμα (7) ἐστὶν Ἀβραὰμ, τὸ μὴ ἐξ ἐπαγγελίας τὸ ἴδιον εἰληφὸς δωρεάν. « Τελείων δέ B ἐστιν ἡ στερεὰ τροφὴ, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἐχόντων πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ. Πᾶς γὰρ ὁ μετέχων γάλακτος ἄπειρος λόγου δικαιοσύνης, νήπιος ὢν, » καὶ μηδέπω ἐπιστάμενος τὸν λόγον, καθ' ὃν πεπίστευκε (8) καὶ ἐνεργεῖ, μήτε ἀποδοῦναι δυνάμενος τὴν αἰτίαν ἐν αὐτῷ. « Πάντα δὲ δοκιμάζετε, ὁ Ἀπόστολός φησι, καὶ τὸ καλὸν κατέχετε· » τοῖς πνευματικοῖς λέγων, τοῖς ἀνακρίνουσι πάντα κατὰ ἀλήθειαν λεγόμενα, πότερον δοκεῖ, ἢ οὕτως (9) ἔχεται τῆς ἀληθείας. « Παιδεία (10) δὲ ἀνεξέλεγκτος πλανᾶται· καὶ αἱ πληγαὶ καὶ οἱ ἔλεγχοι διδόασι παιδείαν σοφίας· » οἱ μετ' ἀγάπης δηλονότι ἔλεγχοι. « Καρδία (11) γὰρ εὐθεῖα ἐκζητεῖ γνῶσιν· ὅτι ὁ ζητῶν τὸν Θεὸν εὑρήσει γνῶσιν C μετὰ δικαιοσύνης· οἱ δὲ ὀρθῶς ζητήσαντες αὐτὴν, εἰρήνην εὗρον. Καὶ γνώσομαι, φησὶν, οὐ τὸν λόγον τῶν πεφυσιωμένων, ἀλλὰ τὴν δύναμιν· » τοὺς δοκήσει σοφοὺς, καὶ οἰομένους εἶναι, οὐκ ὄντας δὲ σοφοὺς, ἐπιῤῥαπίζων γράφει· « Οὐ γὰρ ἐν λόγῳ ἡ βασιλεία τοῦ Θεοῦ· » οὐ τῷ μὴ ἀληθεῖ, ἀλλὰ καθ' ὑπόληψιν πιθανῷ· « ἐν δυνάμει » δὲ, εἶπε· μόνη γὰρ ἡ ἀλήθεια δυνατή. Καὶ πάλιν· « Εἴ τις (12) δοκεῖ ἐγνωκέναι τι, οὔπω ἔγνω καθὸ δεῖ γνῶναι· » οὐ γάρ ποτε ἡ ἀλήθεια οἴησις· ἀλλ' ἡ μὲν « ὑπόληψις τῆς γνώσεως φυσιοῖ » καὶ τύφου ἐμπίμπλησιν· « οἰκοδομεῖ δὲ ἡ ἀγάπη, » μὴ περὶ τὴν οἴησιν, ἀλλὰ περὶ τὴν ἀλήθειαν ἀναστρεφομένη. Ὅθεν, « Εἴ τις ἀγαπᾷ, οὗτος ἔγνωσται, » λέγει.

D

✠ P. 348 ED. POTTER, 297 ED. PARIS. [a] Phil. I, 9, 10. [b] Gal. IV, 3, 1, 2. [c] Gen. XXI, 10; Gal. IV, 30. [d] Hebr. V, 14, 13. [e] I Thess. V, 21. [f] Prov. XV, 14. [g] I Cor. IV, 19, 20. [h] I Cor. VIII, 1, 2, 3.

(7) *Ἀλλά γ' οὖν σπ.* Hæc sic distingui et explicari debent: Ἀλλά γ' οὖν σπέρμα ἐστὶν Ἀβραὰμ τὸ μὴ ἐξ ἐπαγγελίας, τὸ ἴδιον εἰληφὸς δωρεάν. « At vero, quod non erat ex promisso, est semen Abrahæ, et proprium donum accepit. » Scilicet Christianam doctrinam Isaaco dat, legitimo Abrahami filio, et ex divina promissione nato; cæteras autem disciplinas Ismaeli Agaris ancillæ filio, aut filiis Cheturæ, qui licet nec e legitimis nuptiis, nec ex singulari aliquo promisso geniti fuerant, tamen veri Abrahæ filii fuerunt, et singuli dona a patre suo acceperunt, ut scriptum est Gen. XXV, 6.

(8) *Πεπίστευκε.* Respicere videtur I Thess. II, 13: Ἐδέξασθε οὐ λόγον ἀνθρώπων, ἀλλὰ (καθώς ἐστιν ἀληθῶς) λόγον Θεοῦ, ὃς καὶ ἐνεργεῖται ἐν ὑμῖν τοῖς πιστεύουσιν.

(9) *Οὕτως.* Rectius cum Guil. Cantero legemus ὄντως, « revera. » SYLBURG.

(10) *Παιδεία.* Rectius παιδείᾳ dativ. cas. quod hic et superius pag. 287 Sylburgio placuit. Sensus enim est: « Qui non corripitur disciplina, vagatur. » Tunc recte sequitur: « Reprehensiones dant disciplinam sapientiæ. »

(11) *Καρδία.* Καρδία ὀρθὴ ζητεῖ αἴσθησιν, inquit Salomon, Prov. XV, 14. Eorum, quæ sequuntur, sensus occurrit Prov. II, aliisque locis: ipsa verba frustra in S. libris quærentur.

(12) *Εἴ τις.* Εἴ τις δοκεῖ εἰδέναι τι, οὐδέπω οὐδὲν ἔγνωκε καθὼς δεῖ γνῶναι, I Cor. VIII, 2. Οἴδαμεν ὅτι πάντες γνῶσιν ἔχομεν· ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ. Ibid. 1.

CAPUT XII.

Fidei mysteria non esse cuivis propalanda, ideo quod non sint veritatis idonei auditores.

A Ἐπεὶ δὲ μὴ μόνη (13) ἡ παράδοσις καὶ πάνδημος τῷ γε αἰσθομένῳ τῆς μεγαλειότητος τοῦ λόγου· ἐπικρυπτέον (14) οὖν τὴν ἐν μυστηρίῳ λαλουμένην σοφίαν, ἣν ἐδίδαξεν ὁ Υἱὸς τοῦ Θεοῦ. Ἤδη γ' οὖν καὶ Ἡσαΐας ὁ προφήτης πυρὶ (15) καθαίρεται τὴν γλῶτταν, ὡς εἰπεῖν δυνηθῆναι τὴν ὅρασιν· καὶ οὐδὲ τὴν γλῶτταν μόνον, ἀλλὰ καὶ τὰς ἀκοὰς ἁγνίζεσθαι προσήκει ἡμῖν, εἴ γε τῆς ἀληθείας μεθεκτοὶ (16) εἶναι πειρώμεθα. Ταῦτα ἦν ἐμποδὼν τοῦ γράφειν ἐμοί· καὶ νῦν ἔτι εὐλαβῶς ἔχω, ᾗ φησιν, « Ἔμπροσθεν τῶν χοίρων τοὺς μαργαρίτας βάλλειν (17), μή ποτε καταπατήσωσι τοῖς ποσὶ, καὶ στραφέντες ῥήξωσιν ἡμᾶς. » Χαλεπὸν γὰρ τοὺς περὶ τοῦ (18) ἀληθινοῦ φωτὸς καθαροὺς ὄντως καὶ διαυγεῖς ἐπιδεῖξαι λόγους ἀκροατῶν τοῖς ὑώδεσί τε καὶ ἀπαιδεύτοις· σχεδὸν B γὰρ οὐκ ἔστι τούτων πρὸς τοὺς πολλοὺς καταγελαστότερα ἀκούσματα· οὐδ' αὖ πρὸς τοὺς εὐφυεῖς θαυμασιώτερά τε καὶ ἐνθουσιαστικώτερα. « Ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ· μωρία γὰρ αὐτῷ ἐστιν. » Σοφοὶ (19) δὲ οὐκ ἐκφέρουσιν ἐκ στόματος, ἃ διαλογίζονται ἐν συνεδρίῳ. « Ἀλλ' ὃ ἀκούετε εἰς τὸ οὖς, φησὶν ὁ Κύριος, κηρύξατε ἐπὶ τῶν δωμάτων· » τὰς ἀποκρύφους τῆς ἀληθοῦς γνώσεως παραδόσεις, ὑψηλῶς καὶ ἐξόχως ἑρμηνευομένας ἐνδέχεσθαι (20) κελεύων· καὶ καθάπερ ἠκούσαμεν εἰς τὸ οὖς, οὕτω καὶ παραδιδόναι οἷς δέον· οὐχὶ δὲ πᾶσιν ἀναίδην (21) ἐκδιδόναι τὰ ἐν παραβολαῖς εἰρημένα πρὸς αὐτοὺς, παραγγέλλων. Ἀλλ' ἔστι τῷ ὄντι ἡ τῶν ὑπομνημάτων ὑποτύπωσις, ὅσα διασποράδην καὶ διεῤῥιμμένως ἐγκατεσπαρμένην ἔχουσι τὴν ἀλή- C θειαν, ὅπως ἂν λάθοι τοὺς δίκην κολοιῶν σπερμολόγους· ἐπὰν δὲ ἀγαθοῦ τύχῃ γεωργοῦ, ἐκφύσει τε ἕκαστον αὐτῶν, καὶ τὸν πυρὸν ἀναδείξει.

Quoniam autem non sola traditio est publica ei qui sensit sermonis magnificentiam, occultanda est sapientia, quæ dicta est in mysterio, quam docuit Dei Filius. Jam enim Isaias quoque propheta igne linguam purgatur, ut possit dicere visionem; et nec linguam solum, sed etiam aures castas nobis habere convenit, si conemur fieri veritatis participes. Hæc mihi erant impedimento, quo minus scriberem, et nunc adhuc vereor, ut ait, « ante porcos jacere margaritas, ne eas conculcent pedibus, et conversi nos lacerent [a]. » Est enim difficile de vero lumine vere puros et perspicuos declarare sermones suillis et indoctis auditoribus. His enim vix possunt apud vulgus ulla magis audiri ridicula: rursus autem apud ingeniosos magis admirabilia, et Deum magis spirantia. « Animalis autem homo non suscipit ea quæ sunt Spiritus Dei: sunt enim ei stultitia [b]. » Sapientes autem ore non proferunt, quæ in consessu cogitant. « Sed quod auditis, inquit Dominus, in aurem, prædicate super tecta [c]: » arcanas traditiones veræ cognitionis, excelse et excellenter explicatas, jubens suscipere, et sicut in aurem audivimus, ita etiam tradere quibus oportet; non autem omnibus passim divulgare, quæ eis in parabolis dicta erant, præcipiens. Sed revera commentariorum delineationi illa inserviunt, quæcunque sparsim habent seminatam hic et illic veritatem, ut eos lateant, qui more graculorum passim ac temere verba serunt; cum autem agricolam bonum nacta fuerint, germinabit unumquodque ex iis, et edet frumentum.

CAPUT XIII.

Variarum philosophiæ sectarum unamquamque aliquam veritatis particulam sibi arripuisse.

Μιᾶς τοίνυν (22) οὔσης τῆς ἀληθείας (τὸ γὰρ ψεῦδος μυρίας ἐκτροπὰς ἔχει), καθάπερ αἱ Βάκχαι (23) τὰ τοῦ Πενθέως διαφορήσασαι μέλη, αἱ τῆς φιλοσοφίας τῆς τε βαρβάρου, τῆς τε Ἑλληνικῆς αἱρέσεις, ἑκάστη, ὅπερ ἔλαχεν, ὡς πᾶσαν αὐχεῖ τὴν ἀλή-

Cum una sit itaque veritas (habet enim innumerabilia falsum diverticula), quemadmodum Bacchæ, quæ Penthei membra divulserunt ac distulerunt, philosophiæ ✠ tam barbaræ quam Græcæ hæreses, unaquæque id, quod sortita est, tanquam totam ja-

✠ P. 349 ED. POTTER, 298 ED. PARIS. [a] Matth. VII, 6. [b] I Cor. II, 14. [c] Matth. X, 27.

(13) *Ἐπεὶ δὲ μὴ μ.* Malim: Ἐπεὶ δὲ πάνδημος ἡ παράδοσις, καὶ μὴ μόνον τῷ γε αἰσθ. « Cum vero hæc traditio, non solum ad eum qui sermonis majestatem perspicere valet, sed ad alios etiam passim pertingat. »

(14) *Ἐπικρυπτέον*. Respicit I Cor. II, 7: Λαλοῦμεν σοφίαν Θεοῦ ἐν μυστηρίῳ, τὴν ἀποκεκρυμμένην.

(15) *Πυρί*. Respicit Isa. VI, 6, 7: Καὶ ἀπεστάλη πρός με ἓν τῶν σεραφὶμ, καὶ ἐν τῇ χειρὶ εἶχεν ἄνθρακα, ὃν τῇ λαβίδι ἔλαβεν ἐπὶ τοῦ θυσιαστηρίου. Καὶ ἥψατο τοῦ στόματός μου, καὶ εἶπεν· Ἰδοὺ ἥψατο τοῦτο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ.

(16) *Μεθεκτοί*. « Communicabiles. » Rectius μεθεκτικοί, « participes: » ut ἐφεκτοί pro ἐφεκτικοί, *Strom.* VIII, p. 777, et econtra διδακτικήν pro δι- D δακτήν superius p. 284, edit. Paris.

(17) *Βάλλειν*. Negative intelligendum μὴ βάλλειν, ut Matth. VII. SYLBURG.

(18) *Περὶ τοῦ*. Ἐπὶ τοῦ ms. H., et mox συώδεσι pro ὑώδεσι. ID.

(19) *Σοφοί*. Respicere videtur Prov. XXIV, 7, 8, sec. LXX: Σοφοὶ οὐκ ἐκκλίνουσιν ἐκ στόματος Κυρίου, ἀλλὰ λογίζονται ἐν συνεδρίοις.

(20) *Ἐνδέχεσθαι*. Rectius ἐκδέχεσθαι, « accipere, intelligere. » SYLBURG.

(21) *Ἀναίδην*. Rectius ἀνέδην, ut Pal. ms. SYLBURG. in *Indice Græco*, quem conf.

(22) *Μιᾶς τοίνυν*. Similia scribit Lactantius lib. VI, cap. 7.

(23) *Βάκχαι*. Fabulam de Bacchis narrat etiam Diodorus Siculus p. 139. II. SYLBURG.

ciat veritatem. Lucis autem, ut opinor, exortu omnia illuminantur. Universi ergo Græci ac barbari, qui veritatis studiosi fuere, cum illi qui non levem portionem, tum etiam alii qui exiguam forte particulam Logi veritatis asseculi sunt, in medium prodeant. Quod si sæculum quidem partes temporis futuras, præsentes, et præteritas etiam uno quasi momento simul repræsentat : certe veritas in propriis seminibus colligendis, etiamsi in terra aliena dispersa fuerit, longe potentior est quam sæculum. Permulta enim invenimus ex his, quæ opinione recepta sunt, apud hæreses, quæ non sunt omnino absurdæ, nec excisam habent naturalem consequentiam, ut quæ tanquam gynæcea Christum viri instar exsciderint, etiamsi certum sit et extra controversiam, eas esse dissimiles genere et tota veritate. Aut enim ut membrum, aut ut species, aut ut genus in unum coincidunt. Quemadmodum summa chorda, licet sit imæ contraria, tamen ambæ unam harmoniam edunt : et numerus par, cum differat ab impari, in arithmetica tamen ambo conveniunt; quemadmodum etiam in figuræ ratione circulus, et triangulus, et quadratus, et quæcunque aliæ figuræ inter se differunt; quin etiam in mundo universo partes omnes, etiam si inter se differant, servant eam, quæ est cum toto, conjunctionem et convenientiam : sic ergo et barbara et Græca philosophia æternæ veritatis avulsam quamdam particulam, non e Bacchi mythologia, sed ex æterni Logi theologia, decerpsit : qui autem divisa rursus composuerit, et unum ex iis fecerit, scias futurum ut perfectum Logon, veritatem, citra

A θειαν. Φωτὸς (24) δ', οἶμαι, ἀνατολῇ πάντα φωτίζεται. Σύμπαντες οὖν Ἕλληνές τε καὶ βάρβαροι, ὅσοι τἀληθοῦς ὠρέχθησαν, οἱ μὲν οὐκ ὀλίγα, οἱ δὲ μέρος τι εἴπερ ἄρα τοῦ τῆς ἀληθείας λόγου ἔχοντες ἀναδειχθεῖεν. Ὁ γ' οὖν αἰὼν τοῦ χρόνου τὸ μέλλον καὶ τὸ ἐνεστὼς, αὐτὰρ δὴ καὶ τὸ παρῳχηκὸς ἀκαριέως συνίστησι· πολὺ δὲ πλέον δυνατωτέρα τοῦ αἰῶνος ἡ ἀλήθεια (25) συναγαγεῖν τὰ οἰκεῖα σπέρματα, κἂν εἰς τὴν ἀλλοδαπὴν ἐκπέσῃ (26) γῆν. Πάμπολλα (27) γὰρ τῶν παρὰ ταῖς αἱρέσεσι δοξαζομένων εὕροιμεν ἂν, ὅσαι μὴ τέλεον ἐκκεκώφηνται, μηδὲ ἐξετμήθησαν τὴν φυσικὴν ἀκολουθίαν, καθάπερ τὸν ἄνδρα αἱ γυναικωνίτιδες ἀποκοψάμεναι τὸν Χριστόν· εἰ καὶ ἀλλήλοις ἀνόμοια εἶναι δοκεῖ, τῷ γένει γε καὶ ὅλῃ τῇ ἀληθείᾳ ὁμολογοῦνται. Ἢ γὰρ ὡς μέλος (28), ἢ ὡς B εἶδος, ἢ ὡς γένος, εἰς ἓν συνέπεται. Ἤδη δὲ καὶ ἡ ὑπάτη, ἐναντία τῇ νεάτῃ οὖσα, ἀλλ' ἄμφω γε ἁρμονία μία· ἔν τε ἀριθμοῖς ὁ ἄρτιος τῷ περιττῷ διαφέρεται, ὁμολογοῦσι δὲ ἄμφω τῇ ἀριθμητικῇ· ὡς τῷ σχήματι ὁ κύκλος, καὶ τὸ τρίγωνον, καὶ τὸ τετράγωνον, καὶ ὅσα τῶν σχημάτων ἀλλήλων διενήνοχεν· ἀτὰρ (29) καὶ ἐν τῷ κόσμῳ παντὶ τὰ μέρη σύμπαντα, κἂν διαφέρηται πρὸς ἄλληλα, τὴν πρὸς τὸ ὅλον οἰκειότητα διαφυλάττει· οὕτως (30) οὖν ἥ τε βάρβαρος, ἥ τε Ἑλληνικὴ φιλοσοφία, τὴν ἀΐδιον ἀλήθειαν σπαραγμόν τινα, οὐ τῆς Διονύσου μυθολογίας, τῆς δὲ τοῦ Λόγου τοῦ ὄντος ἀεὶ θεολογίας πεποίηται· ὁ δὲ τὰ διῃρημένα συνθεὶς αὖθις, καὶ ἑνοποιήσας, τέλειον τὸν Λόγον ἀκινδύνως εὖ ἴσθ' ὅτι κατόψεται, τὴν ἀλήθειαν. Γέγραπταί γ' οὖν ἐν τῷ Ἐκκλησιαστῇ· « Καὶ προσέθηκα σοφίαν ἐπὶ πᾶσιν, οἳ δὴ (31) ἐγένοντο ἔμπροC σθέν μου ἐν Ἱερουσαλήμ· καὶ ἡ καρδία μου εἶδε

(24) *Φωτός*. Ejus scilicet, qui dixit : Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου, Joan. VIII, 12.

(25) *Ἡ ἀλήθεια*. Scilicet Christus, qui dixit : Ἐγώ εἰμι ἡ ὁδὸς, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή, Joan. VI, 6.

(26) *Ἐκπέσῃ*. Legi potest etiam ἐμπέσῃ, « inciderit. » SYLBURG.

(27) *Πάμπολλα*. Ut huic sententiæ sensus constet, sic scribatur et explicetur : Πάμπολλα γὰρ τῶν παρὰ ταῖς αἱρέσεσι δοξαζομένων εὕροιμεν ἂν (ὅσαι μὴ τέλεον ἐκκεκώφηνται, μηδὲ ἐξετμήθησαν τὴν φυσικὴν ἀκολουθίαν, καθάπερ τὸν ἄνδρα αἱ γυναικωνίτιδες, ἀποκοψάμεναι τὸν Χριστόν), εἰ καὶ ἀλλήλοις ἀνόμοια εἶναι δοκεῖ, τῷ γένει γε καὶ ὅλῃ τῇ ἀληθείᾳ ὁμολογοῦντα, « Etenim permulta reperire licet dogmata sectarum (earum scilicet, quæcunque non sunt prorsus fatuæ, nec naturæ ordinem ac rationem exsectæ, Christum, quemadmodum virum olim mulieres, exsciderunt), quæ quamvis inter se dissimilia videantur, tamen in genere et universali veritatis ratione conveniunt. » Porro per φυσικὴν ἀκολουθίαν intelligit ordinem, seu rationem, qua res una ad aliam sequendam natura est apta. Hinc Philo *De vita Moysis* lib. II, p. 660 : Ἀκολουθίαν φύσεως ἀσπασάμενοι, « ordinem naturæ amplexuri. » Per « mulieres » intelligit Bacchas paulo superius memoratas, quæ Penthea membratim lacerarunt, adeo ut nulla *viri* forma maneret. Denique, ὁμολογοῦντα scribendum pro ὁμολογοῦνται, quod ab imperito aliquo librario positum videtur, qui propter interjectam sententiam non advertit ὁμολογοῦντα recte sequi verbum εὕροιμεν· quod etiam Herveto interpreti accidit.

(28) *Μέλος*. Fortasse rectius μέρος, « pars, » ut paulo post. SYLBURG.

(29) *Ἀτάρ*. De partium tam dissimilium inter se concordia vide et Nemesium libro *Περὶ φύσεως ἀνθρώπου*, p. 11. H. SYLBURG.

(30) *Οὕτως*. Similia dicit Justinus M. paulo ante finem *Apologiæ* minoris pag. 34 edit. Oxon. : Ἕκαστος γάρ τις ἀπὸ μέρους τοῦ σπερματικοῦ θείου Λόγου τὸ συγγενὲς ὁρῶν, καλῶς ἐφθέγξατο. « Unusquisque enim ex parte divini seminarii Logi, quod eidem cognatum est videns, præclare locutus est : » etc. Conf. ejusdem *Apol*. p. 20. Ibidem p. 26 hæc dicit : Μεγαλειότερα μὲν οὖν πάσης ἀνθρωπείου διδασκαλίας φαίνεται τὰ ἡμέτερα· διὰ τοῦτο λογικὸν τὸ ὅλον τὸ φανέντα δι' ἡμᾶς Χριστὸν γεγονέναι, καὶ σῶμα, καὶ λόγον, καὶ ψυχήν· ὅσα γὰρ καλῶς ἀεὶ ἐφθέγξαντο καὶ εὗρον οἱ φιλοσοφήσαντες, ἢ νομοθετήσαντες, κατὰ λόγου μέρος εὑρέσεως καὶ θεωρίας D ἐστὶ πονηθέντα αὐτοῖς· ἐπειδὴ δὲ οὐ πάντα τὰ τοῦ λόγου ἐγνώρισαν, ὅς ἐστι Χριστὸς, καὶ ἐναντία ἑαυτοῖς πολλάκις εἶπον. « Longe sublimiores esse res nostras doctrinis humanis inde constat, quod qui nostri causa apparuit, Christus rationalis (logicus) ex omni parte factus est, corpore, ratione (logo) et anima. Et quæcunque recte quovis tempore dixerunt aut invenerunt philosophi aut legislatores, juxta eam partem, quæ rationis (logi) inventionis et contemplationis est, id ab eis est factum. Quia autem non omnia, quæ Logi sunt, is quippe est Christus, perviderunt, seipsis contraria sæpe dixerunt. » Dein addit, Socrati Christum ἀπὸ μέρους cognitum fuisse. Idem in majore *Apologia*, p. 90, 91, affirmat, Socratem, Heraclitum, et reliquos omnes μετὰ λόγου βιώσαντας, Christi participes, et quodammodo Christianos fuisse.

(31) *Δή*. Abest a vulg. Eccle. cap. I. SYLBURG.

A πολλά· σοφίαν καὶ γνῶσιν, παραβολὰς καὶ ἐπιστήμην ἔγνων ἔτι. Καί γε τοῦτό (32) ἐστι προαίρεσις πνεύματος, ὅτι ἐν πλήθει σοφίας πλῆθος γνώσεως. » Ὁ δὲ τῆς παντοδαπῆς σοφίας ἔμπειρος, οὗτος κυρίως ἂν εἴη γνωστικός. Αὐτίκα γέγραπται· « Περισσεία γνώσεως τῆς σοφίας ζωοποιήσει τὸν παρ' αὐτῆς. » Πάλιν τε αὖ βεβαιοῖ σαφέστερον τὰ εἰρημένα ἥδε ἡ ῥῆσις· « Πάντα ἐνώπια τοῖς νοοῦσι· » τὰ δὲ *πάντα* Ἑλληνικά ἐστι καὶ βαρβαρικά· θάτερα δὲ οὐκ ἔτι *πάντα*. « Ὀρθὰ (33) δὲ, τοῖς βουλομένοις ἀπενέγκασθαι αἴσθησιν. Ἀνθαιρεῖσθε (34) παιδείαν, καὶ μὴ ἀργύριον, καὶ γνῶσιν ὑπὲρ χρυσίον δεδοκιμασμένον· » ἀνθαιρεῖσθε δὲ καὶ αἴσθησιν χρυσίου καθαροῦ (35)· « κρείσσων γὰρ σοφία λίθων πολυτελῶν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς. »

periculum contempletur. Scriptum est itaque in Ecclesiaste : « Et adjeci sapientiam super omnes qui fuerunt ante me in ✠ Jerusalem, et cor meum vidit multa : sapientiam et cognitionem, parabolas et scientiam novi prætereа. Et hoc quidem est præelectio spiritus, quoniam in multitudine sapientiæ est multitudo cognitionis [a]. » Qui **129** est autem omnigena multitudine sapientiæ præditus, is proprie fuerit gnosticus. Jam vero scriptum est : « Abundantia cognitionis sapientiæ vivificabit eum, qui est ex ipsa [b]. » Et rursus apertius confirmat ea quæ dicta sunt, hoc dictum : « Sunt omnia in conspectu eorum qui intelligunt. » *Omnia* autem sunt Græca et barbara : alterutra autem non sunt
B utique *omnia*. « Recta autem sunt iis qui sensum volunt accipere. Eligite disciplinam, et non argentum, et cognitionem super aurum probatum. » Eligite autem sensum quoque plus quam aurum purum : « melior est enim sapientia lapidibus pretiosis; quidquid autem est pretiosum, non est pretio cum ea conferendum [c]. »

CAPUT XIV.

Philosophorum apud Græcos successio.

Φασὶ δὲ Ἕλληνες, μετάγε Ὀρφέα καὶ Λῖνον καὶ τοὺς παλαιοτάτους παρὰ σφίσι ποιητὰς, ἐπὶ σοφίᾳ πρώτους θαυμασθῆναι τοὺς ἑπτὰ (36), τοὺς ἐπικληθέντας σοφούς· ὧν τέσσαρες μὲν ἀπὸ Ἀσίας ἦσαν, Θαλῆς τε ὁ Μιλήσιος, καὶ Βίας ὁ Πριηνεὺς, καὶ Πιτταχὸς ὁ Μιτυληναῖος, καὶ Κλεόβουλος ὁ Λίνδιος· δύο δὲ ἀπὸ Εὐρώπης, Σόλων τε ὁ Ἀθηναῖος, καὶ Χίλων ὁ Λακεδαιμόνιος· τὸν δὲ ἕβδομον, οἱ μὲν Περίανδρον εἶναι λέγουσι τὸν C Κορίνθιον, οἱ δὲ Ἀνάχαρσιν τὸν Σκύθην, οἱ δὲ Ἐπιμενίδην τὸν Κρῆτα, ὃν Ἑλληνικὸν οἶδε προφήτην, οὗ μέμνηται (37) ὁ ἀπόστολος Παῦλος ἐν τῇ πρὸς Τίτον Ἐπιστολῇ, λέγων οὕτως· « Εἶπέ τις ἐξ αὐτῶν ἴδιος (38) προφήτης οὕτω· *Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί*· καὶ ἡ μαρτυρία αὕτη ἐστὶν ἀληθής. » Ὁρᾷς ὅπως κἀν τοῖς Ἑλλήνων προφήταις δίδωσί τι τῆς ἀληθείας, καὶ οὐκ ἐπαισχύνεται, πρός τε οἰκοδομὴν καὶ πρὸς ἐντροπὴν (39) διαλεγόμενός τινων, Ἑλληνικοῖς συγχρῆσθαι ποιήμασι; Πρός γ' οὖν Κορινθίους (οὐ γὰρ ἐνταῦθα μόνον), περὶ τῆς τῶν νεκρῶν ἀναστάσεως διαλεγόμενος, ἰαμβείῳ (40) συγκέχρηται τραγικῷ· « Τί μοι ὄφελος, » λέγων, « εἰ νεκροὶ οὐκ ἐγείρονται; Φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν. Μὴ πλανᾶσθε· *φθείρουσιν ἤθη* D

Dicunt autem Græci post Orpheum et Linum, et poetas, qui apud eos fuerunt antiquissimi, in admiratione fuisse habitos propter sapientiam primos septem, qui cognominati fuerunt sapientes, quorum quatuor quidem fuerunt ex Asia, Thales Milesius, et Bias Prieneus, et Pittacus Mitylenæus, et Cleobulus Lindius; duo autem ex Europa, Solon Atheniensis, et Chilo Lacedæmonius; septimum autem alii quidem dicunt esse Periandrum Corinthium, alii vero Anacharsim Scytham, alii vero Epimenidem Cretensem, quem Græcum prophetam novit Paulus, cujus etiam meminit in Epistola ad Titum, sic dicens : « Dixit quidam ex ipsis proprius propheta : *Cretenses semper mendaces, malæ bestiæ, ventres pigri*; et testimonium hoc verum est [d]. » Vides, quomodo etiam Græcorum prophetis dat aliquid veritatis : nec erubescit, et ad ædificationem, et ad aliquorum conversionem disserens, uti Græcis poematibus? Itaque ad Corinthios (non enim hic solum) disserens de resurrectione mortuorum, tragico iambo usus est, dicens : « Quid mihi prodest, si mortui non resurgunt? Manducemus et bibamus, cras enim morimur. Nolite seduci, corrumpunt bonos mores

✠ P. 350 ED. POTTER, 299 ED. PARIS. [a] Eccle. I, 16, 17, 18. [b] Eccle. VII, 13, sec. LXX. [c] Prov. VIII, 9, 10, 11. [d] Tit. I, 12, 13.

(32) *Ἐπιστήμην ἔγνω ἔτι· καί γε τ.* Ἐπιστήμην. Ἔγνων ἐγὼ ὅτι καί γε τ. Eccle.

(33) *Ὀρθά.* « In conspectu » vertit Hervetus, scribens scilicet e verbis præcedentibus ἐνώπια. Scribere potius debuerat ὁρατά. Nam ὁρατά in ὀρθά facilius transire potuit, quam ἐνώπια. Est autem ὁρατόν Hesychio, αἰσθητὸν, θεωρητόν. Verum nil mutandum : respicit enim auctor Prov. VIII, 9, quem locum e memoria repetens paulum variavit : Πάντα ἐνώπια τοῖς συνιοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν.

(34) *Ἀνθαιρεῖσθε.* Λάβετε, Prov.

(35) *Ἀνθαιρεῖσθε δὲ ... καθαροῦ.* Hæc verba non invenio in S. Scriptura : eorum vero sensus exstat Prov. III, 14, 15.

(36) *Τοὺς ἑπτά.* De septem sapientibus vise et Platonem tom. I, p. 343; Diogenem Laertium p. 5 et 14, et Plutarchum in eorumdem *Symposio*. H. SYLBURG. — Conf. quæ ad Laertii *Thaletem* adnotavit Menagius.

(37) *Οὗ μέμνηται.* Hæc ἐν παρόδῳ adjicit Clemens, sumpta occasione a mentione Epimenidis, ut quæ superius dixerat de profanæ doctrinæ utilitate, Pauli apostoli auctoritate firmaret.

✠ P. 372 ED. POTTER, 315 ED. PARIS. [a] Act. II, 41. [b] Isa. I, 19. [c] Ephes. IV, 24, 25, 27, 28, 29.

(34) Ἀδικία. Respicit Rom. IX, 14 : Τί οὖν ἐροῦμεν; μὴ ἀδικία παρὰ τῷ Θεῷ; Μὴ γένοιτο.

(35) Λαὸς περιούσιος. Tit. II, 14 : Καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον.

(36) Ἀποδεξάμενοι. Vulg. Bib. Act. apost. II : Ἀσμένως ἀποδεξάμενοι. SYLBURG.

(37) Ἔχητε. Ἔχῃ, Ephes.

(38) Εἰς τὰς τραπ. Lowthius ait : « Videtur alludere ad dictum istud Servatoris a veteribus laudatum : Γίνεσθε δόκιμοι τραπεζῖται. » De quo conf. quæ postea dicentur extremo *Strom.* I, p. 354. Respicit vero hoc loco Clemens Christi verba, quæ refert Matthæus XXV, 27 : Ἔδει οὖν σε βαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις· καὶ ἐλθὼν ἐγὼ ἐκομισάμην ἂν τὸ ἐμὸν σὺν τόκῳ.

(39) Ἱστορῶν. Ἀναθεωρῶν, Act. Mox ἐπεγέγραπτο pro ἀνεγέγραπτο. Ibid.

(40) Δούς. Διδούς, Act. Mox ἐποίησέ τε ἐξ ἑνὸς αἵματος πᾶν ἔθνος ἀν. Dein, ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς. Ibid.

statuta tempora et terminos habitationis eorum; ut quærant Deum, si forte attrectent aut inveniant, quamvis non longe sit ab unoquoque nostrum. In ipso enim vivimus, et movemur, et sumus; sicut et quidam vestrorum poetarum dixerunt :

Hujus namque genus sumus...[a] »

Ex quibus clarum est, quod etiam poeticis utens exemplis ex Arati *Phænomenis*, approbat quæ apud Græcos recte dicta sunt. Et per ignotum Deum, honorari quidem per circumlocutionem a Græcis opificem Deum significavit, ex agnitione autem oportere per Filium accipere et discere. « Misi ergo propterea te ad gentes, aperire, inquit, oculos eorum, ut convertantur a tenebris ad lucem, et a potestate Satanæ ad Deum; ut ipsi accipiant remissionem peccatorum et hæreditatem in iis, qui sunt fide sanctificati in me[b]. » Ii ergo sunt, qui aperiuntur, oculi cæcorum : Patris per Filium agnitio, est circumlocutionis Græcæ comprehensio; et « converti a potestate Satanæ, » est mutari a peccato, per quod introducta erat servitus. Nec tamen absolute omnem suscipimus philosophiam, sed illam, de qua apud Platonem quoque dicit Socrates : « Sunt enim, ut aiunt, qui in mysteriis versantur, thyrsigeri quidem multi, pauci vero Bacchi » : « multos quidem esse vocatos, paucos autem electos[c], » innuens. Aperte itaque subjungit : « Hi autem, mea quidem sententia, non sunt alii, quam qui recte sunt philosophati : quorum quidem in numero ut essem, nihil in vita, quantum in me fuit, prætermisi, sed omnibus modis contendi. An vero recte contenderim, aliquidve profecerim, cum ✠ illuc pervenerimus, certi sciemus, si Deus voluerit, paulo post. » An non tibi videtur ex scripturis Hebraicis eam, quæ est post mortem, justi ex fide spem declarare? Et in *Demodoco*, si modo est opus

A τῆς γῆς· ὁρίσας προστεταγμένους καιροὺς (41) καὶ τὰς ὁροθεσίας τῆς κατοικίας αὐτῶν, ζητεῖν τὸ Θεῖον, εἰ ἄρα ψηλαφήσειαν ἢ εὕροιεν ἄν· καίτοι οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντος· ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, καί ἐσμεν, ὡς καί τινες τῶν καθ' ὑμᾶς ποιητῶν εἰρήκασιν·

Τοῦ γὰρ (42) *καὶ γένος ἐσμέν...* »

Ἐξ ὧν δῆλον, ὅτι, καὶ ποιητικοῖς χρώμενος παραδείγμασιν ἐκ τῶν Ἀράτου *Φαινομένων*, δοκιμάζει τὰ παρ' Ἕλλησι καλῶς εἰρημένα· καὶ διὰ τοῦ ἀγνώστου Θεοῦ τιμᾶσθαι μὲν κατὰ περίφρασιν (43) πρὸς τῶν Ἑλλήνων τὸν δημιουργὸν Θεὸν ᾐνίξατο· κατ' ἐπίγνωσιν δὲ δεῖν δι' Υἱοῦ παραλαβεῖν τε καὶ μαθεῖν. « Ἀπέστειλα οὖν διὰ τοῦτό σε εἰς τὰ ἔθνη, ἀνοῖξαι, B φησὶν, ὀφθαλμοὺς αὐτῶν, τοῦ (44) ἐπιστρέψαι ἀπὸ σκότους εἰς φῶς, καὶ τῆς ἐξουσίας τοῦ Σατανᾶ ἐπὶ Θεὸν, τοῦ λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν, καὶ κλῆρον ἐν τοῖς ἡγιασμένοις πίστει τῇ εἰς ἐμέ. » Οὗτοι οὖν οἱ ἀνοιγόμενοι τυφλῶν ὀφθαλμοί· ἡ δι' Υἱοῦ ἐπίγνωσίς ἐστι τοῦ Πατρὸς, ἡ τῆς περιφράσεως τῆς Ἑλληνικῆς κατάληψις· τό τε « ἀπὸ τῆς ἐξουσίας τοῦ Σατανᾶ ἐπιστρέψαι, » τὸ ἀπὸ τῆς ἁμαρτίας ἐστὶ μεταβάλλεσθαι, δι' ἣν ἡ δουλεία ἐγεγόνει. Οὐ μὴν ἁπλῶς πᾶσαν φιλοσοφίαν ἀποδεχόμεθα, ἀλλ' ἐκείνην περὶ ἧς καὶ ὁ παρὰ Πλάτωνι λέγει Σωκράτης· « Εἰσὶ γὰρ δὴ (45), ὥς φασι, περὶ τὰς τελετὰς Ναρθηκοφόροι (46) μὲν πολλοὶ, Βάκχοι δέ τε, παῦροι· » « πολλοὺς μὲν τοὺς κλητοὺς, ὀλίγους δὲ τοὺς ἐκλεκτοὺς » αἰνιττόμενος. Ἐπιφέρει γοῦν σαφῶς· « Οὗτοι δέ εἰσι, κατὰ C τὴν ἐμὴν δόξαν, οὐκ ἄλλοι ἢ οἱ πεφιλοσοφηκότες ὀρθῶς· ὧν δὴ κἀγὼ, κατά γε τὸ (47) δυνατὸν, οὐδὲν ἀπέλιπον ἐν τῷ βίῳ, ἀλλὰ παντὶ τρόπῳ προὐθυμήθην γενέσθαι. Εἰ δὲ ὀρθῶς προὐθυμήθην, καί τι ἠνύσαμεν, ἐκεῖσε ἐλθόντες, τὸ σαφὲς εἰσόμεθα, ἐὰν Θεὸς θέλῃ, ὀλίγον ὕστερον. » Ἆρ' οὐ δοκεῖ σοι πίστεως ἐκ τῶν Ἑβραϊκῶν Γραφῶν τὴν μετὰ θάνατον ἐλπίδα τοῦ δικαίου σαφηνίζειν; κἂν τῷ *Δημοδόκῳ* (48)· (εἰ δὴ τοῦ Πλάτωνος τὸ σύγγραμμα·) « Μὴ δὲ ἡγοῦ (49)

✠ P. 373 ED. POTTER, 316 ED. PARIS. [a] Act. XVII 22-28. [b] Act. XXVI, 17, 18. [c] Matth. XX, 16, XXII, 14.

(41) *Προστεταγμένους καιρούς*. Προτεταγμένους καιρούς, « præfinita, » seu « stata, tempora, » rectius in Act. SYLBURG. Mox ζητεῖν τὸν Κύριον, εἰ ἄρα γε ψηλαφήσειαν αὐτὸν καὶ εὕροιεν, καίτοι γε... ὑπάρχοντα. Ibid.

(42) *Τοῦ γάρ*. Ex Arati *Phænom.* vers. 5.

(43) *Περίφρασιν*. Flor. edit. περίφασιν absque ρ et hic et infra p. 260, et tamen mox diserte τῆς περιφράσεως. SYLBURG. *Strom.* VI, p. 635 edit. Paris., p. 260 edit. Sylburg. hæc dicit : Οὐ κατ' ἐπίγνωσιν ἴσασι τὸν Θεὸν, ἀλλὰ κατὰ περίφασιν, Ἑλλήνων οἱ δοκιμώτατοι. Ubi Joannes Clericus *Epistolarum critic.* prima p. 26 docet, legendum esse παράφασιν, « palpationem, » ut sensus sit, eos Deum cognovisse « non cognitione clara, sed palpatione. » Est enim παραφᾶσαι apud Hippocratem « manu immissa explorare vel tractare. » Hinc et secretos uteri locos παραφασίας vocari, refert Galen. in *Gloss.*

(44) *Τοῦ*. Καί, Act., ubi mox ἐπὶ τὸν Θεόν.

(45) *Εἰσὶ γὰρ δ.* Rectius apud Platonem, cujus in *Phædon.* p. 52 hæc exstant : Εἰσὶ γὰρ δὴ (φασὶν οἱ περὶ τὰς τελετάς) Ναρθηκ. Mox δέ γε π. pro δέ τε π. Ibid.

(46) *Ναρθηκοφόροι*. Proverbialis ille versus legitur etiam infra p. 236. SYLBURG.

(47) *Ὧν δὴ κἀγὼ κατά γε τό*. Ὧν δὴ καὶ ἔγωγε D κατὰ τὸ apud Platon. Mox προὐθυμούμην pro προὐθυμήθην, et ἐθέλῃ pro θέλῃ. Ibid.

(48) *Δημοδόκῳ*. Non in *Demodoco* hic locus exstat, sed in *Ἐρασταῖς*, Basil. edit. pag. 237, ut vel Clemens memoria lapsus sit, vel a librariis facta corruptela, vel duo a Platone hoc titulo scripti dialogi. A. *Demodocum* autem inter nothos ponit etiam Diogenes Laertius p. 122. H. SYLBURG.

(49) *Μὴ δὲ ἡγοῦ*. Hæc in Platonis *Amatoribus* pag. 99, sic se habent : Ἀλλὰ μὴ οὐχ οὕτως, ὦ φίλε, ἔχωσι, μηδ' ᾖ τοῦτο φιλοσοφεῖν περὶ τὰς τέχνας ἐσπουδακέναι, οὐδὲ πολυπραγμονοῦντα, κυπτάζοντα ζῆν, οὐδὲ πολυμαθοῦντα, ἀλλὰ ἄλλο τι · ἐπεὶ γε ᾤμην καὶ ὄνειδος εἶναι τοῦτο, καὶ βαναύσους καλεῖσθαι τοὺς περὶ τὰς τέχνας ἐσπουδακότας. « Verum non ita se habet, o amice; nec philosophari, circa artes studiose versari est, nec multis negotiis incumbere, nec multa perdiscere, sed aliud quiddam; siquidem existimo, et turpe hoc esse, et mechanicos rectius appellari, qui artibus incumbunt »

τὸ φιλοσοφεῖν λέγειν περὶ τὰς τέχνας κυπτάζοντα A ζῆν, οὐδὲ πολυμαθοῦντα, ἀλλὰ ἄλλο τι· ἐπεὶ ἔγωγε ᾤμην καὶ ὄνειδος εἶναι. » Ἤδει γάρ, οἶμαι, « ὡς ἄρα (50) ἤδη πολυμαθῆ νόον ἔχει· ὃ διδάσκει » καθ' Ἡράκλειτον. Ἔν τε τῷ ε' τῆς *Πολιτείας*· « Τούτους (51) οὖν πάντας, φησί, καὶ ἄλλους τοιούτων τινῶν μαθηματικούς, καὶ τῶν τεχνυδρίων (52), φιλοσόφους θήσομεν; Οὐδαμῶς, εἶπεν (53), ἀλλ' ὁμοίους μὲν φιλοσόφοις. Τοὺς δ' ἀληθινούς, ἔφη, τίνας λέγεις; Τοὺς τῆς ἀληθείας, ἦν δ' ἐγώ, φιλοθεάμονας. » Οὐ γὰρ ἐν γεωμετρίᾳ (54), αἰτήματα καὶ ὑποθέσεις ἐχούσῃ, φιλοσοφία· οὐδ' ἐν μουσικῇ, στοχαστικῇ γε οὔσῃ· οὐδ' ἐν ἀστρονομίᾳ, φυσικῶν, καὶ ῥεόντων, καὶ εἰκότων βεβυσμένῃ λόγων· ἀλλ' αὖ τοῦ ἀγαθοῦ δι' ἐπιστήμης (55) καὶ τῆς ἀληθείας, ἑτέρων μὲν ὄντων τἀγαθοῦ ὁδῶν (56)· ὥσπερ δὲ ἐπὶ τἀ- B γαθόν. Ὥστ' οὐδ' αὐτὸς τὴν « ἐγκύκλιον » παιδείαν (57) συντελεῖν πρὸς τἀγαθὸν δίδωσιν, συνεργεῖν δὲ πρὸς τὸ διεγείρειν καὶ συγγυμνάζειν πρὸς τὰ νοητὰ τὴν ψυχήν. Εἴτ' οὖν κατὰ περίπτωσίν φασιν ἀποφθέγξασθαί τινα τῆς ἀληθοῦς φιλοσοφίας τοὺς Ἕλληνας, θείας οἰκονομίας ἡ περίπτωσις· οὐ γὰρ ταὐτόματον ἐκθειάσει τις διὰ τὴν πρὸς ἡμᾶς φιλοτιμίαν· εἴτε κατὰ συντυχίαν, οὐκ ἀπρονόητος ἡ συντυχία· εἴτ' αὖ φυσικὴν ἔννοιαν ἐσχηκέναι τοὺς Ἕλληνας λέγοι, τὸν τῆς φύσεως δημιουργὸν ἕνα γινώσκομεν· καθὸ καὶ τὴν δικαιοσύνην φυσικὴν εἰρήκαμεν· εἴτε μὴν κοινὸν ἐσχηκέναι νοῦν, τίς ὁ τούτου πατήρ, καὶ τίς κατὰ τὴν τοῦ νοῦ διανομὴν δικαιοσύνη, σκοπήσωμεν. Ἂν γὰρ « προαναφώνησιν » τις εἴπῃ, καὶ « συνεκφώνησιν » αἰτιάσηται, προφητείας C εἴδη λέγει. Ναὶ μὴν κατ' ἔμφασιν ἀληθείας ἄλλοι θέλουσιν εἰρῆσθαί τινα τοῖς φιλοσόφοις. Ὁ μὲν οὖν θεσπέσιος Ἀπόστολος ἐφ' ἡμῶν γράφει· « Βλέπομεν γὰρ νῦν ὡς δι' ἐσόπτρου (58), » κατ' ἀνάκλασιν ἐπ' αὐτοῦ ἑαυτοὺς γινώσκοντες, κἀκ τοῦ ἐν ἡμῖν θείου τὸ ποιητικὸν αἴτιον, ὡς οἷόν τε, συνθεωροῦντες.

Platonis : « Nec existimes me dicere philosophari, in artes incumbentem vivere, nec multa discere appetentem; absit : nam ego quidem hoc probrum esse ducebam. » Sciebat enim, ut existimo, « eum multarum rerum scientem jam habere mentem, quod docet, » ut est Heracliti sententia. Et in quinto *De republica* : « Nunquid igitur istos, » inquit, « omnes, et alios ejusmodi res percipiendi cupidos, artibus vilissimis incumbentes, philosophos dicemus? Nequaquam, » inquit, « sed similes philosophis. Veros autem, » inquit, « philosophos quosnam dicis? Eos, inquam ego, qui veritatis delectantur contemplatione. » Non enim in geometriæ postulatis et hypothesibus est philosophia; neque in musica, quæ quidem est conjecturalis; neque in astronomia, quæ naturalibus, fluxisque, et verisimilibus est referta rationibus; sed opus est ipsius boni scientia et veritate; cum aliæ quidem sint boni viæ, quemadmodum ad bonum. Quare nec ipse doctrinæ orbem, quem vocant « encyclopædiam, » ad bonum vult sufficere, sed duntaxat opem ferre ad excitandam et exercendam animam ad ea quæ percipiuntur intelligentia. Sive ergo dicunt Græcos divinæ philosophiæ esse casu aliquid elocutos; casus est ad divinam dispensationem referendus : non enim propter eam, quæ nobiscum intercedit, contentionem, casum quis in deos referet. Sive ex fortuna, ea fortuna non est expers providentiæ. Sive rursus dicat Græcis ingenitas esse naturales quasdam notiones, unum naturæ cognoscimus opificem : qua ratione esse quoque naturalem diximus justitiam. Sive mentem illis inesse ✠ communem : quisnam sit ejus pater, et quæ sit in ejus mentis distributione justitia consideremus. Si quis enim dixerit προαναφώνησιν, hoc est « prædictionem, » et συνεκφώνησιν, id est « conjunctam vocationem, » velut causam assignet, dicit species prophetiæ. Atque ex

✠ P. 374 ED. POTTER, 316 ED. PARIS.

(50) *Ὡς ἄρα.* H. ms., ὡς ἄρα πολυμάθεια νόον ἔχει. Sylburg. — Secundum Menagium, loco jam dicto, scribendum : ὡς ἄρα ἡ πολυμάθεια νόον οὐχὶ διδάσκει « quod multarum rerum scientia mentem non docet. » Malim vero, ὡς ἄρα ἤδη πολυμαθῆ νόον ἔχειν, οὐ διδάσκει· « Quod multarum rerum peritam habere mentem, non docet. » Nam hoc propius ad verba Clementis accedit : et eo modo Heracliti dictum protulit Athenæus sub finem libri XIII : *Πουλυμαθημοσύνης, τῆς οὐ κενεώτερον οὐδέν*, Ἵππων ἔφη ὁ ἄθεος· ἀλλὰ καὶ Ἡράκλειτος ὁ θεῖός φησι, πολυμαθῆ νόον ἔχειν, οὐ διδάσκειν. Καὶ ὁ Τίμων δὲ ἔφη·

.... *Ἐν δὲ πλατυσμὸς*
Πουλυμαθημοσύνης, τῆς οὐ κενεώτερον ἄλλο.

« *Multa variaque doctrina, qua nil est vanius*, dixit Hippon, atheus : divinus autem Heraclitus, nihil docere, ait, multiplici doctrina instructam mentem. Quin et Timon dixit :

..... *Inest autem amplificatio*
Multæ doctrinæ, qua nil vanius est. »

Plerique hoc modo Heracliti sententiam proferunt, Πολυμαθίη νόον οὐ διδάσκει· ut Laertius principio *Heracliti*; Julianus imp. orat. 6; Gellius lib. ult., c. ult.

(51) *Τούτους.* Hæc apud Platonem exstant lib. *De repub.* p. 667, itemque apud Theodoretum *De curand. Græc. affect.*, serm. 1, p. 470. Porro τούτους οὖν ἅπαντας καὶ τοὺς ἄλλους τ. habet Theodoret.

(52) *Καὶ τῶν τεχ.* Scribendum ex Platone et Theodoreto, καὶ τοὺς τῶν τεχνυδρίων. Quam lectionem habere H. ms. testatur Sylburg. — Mox, φήσομεν pro θήσομεν apud Plat.

(53) *Εἶπεν.* Scribendum ex Platone et Theod. εἶπον, prim. pers. qua postea iterum utitur : ἦν D δ' ἐγώ.

(54) *Οὐ γὰρ ἐν γεωμ.* Hactenus Plato. Quæ sequuntur usque ad ἑτέρων μέν, Clementis nostri verba sunt : ea tamen, tanquam Platonis, recitavit, loco jam dicto, Theodoretus : ea nempe e Clemente, pro more suo, mutuatus.

(55) *Ἀλλ' αὖ τοῦ ἀγ. δι' ἐπ.* Scribendum ope Theodoreti, ἀλλ' αὐτοῦ τοῦ ἀγαθοῦ δεῖ ἐπιστήμης καὶ τῆς ἀληθ. Quod Latine expressimus.

(56) *Ὄντων τἀγαθοῦ ὁδῶν.* Ὄντων et ὁδῶν habent anomaliam generis. Sylburg. — Scribi forte melius possit : Ἑτέρων μὲν ὄντων τἀγαθῶν, ἑτέρων δὲ ὁδῶν ἐπὶ τἀγαθόν· « cum aliud sint ipsa bona, aliud viæ ac media ad bonum. » Cujusmodi quiddam cum ea, quæ præcedunt, tum quæ sequuntur etiam, postulare videntur.

(57) *Ἐγκύκλιον π.* Conf. quæ dicta sunt ad p. 284 ed. Paris.

(58) *Νῦν ὡς δι' ἐσ.* Ἄρτι δι' ἐσ. I Cor. XIII, 12.

ejusdem veritatis specie, seu imagine, alii dicunt, quædam esse a philosophis prolata. De nobis itaque dicit divinus Apostolus : « Videmus enim nunc tanquam per speculum, » per eam scilicet, quæ est in ipso, reflexionem nos ipsos cognoscentes; et ex ea, quæ est in nobis, divinitate efficientem causam, quoad ejus potest fieri, una contemplantes. « Vidisti enim, inquit, fratrem tuum, vidisti Deum tuum. » Servatorem puto Deum nunc nobis dictum esse. Post carnem autem depositam, « facie ad faciem[a];» tunc scilicet ita ut clare definire et comprehendere valeamus, quando « cor purum » fuerit. Et per imaginem quidem et transpectum Deum vident, qui apud Græcos accurate sunt philosophati. Nam per imbecillitatem nostram fit, ut ejusmodi sint, quotquot veras de Deo imagines habemus, quales per aquas cernuntur, aut per alia pellucida et perspicua corpora videre solemus. Recte ergo Salomon : « Qui seminat, » inquit, « justitiam, operatur fidem. Sunt » autem, « qui plura seminant, ii, qui plura faciunt[b]. » Et rursus : « Curam gere eorum, quæ sunt in campo viridia, et tondebis herbam; et collige fœnum maturum, ut habeas oves ad vestimentum[c]. » Vides quemadmodum externi quoque integumenti et præsidii sit cura gerenda. « Scienter autem agnoscas animas gregis tui[d]. Quando enim gentes, quæ legem non habent, natura quæ sunt legis faciunt, ii non habentes legem, sibi ipsis sunt lex[e]; » præputio scilicet servante legis justitias, ex sententia **137** Apostoli, et ante legem, et ante adventum. Tanquam comparationem autem faciens philosophorum cum iis, qui vocantur hæretici, admodum dilucide: « Melior est, » inquit Logos, « amicus prope, quam frater longe habitans[f]. Qui autem falsis innititur, is pascit ventos, et persequitur aves pennatas[g]. » Non existimo Logon nunc ✠ dicere philosophiam, licet ea sæpe argumentis probabilibus et ad fidem faciendam aptis utatur, sed in-

A « Εἶδες γάρ, φησὶ (59), τὸν ἀδελφόν σου, εἶδες τὸν Θεόν σου· » τὸν Σωτῆρα οἶμαι Θεὸν εἰρῆσθαι ἡμῖν τὰ νῦν. Μετὰ δὲ τὴν τῆς σαρκὸς ἀπόθεσιν, « πρόσωπον πρὸς πρόσωπον· » τότε ἤδη ὁριστικῶς καὶ καταληπτικῶς, ὅτ' ἂν « καθαρὰ (60) ἡ καρδία » γένηται. Καὶ κατ' ἔμφασιν δὲ καὶ διάφασιν οἱ ἀκριβῶς παρ' Ἕλλησι φιλοσοφήσαντες, διορῶσι τὸν Θεόν· τοιαῦται γὰρ αἱ κατ' ἀδυναμίαν φαντασίαι ἀληθεῖς (61), ὡς φαντασία καθορᾶται ἐν τοῖς ὕδασιν, ὁρῶμεν καὶ τὰ διὰ τῶν διαφανῶν καὶ διαυγῶν σωμάτων. Καλῶς οὖν ὁ Σολομὼν, « Ὁ σπείρων (62), » φησὶ, « δικαιοσύνην, ἐργάζεται πίστιν· εἰσὶ δὲ οἱ τὰ ἴδια σπείροντες, οἳ (63) πλείονα ποιοῦσι. » Καὶ πάλιν· « Ἐπιμελοῦ τῶν ἐν τῷ πεδίῳ χλωρῶν, καὶ κερεῖς πόαν· καὶ συνάγαγε χόρτον ὥριμον, ἵνα ἔχῃς πρόβατα εἰς ἱματισμόν· » B ὁρᾷς ὅπως καὶ τῆς ἔξωθεν σκέπης τε καὶ φυλακῆς φροντιστέον· « Γνωστῶς δὲ ἐπιγνώσῃ ψυχὰς ποιμνίου σου. Ὅτ' ἂν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῶσιν (64), οὗτοι, νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος, τῆς ἀκροβυστίας (65) τὰ δικαιώματα τοῦ νόμου φυλασσούσης, » κατὰ τὸν Ἀπόστολον, καὶ πρὸ τοῦ νόμου, καὶ πρὸ τῆς παρουσίας. Οἱονεὶ δὲ σύγκρισιν ποιούμενος ὁ Λόγος τῶν ἀπὸ φιλοσοφίας πρὸς τοὺς αἱρετικοὺς, καλουμένους, ἐμφανῶς πάνυ, « Κρείσσων, φησὶ, φίλος ἐγγὺς, ἢ ἀδελφὸς μακρὰν οἰκῶν. Ὃς δὲ ἐρείδεται ἐπὶ ψεύδεσιν, οὗτος ποιμαίνει ἀνέμους (66), καὶ διώκει ὄρνεα πτερωτά. » Οὐκ οἶμαι φιλοσοφίαν λέγειν τανῦν τὸν Λόγον, καίτοι ἐν πολλοῖς τὰ εἰκότα ἐπιχειρεῖ καὶ πιθανεύεται φιλοσοφία, ἀλλὰ τὰς αἱρέσεις ἐπιῤῥαπίζει. C Ἐπιφέρει γοῦν· « Ἀπέλιπε γὰρ ὁδοὺς τοῦ ἑαυτοῦ ἀμπελῶνος· τὰς δὲ τροχιὰς τοῦ ἰδίου γεωργίου πεπλάνηται. » Αὗται δέ εἰσιν αἱ τὴν ἐξ ἀρχῆς ἀπολείπουσαι Ἐκκλησίαν. Αὐτίκα ὁ εἰς αἵρεσιν ὑποπεσὼν « διέρχεται δι' ἐρημίας (67) ἀνύδρου, » τὸν ὄντως ὄντα Θεὸν καταλιπὼν, ἔρημος Θεοῦ, ὕδωρ ἄνυδρον ζητῶν, « τὴν ἀοίκητον καὶ δίψιον ἐπερχόμενος γῆν, συνάγων χερσὶν ἀκαρπίαν. Καὶ τοῖς ἐνδεέσι φρενῶν (68) παρακελεύομαι, » λέγουσά φησιν ἡ Σο-

✠ P. 375 ED. POTTER, 317-318 ED. PARIS. [a] I Cor. XIII, 12. [b] Prov. XI, 21, 24. [c] Prov. XXVII, 25, 26. [d] Ibid., 23. [e] Rom. II, 14. [f] Prov. XXVII, 10. [g] Prov. IX, 12.

(59) *Φησί*. Parentheticum φησίν, aliena hæc verba ostendit, ut alibi sæpe: nec φύσει substituere opus est. SYLBURG. — Hanc sententiam rursus laudavit Clemens *Strom.* II, pag. 391, tacito auctoris nomine.

(60) *Καθαρά*. Respicit Christi dictum, Matth. V, 8 : Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.

(61) *Ἀληθεῖς*. Lege ἀληθῶς. LOWTH.

(62) *Ὁ σπείρων*. Vulg. Biblia Prov. XI : Ὁ σπείρων δικαιοσύνην, λήψεται μισθὸν πιστόν. SYLBURG.— Non eum locum, quem putat Hervetus, citat Clemens, sed ex eodem Prov. XI capite, v. 21, qui tamen nonnihil diversus est apud LXX : Ὁ σπείρων δικαιοσύνην, λήψεται μισθὸν πιστῶν. Clemens ait : Ὁ σπείρων δικαιοσύνην, ἐργάζεται πίστιν. Vulgata Latina : « Semen autem justorum salvabitur. » Sic Aquila : Καὶ σπέρμα δικαίων περισωθήσεται· et qui ex Hebræo vertunt. Sequitur apud Clementem versus ejusdem capitis 24 : Εἰσὶν, οἱ τὰ ἴδια σπείροντες, οἳ πλείονα ποιοῦσιν· « Sunt, qui propria seminantes, plura faciunt. » Hervetus addidit e Græco LXX : « Sunt et qui aliena colligunt, et damno afficiuntur. » Latina : « Alii dividunt propria, et ditiores fiunt : et alii rapiunt non sua, et semper D in egestate sunt. » Ex Hebræo vero ad verbum : « Est, qui disperdit rem, et additur ei amplius : et est, qui parcit rei suæ plus æquo, sed ad inopiam redigitur. » COLLECT.

(63) *Οἵ*. Abest a Prov. Mox, σύναγε pro συνάγαγε. ID.

(64) *Ποιῶσιν*. Ποιῇ, Rom.

(65) *Τῆς ἀκροβυστίας*. Respicit Rom. II, 26 : Ἐὰν οὖν ἡ ἀκροβυστία τὰ δικαιώματα τοῦ νόμου φυλάσσῃ, οὐχὶ ἡ ἀκροβυστία αὐτοῦ εἰς περιτομὴν λογισθήσεται;

(66) *Ποιμαίνει ἀν*. Proverb. IX : Ποιμανεῖ ἀνέμους· ὁ δὲ αὐτὸς διώξεται ὄρνεα πετόμενα. Mox, τοὺς δὲ ἄξονας τοῦ ἰδίου γ. pro τὰς δὲ τροχιὰς τοῦ ἰδίου γ. Ibid. SYLBURG.

(67) *Διέρχεται δι' ἐρ*. Διαπορεύεται δι' ἀνύδρου ἐρήμου, καὶ γῆν διατεταγμένην ἐν διψώδεσι, συνάγει δὲ χερσὶν ἀκαρπίαν. Proverb.

(68) *Φρενῶν*. Φρονήσεως, Proverb.

φία (69), τοῖς ἀμφὶ τὰς αἱρέσεις δηλονότι· « Ἄρτων κρυφίων ἡδέως ἅψασθε, καὶ ὕδατος κλοπῆς γλυκεροῦ (70)· » « ἄρτον » καὶ « ὕδωρ (71) » οὐκ ἐπ' ἄλλων τινῶν, ἀλλ' ἢ ἐπὶ τῶν ἄρτῳ καὶ ὕδατι κατὰ τὴν προσφορὰν, μὴ κατὰ τὸν κανόνα τῆς Ἐκκλησίας, χρωμένων αἱρέσεων, ἐμφανῶς ταττούσης τῆς Γραφῆς. Εἰσὶ γὰρ οἳ καὶ ὕδωρ ψιλὸν εὐχαριστοῦσιν (72). « Ἀλλὰ ἀποπήδησον, μὴ χρονίσῃς ἐν τῷ τόπῳ αὐτῆς· τόπον » τὴν Συναγωγὴν, οὐχὶ δὲ Ἐκκλησίαν, ὁμωνύμως προσεῖπεν. Εἶτα ἐπιφωνεῖ· « Οὕτω γὰρ διαβήσῃ ὕδωρ ἀλλότριον· » τὸ βάπτισμα τὸ αἱρετικὸν, οὐχ οἰκεῖον καὶ γνήσιον ὕδωρ λογιζομένη. « Καὶ ὑπερβήσῃ ποταμὸν ἀλλότριον, » τὸν παραφέροντα καὶ κατασύροντα εἰς θάλασσαν, εἰς ἣν ἐκδίδοται ὁ παρεκτραπεὶς ἐκ τῆς κατ' ἀλήθειαν ἑδραιότητος, συνεκρυεὶς αὖθις εἰς τὰ ἐθνικὰ καὶ ἄτακτα τοῦ βίου κύματα.

sectatur hæreses. Infert itaque : « Reliquit enim vias suæ vineæ, in semitis autem propriæ agriculturæ aberravit. » Eæ autem sunt, quæ primævam Ecclesiam relinquunt. Jam vero qui cecidit in hæresim, « transit per solitudinem sine aqua, » eo, qui vere Deus est, relicto, a Deo desertus, aquam quærens sine aqua, « non habitabilem et sitibundam terram pervadens, colligens manibus sterilitatem fructuum. Et iis, qui carent prudentia, jubeo, » inquit Sapientia, scilicet, qui versantur in hæresibus, « panes absconsos lubenter tangite, et aquam furti dulcem: » ubi per « panem » et « aquam, » eas hæreses clare notat Scriptura, quæ in oblatione pane et aqua aliter utuntur, quam Ecclesiæ canonibus præcipitur. Sunt enim, qui sola aqua utuntur in eucharistia. « Sed resilias, ne diu moreris in loco ejus : locum » Synagogam, non autem Ecclesiam, æquivoce appellavit. Deinde acclamat : « Ita enim trajicies aquam alienam: » baptisma hæreticum, non convenientem et germanam aquam reputans. « Et transmeabis fluvium alienum [a], » qui in mare defert et detrahit, in quod illabitur, qui divertit a stabilitate veritatis, rursus confluens ad gentiles et inordinatos vitæ fluctus.

CAPUT XX.

Quanam ratione philosophia conferat ad divinæ veritatis comprehensionem.

Ὡς δὲ οἱ πολλοὶ ἄνθρωποι, οἱ καθέλκοντες τὴν ναῦν, οὐ πολλὰ αἴτια λέγοιντ' ἂν, ἀλλ' ἐκ πολλῶν αἴτιον ἕν· οὐκ ἔστι γὰρ αἴτιος ἕκαστος τοῦ καθέλκεσθαι τὴν ναῦν, ἀλλὰ σὺν τοῖς ἄλλοις· οὕτω καὶ ἡ φιλοσοφία, πρὸς κατάληψιν τῆς ἀληθείας, ζήτησις οὖσα ἀληθείας, συλλαμβάνεται· οὐκ αἰτία οὖσα καταλήψεως, σὺν δὲ τοῖς ἄλλοις αἰτία, καὶ συνεργός· τάχα δὲ καὶ τὸ συναίτιον αἴτιον. Ὡς δὲ ἑνὸς ὄντος τοῦ εὐδαιμονεῖν, αἰτίαι τυγχάνουσιν αἱ ἀρεταὶ πλείονες ὑπάρχουσαι· καὶ ὡς τοῦ θερμαίνεσθαι ὅ τε ἥλιος, τό τε πῦρ, βαλανεῖόν τε, καὶ ἐσθής· οὕτω μιᾶς οὔσης τῆς ἀληθείας, πολλὰ τὰ συλλαμβανόμενα πρὸς ζήτησιν (73) αὐτῆς· ἡ δὲ εὕρεσις, ἡ δι' Υἱοῦ. Εἰ γοῦν σκοποῖμεν, μία κατὰ δύναμίν ἐστιν ἡ ἀρετή· ταύτην δὲ συμβέβηκε, τούτοις μὲν τοῖς πράγμασιν

Quemadmodum autem multi homines, qui navem trahunt, non dici possunt multæ causæ, sed una causa ex multis constans : non est enim unusquisque causa, ut navis trahatur, sed cum aliis; ita etiam philosophia confert ad comprehendendam veritatem, cum sit inquisitio veritatis, non quod sit causa comprehensionis, sed causa cum aliis, et cooperatrix, et forte etiam causa concausans. Quemadmodum autem cum beatitudo unum sit, ejus causæ sunt plures virtutes; et quemadmodum ut quis calefiat, efficiunt et sol et ignis, et balneum, et vestis; ita cum sit una veritas, multa sunt, quæ conferunt ad ejus inquisitionem, inveniri autem sine ✠ Filii auxilio non potest. Et si quidem recte consideremus, potestate una est virtus, accidit

✠ P. 376 ED. POTTER, 318 ED. PARIS.

[a] Prov. IX, 16, 17, 18.

(69) *Σοφία.* De Sapientiæ nomine Salomonis libris indito conf. quæ adnotavit Cotelerius ad finem Clementis Romani *Epist.* I *ad Corinthios.*

(70) *Γλυκεροῦ.* Γλυκεροῦ πίετε, Proverb., ubi mox, ἐν τῷ τόπῳ, omisso αὐτῆς. Dein, διαβήσῃ ὡς ὕδωρ, inquit Sylburg.

(71) *Ἄρτον καὶ ὕδωρ.* Hervetus perperam vertit « panem et vinum. » Scribe e Græco Clementis, « panem et aquam; » est enim error typographi, qui ex alia editione adhæsit. Sunt hæc ex IX Proverb. et familiare est sanctis Patribus τῆς Σοφίας nomine auctores innuere, qui Ecclesiastam, Ecclesiasticum et Proverbia scripserunt, ut ποιητικῆς nomine, poetas. Quod vero sequitur : « Sed resilias, ne diu moreris in loco ejus, » desumptum est ex appendice ejusdem capitis in editione Romana nuper aucti; ut et illa : « Ita enim transibis aquam alienam, et transmeabis fluvium alienum, » καὶ ὑπερβήσῃ ὕδωρ ἀλλότριον, ex uno libro adduntur, cujus auctoritas confirmari hoc Clementis loco potest, et commentario Didymi nondum edito, qui fluvium interpretatur διδασκαλίαν ἀπατηλὴν καὶ παρασύρουσαν, οὐ πρὸς καρποφορίαν ἄγουσαν. Vide quæ adnotata sunt in *Pædagogum.* COLLECT.

(72) *Ὕδωρ ψιλὸν εὐχ.* Aquarii nempe; de quibus Augustinus lib. *De hæres.* cap. 64. SYLB. — Ebionæi solam aquam in eucharistia adhibebant. Quo allusit Irenæus lib. V, cap. 1, p. 394 edit. Oxon. : « Reprobant itaque hi commistionem vini cœlestis, et sola aqua sæcularis volunt esse, non recipientes Deum ad commistionem suam. » Conf. Epiphanius hæres. 30, sect. 16. In eumdem errorem incidit etiam Tatianus, sectæ Encratitarum pater, tradente Epiphanio hæres. 46 : Μυστηρίοις δὲ ὡσαύτως κέχρηται κατὰ μίμησιν τῆς ἁγίας Ἐκκλησίας, ὕδατι δὲ μόνῳ χρώμενος ἐν τοῖς αὐτοῖς μυστηρίοις· « Mysteriis etiam perinde usus est ad exemplum sanctæ Ecclesiæ, sed in iis celebrandis solam aquam adhibet. » Unde ejus discipuli appellabantur Ὑδροπαραστάται, « Aquarii, » ὡς ὕδωρ ἀντὶ οἴνου προσφέροντες, « quod aquam pro vino offerrent, » ut ait Theodoretus *Hæretic. fab.* lib. I, cap. 20. Cyprianus p. 276 edit. Amstelod. : « Quidam novella institutione in calice Dominico sanctificando et plebi ministrando non hoc faciunt, quod Christus, hujus sacrificii auctor et doctor, fecit et docuit; » tum pergit solam aquam consecrantes copiose refellere.

(73) *Πρὸς ζήτ.* Malim cum articulo, πρὸς τὴν ζήτησιν. SYLBURG.

autem, ut ea cum his quidem insit rebus, dicatur prudentia, in illis autem temperantia, in aliis vero animi magnitudo vel justitia. Eadem autem ratione cum sit una quoque veritas, in geometria geometriæ veritas; in musica autem musicæ; et in recta philosophia fuerit Græca veritas. Sola autem hæc est authentica veritas, quæque a nemine attingi potest, quam docemur a Dei Filio. Eodem modo una eademque drachma, si data fuerit nautæ, naulum; si publicano, vectigal; si ei qui domum locat, merces conductæ domus; si præceptori, operæ merces; si ei qui vendit, arrha dicitur. Singulæ autem, seu virtutes, seu veritates, communi quidem nomine conveniunt, sed proprium aliquem, eumque unicum, effectum habent; quorum omnium ex conjunctione nascitur vita beata. Non enim solis nominibus beati reddimur, cum rectam vitam dicamus beatitudinem; et illum beatum, cui virtute exornata est anima. Quod si etiam philosophia e longinquo opem fert inventioni veritatis, variis notionibus tendens ad nostram scientiam, quæ proxime attingit veritatem; sic tamen ei opem fert, qui Logi auxilio conatur apprehendere cognitionem. Proinde Græca veritas, etiamsi sit idem nomen sortita, tamen a nostra tum magnitudine cognitionis, tum demonstrationum evidentia, et divina virtute, et aliis similibus, satis distinguitur. A Deo enim docti sumus, qui litteras vere sacras a Filio Dei didicimus; unde non perinde ac nos illi movent animas, sed diversa plane methodo ac disciplina. Quod si propter eos, qui nos calumniandi ansas quærunt, oportebit nos distinguere, philosophiam, ut quæ in veritate indaganda versetur, comprehendendæ veritatis concausam et cooperatricem appellantes, fatebimur eam esse præviam hominis gnostici disciplinam, non tamen esse causam, quæ solum est concausa; neque continens, id, quod adjuvat et cooperatur, nec perinde ac si non sit veritas absque philosophia. Nam omnes fere absque disciplinarum orbe, quam « encyclopædiam » vocant, et Græca philosophia, alii autem etiam absque litteris, divina et barbara moti philosophia, potestate eum, qui de Deo est, per fidem accepimus sermonem, eruditi sapientia, quæ per se operatur. Quod autem ✠ cum alio agit, cum per imperfectionem suam

A ἐγγενομένην, λέγεσθαι φρόνησιν, ἐν τούτοις δὲ σωφροσύνην, ἐν τούτοις δὲ ἀνδρείαν ἢ δικαιοσύνην. Ἀνὰ τὸν αὐτὸν οὖν λόγον καὶ μιᾶς οὔσης ἀληθείας, ἐν γεωμετρίᾳ μὲν γεωμετρίας ἀλήθεια, ἐν μουσικῇ δὲ μουσικῆς· κἂν φιλοσοφίᾳ τῇ ὀρθῇ Ἑλληνικὴ εἴη ἂν ἀλήθεια. Μόνη δὲ ἡ κυρία αὕτη ἀλήθεια, ἀπαρεγχείρητος, ἣν παρὰ τῷ Υἱῷ τοῦ Θεοῦ παιδευόμεθα. Τοῦτόν φαμεν (74) τὸν τρόπον μιᾶς καὶ τῆς αὐτῆς δραχμῆς, τῷ μὲν ναυκλήρῳ δοθείσης, λέγεσθαι ναῦλον, τῷ δὲ τελώνῃ τέλος· καὶ ἐνοίκιον μὲν τῷ σταθμούχῳ· μισθὸν δὲ τῷ διδασκάλῳ· καὶ τῷ πιπράσκοντι ἀῤῥαβῶνα. Ἑκάστη δὲ εἴτε ἀρετὴ, εἴτε καὶ ἀλήθεια, συνωνύμως καλουμένη, μόνου τοῦ καθ' ἑαυτὴν ἀποτελέσματός ἐστιν αἰτία· κατὰ σύγχρησιν δὲ τούτων γίνεται τὸ εὐδαιμόνως ζῆν· μὴ γὰρ δὴ εὐδαιμονῶμεν πρὸς τὰ ὀνόματα, ὅτ'
B ἂν τὸν ὀρθὸν βίον εὐδαιμονίαν λέγωμεν, καὶ εὐδαίμονα τὸν κεκοσμημένον τὴν ψυχὴν εὐαρέτως (75). Εἰ δὲ καὶ πόῤῥωθεν συλλαμβάνεται φιλοσοφία τῇ πρὸς τὴν ἀλήθειαν εὑρέσει, κατὰ διαφόρους ἐπιβολὰς διατείνουσα ἐπὶ τὴν προσεχῶς ἁπτομένην τῆς ἀληθείας, τὴν καθ' ἡμᾶς εἴδησιν· ἀλλὰ συλλαμβάνεταί γε τῷ λογικῶς ἐπιχειρεῖν ἐσπουδακότι ἀνθάπτεσθαι γνώσεως. Χωρίζεταί τε ἡ Ἑλληνικὴ ἀλήθεια τῆς καθ' ἡμᾶς, εἰ καὶ τοῦ αὐτοῦ μετείληφεν ὀνόματος, καὶ μεγέθει γνώσεως, καὶ ἀποδείξει κυριωτέρᾳ, καὶ θείᾳ δυνάμει, καὶ τοῖς ὁμοίοις. Θεοδίδακτοι (76) γὰρ ἡμεῖς, ἱερὰ ὄντως γράμματα (77) παρὰ τῷ Υἱῷ τοῦ Θεοῦ παιδευόμενοι· ἔνθεν οὐδ' ὡσαύτως κινοῦσι τὰς ψυχὰς, ἀλλὰ διαφόρῳ διδασκαλίᾳ. Εἰ δὲ διαστέλλεσθαι ἡμᾶς διὰ τοὺς φιλεγκλήμονας δεήσει, συναίτιον φιλο-
C σοφίαν (78) καὶ συνεργὸν λέγοντες τῆς ἀληθοῦς καταλήψεως, ζήτησιν οὖσαν ἀληθείας, προπαιδείαν αὐτὴν ὁμολογήσομεν τοῦ γνωστικοῦ, οὐκ αἴτιον τιθέμενοι τὸ συναίτιον· οὐδὲ μὴν τὸ συνεργὸν συνεκτικόν· οὐδ' ὡς οὐκ οὔσης ἄνευ τὴν φιλοσοφίαν (79). Ἐπεὶ σχεδὸν οἱ πάντες ἄνευ τῆς « ἐγκυκλίου παιδείας, » καὶ φιλοσοφίας τῆς Ἑλληνικῆς, οἱ δὲ καὶ ἄνευ γραμμάτων, τῇ θείᾳ καὶ βαρβάρῳ κινηθέντες φιλοσοφίᾳ, δυνάμει (80) τὸν περὶ Θεοῦ διὰ πίστεως παρειλήφαμεν λόγον, αὐτουργῷ σοφίᾳ πεπαιδευμένοι. Ὃ δὲ μεθ' ἑτέρου ποιεῖ, ἀτελὲς ὂν καθ' αὑτὸ ἐνεργεῖν, συνεργόν φαμεν καὶ συναίτιον, ἀπὸ τοῦ συναιτίου αἴτιον ὑπάρχειν (81), ἀπὸ τοῦ ἑτέρῳ συνελθεῖν, αἴτιον γίγνεσθαι ὠνομασμένον· καθ' ἑαυτὸ δὲ μὴ δύνασθαι τὸ ἀποτέλεσμα τὸ κατ' ἀλήθειαν παρέχειν. Καίτοι καὶ
D καθ' ἑαυτὴν ἐδικαίου (82) ποτὲ καὶ ἡ φιλοσοφία τοὺς

✠ P. 377 ED. POTTER, 319 ED. PARIS.

(74) *Τοῦτόν φαμεν*. H. ms. τοῦτον μὲν οὖν φαμεν. Sylburg.

(75) *Εὐαρέτως*. Malim ἐναρέτως.

(76) *Θεοδίδακτοι*. Respicit I Thess. IV, 9 : Αὐτοὶ γὰρ ὑμεῖς θεοδίδακτοί ἐστε.

(77) *Ἱερὰ ὄντως γράμματα*. « Vere sacras » appellat Christianorum « litteras, » ut eas distingueret ab Ægyptiorum, Chaldæorum, Æthiopum, aliorumve litteris, quæ dicebantur quidem, sed vere non erant ἱερὰ γράμματα.

(78) *Συναίτιον φιλ.* Malim cum articulo συναίτιον τὴν φιλοσοφίαν.

(79) *Οὐδ' ὡς οὐκ οὔσης ἄνευ τὴν φιλοσοφίαν*. A. et H., ἄνευ τῆς φιλοσοφίας· ut interpres quoque, « nec perinde ac non sit veritas absque philosophia. » Ego legendum puto, οὐδ' ὡς οὗ οὐκ ἄνευ, τὴν φιλοσοφίαν· id est « neque ut causam sine qua non, statuentes philosophiam, » ut quemadmodum in præcedentibus membris nominata est causa adjuvans, et causa continens; ita hic exprimatur causa sine qua non; sicut infra quoque p. 180, 332, 333. Sylburg.

(80) *Δυνάμει*. Respicere videtur Rom. I, 4 : Τοῦ ὁρισθέντος Υἱοῦ Θεοῦ ἐν δυνάμει, κατὰ Πνεῦμα ἁγιωσύνης· I Thess. I, 5 : Τὸ Εὐαγγέλιον ἡμῶν οὐκ ἐγενήθη ἐν λόγῳ μόνον, ἀλλὰ καὶ ἐν δυνάμει, καὶ ἐν Πνεύματι ἁγίῳ· vel alium locum his consimilem.

(81) *Ὑπάρχειν*. Si quis malit participium ὑπάρχον, per me licet. Sylburg.

(82) *Ἐδικαίου*. Conf. quæ superius dixit auctor, pag. 282 edit. Paris.

Ἕλληνας, οὐκ εἰς τὴν καθόλου δὲ δικαιοσύνην, εἰς ἣν εὑρίσκεται συνεργὸς, καθάπερ καὶ ὁ πρῶτος καὶ ὁ δεύτερος βαθμὸς τῷ εἰς τὸ ὑπερῷον ἀνιόντι, καὶ ὁ γραμματιστὴς τῷ φιλοσοφήσοντι· οὐχ ὡς κατὰ τὴν ἀφαίρεσιν αὐτῆς ἤτοι ἐλλείπειν τῷ καθόλου Λόγῳ, ἢ ἀναιρεῖσθαι τὴν ἀλήθειαν· ἐπεὶ καὶ ἡ ὄψις συμβάλλεται, καὶ ἡ ἀκοὴ, καὶ ἡ φωνὴ πρὸς ἀλήθειαν· νοῦς δὲ ὁ γνωρίζων αὐτὴν προσφυῶς. Ἀλλὰ τῶν συνεργῶν τὰ μὲν πλείονα, τὰ δ' ἐλάσσονα προσφέρεται δύναμιν. Ἡ γοῦν σαφήνεια συνεργεῖ πρὸς τὴν παράδοσιν τῆς ἀληθείας· καὶ ἡ διαλεκτικὴ πρὸς τὸ μὴ ὑποπίπτειν ταῖς κατατρεχούσαις αἱρέσεσιν. Αὐτοτελὴς μὲν οὖν καὶ ἀπροσδεὴς ἡ κατὰ τὸν Σωτῆρα διδασκαλία, « δύναμις οὖσα (83) καὶ σοφία τοῦ Θεοῦ· » προσιοῦσα δὲ φιλοσοφία ἡ Ἑλληνικὴ, οὐ δυνατωτέραν ποιεῖ τὴν ἀλήθειαν, ἀλλ' ἀδύνατον παρέχουσα B τὴν κατ' αὐτῆς σοφιστικὴν ἐπιχείρησιν, καὶ διακρουομένη τὰς δολερὰς κατὰ τῆς ἀληθείας ἐπιβουλὰς, « φραγμὸς (84) » οἰκεῖος (85) εἴρηται καὶ θριγκὸς εἶναι « τοῦ ἀμπελῶνος. » Καὶ ἡ μὲν, ὡς ἄρτος, ἀναγκαία πρὸς τὸ ζῆν, ἡ κατὰ τὴν πίστιν ἀλήθεια· ἡ προπαιδεία δὲ προσοψήματι ἔοικεν καὶ τραγήματι. « Δείπνου (86) δὲ λήγοντος, γλυκὺ τρωγάλιον (87), » κατὰ τὸν Θηβαῖον Πίνδαρον. Ἄντικρυς δὲ ἐξεῖπεν ἡ Γραφή· « Πανουργότερος (88) ἔσται ἄκακος, συνιὼν· ὁ δὲ σοφὸς δέξεται γνῶσιν. » Καὶ « ὁ μὲν ἀφ' ἑαυτοῦ λαβὼν (89), τὴν δόξαν τὴν ἰδίαν ζητεῖ, » φησὶν ὁ Κύριος· « ὁ δὲ ζητῶν τὴν δόξαν τοῦ πέμψαντος αὐτὸν ἀληθής ἐστι, καὶ ἀδικία οὐκ ἔστιν ἐν αὐτῷ. » Ἔμπαλιν οὖν ἀδικεῖ ὁ σφετερισάμενος τὰ βαρβάρων, καὶ ὡς ἰδίαν (90) αὐχῶν, τὴν ἑαυτοῦ δόξαν C αὔξων, καὶ ψευδόμενος τὴν ἀλήθειαν· οὗτος κλέπτης ὑπὸ τῆς Γραφῆς εἴρηται. Φησὶ γοῦν· « Υἱὲ, μὴ γίνου ψεύστης· ὁδηγεῖ γὰρ τὸ ψεῦσμα πρὸς τὴν κλοπήν. » Ἤδη δὲ ὁ κλέπτης, ὅπερ ὑφελόμενος ἔχει ἀληθῶς ἔχει, κἂν χρυσίον ᾖ, κἂν ἄργυρος, κἂν λόγος, κἂν δόγμα. Ἐκ μέρους τοίνυν ἃ κεκλόφασιν, ἀληθῆ μὲν, στοχαστικῶς δὲ καὶ ταῖς τῶν λόγων ἀνάγκαις ἴσασι, μαθητευθέντες οὖν, καταληπτικῶς ἐπιγνώσονται.

A per se operari nequeat, causam cooperantem et concausam dicimus, ut quod ex conjunctione ac consociatione causæ alterius nomen causæ meruerit, per se autem non possit verum effectum producere. Quanquam per se quoque aliquando Græcos justificabat philosophia, sed non universa ac perfecta justitia, ad quam consequendam cooperatur, velut primus et secundus gradus ei, qui ascendit in cœnaculum; et grammaticus ei, qui est philosophaturus. Non quod, hac sublata, universali Logo 138 desit aliquid, vel perimatur veritas: cum et visus, et auditus, et vox conferat ad veritatem, mens autem sit, quæ eam naturaliter cognoscat. Sed ex iis quidem, quæ cooperantur, alia quidem majorem, alia vero minorem vim adhibent. Perspicuitas itaque cooperatur in traditione veritatis; dialectica, ne prosternamur ab hæresibus, quæ faciunt incursiones, adjuvat. Est autem per se perfecta, et nullius indiga Servatoris doctrina, cum sit « Dei virtus et sapientia; » accedens autem Græca philosophia, veritatem non facit potentiorem; sed cum debiles efficiat sophistarum adversus eam argumentationes, et propulset dolosas adversus veritatem insidias, dicta est « vineæ » apta « sepes » et vallus. Et ea quidem veritas, quæ fide percipitur, tanquam panis necessaria est ad vivendum; quæ autem præcedit disciplina, est obsonio similis et bellariis: « Desinente vero cœna, suavis placentula, » ut ait Pindarus Thebanus. Aperte autem dicit Scriptura: « Astutior erit simplex, intelligens: sapiens autem suscipiet cognitionem [a]. » Et: « Qui a se ipso quidem accepit, gloriam propriam quærit, » inquit Dominus: « qui autem quærit gloriam ejus, qui misit ipsum, verus est, et injustitia non est in ipso [b]. » Contra igitur se injuste gerit, qui sibi usurpavit ea, quæ sunt barbarorum, et tanquam propriam jactans, suam augens gloriam, et ementiens veritatem: is fur dictus est a Scriptura. Dicit itaque: « Fili, ne sis mendax; deducit enim mendacium ad furtum. » Jam autem fur id, quod habet surreptum, vere habet, etiamsi sit aurum, etiamsi ✠ argentum, etiamsi oratio, etiamsi dogma:

✠ P. 378 ED. POTTER, 320 ED. PARIS.

[a] Prov. xxi, 11. [b] Joan. vii, 18.

(83) *Δύναμις οὖσα*. Respicit I Cor. i, 24: Αὐτοῖς δὲ τοῖς κλητοῖς, Ἰουδαίοις τε καὶ Ἕλλησι, Χριστὸν Θεοῦ δύναμιν, καὶ Θεοῦ σοφίαν.

(84) *Φραγμός*. Respicere videtur Matth. xxi, 33: Ἄνθρωπος ἦν τις οἰκοδεσπότης, ὅστις ἐφύτευσεν ἀμπελῶνα, καὶ φραγμὸν αὐτῷ περιέθηκε· vel Isa. v, 1, 2.

(85) *Οἰκεῖος*. Lowthius ait: « Forte legendum οἰκείως. » Mihi nil mutandum videtur.

(86) *Δείπνου*. Refertur inter fragmenta Pindari: Δείπνου δὲ λήγοντος, γλυκὺ τρωγάλιον. Et apud Athenæum lib. xiv, p. 274 Aldinæ edit.: Πίνδαρος δέ ἐστιν ὁ εἰπών· Δείπνου δὲ λήγοντος, γλυκὺ τρωγάλιον, καὶ περὶ παίδ' ἄφθονον βοράν. Interpres Dalechampius: « Ad exitum cœnæ, inquit Pindarus, dulce τρωγάλιον, et puerorum affluentem cibum. » Subaudit περιέθεσαν. Hesychius: Τρωγάλια, τὰ τραγήματα Λάκωνες. Pollux, Τρωγάλια esse dicit nuces, et mespila, et mala punica, et alia ejusmodi. Apud Suidam: Τρωγάλιον, οὕτω τὰ τραγήματα ἐκάλουν οἱ παλαιοί. Paulo post apud eumdem: Τρωκτὰ, τὰ καταχτά, corrige ex manuscripto: τὰ καταβρακτὰ τῶν ὀπωρῶν. Sic pag. 685: « Græcam quoque attingit philosophiam, ut qui sit bellarium, » etc. Collect.

D

(87) *Γλυκὺ τρωγάλιον*. H. ms, γλυκέα τρωγάλια. Sylburg. — Conf. *Archæologiæ* nostræ *Græcæ* lib. iv, cap. 20.

(88) *Πανουργότερος*. Videtur ea spectare, quæ sunt i cap. Prov.: Ἵνα δῷ ἀκάκοις πανουργίαν, παιδὶ δὲ νέῳ αἴσθησιν καὶ ἔννοιαν: « Ut det simplicibus astutiam: puero autem novo, sensum et cogitationem. » Versus est 4 in Latina, et « audiens sapiens, sapientior erit. » Ad verbum ex Hebræo « addet doctrinam, » id est fiet doctior, cognitionem promovebit. Collect. — Respicit auctor Prov. xxi, 11: Ζημιουμένου ἀκολάστου πανουργότερος γίνεται ὁ ἄκακος, συνιὼν δὲ σοφὸς δέξεται γνῶσιν.

(89) *Λαβών*. Λαλῶν, Joan., ubi mox, οὗτος ἀληθής ἐστιν.

(90) *Ἰδίαν*. Forte ἰδίᾳ, « privatim; » vel, ἰδίοις, « proprio » nempe invento. Sylburg.

Proinde quæ suffurati sunt, partim quidem vera sunt, verum ab illis per conjecturas, et rationum necessitatibus concluduntur : quæ, cum discipuli facti fuerint, cum fiducia ac certitudine agnoscent.

CAPUT XXI.

Ex Moysis aliorumque prophetarum ætate, prolixe cum temporibus Græcorum comparata, ostenditur instituta et leges Judæorum multo esse antiquiora philosophia Græcorum.

Quod vero philosophorum quidem dogmata ab Hebræis surrepta fuerint, tractabimus paulo post. Interea vero, ut methodus postulat, jam dicendum est de temporibus Moysis : unde patebit citra omnem controversiam, Hebræorum philosophiam esse quavis philosophia longe antiquiorem. Ac de iis quidem accurate dictum est a Tatiano in Oratione *Adversus Græcos*. Dictum est autem etiam a Cassiano in primo *Exegeticon* : postulat tamen commentarius, ut nos quoque ea percurramus, quæ in hoc argumentum dicta sunt. Apion itaque grammaticus, qui Plistonices est cognominatus, in quarto *Historiarum Ægypti*, etsi esset infensus Hebræis, utpote genere Ægyptius, adeo ut etiam adversus Judæos librum scripserit, Amosis Ægypti regis mentionem faciens, ejus rerum gestarum testem adducit Ptolemæum Mendesium. Ejus autem verba sic habent : « Evertit autem Amosis Athyriam, qui fuit tempore Inachi Argivi, ut scripsit in *Temporibus*

A Καὶ περὶ μὲν τοῦ παρ' Ἑβραίων τὰ τῶν φιλοσόφων ἐσκευωρῆσθαι δόγματα, μικρὸν ὕστερον διαληψόμεθα· πρότερον δὲ, ὅπερ ἀκόλουθον ἦν, περὶ τῶν κατὰ Μωϋσέα χρόνων ἤδη λεκτέον· δι' ὧν δειχθήσεται ἀναμφηρίστως πάσης σοφίας ἀρχαιοτάτη (91) ἡ κατὰ Ἑβραίους φιλοσοφία. Εἴρηται (92) μὲν οὖν περὶ τούτων ἀκριβῶς Τατιανῷ (93) ἐν τῷ *πρὸς Ἕλληνας* (94)· εἴρηται δὲ Κασιανῷ ἐν τῷ πρώτῳ τῶν Ἐξηγητικῶν· ἀπαιτεῖ δὲ ὅμως τὸ ὑπόμνημα, καὶ ἡμᾶς ἐπιδραμεῖν τὰ κατὰ τὸν τόπον εἰρημένα. Ἀπίων (95) τοίνυν ὁ γραμματικὸς, ὁ Πλειστονίκης ἐπικληθεὶς, ἐν τῇ τετάρτῃ (96) τῶν *Αἰγυπτιακῶν ἱστοριῶν*· καίτοι φιλαπεχθημόνως πρὸς Ἑβραίους διακείμενος, ἅτε Αἰγύπτιος τὸ γένος, ὡς καὶ κατὰ Ἰουδαίων συντάξασθαι βιβλίον, Ἀμώσιος (97), τοῦ Αἰγυπτίων B βασιλέως, μεμνημένος, καὶ τῶν κατ' αὐτὸν πράξεων μάρτυρα παρατίθεται Πτολεμαῖον (98) τὸν Μενδήσιον· καὶ τὰ τῆς λέξεως αὐτοῦ ὧδε ἔχει· « Κατέσκαψε δὲ τὴν Ἀθυρίαν (99) Ἄμωσις, κατὰ τὸν Ἀρ-

(91) *Ἀρχαιοτάτη*. Græci Christianis objiciebant, eorum religionem ac dogmata nuper inventa, ac proinde falsa esse : unde apologiarum scriptores sæpe ostendunt, Judæorum res, a quibus Christiani originem suam traxerunt, Græcorum philosophia ac historiis omnibus longe vetustiores fuisse. Justinus M. prophetarum Hebræorum scripta asserit esse πρεσβύτερα πάντων τῶν γεγενημένων συγγραφέων, « scriptoribus omnibus vetustiora, » *Apol.* I, pag. 46 edit. Oxon. Idem vero argumentum latius persequitur *Parænes. ad Græc.* p. 62 et seq. Theophilus in principio lib. III *Ad Autolycum* : Λῆρον ἡγῇ τυγχάνειν τὸν λόγον τῆς ἀληθείας, οἰόμενος προσφάτους καὶ νεωτερικὰς εἶναι τὰς παρ' ἡμῖν γραφάς. Διὸ δὴ κἀγὼ οὐκ ὀκνήσω ἀνακεφαλαιώσασθαί σοι, παρέχοντος Θεοῦ, τὴν ἀρχαιότητα τῶν παρ' ἡμῖν γραμμάτων· « Tu quidem arbitraris veritatis sermonem esse nugas : existimans scilicet scripta nostra esse recentia ac nupera. Proinde ego nil cunctabor, Deo juvante, litterarum nostrarum antiquitatem a prima origine repetere. » Ejusdem libri pag. 127 edit. Paris. : Θέλω δέ σοι καὶ τὰ τῶν χρόνων, Θεοῦ παρέχοντος, νῦν ἀκριβέστερον ἐπιδεῖξαι, ἵνα ἐπιγνῷς ὅτι οὐ πρόσφατος, οὐδὲ μυθώδης ἐστὶν ὁ καθ' ἡμᾶς λόγος, ἀλλ' ἀρχαιότερος καὶ ἀληθέστερος ἁπάντων ποιητῶν καὶ συγγραφέων· « Cæterum nunc instituo, Deo juvante, exactius temporum computationem demonstrare, ut cognoscas non esse nuperam, nec fabulosam nostram historiam, sed vetustiorem ac veriorem esse omnibus poetis ac historicis. » Dein p. 137, sub ejusdem libri finem, hæc addit : Τῶν οὖν χρόνων καὶ τῶν εἰρημένων ἁπάντων συνηριθμημένων ὁρᾷν ἔσνι τὴν ἀρχαιότητα τῶν προφητικῶν γραμμάτων, καὶ τὴν θειότητα τοῦ παρ' ἡμῖν λόγου, ὅτι οὐ πρόσφατος ὁ λόγος, οὔ τε μὴν τὰ καθ' ἡμᾶς, ὥς οἴονταί τινες, μυθώδη καὶ ψευδῆ ἐστιν, ἀλλὰ μὲν οὖν ἀρχαιότερα καὶ ἀληθέστερα· « Ex temporum itaque computatione, et ex reliquis, quæ prædiximus, liquido constare judico, doctrinam et religionem nostram non esse nuperam ; imo, quæ supra dedimus, clare ostendunt litterarum propheticarum antiquitatem, et religionis nostræ divinitatem : quodque ea, quæ nos tradimus, non sint fabulosa et falsa, sed antiquitate et veritate profanorum scriptorum monimenta superent. » Quæ adduxi, ut pateret cur Clemens, aliique veteres apologiarum scriptores in hoc argumento tantopere laborarint. Conf. Lactantius lib. IV, cap. 5.

(92) *Εἴρηται*. Totam hanc pericopen, usque ad hæc verba ὁ Μωϋσῆς ἡμῖν ἀποδέδεικται πρεσβύτερος, Eusebius in suæ *Præparat. evangelicæ* lib. X, c. 12, transtulit p. 496 et seq.

(93) *Τατιανῷ*. Hæc in Tatiano exstant p. 125 et seq. edit. Oxon. Porro Τιχιανῷ habet Eusebii codex ms. in collegio D. Joannis Baptistæ asservatus.

C (94) *Πρὸς Ἕλληνας*. Πρὸς τοὺς Ἕλληνας, cum articulo, Euseb., ubi mox Κασσιανῷ, geminato σ, ut apud Latinos. SYLBURG.

(95) *Ἀπίων*. Apionem citat etiam Tertullianus in *Apologetico adversus gentes*, c. 19, in quem locum Pamelius scribens monet Plinium lib. XXXVII, c. 5, ejus meminisse. « Apion, inquit, cognomento Plistonices, paulo ante scriptum reliquit, esse etiam nunc in Labyrintho Ægypti colossæum Serapim. » Justinus *Orat. adhortatoria ad gentes*, eum dicit Posidonii filium, et Africanus apud Eusebium lib. III *Præpar.*, cap. 3, diligentissimum historiæ perscrutatorem. Ptolemæum etiam Mendesium et Mendetis sacerdotem testem laudant Tatianus, Justinus, et Africanus apud Eusebium. COLLECT. — Conf. etiam de Apione Tatianus cap. 59 ; A. Gellius lib. V, cap. 14, et lib. VII, cap. 8 ; *Recognitiones* Clementis lib. X, c. 52, quæque ibi adnotavit Cotelerius.

(96) *Τετάρτῃ*. Apionis de rebus Ægyptiacis πέντε D εἰσὶ γραφαί, « quinque sunt libri, » inquit Tatianus. Ille autem fuit, adversus quem Josephus Judæorum gentem defendit.

(97) *Ἀμώσιος*. Regem hunc Justinus, Theophilus, aliique Ἄμασιν vocant. Ἀμωσίου, cod. Joan. Clemens Tatianum sequitur, qui eum Ἄμωσιν vocat.

(98) *Πτολεμαῖον*. Conf. iterum Justinus in *Parænes.*, Tatianus, etc.

(99) *Ἀθυρίαν*. Ἀούαριν, Euseb. Οὐάρην, cod. Joan. Μαρίαν hodiernus Tatianus pag. 130, sed Eusebius ejus verba recitans, Αὔαριν· quod nomen

γεῖον γενόμενος Ἴναχον, ὡς ἐν τοῖς *Χρόνοις* ἀνέγραψεν ὁ Μενδήσιος Πτολεμαῖος. » Ὁ δὲ Πτολεμαῖος (1) οὗτος ἱερεὺς μὲν ἦν· τὰς δὲ τῶν Αἰγυπτίων βασιλέων πράξεις ἐν τρισὶν ὅλαις ἐκθέμενος βίβλοις, κατὰ Ἄμωσίν φησιν Αἰγύπτου (2) βασιλέα, Μωϋσέως ἡγουμένου, γεγονέναι Ἰουδαίοις τὴν ἐξ Αἰγύπτου πορείαν. Ἐξ ὧν συνῶπται, κατὰ Ἴναχον ἠκμακέναι τὸν Μωϋσέα. Παλαίτερα δὲ τῶν (3) Ἑλληνικῶν τὰ Ἀργολικά, τὰ ἀπὸ Ἰνάχου λέγω, ὡς Διονύσιος ὁ Ἁλικαρνασσεὺς ἐν τοῖς *Χρόνοις* διδάσκει. Τούτων δὲ τεσσαράκοντα (4) μὲν γενεαῖς νεώτερα τὰ Ἀττικά, τὰ ἀπὸ Κέκροπος τοῦ διφυοῦς δὴ καὶ αὐτόχθονος, ὥς φησι κατὰ λέξιν ὁ Τατιανός· ἐννέα δὲ τὰ Ἀρκαδικά, τὰ ἀπὸ Πελασγοῦ· λέγεται δὲ καὶ οὗτος αὐτόχθων· τούτων δὲ ἄλλα πεντήκοντα δυοῖν νεώτερα (5), τὰ Φθιωτικά, τὰ (6) ἀπὸ Δευκαλίωνος. Εἰς δὲ τὸν χρόνον τῶν Τρωϊκῶν ἀπὸ Ἰνάχου γενεαὶ μὲν εἴκοσιν ἢ πλείους (7) διαριθμοῦνται· ἔτη δέ, ὡς ἔπος

A Mendesius Ptolemæus. » Hic autem Ptolemæus, ✠ fuit quidem sacerdos: regum autem Ægypti res gestas tribus libris exponens, dicit tempore Amosis, Ægypti regis, Moyse duce, Judæos exiisse ex Ægypto. Ex quibus cernitur, Moysen floruisse tempore Inachi. Ex rebus autem Græcis, sunt antiquiores Argolicæ, eæ inquam, quæ ducunt originem ab Inacho, ut docet Dionysius Halicarnassensis in *Temporibus*. His autem, quatuor generationibus sunt res Atticæ recentiores, quæ ducunt originem a Cecrope diphye et indigena, ut iisdem verbis dicit Tatianus; novem vero, res Arcadicæ a Pelasgo; dicitur autem hic quoque fuisse indigena. His autem sunt aliæ, quinquaginta duabus recentiores, nempe Phthioticæ, quæ a Deucalione. Ad B tempus autem rerum Trojanarum ab Inacho, generationes viginti vel plures numerantur; sunt autem anni, ut ita dicam, quadringenti et ultra. Jam

✠ P. 379 ED. POTTER, 321 ED. PARIS.

etiam retinet in iis quæ ex Josepho transtulit, in suæ *Præpar. evang.* lib. x, cap. 13, pag. 501. Ἄβαριν eum Josephus vocat, quod propter similem sonum β et υ idem fere est ac Αὔαριν. Hinc patet, Clementis Ἀθυρίαν, et Tatiani Μαρίαν mutandum esse in Αὔαριν, vel Ἄβαριν, vel, si placeat, Ἀούαριν.

(1) *Ὁ δὲ Πτολεμαῖος*. Tatianus pag. 129: Αἰγυπτίων δέ εἰσιν αἱ ἐπ' ἀκριβὲς χρόνων ἀναγραφαί, καὶ τῶν κατ' αὐτοὺς πραγμάτων ἑρμηνεύς ἐστι Πτολεμαῖος, οὐχ ὁ βασιλεύς, ἱερεὺς δὲ Μένδητος. Οὗτος τὰς τῶν βασιλέων πράξεις ἐκτιθέμενος, κατ' Ἄμωσιν, βασιλέα Αἰγύπτου, γεγονέναι Ἰουδαίοις φησὶ τὴν ἐξ Αἰγύπτου πορείαν εἰς ἅπερ ἦλθον χωρία, Μωϋσέως ἡγουμένου. Λέγει δὲ οὕτως· Ὁ δὲ Ἄμωσις ἐγένετο κατ' Ἴναχον βασιλέα· « Exstant etiam C annales Ægyptiorum diligentissime concinnati, et rerum in eis contentarum interpres est Ptolemæus, non quidem rex, sed Mendesius sacerdos. Is ubi regum gesta narrat, sub Amasi, Ægyptiorum rege, Judæos ex Ægypto migrasse testatur in suam regionem Moysem ducem secutos; sic autem scribit: Amasis fuit tempore regis Inachi. » Origenes, *Contra Celsum* lib. IV, pag. 167, ait Moysem tradi ὑπό τινων Ἑλληνικῶν συγγραφέων κατὰ χρόνους γεγονέναι Ἰνάχου τοῦ Φορωνέως· « a quibusdam Græcis historicis, fuisse temporibus Inachi, Phoronei filii. » Tertullianus, *Apol.* cap. 19: « Si quem audistis interim Moysem, Argivo Inacho pariter ætate est. » Idem tradit Clemens infra pag. 335; Justinus etiam martyr *Parænes. ad Græcos* p. 62, et Theophilus *Ad Autolycum* lib. III, p. 129. Cæterum Eusebius, in principio præfationis *Canonis Chronici*, hunc Clementis locum respexit: Μωϋσέα γένος Ἑβραῖον, προφητῶν ἁπάντων πρῶτον, ἀμφὶ τοῦ Σωτῆρος, λέγω δὲ τοῦ Χριστοῦ, ἀμφί τε τῆς τῶν ἐθνῶν D δι' αὐτὸν θεογνωσίας χρησμοὺς καὶ λόγια θεῖα γραφῇ παραδεδωκότα, τοῖς χρόνοις ἀκμάσαι κατὰ Ἴναχον εἰρήκασιν ἄνδρες ἐν παιδεύσει γνώριμοι, Κλήμης, Ἀφρικανός, Τατιανός, τοῦ καθ' ἡμᾶς λόγου· τῶν τε ἐκ περιτομῆς, Ἰώσηππος καὶ Ἰοῦστος, ἰδίως ἕκαστος τὴν ἀπόδειξιν ἐκ παλαιᾶς ὑποσχόντες ἱστορίας. Ἴναχον δὲ τῶν Ἰλιακῶν ἔστησαν ἑπτακοσίοις πρεσβεύειν. Sed quid sibi vult ἑπτακοσίοις, « septingentis » annis? Etenim Clemens mox dixit, Inachum Trojæ tempora præcessisse εἴκοσι γενεάς, « viginti ætates: » vel ἔτη τετρακόσια, « annos quadringentos. » Ei consentit Tatianus pag. 131: Ὁ δὲ ἀπ' Ἰνάχου χρόνος ἄχρι τῆς Ἰλίου ἁλώσεως ἀποπληροῖ γενεὰς εἴκοσι. Paulo post, pag. 132: Διόπερ εἰ κατὰ Ἴναχον πέφηνεν Μωϋσῆς γεγονώς, πρεσβύτερός ἐστι τῶν Ἰλιακῶν ἔτεσι τετρακοσίοις. Porro si γενεά designet annos 19 aut 20, ut quandoque accipi solet, tum εἴκοσι γενεαί, « viginti ætates, » exhibebunt « annos quadringentos, » qui Tatiani ac Clementis numerus est. Quod si γενεαί tres annos centum includant, tum γενεαί εἴκοσι καὶ μία, « ætates viginti et una, » Eusebianum « annorum septingentorum » numerum edent. Quod vero γενεά hoc sensu usurpatum fuerit, ipse Clemens paulo infra testatur, p. 335: Εἰς μέντοι τὰ ἑκατὸν ἔτη τρεῖς ἐγκαταλέγονται γενεαί· « Ad centum annos recensentur tres ætates. » Atque hinc orta fuisse videtur de numero annorum dissensio.

(2) *Φησὶν Αἰγ.* Φησὶ τὸν Αἰγ., Euseb.

(3) *Παλαίτερα δὲ τ.* Παλαίτερα (παλαιότερα, cod. Joan.) δὲ τῶν Ἑλληνικῶν μνημονεύεσθαι (μνημονεύεται, Joan.) τὰ Ἀργολικά, τὰ ἀπὸ Ἰνάχου λέγω, Διονύσιος ὁ Ἁλ. Euseb.

(4) *Τεσσαράκοντα*. Sic Clemens et Eusebius Græce. Hervetus τέσσαρσι, « quatuor, » quia quatuor tantum Argivorum reges enumerat Tatianus ab Inacho ad Triopam, cujus tempore fuit Cecrops. Rursus: « His autem sunt aliæ 15, » in libro Clementis erat, τούτων δὲ ἄλλα πεντήκοντα δυοῖν νεώτερα, in libro Eusebii, τούτων δὲ ἄλλων δυοῖν νεώτερα. Postremo quod paulo post est, « generationes quidem viginti vel plures, » in Græco Eusebii fuit, γενεαὶ μὲν εἴκοσιν ἢ μιᾷ πλείους, « generationes viginti, aut una plures, » cum tamen Trapezuntius verterit tantum, « generationes 20 connumerentur. » Atque annis quidem quadringentis antiquiorem esse Iliacis temporibus Moysem vult Tatianus, si quidem Inachi sit ætate Moyses, ut et ait Tertullianus in *Apologetico* cap. 19; verum Eusebius in *Chronicis*, ut in illum Tertulliani locum scribens Pamelius admonet, tempore Cecropis eum floruisse tradit, non Inachi, magisque cum historia convenit. Lege D. Augustinum lib. XVIII *De civit. Dei*, cap. 8. Collect.

(5) *Τούτων δὲ ἄλλα πεντήκοντα δυοῖν ν.* Euseb., τούτων δὲ ἄλλων δυοῖν ν. Vera fortasse lectio est, τούτων δὲ ἄλλοις πεντήκοντα δυσὶ νεώτερα τὰ Φθ. ut ν in ἄλλων sit numeralis nota, πεντήκοντα videlicet, et hic sit sensus: « His autem, aliis quinquaginta duabus generationibus recentiora sunt Phthiotica. » Interpres pro numero isto πεντήκοντα δυοῖν, reponit minorem πεντεκαίδεκα, « quindecim: » et paulo ante, τέσσαρσι pro τεσσαράκοντα quod e supputatione colligi adnotat. Sylburg. — Certe πεντήκοντα ferri non potest: nam si Clemens ab Inacho numerat « viginti » vel paulo plura sæcula ad Trojæ tempora, quomodo inter Pelasgum, qui Inacho posterior, et Deucalionem, qui Trojæ temporibus longe prior erat, intercedere possunt sæcula quinquaginta duo?

(6) *Τά.* Abest ab Euseb.

(7) *Εἴκοσιν ἢ πλείους.* Scribe ex Eusebio, εἴκο-

est scientia, et unius, et singulorum, et omnium, A quæ in unam conferuntur rationem. Cognitio autem est rei prout est scientia; aut scientia iis, quæ fiunt, congrua. Veritas autem, veri scientia. Habitus autem veritatis, est scientia verorum. Scientia autem consistit per rationem, et alia ratione ✠ dimoveri non potest; et hic cognitionem inquirit. Quæ autem non facimus, ea aut non facimus propterea quod non possimus, aut propterea quod nolimus, aut propter utrumque. Non volamus itaque, quoniam nec possumus, nec volumus. Non natamus autem adhuc, verbi gratia, quoniam possumus quidem, sed non volumus. Non sumus autem sicut Dominus, quoniam volumus quidem, sed non possumus. *Nullus est enim discipulus super magistrum: satis est autem, si facti fuerimus* B *sicut magister* [a], non essentia (fieri enim non potest, ut id quod est adoptione, sit essentia æquale ei, quod est natura), sed quod facti simus sempiterni, et ad contemplationem eorum, quæ sunt, admissi, et filii appellati simus, et patrem ex iis solum, quæ sunt ei conjuncta, videamus. Velle ergo omnia antecedit: rationales enim facultates sunt voluntatis ministræ. *Velis*, inquit, *et poteris*. Gnostici autem et voluntas, et judicium, et exercitatio est eadem. Si sunt enim eædem animi propositiones, eadem quoque erunt et dogmata et judicia, ut et verba, et vita, et mores sint ejus instituto consentanea. *Cor autem rectum exquirit cognitiones, et illas exaudit. Deus docuit me sapientiam, et novi sanctorum cognitionem* [b].

A θοῦς· ἡ δὲ ἕξις τῆς ἀληθείας ἐπιστημη ἀληθῶν. Ἡ δὲ ἐπιστήμη διὰ τοῦ λόγου συνίσταται, καὶ ἀμετάπτωτός ἐστιν ἄλλῳ λόγῳ· ἐνταῦθα τὴν γνῶσιν πολυπραγμονεῖ (11). Ἃ δὲ μὴ ποιοῦμεν, ἤτοι διὰ τὸ μὴ δύνασθαι οὐ ποιοῦμεν, ἢ διὰ τὸ μὴ βούλεσθαι, ἢ δι' ἀμφότερα. Οὐχ ἱπτάμεθα μὲν οὖν, ἐπειδὴ οὔτε δυνάμεθα οὔτε βουλόμεθα· οὐ νηχόμεθα δὲ, φέρε εἰπεῖν, ἄρτι, ἐπειδὴ δυνάμεθα μὲν, οὐ βουλόμεθα δέ· οὐκ ἐσμὲν δὲ ὡς ὁ Κύριος, ἐπειδὴ βουλόμεθα μὲν, οὐ δυνάμεθα δέ. *Οὐδεὶς γὰρ μαθητὴς ὑπὲρ τὸν διδάσκαλον· ἀρκετὸν δὲ, ἐὰν γενώμεθα ὡς ὁ διδάσκαλος*, οὐ κατ' οὐσίαν· ἀδύνατον γὰρ ἴσον εἶναι πρὸς τὴν ὕπαρξιν τὸ θέσει τῷ φύσει· τὸ δὲ (12) ἀϊδίους γεγονέναι, καὶ τὴν τῶν ὄντων θεωρίαν ἐγνωκέναι, καὶ υἱοὺς προσηγορεῦσθαι, καὶ τὸν πατέρα B ἀπὸ τῶν οἰκείων καθορᾷν μόνον. Προηγεῖται τοίνυν πάντων τὸ βούλεσθαι· αἱ γὰρ λογικαὶ δυνάμεις τοῦ βούλεσθαι διάκονοι πεφύκασι· *Θέλε*, φησὶ, *καὶ δυνήσῃ* (13)· τοῦ γνωστικοῦ δὲ καὶ ἡ βούλησις, καὶ ἡ κρίσις, καὶ ἡ ἄσκησις ἡ αὐτή. Εἰ γὰρ αἱ αὐταὶ προθέσεις, τὰ αὐτὰ καὶ τὰ δόγματα καὶ αἱ κρίσεις, ἵνα δὴ ὦσιν αὐτῷ καὶ οἱ λόγοι, καὶ ὁ βίος, καὶ ὁ τρόπος ἀκόλουθοι τῇ ἐνστάσει. *Καρδία δὲ εὐθεῖα ἐκζητεῖ γνώσεις, καὶ ἐκείνων ἐπαΐει* (14). *Ὁ Θεὸς δεδίδαχέ με σοφίαν, καὶ γνῶσιν ἁγίων ἔγνωκα.*

CAPUT XVIII.

Legem Mosaicam omnis doctrinæ moralis esse fontem, atque inde Græcos ethica sua hausisse.

Clarum est ergo, omnes quoque alias virtutes, C quæ scriptæ sunt apud Moysem, præbuisse Græcis principium totius loci moralis, fortitudinem, inquam, et temperantiam, et prudentiam, et justitiam, et tolerantiam etiam, et patientiam, et modestiam, et honestatem, et continentiam, et, quæ eas superat, pietatem. Sed de pietate quidem est cuilibet manifestum, quod supremam et antiquissimam causam doceat colere et honorare. Eadem quoque lex exhibet justitiam: et docet etiam prudentiam, per abstinentiam a simulacris sensilibus, et ad universorum effectorem et patrem evocatio-

C Προφανεῖς μὲν οὖν καὶ πᾶσαι ἄλλαι ἀρεταὶ, αἱ παρὰ τῷ Μωϋσεῖ ἀναγεγραμμέναι, ἀρχὴν Ἕλλησι παντὸς τοῦ ἠθικοῦ τόπου παρασχόμεναι· ἀνδρείαν λέγω, καὶ σωφροσύνην, καὶ φρόνησιν, καὶ δικαιοσύνην, καρτερίαν τε καὶ ὑπομονὴν, καὶ τὴν σεμνότητα, καὶ ἐγκράτειαν, τήν τε ἐπὶ τούτοις εὐσέβειαν. Ἀλλ' ἡ μὲν εὐσέβεια παντί που δήλη τὸ ἀνωτάτω καὶ πρεσβύτατον αἴτιον (15) σέβειν καὶ τιμᾷν διδάσκουσα (16), καὶ δικαιοσύνην δὲ αὐτὸς ὁ νόμος παρίστησι, παιδεύων τήν τε φρόνησιν διὰ τῆς τῶν αἰσθητῶν εἰδώλων ἀποχῆς καὶ τῆς πρὸς τὸν ποιητὴν καὶ Πατέρα τῶν ὅλων προσκλήσεως (17)· ἀφ' ἧς

✠ P. 469 ED. POTTER, 392-394 ED. PARIS.

[a] Matth. x, 24, 25; Luc. vi, 40. [b] Prov. xxx, 3.

(11) *Ἐνταῦθα τὴν γνῶσιν πολυπραγμονεῖ.* Suspicor aliquem in libri sui margine adnotasse: Ἐνταῦθα τὴν γνῶσιν πολυπραγμόνει. *Hic observa, quid sit* γνῶσις, de qua scilicet toties a Clemente mentio facta est: idque postea in textum receptum fuisse, πολυπραγμόνει imperat, mutato in πολυπραγμονεῖ indicat. modi, ut cum præcedentibus cohæreret.

(12) *Τὸ δέ.* Etiam dativo casu legi potest τῷ δέ. SYLBURG.

(13) *Θέλε.., καὶ δυνήσῃ.* Ubi hoc dictum? Forte respicit auctor verba Christi ad infirmum, Joan. v, 6: Θέλεις ὑγιὴς γενέσθαι; vel potius leprosi verba ad Christum, Marc. i, 40: Ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι.

(14) *Καρδία... ἐπαΐει.* Hanc sententiam in S. Scriptura reperire nondum potui. Ea, quæ sequitur, a plerisque τῶν Ο' interpretum editionibus abest.

(15) *Τὸ ἀνωτάτω καὶ πρ. αἴτιον.* Τὸ ἀνώτατον D καὶ πρεσβύτατον αἴτιον Philo in loco mox apponendo. Sed ἀνωτάτω cum articulo pro ἀνώτατος alias dixit Clemens: quemadmodum p. 381: ἡ γὰρ ἀνωτάτω ἀπόδειξις.

(16) *Τιμᾷν διδάσκουσα.* Flor. edit., καὶ διδάσκουσα, ne quid ergo e corruptis vestigiis decedat, legi potest καταδιδάσκουσα. SYLBURG.

(17) *Προσκλήσεως.* Aptius προσκλίσεως. SYLBURG. — Vera autem lectio videtur esse προσκληρώσεως. Vult enim auctor legem Moysis Judæos *Deo, universalis conditori, in hæreditatem addixisse.* Hoc ita se habere, didicimus e verbis Philonis, quæ imitatus est Clemens. Ea vero exstant in ejus libro *De fortitudine*, p. 741: Οὗτοι πρὸς Ἑβραίους φιλαπεχθημόνως ἔχοντες, οὐδενὸς ἑτέρου μᾶλλον ἢ ὅτι τὸ ἀνώτατον καὶ πρεσβύτατον αἴτιον σέβουσι καὶ τιμῶσι, τῷ ποιητῇ καὶ Πατρὶ τῶν ὅλων προσκεκληρωμένοι. *Madianæi odio Hebræos hac præcipue causa prosecuti, quod summam et antiquissimam causam co-*

δόξης, οἷον πηγῆς (18), πᾶσα σύνεσις αὔξεται. *Θυσίαι γὰρ ἀνόμων* (19) *βδέλυγμα Κυρίῳ· εὐχαὶ δὲ κατευθυνόντων δεκταὶ παρ' αὐτῷ·* ἐπεὶ δεκτὴ (20) παρὰ Θεῷ (21) δικαιοσύνη μᾶλλον, ἢ θυσία. Τοιαῦτα καὶ τὰ παρὰ Ἡσαΐᾳ· *Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; λέγει Κύριος·* καὶ πᾶσα ἡ περικοπή. *Λύε πάντα σύνδεσμον ἀδικίας· αὕτη γὰρ θυσία Θεῷ δεκτὴ* (22), *καρδία συντετριμμένη, καὶ ζητοῦσα τὸν πεπλακότα. Ζυγὰ δόλια* (23) *βδέλυγμα ἔναντι Θεοῦ· στάθμιον δὲ δίκαιον δεκτὸν αὐτῷ.* Ἐντεῦθεν, *ζυγὸν μὴ ὑπερβαίνειν*, Πυθαγόρας (24) παραινεῖ. *Δικαιοσύνη* δὲ *δολία* εἴρηται ἡ τῶν αἱρέσεων ἐπαγγελία· καὶ, *Γλῶσσα* (25) *μὲν ἀδίκων ἐξολεῖται, στόμα δὲ δικαίων ἀποστάζει σοφίαν.* Ἀλλὰ γὰρ τοὺς σοφοὺς καὶ φρονίμους (26) φαύλους καλοῦσιν. Μακρὸν δ' ἂν εἴη περὶ τῶν ἀρετῶν τούτων μαρτυρίας παρατίθεσθαι, ἁπάσης ταύτας ἐξυμνούσης τῆς Γραφῆς· ἐπεὶ δ' οὖν τὴν μὲν ἀνδρείαν ὁρίζονται ἐπιστήμην δεινῶν καὶ οὐ δεινῶν καὶ μεταξὺ, τὴν δὲ σωφροσύνην ἕξιν εἶναι, αἱρέσει καὶ φυγῇ σώζουσαν τὰ τῆς φρονήσεως κρίματα· παράκειται τῇ μὲν ἀνδρείᾳ ἥ τε ὑπομονὴ, ἣν καρτερίαν καλοῦσιν, ἐπιστήμην (27) ἐμμενετέων καὶ οὐκ ἐμμενετέων· ἥ τε μεγαλοψυχία ἐπιστήμη τῶν συμβαινόντων ὑπεραίρουσα· ἀλλὰ καὶ τῇ σωφροσύνῃ ἡ εὐλάβεια (28), ἔκκλισις οὖσα σὺν λόγῳ. Φυλακὴ δὲ τῶν ἐντολῶν, τήρησις οὖσα αὐτῶν ἀβλαβὴς, περιποίησίς ἐστιν ἀσφαλείας βίου. Καὶ οὐχ

nem. Ex qua quidem sententia, tanquam ex fonte aliquo, augetur omnis intelligentia. *Sacrificia enim iniquorum, sunt* **170** *Domino abominatio: vota eorum autem, qui recta via incedunt, sunt ei accepta* [a]. Deo enim magis ✠ est accepta justitia, quam sacrificium. Talia sunt etiam ea, quæ sunt apud Isaiam: *Quid mihi multitudo sacrificiorum vestrorum? inquit Dominus* [b]; et cætera, quæ sequuntur. *Solve omne vinculum iniquitatis; hoc* enim *sacrificium est Deo acceptum; cor contritum, et quærens eum, qui formavit* [c]. *Trutinæ dolosæ abominatio coram Domino; statera autem justa est Domino accepta* [d]. Hinc suadet Pythagoras, *stateram non transilire. Dolosa* autem *justitia* dicta est, professio hæresium. Et *lingua quidem injustorum peribit, os autem justorum distillat sapientiam* [e]. Etenim *sapientes et prudentes, stultos appellant* [f]. Longum autem fuerit de his virtutibus testimonia adducere, cum universa eas celebret Scriptura. Quoniam autem fortitudinem definiunt scientiam eorum, quæ sunt gravia, et non gravia, et eorum quæ sunt intermedia; temperantiam autem, habitum, qui eligendo et vitando servat judicia prudentiæ; adjungitur fortitudini quidem patientia, quam appellant tolerantiam, scientiam scilicet eorum, quæ sunt sustinenda, et quæ non; et celsitudo animi quæ scientia est, qua quis quibuscunque casibus superior evasit. Quinetiam temperantiæ adjuncta est cautio, quæ est

✠ P. 470 ED. POTTER, 394-395 ED. PARIS. [a] Prov. xv, 8. [b] Isa. I, 11. [c] Isa. LVIII, 6 [d] Prov. XI, 1. [e] Isa. x, 31. [f] Prov. XVI, 21.

lerent et adorarent, et omnium conditori ac patri in hæreditatem addicti essent. Nempe secundum illud: Διεμέριζεν ὁ Ὕψιστος ἔθνη. . . καὶ ἐγεννήθη μερὶς Κυρίου λαὸς αὐτοῦ Ἰακώβ· σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ. Deuteron. XXXII, 8, 9.

(18) *Πηγῆς*. H. Ms. αὐγῆς. SYLBURG. — Sed πηγῆς Philonis vox est loco citato: Ἡ περὶ τοῦ ἑνὸς Θεοῦ δόξα, ἀφ' ἧς, οἷα πηγῆς, ἑνωτικῇ καὶ ἀδιαλύτῳ φιλίᾳ κέχρηται πρὸς ἀλλήλους. *De uno Deo sententia, a qua, ceu fonte, nascitur indissolubilis amicitia.*

(19) *Θυσίαι γὰρ ἀνόμων*. Θυσίαι ἀσεβῶν, Proverb.

(20) *Δεκτή*. Respexisse videtur Matth. IX, 13; XII, 7: Ἔλεον θέλω καὶ οὐ θυσίαν· vel Os. VI, 6: Ἔλεος θέλω ἢ θυσίαν.

(21) *Παρὰ Θεῷ*. S. Cyrillus Alexand. x *in Julianum*: Ἡμεῖς νοητὴν καὶ πνευματικὴν ἀποπληροῦντες λατρείαν, προστετάγμεθα προσκομίζειν εἰς ὀσμὴν εὐωδίας πάντα τρόπον ἐπιεικείας, πίστιν, ἐλπίδα, ἀγάπην, δικαιοσύνην, ἐγκράτειαν, ἀκαταπαύστους δοξολογίας· ἄϋλος γὰρ αὕτη θυσία τῷ ἀΰλῳ καὶ καθαρῷ πρέπουσα Θεῷ, καὶ νοητῆς εὐκοσμίας ἀναθήματα τῆς ἀληθοῦς εὐζωΐας οἱ τρόποι. Hæc ita citantur ab Anastasio in *Quæstionibus de Scripturæ locis*, quas *G. Hervetus* interpretatus est: *Nos cultum implentes spiritualem, et qui cadit sub intelligentiam, jussi sumus offerre in odorem suavitatis omne genus virtutis, fidem, spem, charitatem, justitiam, continentiam, perpetuas glorificationes. Nam hoc materiæ expers sacrificium Deum decet, qui est expers materiæ, et purus, et honestatis cadentis sub intelligentiam donaria sunt modi veræ, quæ recte agitur, vitæ.* Interpres Cyrilli hic videtur aliter legisse in 5 responsione lib. x, ut cum vertit extrema: *Et mentalis fragrantiæ oblationes sunt vere honestæ vitæ modi*, εὐοσμίας. COLLECT.

(22) Αὕτη γὰρ θυσία δ. Clemens supra *Pædag.* lib. III, cap. 12, p. 261, edit. Paris.: Πῶς οὖν θύσω τῷ Κυρίῳ; Θυσία, φησὶν, τῷ Κυρίῳ πνεῦμα συντετριμμένον. Πῶς οὖν στέψω, ἢ μύρῳ χρίσω, ἢ τί θυμιάσω τῷ Κυρίῳ; Ὀσμὴ, φησὶν, εὐωδίας τῷ Θεῷ, καρδία δοξάζουσα τὸν πεπλακότα αὐτήν. Ubi conf. adnotata.

(23) *Ζυγὰ δόλια*. Ζυγοὶ δόλιοι, et mox ἐνώπιον pro ἔναντι, Prov.

(24) *Πυθαγόρας*. Simili modo hoc Pythagoræ symbolum explicavit auctor *Strom.* v, p. 560, edit. Paris., ubi conf. adnotata.

(25) *Γλῶσσα*. Στόμα δικαίου ἀποστάζει σοφίαν, γλῶσσα δὲ ἀδίκου ἐξολεῖται. Proverb., inverso sententiarum ordine.

(26) *Φρονίμους*. Συνετούς, Proverb.

(27) *Ἐπιστήμην*. Sic ante Clementem Philo τὴν ἀνδρείαν definivit, *Legis allegor.* lib. I, p. 53: Ἐπιστήμη γάρ ἐστι ὑπομενετέων, καὶ οὐχ ὑπομενετέων καὶ οὐδετέρων. *Est enim scientia sustinendorum, et non sustinendorum, et neutrorum.* Item Sextus Empiricus *Adv. mathematicos* lib. VIII, pag. 336: Εἰ πανάρετόν ἐστι τὸ Θεῖον, καὶ ἀνδρείαν ἔχει· εἰ δὲ ἀνδρείαν ἔχει, ἐπιστήμην ἔχει δεινῶν, καὶ οὐ δεινῶν, καὶ τῶν μεταξύ. *Quod si Deus est omni virtute præditus, habet etiam fortitudinem; si eam autem habet, scientiam habet eorum, quæ sunt gravia, et quæ non sunt gravia, et quæ sunt intermedia.* Et ante hos Zeno τὴν καρτερίαν dixit esse ἐπιστήμην, ἢ ἕξιν τῶν ἐμμενετέων, καὶ μὴ, καὶ οὐδετέρων· *scientiam, vel habitum eorum, quibus acquiescendum sit, vel non, atque mediorum*: ut refert in *Zenone* Diogenes Laertius, lib. VII, seg. 93.

(28) *Εὐλάβεια*. Clemens superius p. 374, edit. Paris.: Εὐλάβειαν καλούντων οἱ φιλόσοφοι τὸν τοῦ νόμου φόβον, εὔλογον οὖσαν ἔκκλισιν. *Philosophi* εὐλάβειαν *appellant legis timorem, cum sit rationi consentanea declinatio.*

declinat ✠ cum ratione. Custodia autem præceptorum, cum sit innocens eorum observatio, est securitatis vitæ conciliatio. Nec potest esse quis tolerans absque fortitudine, neque continens absque temperantia. Se autem invicem consequuntur virtutes; et apud quem sunt virtutum consequentiæ, apud eum est etiam salus, quæ est boni status conservatio. Jure ergo si de his virtutibus adhuc tractaverimus, de omnibus consideraverimus : quoniam qui gnostice habet unam virtutem, omnes per mutuam habet consequentiam. Jam continentia est affectio, quæ non transilierit ea, quæ rectæ rationi consentanea videntur. Continens autem est is, qui continet eas appetitiones, quæ sunt præter rectam rationem : vel ✠ qui seipsum continet, ne appetitione efferatur præter rectam rationem. Temperantia autem ipsa non est sine fortitudine; quandoquidem ex præceptis oritur prudentia, quæ Deum, qui omnia disposuit, sequitur; et justitia, quæ divinam dispositionem imitatur; per quam cum simus continentes, mundi ad pietatem et actiones exemplo Dei conformes tendimus, Domino, quoad a mortalibus fieri potest, assimilati. Id autem est, justum et sanctum fieri cum prudentia. Deus enim nullius rei indiget, et affectibus non est obnoxius : unde nec est proprie continens. In eum enim nulla unquam cadit affectio aut perturbatio, quam contineat. Nostra autem natura, quæ est obnoxia affectionibus, opus habet continentia, per quam dum exercetur, ut paucis indigeat, conatur habitu ad divinam naturam accedere. Vir enim bonus paucis indiget, ut qui sit in confinio naturæ mortalis et immortalis; agens quidem, et propter corpus, et propter mortalem originem; paucis autem egere doctus, propter susceptam ratione continentiam. Quamnam enim habet rationem, quod lex viro prohibet, *ne vestem induat muliebrem* [a]? Annon nos vult esse viros, et nec corpore, nec factis, nec mente, nec verbis effeminari? Vult enim eum esse masculum, qui veritati dat operam, in ferendis laboribus et perpessionibus, in vita et moribus, et in sermone et

ἔστιν ἄνευ ἀνδρείας καρτερικὸν εἶναι, οὐδὲ μὴν ἄνευ σωφροσύνης ἐγκρατῆ. Ἀντακολουθοῦσι δὲ ἀλλήλαις αἱ ἀρεταί· καὶ παρ' ᾧ αἱ τῶν ἀρετῶν ἀκολουθίαι, παρὰ τούτῳ καὶ ἡ σωτηρία, τήρησις οὖσα τοῦ εὖ ἔχοντος. Εἰκότως ἔτι περὶ τούτων διαλαβόντες τῶν ἀρετῶν, περὶ πασῶν ἂν εἴημεν ἐσκεμμένοι, ὅτι ὁ μίαν ἔχων ἀρετὴν γνωστικῶς πάσας ἔχει διὰ τὴν ἀντακολουθίαν. Αὐτίκα ἡ ἐγκράτεια διάθεσίς ἐστιν ἀνυπέρβατος τῶν κατὰ τὸν ὀρθὸν λόγον φανέντων. Ἐγκρατεύεται δὲ ὁ κατέχων τὰς παρὰ τὸν ὀρθὸν λόγον ὁρμὰς, ἢ ὁ κατέχων αὑτὸν, ὥστε μὴ ὁρμᾷν παρὰ τὸν ὀρθὸν λόγον. Σωφροσύνη (29) δὲ αὐτὴ οὐκ ἄνευ ἀνδρείας· ἐπειδὴ ἐξ ἐντολῶν γίνεται, ἑπομένη τῷ διατεταγμένῳ Θεῷ, φρόνησίς τε καὶ ἡ μιμητικὴ τῆς θείας διαθέσεως δικαιοσύνη· καθ' ἣν ἐγκρατευόμενοι, καθαροὶ πρὸς εὐσέβειαν καὶ τὴν ἑπομένην ἀκολούθως τῷ Θεῷ πρᾶξιν στελλόμεθα, ἐξομοιούμενοι τῷ Κυρίῳ κατὰ τὸ δυνατὸν ἡμῖν, ἐπικήροις τὴν φύσιν ὑπάρχουσιν. Τοῦτο δέ ἐστι δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως γενέσθαι. Ἀνενδεὲς μὲν γὰρ τὸ Θεῖον καὶ ἀπαθές· ὅθεν οὐδὲ ἐγκρατὲς κυρίως· οὐ γὰρ ὑποπίπτει πάθει ποτὲ, ἵνα καὶ κρατήσῃ τοῦδε· ἡ δὲ ἡμετέρα φύσις, ἐμπαθὴς οὖσα, ἐγκρατείας δεῖται, δι' ἧς πρὸς τὸ ὀλιγοδεὲς συνασκουμένη, συνεγγίζειν πειρᾶται κατὰ διάθεσιν τῇ θείᾳ φύσει· ὁ γὰρ σπουδαῖος (30) ὀλιγοδεὴς, ἀθανάτου καὶ θνητῆς φύσεως μεθόριος· τὸ μὲν ἐνδεὲς διά τε τὸ σῶμα διά τε τὴν γένεσιν αὐτὴν ἔχων· ὀλίγων δὲ διὰ τὴν λογικὴν ἐγκράτειαν δεῖσθαι. δεδιδαγμένος· ἐπεὶ τίνα λόγον ἔχει τὸ ἀπειπεῖν τὸν Νόμον ἀνδρὶ *γυναικὸς ἀμπεχόνην* (31) *ἀναλαμβάνειν*; Ἢ οὐχὶ ἀνδρίζεσθαι ἡμᾶς βούλεται, μήτε κατὰ τὸ σῶμα καὶ τὰ ἔργα, μήτε κατὰ τὴν διάνοιαν καὶ τὸν λόγον ἐκθηλυνομένους; ἠῤῥενῶσθαι γὰρ τὸν ἀληθείᾳ σχολάζοντα ἔν τε ὑπομοναῖς, ἔν τε καρτερίαις, κἂν τῷ βίῳ, κἂν τῷ τρόπῳ, κἂν τῷ λόγῳ, κἂν τῇ ἀσκήσει, νύκτωρ τε καὶ μεθ' ἡμέραν, καὶ εἴ που μαρτυρίου δι' αἵματος χωροῦντος ἐπικαταλάβοι χρεία, βούλεται. Πάλιν, *Εἴ τις* (32), φησὶ, *νεωστὶ δειμάμενος οἰκίαν, οὐκ ἔφθη εἰσοικίσασθαι· ἢ ἀμπελῶνα νεόφυτον ἐργασάμενος, μηδέπω τοῦ καρποῦ μετείληφεν, ἢ παρθένον ἐγγυησάμενος, οὐδέπω ἔγημεν*· τούτους ἀφεῖ-

✠ P. 471 ED. POTTER, 395-396 ED. PARIS.

[a] Deut. xxii, 5.

(29) *Σωφροσύνη*. Ante Clementem Philo has virtutes, ἀνδρείαν, ἐγκράτειαν, σωφροσύνην, φρόνησιν, δικαιοσύνην et καρτερίαν, conjunctas esse dixit, id præterea subjiciens, quod vir bonus sit ὀλιγοδεής· *De vita Moysis*, lib. iii, p. 680, 681 : Ἀλλ' εἰ χρὴ τἀληθὲς εἰπεῖν, ὁ φρονήσεως καὶ σωφροσύνης, ἀνδρείας τε καὶ δικαιοσύνης ἱερώτατος θίασος ἀσκητὰς μετατρέχει, καὶ ὅσοι αὐστηρὸν καὶ σκληροδίαιτον βίον, ἐγκράτειαν καὶ καρτερίαν ζηλοῦσι, σὺν εὐτελείᾳ, δι' ὧν τὸ κυριώτατον τῶν ἐν ἡμῖν ὁ λογισμὸς εἰς ὑγίειαν ἄνοσον καὶ εὐεξίαν ἐπιδίδωσι, etc. *Imo si verum fatendum est, sacer ille virtutum chorus, prudentiæ, temperantiæ, fortitudinis, justitiæque, ultro sibi quærit, quos exerceat, præsertim eos, qui tetricam duramque vitam sequuntur, conjunctam cum patientia continentiaque, simplicitate quoque, et frugalitate paucis contenta : quibus artibus pars nostri præcipua, scilicet ratio, sanitatem tuetur bonamque habitudinem.*

(30) *Ὁ γὰρ σπουδαῖος*. Hæc didicit Clemens e Philonis libro *De fortitudine*, p. 337 : Ὁ δὲ σπουδαῖος ὀλιγοδεὴς, ἀθανάτου καὶ θνητῆς φύσεως μεθόριος· τὸ μὲν ἐπιδεὲς ἔχων διὰ σῶμα θνητὸν, τὸ δὲ μὴ πολυτελὲς διὰ ψυχὴν ἐφιεμένην ἀθανασίας. *Vir autem bonus paucis eget, in naturæ mortalis immortalisque situs confinio : propter corpus quidem mortale egestati obnoxius est, paucis vero contentus propter animam, quæ ad immortalitatem aspirat.*

(31) *Γυναικὸς ἀμπ.* Philo Judæus, libri jam dicti pag. 738 : Τοσαύτη δέ τίς ἐστι τῷ Νόμῳ σπουδὴ καὶ φιλοτιμία περὶ τοῦ γυμνάσαι καὶ συγκροτῆσαι ψυχὴν πρὸς ἀνδρείαν, ὥστε καὶ περὶ ἐσθημάτων, ὁποῖα ἐχρῆν ἀμπέχεσθαι, διετάξατο, ἀπειπὼν ἀνὰ κράτος ἀνδρὶ γυναικὸς ἀμπεχόνην ἀναλαμβάνειν. *Tanta porro contentione lex studet exercere confirmareque animos ad fortitudinem, ut et de vestimentis, qualibus utendum sit, præcipiat, diserte interdicens, ne vir sumat muliebria.*

(32) *Εἴ τις*. Hæc propius accedunt ad Philonis Judæi verba, p. 740, quam Moysis, Deut. xx, 5-7.

σθαι τῆς στρατείας, ὁ φιλάνθρωπος κελεύει Νόμος· A στρατηγικῶς μὲν, ὡς μὴ περισπώμενοι πρὸς τὰς ἐπιθυμίας, ἀπρόθυμοι τῷ πολέμῳ ἐξυπηρετῶμεν· ἐλεύθεροι (33) γὰρ τὰς ὁρμὰς οἱ ἀπροφασίστως τοῖς δεινοῖς ἐπαποδυόμενοι· φιλανθρώπως δὲ, ἐπειδὴ τὰ κατὰ τοὺς πολέμους ἄδηλα· ἄδικον εἶναι λογισάμενος, τὸν μὲν μὴ ὄνασθαι τῶν αὑτοῦ πόνων, ἕτερον δὲ τὰ τῶν καμόντων ἀταλαιπώρως λαβεῖν. Ἔοικε δὲ ὁ Νόμος καὶ τὴν τῆς ψυχῆς ἐμφαίνειν ἀνδρείαν, δεῖν νομοθετῶν τὸν φυτεύσαντα καρποῦσθαι, καὶ τὸν οἰκοδομησάμενον οἰκεῖν, καὶ τὸν μνώμενον γαμεῖν· οὐ γὰρ (34) ἀτελεῖς τὰς ἐλπίδας τοῖς ἀσκήσασι κατὰ τὸν λόγον τὸν γνωστικὸν κατασκευάζει· *Τελευτήσαντος* (35) γὰρ καὶ ζῶντος *ἀνδρὸς ἀγαθοῦ οὐκ ἀπόλλυται ἐλπίς*. Ἐγὼ, φησὶ, *τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ*, ἡ Σοφία λέγει· *οἱ δὲ ἐμὲ ζητοῦντες* B *εὑρήσουσιν εἰρήνην* (36), καὶ τὰ ἑξῆς. Τί δέ; οὐχὶ αἱ Μαδιηναίων γυναῖκες τῷ κάλλει τῷ σφῶν πολεμοῦντας τοὺς Ἑβραίους ἐκ σωφροσύνης δι' ἀκρασίαν εἰς ἀθεότητα ὑπηγάγοντο; Προσεταιρισάμεναι γὰρ τοὺς (37) ἐκ τῆς σεμνῆς ἀσκήσεως εἰς ἡδονὰς ἑταιρικὰς τῷ κάλλει δελεάσασαι, ἐπί τε τὰς τῶν εἰδώλων θυσίας ἐπί τε τὰς ἀλλοδαπὰς ἐξέμηναν γυναῖκας· γυναικῶν δὲ ἅμα καὶ ἡδονῆς ἡττηθέντες, ἀπέστησαν μὲν τοῦ Θεοῦ, ἀπέστησαν δὲ καὶ τοῦ νόμου· καὶ μικρὸν δεῖν (38) ὁ πᾶς λεὼς ὑποχείριος τοῖς πολεμίοις, γυναικείῳ στρατηγήματι ἐγεγόνει, ἕως αὐτοὺς κινδυνεύοντας ἀνεχαίτισε νουθετήσας φόβος. Αὐτίκα οἱ περιλειφθέντες, φιλοκινδύνως τὸν ὑπὲρ εὐσεβείας ἀγῶνα ἀράμενοι κύριοι κατέστησαν τῶν πολεμίων. Ἀρχὴ (39) *οὖν σοφίας θεοσέβεια· σύνεσις δὲ ἁγίων προμήθεια· τὸ* C *δὲ γνῶναι Νόμον, διανοίας ἐστὶν ἀγαθῆς*. Οἱ τοίνυν ἐμπαθοῦς φόβου περιποιητικὸν τὸν Νόμον ὑπολαβόντες, οὔτε ἀγαθοὶ συνιέναι (40), οὔτε ἐνενόησαν τῷ ὄντι τὸν Νόμον· *Φόβος* (41) γὰρ *Κυρίου ζωὴν ποιεῖ. Ὁ δὲ πλανώμενος ὀδυνηθήσεται ἐν πόνοις, οἷς οὐκ ἐπισκέπτεται γνῶσις*. Ἀμέλει μυστικῶς ὁ Βαρνάβας, *Ὁ δὲ Θεὸς* (42) *ὁ τοῦ παντὸς κόσμου* (43) *κυριεύων*, φησὶ, *δῴη καὶ ὑμῖν σοφίαν καὶ σύνεσιν, ἐπιστήμην, γνῶσιν τῶν δικαιωμάτων αὐτοῦ, ὑπομονήν. Γίνεσθε οὖν θεοδίδακτοι, ἐκζητοῦντες τί ζητεῖ ὁ Κύριος ἀφ' ὑμῶν, ἵνα εὑρη-*

A exercitatione, noctu et interdiu, et sicubi testimonio, seu martyrio, opus sit, quod procedat per sanguinem. Rursus : *Si quis*, inquit, *domum a se nuper ædificatam nondum habitavit, aut vitem nuper plantatam operatus, fructus nondum fuit particeps, aut sibi desponsæ virgini nondum nupsit* [a] : eos vult humana lex esse immunes a militia, prudenter et imperatorie, ne dum avellimur a cupiditatibus, ignavo et dejecto animo demus operam militiæ ; sunt enim liberi ab appetitionibus, qui alacri animo quævis gravia pericula adeunt ; humane autem, quoniam incertos bellorum casus reputans, iniquum esse duxit, ut hic quidem suis non frueretur laboribus, alter autem citra ullum laborem ea perciperet, quæ alii magno labore comparant. B Videtur ✠ autem lex quoque fortitudinem indicare, statuens oportere eum, qui plantavit, fructum percipere ; et eum, qui ædificavit, habitare ; et eum, qui puellam ambiit, uxorem ducere. Iis enim, qui se secundum gnosticam rationem exercuerunt, spes non reddit irritas : nam *boni viri*, nec *mortui*, nec viventis, *spes perit. Ego eos, qui me diligunt, amo*, inquit Sapientia : *qui autem me quærunt, inveniunt pacem* [b] : et ea, quæ sequuntur. Quid vero ? annon mulieres Madianitarum sua pulchritudine bellantes Hebræos a temperantia per incontinentiam deduxerunt ad impietatem ? Meretriciis enim illecebris allectos, et a gravi ac honesta exercitatione ad meretricias voluptates forma inescatos, ad sacrificia idolorum, et ad peregrinas C mulieres, veluti quodam furore percitos, deduxerunt. A mulieribus autem simul victi et voluptate, a Deo quidem defecerunt et a lege : et propemodum universus populus in hostium manus venit ac potestatem muliebri stratagemate, donec ipsos in periculum adductos coercuit timor admonens. Tum ii, qui reliqui erant, audacter pro pietate ac religione certamen suscipientes, evaserunt hostibus superiores. *Sapientiæ ergo principium est religio. Intelligentia autem est rerum sanctarum cura et providentia. Nosse autem legem est bonæ mentis* [c]. Qui ergo existimarunt **171** legem efficere timorem cum prava perturbatione conjunctum, nec sunt ad in-

✠ P. 472 ED. POTTER [a] Deut. xx, 5, 6, 7. [b] Prov. xi, 7; viii, 17. [c] Prov. ix, 10.

(33) *Ἐλεύθεροι*. Philo : Ὅπως ἐλευθέροις καὶ D ἀφέτοις ὁρμαῖς ἀπροφασίστως τοῖς δεινοῖς ἐπαποδύωνται.

(34) *Οὐ γάρ*. Philo : Ὡς οὐ δεῖν ἀτελεῖς τὰς ἐλπίδας κατασκευάζειν τοῖς χρηστὰ τῶν κατὰ τὸν βίον προσδοκήσασιν. Reliqua etiam, quæ ad Judæorum instituta spectant, paucis mutatis, e Philone sumpta sunt.

(35) *Τελευτήσαντος*. Proverb. x, 7 : Τελευτήσαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπίς.

(36) *Εὑρήσουσιν εἰρήνην*. Hoc legitur Proverb. cap. xvi. Sed Prov. viii, unde petitus hic locus, εὑρήσουσι χάριν. A. Madianitarum mulierum strategema exstat Num. xxv, Deut. iv, Psalm. cv, apud Philonem p. 441, 506. Chrysostom. homilia contra novilunii observatores, p. 16. H. SYLBURG.

(37) *Τούς*. Malim αὐτούς, *illos*.

(38) *Μικρὸν δεῖν*. Usitatius μικροῦ δεῖν. SYLBURG.

(39) *Ἀρχή*. Ἀρχὴ σοφίας φόβος Κυρίου, καὶ βουλὴ ἁγίων σύνεσις· τὸ γὰρ γνῶναι νόμον διαν. Proverb. ix, 10.

(40) *Ἀγαθοὶ συν*. Subaudiendum εἰσίν. SYLBURG.

(41) *Φόβος*. Proverb. xix, 23 : Φόβος Κυρίου εἰς ζωὴν ἀνδρὶ, ὁ δὲ ἄφοβος αὐλισθήσεται ἐν τόποις, οὗ οὐκ ἐπισκοπεῖται γνῶσις. Flaminius Nobilius adnotavit, partem posteriorem a nonnullis hoc modo scribi : Πλανώμενος καὶ ἐμπλησθεὶς αὐλισθήσεται ἄνευ ἐπισκοπῆς πονηρᾶς.

(42) *Ὁ δὲ Θεός*. Hæc sub finem epistolæ S. Barnabæ exstant.

(43) *Τοῦ π. κ.* Παντὸς τοῦ κόσμου, Barnab. Mox, δῴη ὑμῖν, omissa καί particula. Dein, σοφίαν, ἐπιστήμην, σύνεσιν, γνῶσιν τῶν δ. αὐτοῦ, ἐν ὑπομονῇ. Γίνεσθε δὲ θεοδ. Ibid.

telligendum prompti, nec legem revera perceperunt. *Timor* enim *Domini vivificat. Qui autem errat, affligetur in laboribus, quos non considerat cognitio* [a]. Mystice profecto Barnabas: *Deus, qui universo mundo dominatur,* inquit, *det etiam vobis sapientiam et intelligentiam, scientiam, cognitionem, justificationem ejus, patientiam. Efficiamini ergo a Deo docti, exquirentes quid a vobis requirat Dominus, ut inveniatis in die judicii horum insidiatores. Dilectionis et pacis filios* appellavit ex cognitione. De elargitione autem et communicatione ✠ cum multa dici possunt, sufficit hoc dicere, quod lex prohibet fratri fœnerari: fratrem nominans non eum solum, qui ex iisdem natus parentibus, sed etiam qui fuerit ejusdem tribus, ejusdemque sententiæ, et ejusdem Logi particeps; non æquum censens, ut ex pecuniis usuras legamus, sed laxis manibus et animis gratificemur egentibus. Deus enim est hujus doni conditor; ut etiam qui lubenter largitur, sufficientes accipit usuras, ea, quæ sunt apud homines pretiosissima, nempe mansuetudinem, benignitatem, magnificentiam, bonam

A *ται ἐν ἡμέρᾳ κρίσεως τοὺς τούτων ἐπιβούλους.* Ἀγάπης τέκνα καὶ εἰρήνης γνωστικῶς προσηγόρευσεν (44). Περί τε τῆς μεταδόσεως καὶ κοινωνίας, πολλῶν ὄντων, ἀπόχρη μόνον τοῦτο εἰπεῖν, ὅτι νόμος ἀπαγορεύει ἀδελφῷ δανείζειν· ἀδελφὸν (45) ὀνομάζων οὐ μόνον τὸν ἐκ τῶν αὐτῶν φύντα γονέων, ἀλλὰ καὶ ὃς ἂν ὁμόφυλος ᾖ, ὁμογνώμων τε καὶ τοῦ αὐτοῦ Λόγου κεκοινωνηκώς· οὐ δικαιῶν ἐκλέγειν τόκους ἐπὶ χρήμασιν, ἀλλὰ ἀνειμέναις χερσὶ καὶ γνώμαις χαρίζεσθαι τοῖς δεομένοις· Θεὸς γὰρ ὁ κτίστης τοιᾶσδε χάριτος, ἤδη δὲ ὁ μεταδοτικὸς, καὶ τόκους ἀξιολόγους λαμβάνει, τὰ τιμιώτατα τῶν ἐν ἀνθρώποις, ἡμερότητα, χρηστότητα, μεγαλόνοιαν, εὐφημίαν, εὔκλειαν. Ἆρ' οὐ δοκεῖ σοι φιλανθρωπίας εἶναι τὸ παράγγελμα τοῦτο; ὥσπερ κἀκεῖνο· Μισθὸν (46) πένητος B αὐθήμερον ἀποδιδόναι, ἀνυπερθέτως δεῖν διδάσκει ἐκτίνειν τὸν ἐπὶ ταῖς ὑπηρεσίαις μισθόν· παραλύεται γὰρ, οἶμαι, ἡ προθυμία τοῦ πένητος ἀτροφήσαντος πρὸς τοὐπιόν. Ἔτι φησὶ (47)· Δανειστὴς μὴ ἐπιστῇ χρεώστου οἰκίᾳ, ἐνέχυρον μετὰ βίας ληψόμενος· ἀλλ' ὁ μὲν ἔξω προφέρειν κελευέτω, ὁ δὲ, ἔχων, μὴ ἀναδυέσθω. Ἔν τε τῷ ἀμήτῳ (48) τὰ ἀποπίπτοντα

✠ P. 473 ED. POTTER, 397 ED. PARIS. [a] Prov. xix, 23.

(44) *Ἵνα εὕρηται ἐν ἡμέρᾳ κρίσεως τοὺς τούτων ἐπιβούλους. Ἀγάπης τέκνα καὶ εἰρήνης γν. πρ.* Sylburgius ait: Ἵνα εὕρηται ἐν ἡμέρᾳ κρίσεως τοὺς τούτων ἐπηβόλους, ἀγάπης τέκνα . . vel, ἵνα εὕρηται ἐν ἡμέρᾳ κρίσεως τούτων ἐπηβόλους. Τοὺς τοιούτους ἀγάπης τεκ. Editiones Sylburgiana recentiores εὕρητε pro εὕρηται habent. Cotelerius, quocum consentiunt Grabius et Lowthius, ad Barnabam hæc adnotavit: « Locus Clementis Alexandrini, in quo ista laudantur, prava interpunctione deformatus jacet. Quippe ediderunt, ἵνα εὕρητε ἐν ἡμέρᾳ κρίσεως τοὺς τούτων ἐπιβούλους. Ἀγάπης τέκνα καὶ εἰρήνης γνωστικῶς προσηγόρευσεν. *Ut inveniatis in die judicii horum insidiatores. Dilectionis et pacis filios appellavit ex cognitione.* Quibus quid insulsius? Tu meo periculo sic distingue: ἵνα εὕρητε ἐν ἡμέρᾳ κρίσεως. Τοὺς τούτων ἐπιβούλους ἀγάπης τέκνα καὶ εἰρήνης γνωστικῶς προσηγόρευσεν. Hoc est, *ut inveniatis in die judicii. Ista capessentes,* dilectionis et pacis filios *ex cognitione appellavit* (Barnabas nimirum in fine epistolæ). » Porro Barnabæ verba sic se habent: Ἐκζητοῦντες τί ζητεῖ Κύριος ἀφ' ὑμῶν, καὶ ποιεῖτε, ἵνα σωθῆτε ἐν ἡμέρᾳ κρίσεως. *Exquirentes quid a vobis requirat Dominus, et facite, ut salvi sitis in die judicii.*

(45) *Ἀδελφόν.* Respicit Levit. xxv, 35, 36; Deut. xxiii, 19, 20. Porro eorum pleraque fere omnia, quæ hic ad Judæorum leges moresque spectant, e Philone sumpta sunt: cujus præcipuas sententias adnotasse sufficiat. Inprimis quæ ad mutuum absque fenere spectant, petita sunt e libro *De charitate,* pag. 701. Ἀπαγορεύει τοίνυν ἀδελφῷ δανείζειν, ἀδελφὸν ὀνομάζων οὐ μόνον τὸν ἐκ τῶν αὐτῶν φύντα γονέων, ἀλλ' ὃς ἀστὸς ἢ ὁμόφυλος ᾖ, τόκους ἐπὶ χρήμασιν οὐ δίκαιον (scribendum ex Clemente δικαιῶν) ἐκλέγειν, ὡς ἀπὸ θρεμμάτων ἔγγονα,...ἀλλ' ἀνειμέναις χερσὶ καὶ γνώμαις μάλιστα μὲν χαρίζεσθαι τοῖς δεομένοις, λογιζομένους ὅτι καὶ ἡ χάρις τρόπον τινὰ δάνειον . . . . οὔθ' οἱ συμβαλόντες (ἔμελλον) ἀδικεῖσθαι ἃ προσῆκε, χρηστότητα, μεγαλόνοιαν, εὐφημίαν, εὔκλειαν. *Vetat igitur fratri fenerari: fratrem vocans, non solum ex eisdem parentibus natum, sed etiam quemcunque civem, contribulemve: iniquum ducens colligere fœnus e pecuniis tanquam feturam e pecoribus; sed apertis manibus menteque præcipue gratis donare oportere indigentibus, reputantes etiam gratiam esse feneris genus. Nec creditoribus quidquam decedet de rebus pretiosissimis, bonitate, magnificentia, bona existimatione ac laude.* Dein alia sequuntur, in quibus mentio fit Θεοῦ τῶν συμπάντων γεννητοῦ, quæ iis, quæ de Deo subjicit Clemens, occasionem præbuisse videntur.

(46) *Μισθόν.* Levit. xix, 13, Deut. xxiv, 14, 15. Philo post verba jam apposita, statim hæc addit, p. 702: Ἔτι τῶν εἰς φιλανθρωπίαν τεινόντων παράγγελμα κἀκεῖνο διατέτακται, μισθὸν πένητος αὐθήμερον ἀποδιδόναι· οὐ μόνον ὅτι . . . δίκαιον ἦν, τὸν ἐπὶ τῇ ὑπηρεσίᾳ μισθὸν ἀνυπερθέτως ἀπολαβεῖν, ἀλλ' ὅτι... ἐπὶ τῷ μισθῷ τέθειται τὴν ἐλπίδα, ὃν εἰ μὲν εὐθὺς κομίσαιτο, γηθεὶ, χαίρων τε νῷ, καὶ πρὸς τὴν ἐπιοῦσαν προθυμίᾳ ἐργαζόμενος· εἰ δὲ μὴ κομίσαιτο, ἀναπέπτωκεν. *Illud quoque præceptum ad charitatis officia refertur: Mercedem eodem die reddi pauperi: non solum ob id, quia æquum est, post exhibitam operam repræsentari pecuniam sine dilatione; sed etiam quia spem omnem in mercede collocat; quam si mox referat, et in præsens gaudet, et in crastinum redit ad opus alacrior; quod si non referat, concidit.*

(47) *Ἔτι φησί· Δαν.* Deut. xxiv, 10, 11. Philo in loco jam dicto: Ἔτι φησὶ, Δανειστὴς μὴ εἰσίτω χρεωστῶν οἰκίας, ἐνέχυρον καὶ χρυσὸν μετὰ βίας ληψόμενος, ἀλλ' ἐν προθύροις ἔξω προεστὼς ἀναμενέτω, κελεύων ἡσυχῇ προφέρειν· οἱ δ' ἃ ἔχωσι μὴ ἀναδυέσθωσαν. *Præterea vetat ne creditor intret debitorum domus, ut pignus et aurum inde capiat; sed jubet eum ante januam exspectare, dum ultro proferantur; debitores autem vult non tergiversari.*

(48) *Ἔν τε τῷ ἀμήτῳ.* Levit. xix, 9, xxiii, 22; Deut. xxiv, 19. Philo, non multo post verba jam dicta, hæc insuper addit, pag. 703: Κελεύει γὰρ ἐν μὲν ἀμήτῳ, μήτε τὰ ἀποπίπτοντα τῶν πραγμάτων (scribendum ex Clemente δραγμάτων) ἀναιρεῖσθαι, μήτε πάντα τὸν σπόρον κεῖραι, ἀλλ' ὑπολιπέσθαι τὸ τοῦ κλήρου μέρος ἄτμητον· ἅμα μὲν τοὺς εὐπόρους, μεγαλόφρονας καὶ κοινωνικοὺς κατασκευάζων, ἐκ τοῦ τι παριέναι (προϊέναι Clemens) τῶν ἰδίων, . . . ἅμα δὲ καὶ τοὺς πένητας εὐθυμοτέρους ἀπεργαζόμενος. *Vetat enim colligi spicas prolapsas e manipulis, vetat et totam segetem demeti, ut agelli pars a falce relinquatur intacta: simul divitibus consulens, ut assuescant sua communicare liberaliter, et etiam pauperibus afferens solatium.*

A τῶν δραγμάτων ἀναιρεῖσθαι κωλύει τοὺς κτήτορας· καθάπερ κἀν τῷ θερισμῷ ὑπολείπεσθαί τι παραινεῖ ἄτμητον· διὰ τούτου εὖ μάλα τοὺς μὲν κτήτορας εἰς κοινωνίαν καὶ μεγαλοφροσύνην συνασκῶν ἐκ τοῦ προϊέναι τι τῶν ἰδίων τοῖς δεομένοις, τοῖς πένησι δὲ ἀφορμὴν πορίζων τροφῶν. Ὁρᾷς ὅπως ἡ νομοθεσία τὴν τοῦ Θεοῦ δικαιοσύνην ἅμα καὶ ἀγαθότητα καταγγέλλει, τοῦ πᾶσιν ἀφθόνως χορηγοῦντος τὰς τροφάς. Ἔν τε αὐτῇ τρυγῇ (49) τὸ ἐπιέναι πάλιν τὰ καταλειφθέντα δρεπομένους, καὶ τὸ τὰς ἀποπιπτούσας ῥῶγας συλλέγειν κεκώλυκεν· τὰ δ' αὐτὰ καὶ τοῖς ἐλαίας συλλέγουσι διατάσσεται. Ναὶ μὴν καὶ αἱ δεκάται (50) τῶν τε καρπῶν καὶ τῶν θρεμμάτων, εὐσεβεῖν τε εἰς τὸ Θεῖον καὶ μὴ πάντα εἶναι φιλοκερδεῖς, μεταδιδόναι δὲ φιλανθρωπίας καὶ τοῖς πλησίον, ἐδίδασκεν (51). Ἐκ τούτων γὰρ, οἶμαι, τῶν ἀπαρχῶν καὶ οἱ ἱερεῖς διε- B τρέφοντο· ἤδη οὖν συνίεμεν, εἰς εὐσέβειαν, καὶ εἰς κοινωνίαν, καὶ εἰς δικαιοσύνην, καὶ εἰς φιλανθρωπίαν παιδευομένους ἡμᾶς πρὸς τοῦ νόμου. Ἢ γὰρ οὐχὶ διὰ μὲν τοῦ ἑβδόμου ἔτους (52) ἀργὴν ἀνίεσθαι τὴν χώραν προστάττει, τοὺς πένητας δὲ ἀδεῶς τοῖς κατὰ Θεὸν φυεῖσι (53) καρποῖς χρῆσθαι ἐκέλευεν, τῆς φύσεως τοῖς βουλομένοις γεωργούσης; Πῶς οὖν οὐ (54) χρηστὸς ὁ νόμος καὶ δικαιοσύνης διδάσκαλος; Πάλιν τε αὖ τῷ πεντηκοστῷ ἔτει (55) τὰ αὐτὰ ἐπιτελεῖν κελεύει, ἃ καὶ τῷ ἑβδόμῳ, προσαποδιδοὺς ἑκάστῳ τὸ ἴδιον, εἴ τις ἐν τῷ μεταξὺ διά τινα περίστασιν ἀφῃρέθη χωρίον, τήν τε ἐπιθυμίαν τῶν κτᾶσθαι ποθούντων περιορίζων χρόνῳ μεμετρημένῳ καρπώσεως, τούς τε πενίᾳ μακρᾷ ὑποσχόντας δίκην μὴ διὰ βίου κολαζομένους ἐλῶν (56). *Ἐλεημοσύναι* (57) *δὲ καὶ πί-* C

A existimationem, laudemque. Annon hoc tibi videtur esse præceptum humanitatis? sicut illud: Mercedem pauperis ipso die reddere, docet oportere sine mora exsolvere mercedem ministris. Remittitur enim, ut opinor, ad id, quod in postremum sequitur, faciendum pauperis alacritas, si desit alimentum. Præterea: Fenerator, inquit, ne ingrediatur domum debitoris, vi pignus accepturus: sed ille quidem jubeat extra proferre: is vero, si habeat, ne recuset. Et in messe ea, quæ a manipulis excidunt, tollere prohibet possessores, sicut etiam in metendo jubet aliquid insectum relinquere; per hoc possessores valde exercens ad communicationem et magnificentiam, ex eo quod ex propriis aliquid dimittant egentibus, pauperibus autem præ- B bens materiam sibi quærendi victus. Vides quomodo lex simul annuntiat Dei justitiam et bonitatem, qui omnibus alimenta abunde suppeditat; et in ipsis vindemiis regredi ut carpant ea, quæ sunt relicta; et uvas, quæ excidunt, colligere prohibet. Eadem etiam præcipit iis, qui colligunt oleas. Jam vero decimæ quoque fructuum et pecorum, docebant et pios esse in Deum, et non esse lucro penitus deditos, ✠ sed proximos humanitatis efficere participes. Ex his enim, ut puto, et primitiis alebantur sacerdotes. Jam ergo intelligimus nos per legem erudiri ad pietatem et communicationem, et ad justitiam et humanitatem. Annon enim septimo quoque anno jubet agrum relinqui otiosum; pauperes autem iis, qui divinitus producti fuerint, fru- C ctibus secure frui præcepit, agrum colente natura

✠ P. 474 ED. POTTER, 397-398 ED. PARIS.

(49) *Ἔν τε αὐτῇ τρυγῇ*. Levit. xix, 10; Deut. xxiv, 20, 21. Philo loco jam dicto: Ἐν δὲ τῷ καιρῷ τῆς ὀπώρας, πάλιν δρεπομένοις τοῖς κληρούχοις προστάττει, μήτε ῥᾶγας ἀποπιπτούσας συλλέγειν, μήτε ἀνατρυγᾶν ἀμπελῶνας. Τὰ δ' αὐτὰ καὶ τοῖς ἐλαιολογοῦσι διατάττεται. *Similiter vindemiæ tempore præcipit, ne colligantur acini, neve fiat racematio. Idem mandat et olivatoribus.*

(50) *Αἱ δεκάται*. Levit. xxii, 30, 32; Numer. xviii, 21, 24. Philo, p. 704: Κελεύουσιν οἱ νόμοι δεκάτας μὲν ἀπὸ τοῦ σίτου, οἴνου, καὶ θρεμμάτων ἡμέρων, καὶ ἐρίων ἀπάρχεσθαι τοῖς ἱερωμένοις . . . ὅπως ἐρεθιζόμενοι τῇ μὲν τιμᾷν τὸ Θεῖον, τῇ δὲ μὴ πάντα κερδαίνειν, εὐσεβείᾳ καὶ φιλανθρωπίᾳ, ταῖς ἀρετῶν ἡγεμονίσι, κοσμῶνται. *Eædem leges jubent decimas frumenti, vini, olei, pecorum, lanarum decidi sacerdotibus: ut invitati ad religionem moderandumque lucri studium, pietate charitateque ornentur, duabus virtutibus præcipuis.*

(51) *Ἐδίδασκεν*. Scribendum in plurali numero ἐδίδασκον.

(52) *Ἑβδόμου ἔτους*. Exod. xxiii, 10, 11; Levit. xxv, 2-7. Philo, loco jam dicto: Τὰ δὲ περὶ ἑβδόμου ἔτους νομοθετηθέντα, καθ' ὃ δεῖ τὴν χώραν ἀνίεσθαι ἀργὴν πᾶσαν ἀφιεμένην, τοὺς δὲ πένητας ἀδεῶς τοῖς τῶν πλουσίων χωρίοις δρεψομένους αὐτοματισθέντα καρπὸν δώρημα φύσεως, ἆρ' οὐχὶ χρηστὰ καὶ φιλάνθρωπα; *Quod lex de anno septimo, quo cessat agricultura, et pauperibus licet e divitum agris fructus sponte natos, ceu naturæ donum, secure tollere, annon bonitatis humanitatisque plenum est?*

(53) *Τοῖς κατὰ Θεὸν φυεῖσι*. Hoc est sine cultu et cura hominum germinantibus. Sic enim Philo hanc phrasim explicavit, loco jam dicto: Μὴ συνεφαψαμένης γεωργίας ἄρτιοι καὶ πλήρεις αἱ χάριτες ἐκ Θεοῦ μόνον γένωνται. *Nulla terram attingente cultura, integra gratia Deo debeatur.*

(54) *Οὐ*. Negativum οὐ, in Flor. edit. omissum agnoscit etiam Herveti versio: *Quomodo ergo non bona est lex?* inquit Sylburgius. Recte: nam hæc verba Clementis: Πῶς οὖν οὐ χρηστὸς ὁ νόμος; respondent illis quæ e Philone jam citata sunt, τὰ δὲ ...νομοθετηθέντα...ἆρ' οὐχὶ χρηστὰ καὶ φιλάνθρωπα;

(55) *Πεντηκοστῷ ἔτει*. Levit. xxv, 8, 9 seq. Philo, loco jam dicto de quinquagesimo anno agens, hæc dicit: Ἐπιτελεῖται μὲν γὰρ ἃ καὶ τῷ ἑβδόμῳ, προσείληφε δέ τινα μείζονα λῆψιν τῶν ἰδίων κτημάτων, ἃ διὰ καιροὺς ἀβουλήτους παρεχώρησαν ἑτέροις· οὔτε γὰρ τὴν κτῆσιν ἔχειν τῶν ἀλλοτρίων ἐφίησι, τὰς εἰς πλεονεξίαν ἐπιφράττων ὁδοὺς, ἕνεκα τοῦ στεῖλαι τὴν D ἐπίβουλον καὶ πάντων αἰτίαν ἐπιθυμίαν, οὔτε τοὺς κληρούχους εἰς ἅπαν ᾠήθη χρῆναι τῶν οἰκείων ἀποστερεῖσθαι, πενίᾳ διδόντας δίκας, ἣν κολάζεσθαι μὲν οὐ θέμις, ἐλεεῖσθαι δ' ἀναγκαῖον. *Fiunt enim tunc eadem, quæ anno septimo, et accedunt alia majora, scilicet in pristinas possessiones restitutio, ex quibus aliquis propter temporum difficultates exciderat. Non permittit enim possessionem alienorum bonorum, occludens aditum avaritiæ, ut cohibeat insidiatricem fontemque omnium malorum concupiscentiam: nec censet æquum, ut coloni suis agris priventur in perpetuum, et paupertatis pœnas dent, miserandi potius, quam puniendi.*

(56) *Ἐλῶν*. Scribendum ἐλεῶν, *misertus*, siquidem Philonem sequi libeat.

(57) *Ἐλεημοσύναι*. Proverb. xx, 28. Ἐλεημοσύνη καὶ ἀλήθεια φυλακὴ βασιλεῖ. *Eleemosyna et veritas, custodia regi.* Latina Vulg.: *Misericordia et veritas*

volentibus? Quomodo ergo non est bona lex, et magistra justitiæ? Et rursus quinquagesimo anno jubet eadem facere, quæ septimo: præterea reddens unicuique proprium, si cui casu aliquo ablatus esset fundus: et eorum cupiditatem, qui possidere desiderant, dimenso utendi ac fruendi tempore circumscribens; et eos qui propter longam paupertatem pœnas dederunt, nolens perpetuo puniri. *Eleemosynæ autem et fides, custodiæ regiæ. Benedictio autem in caput ejus, qui elargitur* : etc. *Qui miseretur mendicorum, beabitur* [a]; quoniam charitatem ostendit in sibi similem, propter eam, quam habet, charitatem, in Opificem humani generis. Habent autem ea, quæ prius dicta sunt, alias quoque magis naturales expositiones, de quiete, et receptione hæreditatis; quæ non opus est in præsens dicere. Multis autem modis intelligitur charitas, per mansuetudinem, per benignitatem, per tolerantiam, per invidiæ et æmulationis vacuitatem, per odii remotionem, per injuriæ oblivionem. Est ejusmodi in omnibus, ut dividi et discerni non possit, sua lubenter communicans. Rursus: Si videris, inquit, ✠ jumentum necessariorum aut amicorum, aut eorum, quos cognoscis, hominum, errans in solitudine, abduc ipsum et redde: et si procul abfuerit dominus, postquam servaveris cum tuis donec redierit, redde. Naturalem docet communionem, nempe ut inventum existimemus depositum, et ne simus memores injuriæ ab inimico acceptæ.

A *στεις φυλακαὶ βασιλικαί* · *εὐλογία* (58) *δὲ εἰς κεφαλὴν τοῦ μεταδιδόντος* · καὶ, *Ὁ ἐλεῶν πτωχοὺς μακαρισθήσεται* · ὅτι τὴν ἀγάπην ἐνδείκνυται εἰς τὸ ὅμοιον (59) διὰ τὴν ἀγάπην τὴν πρὸς τὸν Δημιουργὸν τοῦ τῶν ἀνθρώπων γένους. Ἔχει μὲν οὖν καὶ ἄλλας ἐκδόσεις τὰ προειρημένα, φυσικωτέρας, περί τε ἀναπαύσεως καὶ τῆς ἀπολήψεως τῆς κληρονομίας · ἀλλ' οὐκ ἐν τῷ παρόντι λέλεκται. Ἀγάπη δὲ πολλαχῶς νοεῖται, διὰ πραότητος, διὰ χρηστότητος, δι' ὑπομονῆς, δι' ἀφθονίας καὶ ἀζηλίας, δι' ἀμισίας, δι' ἀμνησικακίας · ἀμέριστός (60) ἐστιν ἐν πᾶσιν, ἀδιάκριτος, κοινωνική. Πάλιν · Ἐὰν ἴδῃς (61), φησὶ, τῶν οἰκείων (62) ἢ φίλων, ἢ καθόλου ὧν γνωρίζεις (63) ἀνθρώπων, ἐν ἐρημίᾳ πλανώμενον ὑποζύγιον, ἀπαγαγὼν ἀπόδος · κἂν οὖν τύχῃ (64) μακρὰν
B ἀφεστὼς ὁ δεσπότης, μετὰ τῶν σαυτοῦ (65) διαφυλάξας, ἄχρις ἂν κομίσηται, ἀπόδος. Φυσικὴν κοινωνίαν διδάσκει τὸ εὕρημα παρακαταθήκην λογίζεσθαι, μηδὲ μνησικακεῖν τῷ ἐχθρῷ (66). *Πρόσταγμα Κυρίου πηγὴ ζωῆς* ὡς ἀληθῶς, *ποιεῖ* (67) *ἐκκλίνειν ἐκ παγίδος θανάτου*. Τί δέ; οὐχὶ τοὺς ἐπήλυδας (68) ἀγαπᾷν κελεύει, οὐ μόνον ὡς φίλους καὶ συγγενεῖς, ἀλλ' ὡς ἑαυτοὺς, κατά τε σῶμα καὶ ψυχήν; Ναὶ μὴν τὰ ἔθνη τετίμηκεν, καὶ τοῖς γε κακῶς πεποιηκόσιν οὐ μισοπονηρεῖ (69). Ἄντικρυς γοῦν φησιν · *Οὐ βδελύξῃ Αἰγύπτιον, ὅτι πάροικος ἐγένου κατ' Αἴγυπτον* (70), ἤτοι τὸν ἐθνικὸν, ἢ καὶ πάντα τὸν κοσμικὸν (71), *Αἰγύπτιον* προσειπών. Τούς τε

✠ P. 475 ED. POTTER, 398-399 ED. PARIS.

[a] Prov. xx, 28; xi, 26; xiv, 21.

custodiunt regem, et roboratur clementia thronus ejus. Aquila pariter vertit ἔλεος καὶ ἀλήθεια, ac sæpe convenit cum Latina Vulgata hic interpres: sed Hebræis eadem vox et *veritatem, et fidem* significat, ut Græcis, *misericordiam et eleemosynam*; Prov. iii, v. 3: Ἐλεημοσύναι καὶ πίστεις μὴ ἐκλειπέτωσάν σοι. Latina: *Misericordia et veritas te non deserant*: et c. xvi, v. 22: Ἐλεημοσύναι καὶ πίστεις παρὰ τέκτοσιν ἀγαθοῖς, *Eleemosynæ et fides apud fabricatores bonos*. Quem locum hic indicari putavit Hervetus. Latina: *Misericordia et veritas præparant bona*. Utrobique eædem reperiuntur voces Hebrææ. COLLECT.

(58) *Εὐλογία*. Prov. xi, 26: Ὁ συνέχων σῖτον, ὑπολείποιτο αὐτὸν τοῖς ἔθνεσιν · εὐλογία δὲ εἰς κεφαλὴν τοῦ μεταδιδόντος. Prov. xiv, 21: Ὁ ἀτιμάζων πένητας ἁμαρτάνει · ἐλεῶν δὲ πτωχοὺς, μακαριστός.

(59) *Εἰς τὸ ὅμοιον*. A. εἰς τὸν ὅμοιον, masc. gen. SYLBURG.

(60) *Ἀμέριστος*. Amorem vocat *individuum, indiscretum*, quod per eum plures quodammodo unus idemque fiant; secundum illud, *Amicus alter ego*. Hoc sensu intelligendum esse Clementem patebit, appositis Philonis verbis e libri superius dicti pag. 705: Κελεύει δὴ τοῖς ἀπὸ τοῦ ἔθνους ἀγαπᾷν τοὺς ἐπήλυδας, μὴ μόνον ὡς φίλους καὶ συγγενεῖς, ἀλλὰ καὶ ὡς ἑαυτοὺς, κατά γε σῶμα καὶ ψυχὴν, ὡς οἷόν τε κοινοπραγοῦντας · κατὰ δὲ τὴν διάνοιαν, τὰ αὐτὰ λυπουμένους τε καὶ χαίροντας, ὡς ἐν διαιρετοῖς μέρεσιν ἓν ζῶον εἶναι δοκεῖν ἁρμοζομένης καὶ συμφυὲς ἀπεργαζομένης αὐτὸ κοινωνίας. *Jubet etiam ut gentiles sui amarent advenas, non solum ut amicos et cognatos, sed tanquam seipsos, et unius fortunæ participes, tum animo, tum corpore, unaque sincere iisdem rebus dolentes ac gaudentes, tanquam ejusdem animalis diversæ partes, conciliante cunctos quodammodo in congenitam naturam benevolentia.*

C (61) *Ἐὰν ἴδῃς*. Horum præceptorum sensus exstat Exod. xxiii, 4; Deut. xxii, 1, 2, 3; verba, paucis mutatis, e Philone sumpta sunt.

(62) *Τῶν οἰκ.* Τινὸς τῶν οἰκείων, Philo.

(63) *Ἢ καθόλου ὧν γνωρίζεις*. Ἢ συνόλως ὧν οἶδας, Philo.

(64) *Κἂν οὖν τύχῃ*. Καὶ ἐὰν ἄρα τύχῃ, Philo.

(65) *Μετὰ τῶν σ.* Philo: Μετὰ τῶν σῶν διαφύλαξον, ἄχρις ἂν ἐπανελθὼν κομίσηται παρακαταθήκην, ἣν οὐκ ἔδωκεν, ἀλλ' ἣν αὐτὸς ἐξευρὼν, ἐκ φυσικῆς κοινωνίας ἀποδίδως. *Asserva cum tuis, donec ille veniens, depositum recipiat, quod ille non donarit, sed quod inventum ultro reddis propter naturale jus societatis.*

(66) *Τῷ ἐχθρῷ*. Nempe Exod. xxiii, mentio τοῦ ἐχθροῦ facta est · Ἐὰν δὲ συναντήσῃς τῷ βοῒ τοῦ ἐχθροῦ σου, etc.

(67) *Ποιεῖ*. Ποιεῖ δέ, Proverb.

D (68) *Τοὺς ἐπήλυδας*. Conf. Exod. xxii, 21, xxiii, 9; Levit. xix, 10, 33, 34; Numer. xv, 12, 15, ut etiam verba Philonis paulo superius posita.

(69) *Μισοπονηρεῖ*. Aptius, opinor, μνησιπονηρεῖ, id est μνησικακεῖ, *illati mali memoriam servat*: inquit Sylburgius. Recte: nam hæc Philonis verba imitatus est Clemens: Οἴεται δεῖν καὶ τοῖς κακῶς πεποιηκόσι μὴ μνησικακεῖν. ... Ἄντικρυς οὖν φησιν, Οὐ βδελύξῃ τὸν Αἰγύπτιον. *Vult etiam injuriarum memoriam aboleri. Proinde diserte ait: « Ægyptium odio non prosequeris. »*

(70) *Κατ' Αἴγυπτον*. Interpretamentum Clementis: ἐν τῇ γῇ αὐτοῦ, Deuteron.

(71) *Πάντα τὸν κοσμ.* Superius pag. 380 edit. Paris. dixit Ægyptum esse σύμβολον τοῦ κόσμου, *signum mundi*: unde dubitat, utrum *Ægyptii* nomine notetur, qui e terra Ægypti fuit, vel alius quisquam in toto mundo.

πολεμίους (72), κἂν ἤδη τοῖς τείχεσιν ἐφεστῶτες ὦσιν, ἑλεῖν τὴν πόλιν πειρώμενοι, μήπω νομίζεσθαι πολεμίους, ἄχρις ἂν αὐτοὺς ἐπικηρυκευσάμενοι προσκαλέσωνται πρὸς εἰρήνην. Ναὶ μὴν (73) καὶ τῇ αἰχμαλώτῳ οὐ πρὸς ὕβριν ὁμιλεῖν κελεύει· ἀλλὰ τὰς λ' ἡμέρας ἐπιτρέψας, φησὶ, πενθῆσαι, ὡς βούλεται, μεταμφιάσας ὕστερον, ὡς γαμετῇ νόμῳ συνέρχου· οὔτε γὰρ ἐφ' ὕβρει τὰς συνουσίας, οὐδὲ μὴν διὰ μισθαρνίαν, ὡς ἑταίρας, ἀλλ' ἢ διὰ μόνην τῶν τέκνων γένεσιν (74), γίνεσθαι τὰς ὁμιλίας ἀξιοῖ. Ὁρᾷς φιλανθρωπίαν μετ' ἐγκρατείας; τῷ ἐρῶντι, κυρίῳ τῆς αἰχμαλώτου γεγονότι, οὐκ ἐπιτρέπει χαρίζεσθαι τῇ ἡδονῇ· ἀνακόπτει δὲ τὴν ἐπιθυμίαν διαστήματι μεμετρημένῳ, καὶ προσέτι ἀποκείρει τῆς αἰχμαλώτου καὶ τὰς τρίχας, ἵνα τὸν ἐφύβριστον δυσωπήσῃ ἔρωτα· εἰ γὰρ λογισμὸς ἀναπείθει γῆμαι, καὶ γενομένης B αἰσχρᾶς ἀνθέξεται. Ἔπειτα ἐάν τις, τῆς ἐπιθυμίας κατάκορος γενόμενος, μηκέτι κοινωνεῖν τῇ αἰχμαλώτῳ καταξιώσῃ, μηδὲ πιπράσκειν ταύτην ἐξεῖναι διατάττεται, ἀλλὰ μηδὲ ἔτι θεράπαιναν ἔχειν, ἐλευθέραν δὲ εἶναι, καὶ τῆς οἰκετίας ἀπαλλάττεσθαι βούλεται, ὡς μή, γυναικὸς ἑτέρας ἐπεισελθούσης, πάθῃ τι τῶν κατὰ ζηλοτυπίαν ἀνήκεστον (75). Τί δέ; καὶ (76) ἐχθρῶν ὑποζύγια ἀχθοφοροῦντα συνεπικουφίζειν καὶ συνεγείρειν προστάσσει, πόῤῥωθεν διδάσκων ἡμᾶς ὁ Κύριος ἐπιχαιρεκακίαν μὴ ἀσπάζεσθαι, μηδὲ ἐφήδεσθαι τοῖς ἐχθροῖς· ἵνα, τούτοις ἐγγυμνασαμένους, ὑπὲρ τῶν ἐχθρῶν προσεύχεσθαι διδάξῃ. Οὔτε γὰρ φθονεῖν (77) καὶ ἐπὶ τοῖς τοῦ πέλας ἀγαθοῖς λυπεῖσθαι προσῆκεν, οὐδὲ μὴν ἐπὶ τοῖς τοῦ πλησίον κακοῖς ἡδονὴν καρποῦσθαι. Κἂν πλανώμενον (78) μέντοι, φησὶν, ἐχθροῦ τινος ὑποζύγιον εὕρῃς, τὰ τῆς διαφορᾶς διαλιπὼν ὑπεκκαύματα, ἀπαγαγὼν ἀπόδος· τῇ γὰρ ἀμνηστίᾳ (79) ἕπεται ἡ καλοκἀγαθία· καὶ ταύτῃ ἡ τῆς

A *Præceptum Domini*, quod est revera *fons vitæ, facit declinare a laqueo mortis* [a]. Quid vero? annon jubet diligere advenas, non solum ut amicos et cognatos, sed etiam ut nos ipsos, et animo, et corpore? Jam vero gentes quoque honoravit, et nec in eos, qui male fecerunt, infenso est animo. Aperte itaque dicit : *Non abominaberis Ægyptium, quoniam fuisti advena in terra Ægypti* [b] : vel hominem istius gentis, vel etiam e quavis alia mundi regione vocans *Ægyptium :* et hostes, etiamsi muris immineant, conantes urbem capere, nondum hostes vult existimari, priusquam missis ad eos legatis ad pacem provocaverint. Quinetiam ne cum captiva quidem vult contumeliosam esse consuetudinem. Sed cum ei, inquit, permiseris triginta diebus B ut vult lugere, cum ejus postea vestes mutaveris, tanquam cum uxore legitime cum ea congredere. Non enim solius libidinis causa, sed propter solam liberorum procreationem vult esse consuetudinem. Vides una cum continentia humanitatem? domino **172** amanti captivam non permittit explere voluptatem, sed præstituto spatio resecat cupiditatem : et præterea tondet etiam captivæ pilos, ut probrosum retundat amorem. Si enim ei suadet ratio ut uxorem ducat, eam retinebit, etiam si turpis evaserit. Deinde si quis expleta cupiditate, noluerit amplius cum captiva habere consuetudinem, neque eam ei licere vendere constituit, sed neque amplius habere ancillam, verum vult esse liberam, et liberari a servitute, ne si alia C fuerit ingressa mulier, ei grave aliquid et intolerabile accidat ex zelotypia. ✠ Quid vero? inimicorum quoque jumenta onere pressa allevare et erigere præcipiens, eminus nos docet Dominus, non

✠ P. 476 ED. POTTER. [a] Prov. xiv, 27. [b] Deut. xxiii, 7.

(72) *Τούς τε πολεμίους*. Deut. xx, 10. Philo pag. 706 : Χρηστὰ δ' ἕτερα καὶ μεστὰ ἡμερότητος ὑπὲρ τῶν πολεμίων· ἀξιοῖ γὰρ αὐτοὺς, κἂν ἐπὶ θύραις ὦσιν, ἤδη τοῖς τείχεσιν ἐφεστῶτες ἐν πανοπλίαις, καὶ ταῖς πόλεσιν ἐφιστάντες, μήπω νομίζεσθαι πολεμίους, ἄχρις ἂν αὐτοὺς, ἐπικηρυκευσάμενοι, προκαλέσωνται πρὸς εἰρήνην. *Ac ne belli quidem jus ab humanitate alienum est. Vult enim, etiamsi armati portis immineant ac mœnibus, nondum tamen pro hostibus habere, nisi per caduceatorem ad pacem invitati, conditiones aspernati fuerint.*

(73) *Ναὶ μήν*. Hæc præcepta quoad sensum exstant Deuter. xxi, 10 et seq. Porro totum hunc locum, in quo de mulieribus captivis agit auctor, plenius explicatum videre licet apud Philonem, pag. 706, 707. Conf. *Strom.* iii, pag. 195 edit. Sylburg., pag. 456 edit. Paris.

(74) *Διὰ μόνην τέκνων γ.* Similia superius dixit *Pædagog.* lib. ii, cap. 10, pag. 187, 191, 192, et infra *Strom.* iii, pag. 456 edit. Paris.

(75) *Ἀνήκεστον*. Si cui ἀνηκέστων magis arriserit, is Philonem sequi poterit, cujus hæc sunt verba : Μὴ γυναικὸς ἑτέρας ἐπεισελθούσης, ἐξ ἔριδος, οἷα φιλεῖ κατὰ ζηλοτυπίαν, πάθῃ τι τῶν ἀνηκέστων. *Ne forte superinducta muliere alia, contentione, ut fieri solet, per zelotypiam exorta, prior fastidita gravius aliquid patiatur.*

(76) *Τί δὲ καί*. Legi potest etiam ἔτι δὲ καί....... sublata interrogationis nota. Sylburg. — Philo pag. 707 : Ἕτερα δ' ἐφ' ἑτέροις ἐπαντλῶν ὠσὶ φιληκόοις ἡμερότητα προστάττει· κἂν ἐχθρῶν ὑποζύγια, ἀχθοφοροῦντα, τῷ βάρει πιεσθέντα προσπέσῃ, μὴ παρελθεῖν, ἀλλὰ συνεπικουφίσαι καὶ συνεγεῖραι· πόῤῥωθεν ἀναδιδάσκων τὸ μὴ τοῖς ἀβουλήτοις ἐφήδεσθαι, βαρύμηνι πάθος τὴν χαιρεκακίαν εἰδώς. *Adduntur et alia præcepta humanitatis, et cumulatim ingeruntur auditoribus : etiamsi inimici jumentum conciderit sub onere, noli præterire, sed sublevantem erigentemque adjuva; nimirum in minimis quoque docet, non gaudendum alienis adversitatibus, sciens* D *molestum esse affectum exsultationem in alienis miseriis.* Conf. Exod. xxiii, 4, 5; Deuteron. xxii, 4.

(77) *Φθονεῖν*. Φθόνον et χαιρεκακίαν pariter distinguit etiam Philo, loco jam dicto : Ὁ μὲν ἐπὶ τοῖς τοῦ πέλας ἀγαθοῖς λύπην, ἡ δὲ χαρὰν τοῖς τοῦ πλησίον κακοῖς κατεργάζεται. *Invidia proximi felicitate offenditur, altera vero lætatur ejus calamitatibus.*

(78) *Κἂν πλαν*: Eadem dicit etiam Philo, nisi quod pro ὑποζύγιον εὕρῃς ille habeat ἴδῃς ὑποζύγιον· et mox καταλιπὼν ὑπεκκαύματα τοῖς βαρυτέροις ἤθεσι.

(79) *Τῇ γὰρ ἀμν*. Hæc paulo clarius exposuit Philo : Οὐ γὰρ ἐκεῖνον μᾶλλον ὀνήσεις ἢ σαυτόν· ἐπειδὴ τῷ μὲν ἄλογον ζῶον, καὶ οὐδενὸς ἴσως ἄξιον περιγίνεται, σοὶ δὲ τὸ μέγιστον καὶ τιμιώτατον τῶν ἐν τῇ φύσει, καλοκἀγαθία. Διέξεισι δὲ καὶ τῆς τὸ ἀναγκαῖον. ὥσπερ σκιὰ σώματος, καὶ τῆς ἔχθρας διάλυσις. *Id enim non magis illi, quam tibi. proderit. Lucrabitur ille brutum fortasse non magni pre-*

esse exsultandum in aliorum malis, neque in miseriis inimicorum lætandum, ut in his exercitatos pro inimicis quoque doceat orare. Neque enim invidere, et propter proximi bona dolore affici convenit, neque propter mala proximi, gaudii usuram percipere. Quod si alicujus, inquit, inimici errans jumentum inveneris, contentionis interno relicto incendio, ipsum abduc et redde. Injuriæ enim oblivionem consequitur vera vitæ probitas : et eam, inimicitiarum dissolutio. Hinc apparamur ad concordiam, ea vero nos veluti manu deducit ad beatitudinem. Et si aliquem ex consuetudine inimicum existimaveris, eum autem vel a cupiditate, vel ira citra rationem decipi deprehenderis, converte ad vitæ probitatem. Jamne videtur humana lex et benigna, quæ est *pædagogus ad Christum* [a]? et Deus idem bonus cum justitia, ab initio usque ad finem unoquoque genere apte usus ad salutem? « Misereminì, inquit Dominus, ut misericordiam consequamini; remittite, ut remittatur vobis; ut facitis, ita fiet vobis; ut datis, ita dabitur vobis; ut judicatis, ita judicabimini; ut benigni estis, ita vobiscum agetur benigne; *qua mensura mensi fueritis, remetietur vobis* [b]. » Præterea eis, qui propter victum serviunt, infamiam omnino irrogari prohibet : et iis, qui propter debita redacti sunt in servitutem, septimo anno dat plenas inducias. Quinetiam prohibet supplices dare ad supplicium. Est ergo verissimum illud eloquium : *Sicut probatur*

A ἔχθρας διάλυσις. Ἐντεῦθεν εἰς ὁμόνοιαν καταρτιζόμεθα· ἡ δὲ εἰς εὐδαιμονίαν χειραγωγεῖ. Κἂν τὸν ἐξ ἔθους ἐχθρὸν ὑπολάβῃς, παραλογιζόμενον δὲ τοῦτον ἀλόγως ἤτοι ἐπιθυμίᾳ ἢ καὶ θυμῷ καταλάβῃς, ἐπίστρεψον αὐτὸν εἰς καλοκἀγαθίαν. Ἆρα ἤδη καταφαίνεται φιλάνθρωπος καὶ χρηστὸς ὁ νόμος *ὁ εἰς Χριστὸν παιδαγωγῶν*; Θεός τε ὁ αὐτὸς ἀγαθὸς μετὰ δικαιοσύνης, ἀπ' ἀρχῆς εἰς τέλος ἑκάστῳ γένει προσφυῶς εἰς σωτηρίαν κεχρημένος; « Ἐλεεῖτε (80), φησὶν ὁ Κύριος, ἵνα ἐλεηθῆτε· ἀφίετε, ἵνα ἀφεθῇ ὑμῖν· ὡς ποιεῖτε, οὕτω ποιηθήσεται ὑμῖν· ὡς δίδοτε, οὕτω δοθήσεται ὑμῖν· ὡς κρίνετε, οὕτω κριθήσεσθε· ὡς χρηστεύεσθε, οὕτω χρηστευθήσεται ὑμῖν· *ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν.* » Ἔτι (81) τοὺς τροφῇ δουλεύοντας (82) ἀτιμάζεσθαι κω-
B λύει· τοῖς τε ἐκ δανείων καταδουλωθεῖσιν, ἐκεχειρίαν τῆς εἰς πᾶν (83) δίδωσιν ἐνιαυτῷ ἑβδόμῳ. Ἀλλὰ καὶ ἱκέτας (84) ἐκδιδόναι εἰς κόλασιν κωλύει. Παντὸς οὖν μᾶλλον ἀληθὲς τὸ λόγιον ἐκεῖνο· *Ὥσπερ* (85) *δοκιμάζεται χρυσὸς καὶ ἄργυρος εἰς κάμινον, οὕτως ἐκλέγεται καρδίας ἀνθρώπων Κύριος.* Καὶ, *Ὁ μὲν ἐλεήμων* (86) *ἀνὴρ μακροθυμεῖ· ἐν παντί τε μεριμνῶντι ἔνεστι σοφία· ἐμπεσεῖται γὰρ μέριμνα ἀνδρὶ νοήμονι· φροντιστής τε ὤν, ζωὴν ζητήσει· καὶ ὁ ζητῶν τὸν Θεὸν εὑρήσει γνῶσιν μετὰ δικαιοσύνης. Οἱ δὲ ὀρθῶς ζητήσαντες αὐτὸν εἰρήνην εὗρον.* Ἐμοὶ δὲ δοκεῖ καὶ Πυθαγόρας (87) τὸ ἥμερον τὸ περὶ τὰ ἄλογα ζῶα παρὰ τοῦ νόμου εἰληφέναι. Αὐτίκα (88) τῶν γεννωμένων κατά τε τὰς ποίμνας κατά τε τὰ

[a] Galat. III, 24. [b] Matth. VII, 2.

tii : tu honestatem, qua nil in rerum natura pretiosius. Hanc necessario sequetur, sicut umbræ corpus, finis simultatis. Dein, paucis interjectis, dicit præcipue contendisse Moysen, ut stabiliret ὁμόνοιαν, κοινωνίαν, ὁμοφροσύνην, κρᾶσιν ἐθῶν, ἐξ ὧν . . . . . τὸ σύμπαν ἀνθρώπων γένος εἰς τὴν ἀνωτάτω προέλθοιεν εὐδαιμονίαν : *concordiam, societatem, unanimitatem, morumque consensum, unde universo humano generi contigerit summa felicitas.*

(80) *Ἐλεεῖτε.* Hæc præcepta, quoad sensum, occurrunt Matth. v, vi, vii; Luc. vi.

(81) *Ἔτι.* A Christi præceptis ad Mosis leges revertitur : quæ exstant Levit. xxv, 39, 40 seq.; Exod. xxi, 2, 3 seq.; Deut. xv, 12, 13 seq. Eadem apud Philonem occurrunt pag. 707, 708.

(82) *Τοὺς τροφῇ δουλεύοντας.* Sic vocat ingenuos homines, qui indigentia coacti, operam suam aliis locabant : quos, ut ait Philo, jussit legislator, μηδὲν ἀνάξιον ὑπομένειν τῆς εὐγενοῦς ἐλευθερίας, *nil hominibus liberis indignum pati* : quod Clemens ἀτιμάζεσθαι, *ignominiam pati*, dicit.

(83) *Ἐκεχειρίαν τῆς εἰς πᾶν.* Cum τῆς εἰς πᾶν subaudiendum δουλείας, ut sit, *perpetuæ servitutis*. inquit Sylburg. Verum scribendum potius ἐκεχειρίαν τὴν εἰς πᾶν, vel ἐκεχειρίαν εἰς πᾶν, omisso articulo. Philo : Διδοὺς ἐκεχειρίαν εἰς ἅπαν ἐνιαυτῷ ἑβδόμῳ. *Dans plenas inducias anno septimo.*

(84) *Ἀλλὰ καὶ ἱκ.* Hoc latius exposuit Philo, loco superius dicto.

(85) *Ὥσπερ.* Prov. xvii, v. 3 : Ὥσπερ δοκιμάζεται ἐν καμίνῳ ἄργυρος καὶ χρυσὸς, οὕτως ἐκλεκταὶ καρδίαι παρὰ Κυρίῳ. *Sicut probatur in camino argentum et aurum, sic electa corda apud Dominum.* Latina ad verbum ex Hebræo : *Sicut igne probatur argentum et aurum camino, ita probat corda Dominus.* Aquila, Symmachus, et Theodotio, καὶ δοκιμάζων καρδίας Κύριος. In editione Romana hæc

C adnotantur : Scholion, ἐκλέγεται καρδίας Κύριος, quomodo legit Clemens. Bene sit animæ doctissimi viri G. Herveti, qui si viveret, nobis gratias ageret. COLLECT.

(86) *Ὁ μὲν ἐλ.* Hæc e variis Scripturæ locis concinnavit auctor : ut Proverb. xix, 11 : Ἐλεήμων ἀνὴρ μακροθυμεῖ. Prov. xiv, 23 : Ἐν παντὶ μεριμνῶντι ἔνεστι περισσόν. Prov. xvii, 12 : Ἐμπεσεῖται μέριμνα ἀνδρὶ νοήμονι.

(87) *Πυθαγόρας.* Dicitur Pythagoras animalia neque in cibum, neque in sacrificia, cædere voluisse. Jamblichus in *Vita Pythag.* I, 24 : Καὶ αὐτὸς οὕτως ἔζησεν, ἀπεχόμενος τῆς ἀπὸ τῶν ζώων τροφῆς, καὶ τοὺς ἀναιμάκτους βωμοὺς προσκυνῶν. *Et ipse sic vixit, abstinens ab animalium carne, et altaria nullo sanguine polluta colens.* Conf. Clemens *Strom.* VII, et Laertius in Pythagora. Sunt tamen, qui dicant, eum *reliqua animantia in cibum permisisse*, μόνων δὲ ἀπέχεσθαι ἀροτῆρος βοὸς καὶ κριοῦ· *solis vero bove aratore et ariete abstinuisse*, ut refert Laertius lib. VIII, seg. 20.

D (88) *Αὐτίκα.* Locus corruptus. Ostendit Pythagoram, hoc quoque ex lege hausisse, quod voluerit recens natis parci animalibus. Auctor, ut magis cum lege, et inprimis loco, quem adducit infra, accommodet Pythagoræ scitum, ait eum eamdem habuisse causam, quam lex habuit, fecisse enim id partim matrum, partim ipsius fetus causa. At Pythagoras simpliciter nulla diis mactabat animalia. Et, ut docet Jamblichus, idem hoc vetabat illis, qui vacabant contemplationi, cum reliquis permitteret, quos ἀκουστάς dicebat. Quare? quia qui perpetuo contemplantur, proxime ad Deum accedunt : contemplationi autem ἡ κρεωφαγία officit, διὰ τὸ παχὺ τῆς ἀναδόσεως. Scribe autem locum hoc modo : Αὐτίκα τῶν γεννωμένων κατά τε τὰς ποίμνας κατά τε τὰ αἰπόλια καὶ βουκόλια, τῆς παραχρῆμα ἀπολαύ-

αἰπόλια καὶ βουκόλια, τῆς παραχρῆμα ἀπολαύσεως, μηδὲ ἐπὶ προφάσει θυσιῶν, διηγόρευσεν, ἐκ γονέων τε ἕνεκα, καὶ μητέρων, εἰς ἡμερότητα τὸν ἄνθρωπον κάτωθεν ἀπὸ τῶν ἀλόγων ζώων ἀνατρέφων. Χάρισαι (89) γοῦν, φησὶ, τῇ μητρὶ τὸ ἔκγονον, κἂν ἑπτὰ τὰς πρώτας ἡμέρας· εἰ γὰρ μηδὲν (90) ἀναιτίως γίνεται, γάλα τε ἐπομβρεῖται ταῖς τετοκυίαις εἰς διατροφὴν τῶν ἐκγόνων, ἀποσπῶν (91) τῆς τοῦ γάλακτος οἰκονομίας τὸ τεχθὲν, ἀτιμάζει τὴν φύσιν. Δυσωπήσθωσαν (92) οὖν Ἕλληνες, καὶ εἴ τις ἕτερός ἐστι τοῦ νόμου κατατρέχων· εἰ ὁ μὲν καὶ ἐπ' ἀλόγων ζώων χρηστεύεται, οἱ δὲ καὶ τὰ τῶν ἀνθρώπων ἐκτιθέασιν ἔγγονα (93), καίτοι μακρόθεν καὶ προφητικῶς ἀνακόπτοντος αὐτῶν τὴν ἀγριότητα τοῦ νόμου διὰ τῆς προειρημένης ἐντολῆς· εἰ γὰρ τῶν ἀλόγων τὰ ἔκγονα διαζεύγνυσθαι τῆς τεκούσης πρὸς τῆς γαλακτουχίας B ἀπαγορεύει, πολὺ πλέον ἐπ' ἀνθρώπων τὴν ὠμὴν καὶ ἀτιθάσσευτον προθεραπεύει γνώμην, ἵν' εἰ καὶ τῆς φύσεως, μαθήσεως γοῦν μὴ καταφρονῶσιν. Ἐρίφων μὲν γὰρ καὶ ἀρνῶν ἐμφορεῖσθαι ἐπιτέτραπται· καί τις ἴσως ἀπολογία τῷ διαζεύξαντι τῆς τεκούσης τὸ ἔκγονον· ἡ δὲ τοῦ παιδίου ἔκθεσις τίνα τὴν αἰτίαν ἔχει; Ἐχρῆν γὰρ μηδὲ τὴν ἀρχὴν γῆμαι τῷ μηδὲ παιδοποιεῖσθαι γλιχομένῳ, ἢ δι' ἡδονῆς ἀκρασίαν, παιδοκτόνον γεγονέναι. Πάλιν αὖ ὁ χρηστὸς νόμος ἀπαγορεύει ἡμέρᾳ (94) τῇ αὐτῇ συγκαταθύειν ἔκγονον καὶ μητέρα. Ἐντεῦθεν καὶ Ῥωμαῖοι (95), εἴ καί τις ἔγκυος καταδικασθείη τὴν ἐπὶ θανάτῳ, οὐ πρότερον ἐῶσιν ὑποσχεῖν τὴν τιμωρίαν πρὶν ἢ ἐκτεκεῖν. C Ἄντικρυς γοῦν καὶ ὅσα τῶν ζώων (96) κυοφορεῖ, ὁ νόμος οὐκ ἐπιτρέπει, ἄχρις ἂν ἀποτέκῃ, σφαγιάζεσθαι, μακρόθεν ἐπισχὼν τὴν εὐχέρειαν τῶν εἰς ἄνθρωπον ἀδικούντων. Οὕτως ἄχρι (97) καὶ τῶν

A *aurum et argentum in fornace, ita Dominus eligit* ✠ *corda hominum.* Et : *Vir quidem misericors est longanimis; et in quolibet qui est sollicitus, inest sapientia. In virum enim intelligentem cadit sollicitudo; et qui est sollicitus ac curam gerit, vitam quæret; et qui Deum quærit, inveniet cognitionem cum justitia. Qui eum autem recte quæsiverunt, pacem invenerunt* [a]. Mihi autem videtur etiam Pythagoras suam in animantes rationis expertes mansuetudinem a lege accepisse. Ecce enim iis, quæ in ovium et caprarum gregibus boumque armentis nascuntur, protinus uti interdixit, ne prætextu quidem sacrificiorum, patrum et matrum gratia, hominem ad mansuetudinem vel ex infimis a brutis animantibus educens. Concede, inquit, matri fetum, vel septem primis diebus. Si enim nihil fit sine causa, et enixis animantibus lac redundat ad fetus nutriendos : qui a dispensatione lactis fetum avellit, naturam afficit contumelia. Erubescant ergo Græci, et si quis est alius, legem insectari; cum ea quidem vel in bestias benigna sit, illi autem etiam hominum fetus exponunt, quanquam longe ante et prophetice eorum feritatem lex per hoc præceptum exscinderet. Si enim fetus bestiarum a matre separari prohibet ante lactis effusionem : multo magis in hominibus crudeli et immani menti præparat remedium, ut etsi naturam, disciplinam certe non negligant. Hœdis enim et agnis eis impleri permissum est; et aliqua quidem fortasse fuerit excusatio ei, qui fetum a matre separat; infantis autem expositionis quænam causa fuerit? Ab initio enim oportebat ne uxorem quidem ducere ei, qui non cupiebat procreare libe-

✠ P. 477 ED. POTTER, 400 ED. PARIS..

[a] Prov. XIX, 11; XIV, 23; XVII, 12.

σεως, μηδὲ ἐπὶ προφάσει θυσιῶν συγχωρήσας, διηγόρευσε, ἐκγόνων τε ἕνεκα καὶ μητέρων· εἰς ἡμερότητα τὸν ἄνθρωπον κάτωθεν ἀπὸ τῶν ἀλόγων ζώων ἀνατρέφων. HEINSIUS. — C. Rittershusio legendum videtur ὃς αὐτίκα, vel αὐτίκα γάρ· et postea cum Heinsio, ἐκγόνων uno vocabulo, pro ἐκ γονέων. « Hoc enim, inquit, vult Clemens, tam ipsorum fetuum, quæ ipsi sunt ἔκγονα, quam matrum, rationem habitam fuisse a legislatore. » Hæc ille in not. ad Porphyrium *De vita Pythagoræ*. Et quidem ἐκγόνων, seu, quod idem est, ἐγγόνων, veram esse lectionem, e Philone constat, cujus verba sunt hæc, pag. 708, 709 : Κελεύει γὰρ ἔν τε ἡμέραις ἀγέλαις, κατά τε ποίμνας, καὶ αἰπόλια, καὶ βούκολια, τῆς παραχρῆμα τῶν γεννωμένων ἀπολαύσεως ἀπέχεσθαι, μήτε πρὸς ἐδωδὴν μήτε προφάσει θυσιῶν λαμβάνοντας. Ὠμῆς γὰρ ὑπέλαβεν εἶναι ψυχῆς ἐφεδρεύειν ἀποκυϊσκομένοις, ἀνυπέρθετον διάζευξιν ἐγγόνων τε αὖ καὶ μητρῶν, etc. *Jubet enim abstinere ab omnibus recenso natis tam in armentis quam in gregibus, vetans ea vel mensæ inferri, vel altari. Nimirum crudele existimavit facinus, insidiari parturientibus, et protinus a matribus fetus rapere.* E quo loco post θυσιῶν apud Clementem inseri possit λαμβάνοντας· quamvis nec Heinsianum συγχωρήσας, incommodum sit. Porro de præceptis quæ ad animalia spectant, conf. Levit. XXII, 27, 28; Exod. XXII, 30; XXIII, 19; XXXIV, 26; Deuter. XIV, 21; XXII, 6, 7.

(89) *Χάρισαι*. Philo, paucis interjectis, hoc modo pergit : Χάρισαι, φησὶ, τῇ μητρὶ τὸ ἔγγονον, εἰ καὶ μὴ τὸν σύμπαντα χρόνον, ἑπτὰ γοῦν τὰς πρώτας ἡμέρας, γαλακτοτροφῆσαι. *Sine, inquit, ut mater* D *fetum suum lacte alat, si non diutius, saltem septem dies.* Dein alia addit iis, quæ de lacte infert Clemens, non dissimilia.

(90) *Εἰ γὰρ μ.* Apud Plutarchum quoque p. 272 similiter legitur, εἰ γὰρ οὐδὲν ἀναιτίως πέφυκε γενέσθαι· itemque apud Basil. p. 22. H. SYLBURG.

(91) *Ἀποσπῶν*. Malim cum articulo, ὁ ἀποσπῶν. ID.

(92) *Δυσωπήσθωσαν*. Malim δυσωπείσθωσαν, præs. temp. ID. — Similem apostrophum apud Philonem, loco superius dicto, videre licet.

(93) *Ἐκτιθέασιν ἔκγονα*. Quam fuerit hoc apud Græcos more receptum, videre licet in *Archæologiæ* nostræ *Græcæ* lib. IV, cap. 14.

(94) *Ἡμέρᾳ*. Philo pag. 711 : Προσδιαταξάμενος μὴ θύειν τῇ αὐτῇ ἡμέρᾳ μητέρα καὶ ἔγγονον. *Adjecto hoc præcepto, ne quis eodem die matrem cum suo fetu mactaret.*

(95) *Ῥωμαῖοι*. Vide Quintiliani *Declamat.* SYLBURG. — Philo generalius, ἔνιοι τῶν νομοθετῶν, *quidam legislatores*. Is porro hæc argumenta copiose tractavit libri superius dicti pag. 709, 710, 711.

(96) *Ὅσα τῶν ζώων*. Philonis verba sunt etiam hæc, p. 710 : Ὅσα τῶν ζώων κυοφορεῖ, μὴ ἐπιτρέπων, ἄχρις ἂν ἀποτέκῃ, σφαγιάζεσθαι, ... ὑπὲρ τοῦ μακρόθεν ἐπισχεῖν τὴν εὐχέρειαν τῶν εἰωθότων πάντα φύρειν. *Gravida fetu animalia non permittens mactari, nisi partu levato; e longinquo eorum temeritatem compescens, qui omnia confundunt.*

(97) *Οὕτως ἄχρι*. Philo pag. 710, 711 : Ἄχρι καὶ τῶν ἀλόγων ζώων τὸ ἐπιεικὲς ἐπιτείνει, ἵν' ἐν τοῖς νόμοις πᾶσιν ἀσκήσαντες, πολλῇ τινι περιουσίᾳ χρώ-

ros, potius quam per voluptatis intemperantiam, filii fieri homicidam. ✠ Rursus autem benigna Lex prohibet eodem die fetum et matrem sacrificare. Hinc etiam Romani, si qua mulier prægnans fuerit damnata capitis, non prius permittunt, ut supplicium subeat, quam pepererit. Aperte itaque quæcunque uterum gerunt animalia, Lex non prius mactari permittit, quam pepererint, eminus cohibens hominum ad injuriam in homines faciendam propensionem. Ita vel usque ad bruta animantia extendit benignitatem : ut cum eam in ea quæ sunt diversi generis, exercuerimus, longe majori humanitate utamur in ea quæ sunt ejusdem generis. Qui autem in quorumdam animantium ventres ante partum calces impingunt, ut contemperata lacte carne vescantur, matricem, quæ est creata ad generationem, faciunt sepulcrum fetus, qui gestatur in utero : cum Lex aperte jubeat : *Sed neque coques agnum in lacte matris suæ*[a]. Non fiat enim, inquit, id, quod est viventis nutrimentum, interempti animalis condimentum : neque quod est vitæ causa, opem ferat ad consumptionem corporis. Eadem autem Lex edicit, *ne obturetur os bovi trituranti*. Oportet enim *operarium dignum censere nutrimento*[b]. **173** Et prohibet simul in aratro conjungere bovem et asinum : fortasse quidem

A ἀλόγων ζώων τὸ ἐπιεικὲς ἀπέτεινεν· ἵνα, ἐν τοῖς ἀνομογενέσιν ἀσκήσαντες πολλῇ τινι περιουσίᾳ φιλανθρωπίας ἐν τοῖς ὁμογενέσι χρησώμεθα. Οἱ δὲ καὶ περιλακτίζοντες (98) τὰς γαστέρας πρὸ τῆς ἀποτέξεως ζώων τινῶν, ἵνα δὴ γάλακτι ἀνακεκραμένην σάρκα θοινάζωνται, τάφον τῶν κυοφορουμένων τὴν εἰς γένεσιν κτισθεῖσαν μήτραν πεποιήκασι, διαῤῥήδην τοῦ νομοθέτου κελεύοντος· *Ἀλλ' οὐδὲ ἑψήσεις* (99) *ἄρνα ἐν γάλακτι μητρὸς αὐτοῦ*· μὴ γὰρ γινέσθω ἡ τοῦ ζῶντος τροφὴ ἥδυσμα τοῦ ἀναιρεθέντος ζώου, φησὶν, ἡ σάρξ (1)· μηδὲ τὸ τῆς ζωῆς αἴτιον συνεργὸν τῇ τοῦ σώματος καταναλώσει γινέσθω. Ὁ δὲ αὐτὸς (2) νόμος διαγορεύει, *βοῦν ἀλοῶντα μὴ φιμοῦν*· δεῖ γὰρ (3) *καὶ τὸν ἐργάτην τροφῆς ἀξιοῦσθαι*· ἀπαγορεύει τε ἐν ταὐτῷ καταζευγνύναι πρὸς ἄροτρον B γῆς (4) βοῦν καὶ ὄνον (5)· τάχα μὲν καὶ τοῦ περὶ τὰ ζῶα ἀνοικείου στοχασάμενος, δηλῶν δ' ἅμα, μηδένα τῶν ἑτεροεθνῶν ἀδικεῖν καὶ ὑπὸ ζυγὸν ἄγειν, οὐδὲν ἔχοντας αἰτιάσασθαι ἢ ὅτι τὸ ἀλλογενὲς, ὅπερ ἐστὶν ἀναίτιον, μήτε κακία, μήτε (6) ἀπὸ κακίας ὁρμώμενον. Ἐμοὶ δὲ δοκεῖ καὶ μηνύειν ἡ ἀλληγορία, μὴ δεῖν ἐπίσης καθαρῷ καὶ ἀκαθάρτῳ, πιστῷ τε καὶ ἀπίστῳ τῆς τοῦ Λόγου μεταδιδόναι γεωργίας· διότι τὸ μὲν ἐστι καθαρὸν, ὁ βοῦς, ὄνος δὲ τῶν ἀκαθάρτων λελόγισται. Δαψιλευόμενος δὲ τῇ φιλανθρωπίᾳ ὁ χρηστὸς Λόγος,

✠ H. 478 ED. POTTER, 400-401 ED. PARIS. [a] Deut. xiv, 21. [b] Deut. xxv, 4; 1 Tim. v, 18.

μεθα φιλανθρωπίας, τοῦ μὲν λυπεῖν καὶ ἀντιλυπεῖν ἀλλήλους ἀπεχόμενοι. *Æquitatem ad bruta etiam extendit, ut in omnibus legibus exercitati, tanto ma-* C *gis mutuam humanitatem colamus, nec inferendo, nec referendo injuriam.* Quo loco, pro ἐν τοῖς νόμοις πᾶσιν ἀσκ., e quibus verbis commodus sensus elici haud potest, scribendum ex Clemente nostro ἐν τοῖς ἀνομογενέσιν ἀσκήσαντες, *ut exercendo in ea, quæ diversi generis sunt, humanitatem, eamdem erga nos invicem multo magis colere discamus.*

(98) *Οἱ δὲ καὶ περιλακ.* Plutarchus ii *De esu carnium* : Οἱ μὲν εἰς σφαγὴν ὑῶν ὠθοῦντες ὀβελοὺς διαπύρους, ἵνα, τῇ βαφῇ τοῦ σιδήρου περισβεννύμενον τὸ αἷμα καὶ διαχεόμενον, τὴν σάρκα θρύψῃ καὶ μαλάξῃ· οἱ δὲ, οὔθασι συῶν ἐπιτόκων ἐναλλόμενοι καὶ λακτίζοντες, ἵνα αἷμα καὶ γάλα καὶ λύθρον, ἐμβρύων ὁμοῦ συμφθαρέντων, ἐν ὠδῖσιν ἀναδεύσαντες, ὦ Ζεῦ καθάρσιε, φάγωσι τοῦ ζώου τὸ μάλιστα φλεγμαῖνον. *Alii verubus ignitis porcos jugulant, ut ferri tinctura sanguis exstinctus atque diffusus, carnem molliat, delicatamque reddat. Alii uberibus suum fetarum, instante jam partu, insiliunt, eaque calcant, ut sanguinem et lac et tabum fetus simul* D *interfecti inter matris dolores eximentes, proh piacularis Jupiter! maxime inflammatam animalis partem vorent.* Collect.

(99) *Ἀλλ' οὐδὲ ἑψ.* Philo post verba jam dicta, hæc insuper addit : Φάσκων, « Οὐχ ἑψήσεις ἄρνα ἐν γάλακτι μητρός· » πάνυ γὰρ ὑπέλαβεν εἶναι δεινὸν, τὴν τροφὴν ζῶντος ἥδυσμα γενέσθαι καὶ παράρτυσιν ἀναιρεθέντος· κα ... τὴν τῶν ἀνθρώπων ἀκρασίαν τοσοῦτον ἐπιβῆναι, ὡς τῷ τῆς ζωῆς αἰτίῳ καταχρήσασθαι καὶ πρὸς τὴν τοῦ ὑπολοίπου σώματος ἀνάλωσιν. *Dicens : « Non coques agnum in lacte materno; » judicavit enim valde iniquum, id, quod viventi animali cibus fuerat, in condimentum occisi vertere; et hominum intemperantiam eo progredi, ut vitali alimento abutatur ad absumendas corporis reliquias.*

(1) *Ἡ σάρξ.* Supervacuum est. Sylburg. — Nec a Philone agnoscitur.

(2) *Ὁ δὲ αὐτ.* Philo : Ἄγαμαι δὲ κἀκεῖνον τὸν νόμον, ὃς ... διαγορεύει, « βοῦν ἀλοῶντα μὴ φιμοῦν. » *Illa quoque lex laudabilis, quæ vetat, « bovi trituranti os obturari. »*

(3) *Δεῖ γάρ.* Hanc rationem præcedenti legis præcepto connectit Apostolus, 1 Tim. v, 18. Est autem ipsius Christi effatum : Ἄξιος γὰρ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ ἐστι, Luc. x, 7; Matth. x, 10.

(4) *Καταζευγνύναι πρὸς ἄροτρον γῆς.* Γῆς redundat, ut paulo ante ἡ σάρξ. Unde id in Latina versione recte omisit interpres. Nisi potius scribendum sit ἄροτον γῆς, *arationem terræ* : vel ἄρουραν γῆς. Nam Philo, loco jam citato, ζευγνύναι πρὸς ἄρουραν dixit.

(5) *Βοῦν καὶ ὄνον.* Μόσχον καὶ ὄνον, Deuter. xxii, 10. Sed Clemens Philonem sequitur, cujus verba sunt hæc, pag. 712 : Ἀπαγορεύει γὰρ ἐν ταυτῷ ζευγνύναι πρὸς ἄρουραν βοῦν καὶ ὄνον, οὐ μόνον τοῦ περὶ τὰ ζῶα ἀνοικείου στοχασάμενος, διότι τὸ μέν ἐστι καθαρὸν, ὄνος δὲ τῶν οὐ καθαρῶν, ... ἀλλ' ὅμως οὔτε τῆς τῶν ἀκαθάρτων ἀσφαλείας ὠλιγώρησεν, οὔτε τοῖς καθαροῖς ἐφῆκεν ἰσχύϊ πρὸ δίκης χρῆσθαι, μονονοὺχ ἄντικρυς βοῶν καὶ κεκραγὼς τοῖς ὦτα ἔχουσιν ἐν ψυχῇ, μηδένα τῶν ἑτεροεθνῶν ἀδικεῖν, οὐδενὸς ἔχοντας αἰτιάσασθαι, ὅτι μὴ τὸ ἀλλογενὲς, ὅπερ ἐστὶν ἀναίτιον· ὅσα γὰρ μήτε κακία μήτε ἀπὸ κακιῶν, ἔξω παντὸς ἐγκλήματος ἵσταται. *Vetat enim ibidem, ne arandi causa sub idem jugum mittantur bos et asinus; non solum quoniam genere plurimum differunt; bos enim purus, asinus impurus est : ..... attamen impurorum etiam securitati prospicitur, purorum robori non plus, quam æquum est, permittitur, lege tantum non acclamante habentibus aures animæ, nemini alienigenæ injuriam inferre, in quo nil præterea sit culpabile, quam quod externo genere sit, quod imputari in culpam non debet. Quidquid enim nec vitium est, nec a vitio proficiscitur, culpa vacat.*

(6) *Μήτε κακία, μ.* Sic edidimus, Philonem secuti. Prius scriptum fuit, κακίᾳ, in dativo casu. Unde locum hunc sic vertit interpres, *nec fit vitio, nec ex vitio proficiscitur.*

μηδὲ ὅσα τῆς ἡμέρου ὕλης (7) ἐστὶ, δενδροτομεῖν ταῦτα προσῆκον εἶναι διδάσκει, μηδὲ μὴν κείρειν ἐπὶ λύμῃ στάχυν πρὸ τοῦ θερισμοῦ· ἀλλὰ μηδὲ συνόλως καρπὸν ἥμερον διαφθείρειν, μήτε τὸν γῆς (8) μήτε τὸν τῆς ψυχῆς· οὐδὲ γὰρ (9) τὴν τῶν πολεμίων χώραν τέμνειν ἐᾷ. Ναὶ μὴν καὶ γεωργικοὶ παρὰ τοῦ νόμου καὶ ταῦτα ὠφέληνται· κελεύει γὰρ (10) τὰ νεόφυτα τῶν δένδρων ἐπὶ τριετίαν ἑξῆς τιθηνεῖσθαι, τάς τε περιττὰς ἐπιφύσεις ἀποτέμνοντας, ὑπὲρ τοῦ μὴ βαρυνόμενα πιέζεσθαι, καὶ ὑπὲρ τοῦ μὴ κατακερματιζομένης τῆς τροφῆς δι' ἔνδειαν ἐξασθενεῖν, ἀροῦν (11) τε καὶ περισκάπτειν, ὡς μηδὲν παραβλαστάνον κωλύῃ τὴν αὔξησιν. Τόν τε καρπὸν οὐκ ἐᾷ δρέπεσθαι ἀτελῆ ἐξ ἀτελῶν, ἀλλὰ μετὰ τριετίαν (12) ἔτει τετάρτῳ, καθιερώσαντα (13) τὴν ἀπαρχὴν τῷ Θεῷ, μετὰ τὸ τελειωθῆναι τὸ δένδρον. Εἴη δ' ἂν οὗτος ὁ τῆς γεωργίας τύπος διδασκαλίας τρόπος· διδάσκων δεῖν τὰς παραφύσεις τῶν ἁμαρτιῶν ἐπικόπτειν, καὶ τὰς συναναθαλλούσας τῷ γονίμῳ καρπῷ ματαίας τῆς ἐννοίας πόας, ἔστ' ἂν τελειωθῇ καὶ βέβαιον γένηται τὸ ἔρνος τῆς πίστεως. Τῷ τε γὰρ τετάρτῳ ἔτει, ἐπεὶ καὶ χρόνου χρεία τῷ κατηχουμένῳ βεβαίως, ἡ τετρὰς τῶν ἀρετῶν καθιεροῦται τῷ Θεῷ, τῆς τρίτης ἤδη μόνης συναπτούσης, ἐπὶ τὴν τοῦ Κυρίου τετάρτην ὑπόστασιν (14). Θυσία (15) δὲ αἰνέσεως ὑπὲρ ὁλοκαυτώματα. *Οὗτος γάρ σοι*, φησὶ, *δίδωσιν ἰσχὺν ποιῆσαι*

A etiam eo collimans, quod nulla sit inter eos animantes convenientia: simul autem significans, non oportere quemquam ex diversa gente injuria afficere, neque jugo subjungere, si nullius alterius rei eum possimus insimulare, quam quod sit diversi generis: quod quidem ✠ culpa caret, cum nec sit vitium, nec ex vitio proficiscatur. Mihi autem videtur quoque significare allegoria, Logi culturam non esse ex æquo communicandam mundo et immundo, fideli et infideli: quoniam bos quidem est mundus, in immundis autem reputatus est asinus. Redundanti autem quadam humanitate bonus Logos utens, nec quæ sunt frugiferæ mitisque materiæ arbores docet esse exscindendas, neque segetem ante messem sola perniciei causa tondendam: sed

B neque fructum mitem omnino interimendum, neque terræ, neque animæ: neque enim agros hostium permittit exscindere. Jam vero qui sunt etiam studiosi agriculturæ, in his quoque possunt utilitatem a lege accipere: jubet enim arbores nuper plantatas, tribus annis ordine sequentibus fovere et alere, et superfluas, quæ adnascuntur, exscindendo propagines, ne nimis gravatæ opprimantur, et ne alimento minutatim diviso imbecillæ fiant propter inopiam, arareque et circumfodere, ut nihil prope germinans ac pullulans prohibeat

✠ P. 479 ED. POTTER, 401-402 ED. PARIS.

(7) *Ἡμέρου ὕλης*. Deut. xx, 19, 20, ξύλον καρπόβρωτον. Sed Clemens Philonem secutus est. Ejus verba sunt hæc: Ἐπιδαψιλευόμενος δὲ τὸ ἐπιεικὲς ... ἀπείρηκε τοίνυν ἄντικρυς μήτε δενδροτομεῖν ὅσα

C τῆς ἡμέρου ὕλης, μήτε κείρειν ἐπὶ λύμῃ σταχυοφοροῦσαν πρὸ καιροῦ πεδιάδα, μήτε συνόλως καρπὸν διαφθείρειν. *Adeo autem abundat æquitas legislatoris, ut diserte caveat, ne quis cædat frugiferas arbores, neve segetes in detrimentum colonorum ante tempus demetat, neve ullum fructum corrumpat.*

(8) *Τὸν γῆς*. Malim cum articulo, τὸν τῆς γῆς, ut mox τὸν τῆς ψυχῆς. Sylburg. — Porro τὸν τῆς ψυχῆς fructum, appellat animalium fetus, quibus parcere jussit Moyses Deut. xx, 14.

(9) *Οὐδὲ γάρ*. Philo hæc adjicit: Καὶ προσυπερβάλλων, οὐδὲ τῶν πολεμίων χώραν τέμνειν ἐᾷν. *Imo, quod amplius est, ne hostium quidem arbusta cædere sinit.*

(10) *Κελεύει γάρ*. Philo, libri superius dicti pag. 713: Κελεύει γὰρ τὰ νέα φυτὰ τῶν δένδρων ἐπὶ τριετίαν ἑξῆς τιθηνεῖσθαι, τάς τε περιττὰς ἐπιφύσεις ἀποτεμόντας, ὑπὲρ τοῦ μὴ βαρυνόμενα πιέζεσθαι, καὶ ὑπὲρ τοῦ μὴ κατακερματιζομένης τῆς

D τροφῆς δι' ἔνδειαν ἐξασθενεῖν, γυροῦν τε καὶ περισκάπτειν, ἵνα μηδὲν τῶν ἐπὶ ζημίᾳ παραβλαστάνῃ. Τόν τε καρπὸν οὐκ ἐᾷ δρέπεσθαι κατὰ μετουσίαν ἀπολαύσεως, οὐ μόνον ἐπειδὴ ἀτελῆ ἐξ ἀτελῶν ἔμελλεν ἔσεσθαι, etc. *Jubet enim novellas plantas nutricari per triennium, resectis superfluis stolonibus, ne graventur onere, neve absumpto alimento in minutos ramulos languescant stirpes ipsæ: easdemque ablaqueari, ne quid in proximo succrescens, earum augmenta impediat. Fructum quoque harum non sinit decerpi pro cujusque arbitrio, non solum quia imperfectus ex imperfectis nascitur*, etc.

(11) *Ἀροῦν*. Ἀροῦν φυτά, *arare plantas*, dici non solet. Scribendum igitur, Philone auctore in verbis jam citatis, γυροῦν, *ablaqueare*. Sic Aratus *Phænomen.* v. 9:

Καὶ φυτὰ γυρῶσαι, καὶ σπέρματα πάντα βαλέσθαι.
Et plantas ablaqueare, et omnia semina injicere.

Ubi vetus scholiastes, quid sit γυρῶσαι, hoc modo explicat: Γυρῶσαι, φυτεῦσαι ἢ βόθρον ὀρύξαι, ἐν ᾧ τὰ φυτὰ κατατίθεται· ἢ καλῶς περισκάψαι, ἤγουν τὰ φυτὰ περιλαβεῖν κύκλῳ τῇ γῇ περὶ τὴν ἐπιφάνειαν, πρὸς τὸ μὴ ψύχεσθαι, ἡ γὰρ θερμασία συμβάλλεται αὐτοῖς· ἢ γυρῶσαι, τουτέστι κύκλῳ τῶν φυτῶν γῆν σωρεῦσαι.

(12) *Μετὰ τριετίαν*. Philo in princip. pag. 714: Μετὰ δὲ τριετίαν ..... δύναται τελειογονεῖν ἔτει τετάρτῳ κατὰ τέλειον ἀριθμόν· τετράδι δὲ κελεύει δρέπεσθαι τὸν καρπὸν οὐ πρὸς ἀπόλαυσιν, ἀλλ' ὅλον αὐτὸν καθιεροῦν ἀπαρχὴν τῷ Θεῷ. *At post triennium potest perfectos fructus gignere anno quarto juxta perfectum numerum. Tum vero jubet decerpere fructum, sed non ut in privatos usus vertatur, verum ut Deo primitiarum nomine sacretur.*

(13) *Καθιερώσαντα*. Malim καθιερώσοντα, futuro temp. Id enim verba Philonis jam posita indicant.

(14) *Τὴν τοῦ Κυρίου τετάρτην ὑπόστασιν*. Sic vocare videtur humanam Christi naturam, quæ cum *tribus* divinis personis numerata, *quaternionem* quodammodo efficit.

(15) *Θυσία*. Quærit hoc loco G. Hervetus, quomodo hæc cum iis, quæ præcedunt, connectenda sint. Nec immerito, cum sermo abruptior sit. Quod vero suspicatur, quædam e Clementis codicibus excidisse, quæ ad sensum complendum necessaria sunt, id ei concedere haud opus est. Etenim Clemens, ut ornatus sermonis, sic etiam ordinis, et connexionis paulo negligentior esse solet. Cæterum Philo, cujus vestigia premit Clemens, cum enumerasset *instituta*, quibus putavit *Judæos ad mansuetudinem exercitatos, a superbia autem et arrogantia, gravissimis vitiis, liberatos fuisse*: principio p. 715 addit, legislatorem, *quo magis superbiam compesceret*, jussisse ut *beneficiorum Dei memores essent*; eo fine, *ut infirmitatem pristinam in animo servarent, et inde Deo magis grati redderentur*: quod θυσίαν αἰνέσεως appellat Clemens. *Nam gratus animus*, inquit Philo, *alienus est ab arrogantia, sicut e contrario ingratus est affinis superbiæ*. Tum recitat ea Deut. viii, 18, verba, quæ hoc loco affert etiam

incrementum, et fructum non sinit imperfectum colligi ex imperfectis, sed post triennium, quarto anno, primitiis Deo prius consecratis, postquam arbor perfecta fuerit. Qua agriculturæ figura utitur ad docendum, quod oporteat exscindere peccatorum propagines, et, quæ una cum genitali fructu pullulant, inanes herbas cogitationis, donec perficiatur, et firmum fiat germen fidei. Quarto enim anno, quoniam tempore quoque opus est ei, qui stabiliter per catechesin instituitur, quaternio virtutum Deo consecratur, cum tertia jam sola conjungatur cum quarta Domini hypostasi. Sacrificium autem laudis super holocausta. ✠ *Hic enim*, inquit, *dat tibi vires ad faciendam virtutem* [a]. Sin autem res tibi illuminatæ fuerint, cum vires ceperis et acquisieris, fac in cognitione virtutem. Per hæc enim ostendit et bona et dona a Deo suppeditari, et oportere nos, cum ministri facti simus divinæ gratiæ, seminare Dei beneficia, et eos, qui appropinquant, bonos et honestos reddere: ut quam maxime quidem temperans, continentes; qui est autem fortis, generosos; et sapiens intelligentes, et justus justos efficiat.

A *δύναμιν*. Ἐὰν δὲ φωτισθῇ (16) σοι τὰ πράγματα, λαβὼν καὶ κτησάμενος ἰσχὺν, ἐν γνώσει ποίει δύναμιν. Ἐμφαίνει γὰρ διὰ τούτων τά τε ἀγαθὰ τάς τε δωρεὰς παρὰ τοῦ Θεοῦ χορηγεῖσθαι, καὶ δεῖν ἡμᾶς, διακόνους γενομένους τῆς θείας χάριτος, σπείρειν τὰς τοῦ Θεοῦ εὐποιίας, καὶ τοὺς πλησιάζοντας κατασκευάζειν καλούς τε καὶ ἀγαθούς. Ἵνα ὡς ὅτι μάλιστα (17) ὁ μὲν σώφρων τοὺς ἐγκρατεῖς, ὁ δὲ ἀνδρεῖος τοὺς γενναίους, συνετούς τε ὁ φρόνιμος, καὶ δίκαιος τοὺς δικαίους ἐκτελῇ.

CAPUT XIX.

De vero Gnostico, quod sit Dei imitator, præcipue in beneficentia.

Hic est, qui ad imaginem et similitudinem Dei est gnosticus, qui Deum imitatur quoad ejus fieri potest, nihil prætermittens eorum, quæ faciunt ad conciliandum, quatenus fieri potest, similitudinem, continens, sustinens, juste vivens, imperans animi perturbationibus, ea, quæ habet, impertiens, pro viribus benefaciens, et verbo, et opere. Hic est, inquit, *maximus in regno, qui fecerit et docuerit* [b], Deum imitans, consimiliter beneficia conferendo. Sunt enim communiter utilia Dei dona. *Quicunque autem superbia aliquid agere aggressus fuerit, Deum*, inquit, *irritat* [c]. Est enim arrogantia animæ vi-

B Οὗτός ἐστιν ὁ κατ' εἰκόνα καὶ ὁμοίωσιν (18) ὁ γνωστικὸς, ὁ μιμούμενος τὸν Θεὸν καθόσον οἷόν τε, μηδὲν παραλιπὼν τῶν εἰς τὴν ἐνδεχομένην ὁμοίωσιν· ἐγκρατευόμενος, ὑπομένων, δικαίως βιοὺς, βασιλεύων τῶν παθῶν, μεταδιδοὺς ὧν ἔχει ὡς οἷός τε ἐστὶν εὐεργετῶν καὶ λόγῳ καὶ ἔργῳ. *Οὗτος μέγιστος* (19), φησὶν, *ἐν τῇ βασιλείᾳ, ὃς ἂν ποιῇ καὶ διδάσκῃ*, μιμούμενος (20) τὸν Θεὸν τῷ παραπλήσια χαρίζεσθαι· κοινωφελεῖς γὰρ αἱ τοῦ Θεοῦ δωρεαί. *Ὃς δ' ἂν ἐγχειρῇ* (21) *τι πράσσειν μεθ' ὑπερηφανίας, τὸν Θεὸν παροξύνει*, φησίν· ἀλαζονεία γὰρ ψυχῆς ἐστι κακία· ἀφ' ἧς καὶ τῶν ἄλλων κακιῶν μετανοεῖν (22)

[a] Deut. VIII, 18. [b] Matth. v, 19. [c] Num. xv, 30.

✠ P. 480 ED. POTTER, 402 ED. PARIS.

Clemens: Οὗτος γάρ σοι, φησὶ, δίδωσιν ἰσχὺν ποιῆσαι δύναμιν. *Hic enim, inquit, tibi præstat robur ad faciendam virtutem.* Clemens autem noster, iis, quæ apud Philonem interjacent, omissis, aliisque, pro more suo, insertis, connexione sententiarum posthabita, pergit virtutes, gratitudinem, modestiam, et his consimiles, ex legis institutis præceptisque nobis proponere.

(16) *Ἐὰν δὲ φωτ.* Philo pag. 715: Εὐρωστεῖ σοι τὰ πράγματα; λαβὼν καὶ κτησάμενος σώματος ἰσχὺν, ἣν ἴσως οὐ προσεδόκησας, ποίει δύναμιν. *Bene se habent tua negotia? accepto igitur corporis robore, quod fortasse non exspectaveras, exerce potentiam.* Est igitur φωτισθῆναι apud Clementem idem, quod Philo εὐρωστεῖν dicit.

(17) *Ἵνα ὡς ὅτι μ.* Philo paulo post: Χρὴ δὲ καὶ τὸν φρόνιμον καὶ ἀγχίνουν ὡς ἔνι μάλιστα τοιούτους καὶ τοὺς πλησιάζοντας κατασκευάζειν, καὶ τὸν σώφρονα ἐγκρατεῖς, καὶ γενναίους τὸν ἀνδρεῖον, καὶ τὸν δίκαιον δικαίους, καὶ συνόλως ἀγαθοὺς τὸν ἀγαθόν. *Atqui decet, ut vir prudens et solers familiares reddat sibi similes, fortis item fortes, et justus justos, et in universum bonus bonos.*

(18) *Κατ' εἰκόνα καὶ ὁμοίωσιν.* Conf. finem *Protreptici.* Philo, loco jam dicto, hæc adjicit: Ἄλλως τε καὶ μάθημα ἀναδιδάσκει τῇ λογικῇ φύσει πρεπωδέστατον, μιμεῖσθαι Θεὸν καθόσον οἷόν τε, μηδὲν παραλιπὼν τῶν εἰς τὴν ἐνδεχομένην ὁμοίωσιν. *Alioquin etiam hic tradit præceptum rationali naturæ convenientissimum, ut Deum pro viribus imitetur, nihil omittens eorum quæ ad ejus similitudinem, quatenus fieri potest, conciliandum conducunt.*

(19) *Οὗτος μ.* Respicit Matth. v, 19: Ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

(20) *Μιμούμενος.* Philo ibidem: Ἵνα μιμήσῃ Θεὸν τῷ παραπλήσια χαρίζεσθαι· κοινωφελεῖς γὰρ αἱ τοῦ πρώτου ἡγεμόνος δωρεαί. *Ut Deum per similem beneficiorum largitionem imiteris; publicam enim utilitatem afferunt largitiones summi principis.*

(21) *Ὃς δ' ἂν ἐγχ.* Philo, sub finem pag. 715: Ὃς ἂν ἐγχειρῇ τι πράττειν μεθ' ὑπερηφανίας, τὸν Θεὸν παροξύνει· Διὰ τί; Ὅτι πρῶτον μὲν ἀλαζονεία ψυχῆς ἐστι κακία. *Ait enim: « Quicunqae aliquid aggreditur agere cum superbia, Deum irritat. » Cur ita? Primum quoniam arrogantia est vitium animi;* etc. Ubi respicit Num. xv, 30: Καὶ ψυχὴ, ἥτις ποιήσει ἐν χειρὶ ὑπερηφανίας, ἀπὸ τῶν αὐτοχθόνων ἢ ἀπὸ τῶν προσηλύτων, τὸν Θεὸν οὗτος παροξυνεῖ.

(22) *Μετανοεῖν.* Philo pag. 717: Παγκάλους μέντοι καὶ τὰς εἰς μετάνοιαν ὑφηγήσεις ποιεῖται, αἷς διδασκόμεθα μεθαρμόζεσθαι τὸν βίον ἐξ ἀναρμοστίας εἰς τὴν ἀμείνω μεταβολήν. Φησὶ γὰρ, ὅτι τοῦτο τὸ πρᾶγμα οὐχ ὑπέρογκόν ἐστιν, οὔτε μακρὰν ἀφεστὼς . . . . . ἀλλ' ἔστιν ἐγγυτάτω, τρισὶ μέρεσι τῶν καθ' ἡμᾶς ἐνδιαιτώμενον, στόματι, καὶ καρδίᾳ, καὶ χερσί· διὰ συμβόλων, λόγοις, καὶ βουλαῖς, καὶ πράξεσι. Λόγου μὲν στόμα σύμβολον, καρδία δὲ βουλευμάτων, πράξεων δὲ χεῖρες. *Itaque pulchre præcipitur, ut discamus vitam componere, et ex perturbatione in meliorem statum reformare. Ait enim id non esse nimis arduum, nec e longinquo petendum, sed in promptu esse, nempe in ore, pectore, et manibus; hoc est in dictis, factis, et consiliis. Nempe verborum symbolum est os, consiliorum pectus, actionum manus.* Quo loco respicit Deuter. xxx, 14: Ἐγγύς σου ἐστὶ τὸ ῥῆμα σφόδρα, ἐν τῷ στόματί σου, καὶ ἐν τῇ καρδίᾳ σου, καὶ ἐν ταῖς χερσί σου ποιεῖν αὐτό. Similia superius dixit Clemens, *Protreptici* pag. 68 edit. Paris., ubi conf. adnotata.

κελεύει, ἁρμοζομένοις τὸν βίον ἐξ ἀναρμοστίας πρὸς A τὴν ἀμείνω μεταβολὴν διὰ τῶν τριῶν τούτων, στόματος, καρδίας, χειρῶν. Σύμβολον δ' ἂν εἴη ταῦτα, πράξεως μὲν αἱ χεῖρες, βουλῆς δὲ ἡ καρδία, καὶ λόγου στόμα. Καλῶς οὖν (23) ἐπὶ τῶν μετανοούντων εἴρηται τὸ λόγιον ἐκεῖνο· *Τὸν Θεὸν εἵλου σήμερον, εἶναί σου Θεόν· καὶ Κύριος εἵλετό σε σήμερον, γενέσθαι λαὸν αὐτῷ* (24). Τὸν γὰρ σπεύδοντα θεραπεύειν τὸ ὂν (25), οἰκέτην ὄντα, ἐξοικειοῦται ὁ Θεός· κἂν εἷς ᾖ τὸν ἀριθμὸν, ἐπίσης τῷ *λαῷ* τετίμηται· μέρος γὰρ ὢν τοῦ λαοῦ, συμπληρωτικὸς αὐτοῦ γίνεται, ἀποκατασταθεὶς ἐξ οὗ ἦν· καλεῖται δὲ καὶ ἐκ μέρους τὸ πᾶν. Αὕτη δὲ ἡ εὐγένεια (26) ἐν τῷ ἑλέσθαι καὶ συνασκῆσαι τὰ κάλλιστα διαδείκνυται· ἐπεὶ τί τὸν Ἀδὰμ ὠφέλησεν ἡ τοιαύτη αὐτοῦ εὐγένεια; πατὴρ (27) δὲ αὐτοῦ θνητὸς οὐδείς· αὐτὸς γὰρ ἀνθρώπων τῶν ἐν B γενέσει πατήρ. Τὰ μὲν αἰσχρὰ (28) οὗτος προθύμως εἵλετο, ἑπόμενος τῇ γυναικὶ, τῶν δὲ ἀληθῶν καὶ καλῶν ἠμέλησεν, ἐφ' οἷς θνητὸν ἀθανάτου βίον, ἀλλ' οὐκ εἰς τέλος (29), ἀνθυπηλλάξατο. Νῶε δὲ, ὁ μὴ οὕτω γενόμενος ὡς ὁ Ἀδὰμ, ἐπισκοπῇ θείᾳ διασώζεται· φέρων γὰρ αὐτὸν (30) ἀνέθηκε τῷ Θεῷ. Τόν τε Ἀβραὰμ (31) ἐκ τριῶν παιδοποιησάμενον γυναικῶν οὐ δι' ἡδονῆς ἀπόλαυσιν, δι' ἐλπίδα δὲ, οἶμαι,

tium: cujus et aliorum vitiorum jubet duci pœnitentia, ex inconcinnitate concinnando vitam ad meliorem mutationem, per hæc tria, os, cor, manus. Symbolum autem signumque hæc fuerint, actionis quidem, manus; cor autem, consilii; et os, sermonis. Recte ergo dictum est de pœnitentibus illud eloquium: *Deum elegisti hodie, ut esset Deus tuus; et Dominus elegit te hodie, ut esses ejus populus* [a]. ✠ Eum enim, qui studium adhibet, ut medeatur ei, qui est famulus, Deus suum facit familiarem: et si unus fuerit numero, æque ac *populus* est honoratus. Cum enim sit pars populi, eum adimplet, in eum, ex quo erat, restitutus. Vocatur autem ex parte quoque totum. Ipsa autem nobilitas ostenditur in eo, quod quæ sunt pulcherrima eligat ac exerceat. Quid enim Adæ profuit talis ejus nobilitas, et quod ejus nullus esset pater mortalis: ipse enim pater hominum, qui sunt generatione propagati? Turpia quidem ille prompto et alacri animo delegit, uxorem sequens: vera autem et honesta neglexit. Quo factum est, ut vitam immortalem mortali commutaret, licet non in perpetuum. Noe autem, qui non sic factus est ut Adam, cura ac providentia divina conservatur: se enim Deo obla-

✠ P. 481 ED. POTTER, 403 ED. PARIS. [a] Deut. xxvi, 17, 18.

(23) *Καλῶς οὖν*. Si quæratur quomodo hæc eum præcedentibus connecti possint, respondendum, ut paulo superius, Clementem nonnulla Philonis omisisse, quibus adjectis, aptissime inter se C cohærebunt. Etenim Philo, paulo post verba jam ex eo citata, sic pergit, pag. 718: Εἰ μή τις τῆς ἁρμονίας ταύτης ἐπιλάθοιτο, γενόμενος ὁμοῦ καὶ θεοφιλὴς καὶ φιλόθεος. Ὅθεν εὖ καὶ συμφώνως τοῖς εἰρημένοις ἐχρήσθη τὸ λόγιον ἐκεῖνο· « Τὸν Κύριον ἀντηλλάξω σήμερον εἶναί σοι εἰς Θεὸν, καὶ Κύριος ἀντηλλάξατό σε σήμερον γενέσθαι λαὸν αὐτῷ. » *Nisi quis hanc harmoniam acceperit, ut amet Deum, et ab eo vicissim ametur. Proinde pulchre nobis attestatur istud oraculum: « Fœdus fecisti hodie cum Domino, ut sit tibi Deus: et Dominus fœdus fecit hodie tecum, ut fias ei populus. »*

(24) *Γενέσθαι λαὸν αὐτῷ*. Γενέσθαι σε αὐτῷ λαόν, Deuteron.

(25) *Τὸ ὄν*. A. dubitat, an potius legendum τῷ ὄντι, dativo casu. Sylb.—Verum nec ille, nec Hervetus interpres videtur advertisse τὸ ὂν esse ipsum Deum, qui in Scripturis ὁ ὢν appellari solet. Hæc itaque prout jam scribuntur, sic explicanda sunt: D *Eum enim, qui verum Deum colit, Deus e servo familiarem faciet*. Unde, quin τὸ ὄν, vera lectio sit, amplius dubitari jure non potest. Verum οἰκέτην mendosum est, pro quo scribendum ἱκέτην, *supplicem*: Τὸν γὰρ σπεύδοντα θεραπεύειν τὸ ὄν, ἱκέτην ὄντα, ἐξοικειοῦται ὁ Θεός. *Eum enim, qui Deum colere festinat, cum supplex sit, sibi in familiarem adsciscit Deus*. Cui emendationi fidem facit Philo, qui paulo post ea, quæ proxime citata sunt, hæc adjicit, p. 718: Παγκάλη γε τῆς αἱρέσεως ἡ ἀντίδοσις, σπεύδοντος ἀνθρώπου μὲν θεραπεύειν Θεὸν, Θεοῦ δὲ ἀνυπερθέτως ἐξοικειοῦσθαι τὸν ἱκέτην, καὶ προαπαντᾷν τῷ βουλεύματι τοῦ γνησίως καὶ ἀνόθως ἰόντος ἐπὶ τὴν θεραπείαν αὐτοῦ. Ὁ δ' ἀληθὴς θεραπευτής τε καὶ ἱκέτης, κἂν εἷς ὢν ἀνὴρ ἀριθμῷ, δυνάμει, καθάπερ αὐτὸς αἱρεῖται, σύμπας ἐστὶν ὁ λεὼς, ἰσότιμος ὅλῳ ἔθνει γεγονώς· καὶ πέφυκεν οὕτως ἔχειν· ὡς γὰρ ἐν νηῒ μὲν κυβερνήτης, πᾶσι τοῖς ναύταις ἀντίῤῥοπος, ἐν δὲ στρατοπέδῳ στρατηγὸς ἅπασι τοῖς στρατιώταις, κ.τ.λ. *Pulchra sane permutatio, homine properante ad cultum Dei, Deo quoque sine dilatione supplicem in familiarem admittente, et occurrente accedenti ad se sincero animo. Talis porro cultor et deprecator, etiamsi unus homo fuerit, ipsius Dei existimatione non minus honoratur, quam totus populus; id, quod et alias usu venit. Nam quemadmodum in navi gubernator est omnibus nautis æquivalens, et in castris imperator toti exercitui*, etc.

(26) *Αὕτη δὲ ἡ εὐγένεια*. Eorum, quæ mox sequuntur, non pauca sumpsit Clemens e libro Philonis *De nobilitate*, p. 905, 906, 907.

(27) *Πατήρ*. Philo p. 906: Τοῦ δὲ πατὴρ μὲν θνητὸς οὐδεὶς, οὐδ' αἴτιος, ἀλλ' ἡ Θεός. *Illi vero nemo parens auctorve vitæ, nisi Deus fuit*.

(28) *Τὰ μὲν αἰσχ*. Philo ibidem: Τὰ μὲν ψευδῆ, καὶ αἰσχρὰ, καὶ κακὰ προθύμως εἵλετο, τῶν δὲ ἀγαθῶν, καὶ καλῶν, καὶ ἀληθῶν ὠλιγώρησεν, ἐφ' οἷς θνητὸν ἀντ' ἀθανάτου βίον ἀνθυπηλλάξατο. *Dedecus, vitium et mendacium honestati, bonitati ac veritati prætulit, atque ideo suo merito pro immortali mortalem vitam accepit*.

(29) *Ἀλλ' οὐκ εἰς τέλος*. *Sed non in perpetuum*. Quod a Clemente adjectum videtur, ne favere videretur hæreticis, qui tradebant Adamum peccati sui pœnitentiam nunquam egisse, ac proinde ab æterna salute excidisse, Τατιανοῦ τινος πρώτως ταύτην εἰσενέγκαντος τὴν βλασφημίαν, *Tatiano primum hanc blasphemiam introducente*; ut refert Irenæus lib. I, c. 31, p. 103 ed. Oxon.

(30) *Αὐτόν*. Seu potius αὑτόν, *se*. Sic pag. 414 de Patriarchis ait: Ὅλους αὐτοὺς (vel αὑτοὺς) φέροντες ἀνέθηκαν Θεῷ. *Se totos Deo dicaverunt*. Porro Noachi exemplum uberius persequitur Philo p. 905, 906.

(31) *Ἀβραάμ*. Philo sub finem p. 906: Πολύπαις ἦν ὁ πρῶτος ἐκ τριῶν παιδοποιησάμενος γυναικῶν οὐ δι' ἡδονῆς ἀπόλαυσιν, ἀλλὰ δι' ἐλπίδα τοῦ πληθῦναι τὸ γένος. Ἀλλ' ἐκ τῶν πολλῶν εἷς μόνος ἀπεδείχθη κληρονόμος τῶν πατρῴων ἀγαθῶν· οἱ δ' ἄλλοι πάντες, γνώμης ὑγιοῦς σφαλέντες, καὶ μηδὲν τοῦ γεννήσαντος ἀπομαξάμενοι, διῳκίσθησαν, ἀλλοτριωθέντες τῆς ἀοιδίμου εὐγενείας. *Primus Judaicæ*

tum dedicavit. Et Abrahæ, qui ex tribus uxoribus liberos susceperat, non ut frueretur voluptate, sed quod speraret, ut puto, in principio genus multiplicare, unus solus hæres succedit bonis paternis, alii autem divulsi sunt a cognatione. Et cum ex eo nati essent gemini, est hæres junior, qui patri complacuit, et ejus vota suscipit : ei autem servit is, qui erat ætate major. Malo enim homini bonum est maximum, ut non sit suæ potestatis. Hæc autem œconomia est et prophetica, et typica. Quod autem sunt omnia sapientis, aperte indicat, dicens : *Quoniam Deus mei misertus est, sunt mihi omnia* ✠[a]. Unum enim oportere docet expetere, per quem facta sunt omnia, et qui iis, qui digni sunt, promissa tribuit. Eum ergo, qui bonus fuerit, regni hæredem, et concivem, per divinam describit sapientiam, eorum, qui olim fuere justi, qui et in lege, et ante legem juste vixere, quorum actiones sunt nobis pro legibus. Et sapientem rursus docens esse regem, quosdam alienigenas introducit ei dicentes : *Rex a Deo tu es* **174** *in nobis* [b] ; iis, qui ab eo reguntur, propter admirationem virtutis viro bono sua sponte parentibus. Plato autem philosophus finem ponens beatitudinis, dicit eam esse Deo assimilationem, quoad fieri potest : sive cum legis decreto quodammodo concurrens (magnæ enim naturæ et liberæ a passionibus, nescio quomodo, fe-

A τοῦ πληθῦναι τὸ γένος ἐν ἀρχῇ (32), εἷς μόνος διαδέχεται κληρονόμος τῶν πατρῴων ἀγαθῶν· οἱ δὲ ἄλλοι διῳκίσθησαν τῆς συγγενείας· ἔκ τε αὐτοῦ (33) διδύμων γενομένων, ὁ νεώτερος κληρονομεῖ, εὐάρεστος τῷ πατρὶ γενόμενος, καὶ τὰς εὐχὰς λαμβάνει· δουλεύει δὲ ὁ πρεσβύτερος αὐτῷ· ἀγαθὸν γὰρ μέγιστον τῷ φαύλῳ, τὸ μὴ αὐτεξούσιον. Ἡ δὲ οἰκονομία αὕτη καὶ προφητικὴ καὶ τυπική. Ὅτι δὲ τοῦ σοφοῦ πάντα (34) ἐστὶ, σαφῶς μηνύει λέγων· *Διότι ἠλέησέν με ὁ Θεὸς, ἔστι μοι πάντα.* Ἑνὸς γὰρ δεῖν ὀρέγεσθαι διδάσκει, δι' οὗ τὰ πάντα γέγονε, καὶ τοῖς ἀξίοις τὰ ἐπηγγελμένα νέμεται. Κληρονόμον οὖν τὸν σπουδαῖον γενόμενον τῆς βασιλείας συμπολίτην διὰ τῆς θείας σοφίας ἀναγράφει καὶ τῶν πάλαι δικαίων, τῶν κατὰ τὸν νόμον καὶ πρὸ νόμου νομίμως βεβιω- B κότων, ὧν αἱ πράξεις νόμοι γεγόνασιν εἰς ἡμᾶς. Πάλιν τε αὖ βασιλέα (35) τὸν σοφὸν διδάσκων, τοὺς μὴ ὁμοφύλους ποιεῖ λέγοντας αὐτῷ· *Βασιλεὺς* (36) *παρὰ Θεοῦ σὺ ἐν ἡμῖν εἶ·* ἐθελουσίῳ γνώμῃ τῶν ἀρχομένων διὰ ζῆλον ἀρετῆς ὑπακουόντων τῷ σπουδαίῳ. Πλάτων (37) δὲ ὁ φιλόσοφος, εὐδαιμονίας τέλος τιθέμενος, ὁμοίωσιν Θεῷ φησιν αὐτὴν εἶναι κατὰ τὸ δυνατόν· εἴτε καὶ συνδραμών πως τῷ δόγματι τοῦ νόμου (αἱ γὰρ μεγάλαι φύσεις (38) καὶ γυμναὶ παθῶν εὐστοχοῦσί πως περὶ τὴν ἀλήθειαν, ὡς φησὶν ὁ Πυθαγόρειος Φίλων (39), τὰ Μωϋσέως ἐξηγούμενος)· εἴτε καὶ παρά τινων τότε λογίων ἀναδιδαχθεὶς, ἅτε μα-

✠ P. 482 ED. POTTER, 403-404 ED. PARIS. [a] Genes. xxxiii, 11. [b] Gen. xxxiii, 6.

gentis conditor multos liberos suscepit e tribus mulieribus, non indulgens libidini, sed spe ampliandæ familiæ. Unus tamen e multis solus successit in patrimonium; reliqui omnes, sicut a pietate degenerarunt, ita separati sunt ab ejus gentilitate, cujus nullas virtutes expresserant, exciderunt que ab illa nobilitate celebratissima.

(32) *Ἐν ἀρχῇ*. Scilicet *in principio* mundi post diluvium restituti. Quod eo fine additum a Clemente videtur, ne quis hoc ac similibus exemplis nunc quoque eadem licentia sibi indulgeret.

(33) *Ἔκ τε αὐτοῦ*. Nempe Isaaco. Philo in principio p. 907 : Πάλιν ἐκ τοῦ δοκιμασθέντος κληρονόμου δύο δίδυμοι γεννῶνται. *Rursum ex hoc ipso probato hærede nati sunt gemelli*. Ibidem paulo post, hæc addit : Ὁ μὲν γὰρ νεώτερος καταπειθὴς γονεῦσιν ἀμφοτέροις ἦν, καὶ ὄντως εὐάρεστος.... Τοιγαροῦν τῷ μὲν εὐχὰς τίθενται τὰς ἀνωτάτω, βεβαιοῦντος αὐτὰς Θεοῦ, καὶ μηδεμίαν ἀξιώσαντος ἀτελῆ καταλιπεῖν· τῷ δὲ κατ' ἔλεον χαρίζονται τὴν ὑπήκοον τάξιν, ἵνα δουλεύῃ τῷ ἀδελφῷ, νομίζοντες, ὅπερ ἐστὶν, ἀγαθὸν εἶναι τῷ φαύλῳ τὸ μὴ αὐτεξούσιον· καὶ εἴ γε ὑπέμενε τὴν δουλείαν ἄσμενος, δευτερείων ἂν ἠξιοῦτο, ὡς ἐν ἄθλοις, ἀρετῆς. *Nam minor utriusque parentis benevolentiam demerebat obsequiis : at ita evenit, ut illi pro eo vota facerent amplissima, quæ Deus absque ulla exceptione rata esse voluit : alterum vero, nempe majorem, miserti, hoc afficerent beneficio, ut fratri eum subjicerent, existimantes id ei utile fore, si homo nequam in sua potestate non relinqueretur : qui si hanc servitutem libenter tulisset, poterat mereri, velut in certaminibus, secunda virtutis præmia.*

(34) *Ὅτι δὲ τοῦ σοφοῦ πάντα*. Similia superius dixit, hujusce libri pag. 438, 439, ut etiam sub finem *Protreptici*, ubi conf. adnotata.

(35) *Βασιλέα*. Conf. iterum Philo, libri superius dicti p. 908.

(36) *Βασιλεύς*. His verbis filii Cheth Abrahamum alloquuntur, Genes. xxiii, 11.

(37) *Πλάτων*. Platonis verba in *Theæteto* exstant, p. 129 : Ἀλλ' οὔτ' ἀπολέσθαι τὰ κακὰ δυνατὸν, ὦ Θεόδωρε· ὑπεναντίον γάρ τι τῷ ἀγαθῷ αἰεὶ εἶναι ἀνάγκη· οὔτ' ἐν θεοῖς αὐτὰ ἱδρύσθαι· τὴν δὲ θνητὴν φύσιν καὶ τόνδε τὸν τόπον περιπολεῖ ἐξ ἀνάγκης. Διὸ καὶ πειρᾶσθαι χρὴ ἐνθένδε ἐκεῖσε φεύγειν ὅτι τάχιστα· φυγὴ δὲ, ὁμοίωσις Θεῷ κατὰ τὸ δυνατόν· ὁμοίωσις δὲ δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως γενέσθαι. *At impossibile est, o Theodore, mala penitus exstirpari. Nam bono oppositum aliquid esse, semper necesse est. Neque illa tamen apud deos locum habere possunt ; naturam vero mortalem, regionemque inferiorem necessario circumeunt. Quare conandum est, ut hinc illuc celerrime fugiamus ; fuga autem est, ut Deo similes pro viribus efficiamur ; Deo autem similes efficit cum prudentia justitia simul et sanctitas.* Nec multo post addit : Παραδειγμάτων, ὦ φίλε, ἐν τῷ ὄντι ἑστώτων τοῦ μὲν θείου εὐδαιμονεστάτου, τοῦ δὲ ἀθέου ἀθλιωτάτου· οὐχ ὁρῶντες, ὅτι οὕτως ἔχει, ὑπὸ ἠλιθιότητός τε καὶ ἐσχάτης ἀνοίας λανθάνουσι, τῷ μὲν ὁμοιούμενοι διὰ τὰς ἀδίκους πράξεις, τῷ δὲ ἀνομοιούμενοι. *Cum in rerum ordine, o amice, exemplaria duo sint, divinum quidem, beatissimum ; quod vero Dei expers, miserrimum ; non videntes, ita rem se habere, stultitia extremaque dementia occupati, latenter huic quidem similes ob actiones iniquas redduntur, illi contra dissimiles.* Theodoretus, paulo post principium *Θεραπευτ.* ια', p. 645, de Platone ait : Τὸ γὰρ ὁμοιωθῆναι τῷ Θεῷ κατὰ τὸ δυνατὸν τέλος ὡρίσατο τῶν ἀγαθῶν. *Bonorum siquidem finem statuit Deo, quoad possumus, assimilari.*

(38) *Μεγάλαι φ.* Philo lib. I *De vita Moysis*, pag. 685 : Πολλὰ γὰρ αἱ μεγάλαι φύσεις καινοτομοῦσι τῶν εἰς ἐπιστήμην. *Magna enim ingenia multas in scientias novitates introducunt*, etc.

(39) *Ὁ Πυθαγόρειος Φίλων*. Philonem Pythagoreum hic et superius forte vocavit, quod symboli-

θήσεως ἀεὶ διψῶν. Φησὶ γὰρ ὁ νόμος· *Ὀπίσω* (40) *Κυρίου τοῦ Θεοῦ ὑμῶν πορεύεσθε, καὶ τὰς ἐντολάς μου φυλάξετε.* Τὴν μὲν γὰρ ἐξομοίωσιν ὁ νόμος ἀκολουθίαν ὀνομάζει· ἡ δὲ τοιαύτη ἀκολουθία κατὰ δύναμιν ἐξομοιοῖ. *Γίνεσθε*, φησὶν ὁ Κύριος, *ἐλεήμονες καὶ* (41) *οἰκτίρμονες, ὡς ὁ Πατὴρ* (42) *ὑμῶν ὁ οὐράνιος οἰκτίρμων ἐστίν.* Ἐντεῦθεν καὶ οἱ Στωϊκοὶ τὸ ἀκολούθως τῇ φύσει (43) ζῆν τέλος εἶναι ἐδογμάτισαν, τὸν Θεὸν εἰς φύσιν μετονομάσαντες εὐπρεπῶς· ἐπειδὴ ἡ φύσις καὶ εἰς φυτὰ, καὶ εἰς σπαρτὰ, καὶ εἰς δένδρα, καὶ εἰς λίθους διατείνει. Σαφῶς τοίνυν εἴρηται· *Ἄνδρες κακοὶ* (44) *οὐ νοοῦσι νόμον· οἱ δὲ ἀγαπῶντες νόμον προβάλλουσιν ἑαυτοῖς τεῖχος. Σοφία* (45) *γὰρ πανούργων ἐπιγνώσεται τὰς ὁδοὺς αὐτῆς· ἄνοια δὲ ἀφρόνων ἐν πλάνῃ. Ἐπὶ τίνα γὰρ ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον* (46) *καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους;* ἡ προφητεία λέγει. Τριττὰ (47) δὲ εἴδη φιλίας διδασκόμεθα· καὶ τούτων τὸ μὲν πρῶτον καὶ ἄριστον τὸ κατ' ἀρετήν· στεῤῥὰ γὰρ ἡ ἐκ λόγου ἀγάπη· τὸ δὲ δεύτερον καὶ μέσον κατ' ἀμοιβήν· κοινωνικὸν δὲ τοῦτο καὶ μεταδοτικὸν καὶ βιωφελές· κοινὴ γὰρ ἡ ἐκ χάριτος φιλία· τὸ δὲ ὕστατον καὶ τρίτον, ἡμεῖς μὲν τὸ ἐκ συνηθείας φαμὲν, οἱ δὲ τὸ καθ' ἡδονὴν τρεπτὸν καὶ μεταβλητόν. Καί μοι δοκεῖ παγκάλως Ἱππόδαμος ὁ Πυθαγόρειος γράφειν τὰς φιλίας· *Ἃ μὲν* (48) *ἐξ ἐπιστάμας θεῶν· ἃ δ' ἐκ παροχᾶς ἀνθρώπων, ἃ δὲ ἐξ ἁδονᾶς ζώων.* Οὐκοῦν ἡ μέν τις ἐστὶ φιλοσόφου φιλία, ἡ δὲ ἀνθρώπου, ἡ δὲ ζώου. Τῷ γὰρ ὄντι εἰκὼν τοῦ Θεοῦ ἄνθρωπος εὐεργετῶν· ἐν ᾧ καὶ αὐτὸς εὐεργετεῖται· ὥσπερ γὰρ ὁ κυβερνήτης, ἅμα σώζει καὶ σώζεται. Διὰ τοῦτο ὅταν τις αἰτῶν τύχῃ,

A runtur ad scopum veritatis, ut dicit Philo Pythagoreus, Moysis res gestas describens), sive etiam doctus ab aliquibus, quæ tunc erant, divinis eloquiis, ut qui doctrinæ siti semper teneretur. Dicit enim lex : *Post Dominum Deum vestrum ambulate, et mandata mea servate* [a]. Assimilationem enim lex nominat consectationem. Talis autem consectatio, quoad fieri potest, assimilat. *Estote*, inquit Dominus, *misericordes, sicut Pater vester cœlestis misericors est* [b]. Hinc Stoici quoque, naturæ consequenter vivere, finem esse statuerunt, eleganter Dei nomine transmutato in naturam : quoniam natura et ad plantas, et ad ea quæ seminantur, et ad arbores, et ad lapides extenditur. Aperte ergo dictum est : *Viri mali legem non intelligunt : qui au-* B *tem legem diligunt, sibi muri propugnaculum muniunt* [c]. *Astutorum* enim *sapientia agnoscet vias suas : ignorantia autem sapientum erit in errore* [d]. *Super* ✠ *quem enim respiciam, nisi super mitem et mansuetum et trementem verba mea* [e]? ait prophetia. Docemur autem, esse triplex genus amicitiæ : et eorum primum quidem est, idque optimum ac præstantissimum, id quod virtute conciliatur : valida enim est, quæ ex ratione oritur, dilectio. Secundum autem ac medium, ex remuneratione : est autem hoc genus aptum ad societatem ac communicationem, lubenter impertiens, et vitæ conducibile. Communis enim est, quæ ex gratia oritur, amicitia. Ultimum autem ac tertium, nos quidem dicimus C id quod est ex consuetudine : illi vero id, quod propter voluptatem vertitur ac mutatur. Ac mihi quidem pulcherrime Hippodamus Pythagoreus vi-

✠ P. 483 ED. POTTER, 404-405 ED. PARIS.

[a] Deut. XIII, 4. [b] Luc. VI, 36. [c] Prov. XXVIII, 4, 5. [d] Prov. XIV, 8. [e] Isa. LXVI, 2.

cum dicendi genus, quo Pythagorei inclaruerunt, tantopere secutus sit. Conf. quæ dicta sunt ad *Strom.* I, p. 505 edit. Paris.

(40) *Ὀπίσω*. Ὀπίσω Κυρίου τοῦ Θεοῦ ὑμῶν πορεύεσθε, καὶ τὰς ἐντολὰς αὐτοῦ φυλάξατε, *Strom.* V, p. 594 edit. Paris. Ὀπίσω Κυρίου τοῦ Θεοῦ ὑμῶν πορεύεσθε (πορεύσεσθε Vulg. Bibl.) καὶ αὐτὸν φοβηθήσεσθε, καὶ τὰς ἐντολὰς αὐτοῦ φυλάξεσθε, Cod. Alex. Deut. XIII, 4.

(41) *Ἐλεήμονες καί*. Clementis interpretamentum.

(42) *Ὡς ὁ Π.* Ὡς καὶ ὁ Π. Luc. Ὁ οὐράνιος e Matthæo additum videtur.

(43) *Ἀκολούθως τῇ φύσει*. Conf. quæ superius adnotata sunt in illud adagium, quo jubemur *Deum sequi*, p. 590, edit. Paris.

(44) *Ἄνδρες κακοί*. Prov. XXVIII, 4, 5 : Οἱ ἐγκαταλείποντες τὸν νόμον ἐγκωμιάζουσιν ἀσέβειαν· οἱ δὲ ἀγαπῶντες τὸν νόμον, περιβάλλουσιν ἑαυτοῖς τεῖχος. Ἄνδρες κακοὶ οὐ συνήσουσι (al. νοήσουσι) κρῖμα. Sed auctor superius eodem modo, quo hic, hanc sententiam recitavit, *Strom.* I, p. 553, edit. Paris.

(45) *Σοφία*. Sic penitus legimus Proverb. XIV, v. 8, excepto illo τὰς ὁδοὺς αὐτῶν. Aquila et Theodotio ἀφρόνων ἐπίθεσις, Symmachus ἀφρόνων λόγος. Latina Vulg. *Sapientia callidi est intelligere viam suam, et imprudentia stultorum errans.* Hanc enim potius lectionem postulant et Græca et Hebræa. Chaldaicæ paraphrasis interpretatio : *Sapientia callidi est intelligentia viæ suæ, et stultitia stultorum fraudulenta.* Itaque sic potes hæc vertere : *Ignorantia autem insipientum in deceptione ;* id est nihil aliud cogitant, quam quomodo imponere aliis possint. Præcedenti sententiæ non absimilis est illa Proverb. XXVIII, 5 : Ἄνδρες κακοὶ οὐ νοήσουσι κρίσιν· οἱ δὲ ζητοῦντες τὸν Κύριον συνήσουσιν ἐν παντί, vel, ut alibi, συνήσουσι πάντα. Latina : *Viri mali non cogitant judicium ; qui autem inquirunt Dominum, animadvertunt omnia.* Cæterum quamvis in malam partem sumatur vox πανοῦργος, tamen, ut docet Suidas, significat et τὸν πάνυ φρόνιμον καὶ πάντα ἐπιστάμενον. Quo loco et manuscripti ope mendum sustuleris, si legas, καλεῖ δὲ οὕτως ἀπὸ Διομείων τοῦ δήμου. COLLECT.

D (46) *Πρᾶον*. Ταπεινόν, Isa., ubi mox, τοὺς λόγους μου.

(47) *Τριττά*. Similiter Aristoteles *Ethicorum* ad Nicomachum lib. VIII, cap. 3, docet, τρία εἶναι εἴδη τῆς φιλίας, *tres esse amicitiæ species.* Quarum primam eorum esse ait, οἳ διὰ τὸ χρήσιμον φιλοῦσιν ἀλλήλους, *qui se invicem amant propter utilitatem* Secundam, quæ contrahi solet διὰ τὴν ἡδονήν, *propter voluptatem :* qualem plerumque dicit esse τὴν τῶν νέων φιλίαν, *juvenum amicitiam.* Tertio autem loco ei est τελεία ἡ τῶν ἀγαθῶν φιλία καὶ κατ' ἀρετὴν ὁμοίων· *perfecta, quæ bonorum est et secundum virtutem similium, amicitia. Isti enim*, inquit, *benevoli invicem sunt, qualenus boni.* Brevius dixeris amicitiam utilem, jucundam ac honestam.

(48) *Γράφειν τὰς φιλίας· Ἃ μέν*. Rectius, γράφειν, Τᾶς φιλίας ἃ μὲν.... quod vidit etiam H. Sylburg.

detur describere amicitias : *Una quidem est*, inquit, *ex scientia deorum ; altera vero, ex hominum suppeditatione ; tertia vero, ex voluptate animantium*. Est ergo una quidem philosophi amicitia, altera vero hominis, tertia autem animalis. Revera enim Dei est imago homo benefaciens : qua in re ipse etiam beneficio afficitur ; nam, sicut gubernator, simul servat et servatur. Et ideo cum quis petens fuerit consecutus, non dicit danti, Recte dedisti, sed, Recte accepisti. Ita accipit quidem, qui dat ; dat autem, qui accipit. *Justi autem miserentur* [a] ; *benigni autem erunt habitatores terræ ; innocentes autem relinquentur in ea ; qui autem inique se gerunt, exterminabuntur ab ea* [b]. Ac mihi videtur Homerus fidelem prædivinans, dixisse : *Da amico.* Inimico autem ferendum est auxilium, ne maneat inimicus. Auxilio enim vincitur quidem benevolentia, dissolvuntur vero inimicitiæ. Sed *si adsit quidem promptitudo animi, quatenus habet, est accepta, non quatenus non habet. Non enim ut aliis remissio, vobis autem afflictio, sed ex æqualitate in præsenti tempore* [c], et quæ sequuntur. *Dispersit, dedit pauperibus : justitia ejus manet in sæculum sæculi* [d], ait Scriptura. Quod enim est ad imaginem et similitudinem, sicut etiam prius diximus, non elucet corpore (nefas enim est, mortale assimilari immortali), sed mente ac ratione : qua et eam, quæ est in benefaciendo, et eam, quæ in imperando, obsignat Dominus similitudinem. Non enim principatus corporum qualitatibus, sed judicio mentis recte geruntur. Sanctorum enim virorum consiliis ✠ civitates recte administrantur, et recte domus.

A οὔ φησι τῷ διδόντι, Καλῶς ἔδωκας, ἀλλά, Καλῶς εἴληφας. Οὕτω λαμβάνει μὲν ὁ διδοὺς, δίδωσι δὲ ὁ λαμβάνων. Δίκαιοι (49) δὲ *οἰκτείρουσι, καὶ ἐλεοῦσι· χρηστοὶ δὲ ἔσονται οἰκήτορες γῆς· ἄκακοι δὲ ὑπολειφθήσονται ἐπ' αὐτῆς· οἱ δὲ παρανομοῦντες ἐξολοθρευθήσονται ἀπ' αὐτῆς*. Καί μοι δοκεῖ τὸν πιστὸν προμαντευόμενος (50) Ὅμηρος εἰρηκέναι, *Δὸς φίλῳ*· ἐχθρῷ δὲ ἐπικουρητέον, ἵνα μὴ μείνῃ ἐχθρός· ἐπικουρίᾳ γὰρ (51) εὐνοίᾳ μὲν συνδεῖται, λύεται δὲ ἔχθρα. Ἀλλ' *εἰ καὶ προθυμία πρόκειται καθὸ ἐὰν ἔχῃ, εὐπρόσδεκτος, οὐ καθὸ οὐκ ἔχει· οὐ γὰρ ἵνα ἄλλοις ἄνεσις, ὑμῖν δὲ θλίψις, ἀλλ' ἐξ ἰσότητος ἐν τῷ νῦν καιρῷ*· καὶ τὰ ἑξῆς· *Ἐσκόρπισεν, ἔδωκεν τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα*, ἡ Γραφὴ λέγει. Τὸ γὰρ B κατ' εἰκόνα (52) καὶ ὁμοίωσιν, ὡς καὶ πρόσθεν εἰρήκαμεν, οὐ τὸ κατὰ σῶμα μηνύεται (οὐ γὰρ θέμις θνητὸν ἀθανάτῳ ἐξομοιοῦσθαι), ἀλλ' ἢ κατὰ νοῦν καὶ λογισμόν· ᾧ καὶ τὴν πρὸς τὸ εὐεργετεῖν καὶ τὴν πρὸς τὸ ἄρχειν ὁμοιότητα προσηκόντως ὁ Κύριος ἐνσφραγίζεται· οὐ γὰρ αἱ ἡγεμονίαι σωμάτων ποιότησιν, ἀλλὰ διανοίας κρίσεσι κατορθοῦνται· βουλαῖς γὰρ ἀνδρῶν ὁσίων εὖ μὲν οἰκοῦνται πόλεις, εὖ δ' οἶκος.

CAPUT XX.

Verum Gnosticum tolerantiam et abstinentiam exercere

Porro autem tolerantia ipsa quoque contendit ad divinam similitudinem, ut quæ impatibilitate quodammodo fruatur per patientiam, si quis in memoria teneat ea, quæ narrantur de Anania : quorum unus quoque fuit Daniel propheta, divina fide plenus. Babylonem habitabat Daniel, sicut Lot quidem Sodoma, Chaldæorum autem terram Abraham, qui paulo post fuit Dei amicus. In antrum feris plenum adduxit Danielem rex Babyloniorum : ipsum autem eduxit illæsum rex universorum, fidelis Dominus. Hanc possidebit tolerantiam gnosticus, quatenus est ejusmodi. Si tentatur, benedicet, ut generosus Job ; si devoretur a cete, ut Jonas precabitur, et fides eum restituet prædicentem Ninivitis ; et si inclusus fuerit cum leonibus, feras mansuefaciet ; et si in ignem fuerit injectus, rore recreabitur, non igne exuretur. Noctu erit martyr, interdiu martyr, in sermone, in vita, in moribus erit

Ἥ γε μὴν καρτερία καὶ αὐτὴ εἰς τὴν θείαν ἐξομοίωσιν βιάζεται, δι' ὑπομονῆς ἀπάθειαν (53) καρπουμένη, εἴ τῳ ἔναυλα τὰ ἐπὶ τὸν Ἀνανίαν (54) ἱστορούμενα· ὧν εἷς καὶ Δανιὴλ ὁ προφήτης ἦν, θείας πίστεως πεπληρωμένος. Βαβυλῶνα ᾤκει Δανιὴλ, καθάπερ ὁ μὲν Λὼτ τὰ Σόδομα, τὴν Χαλδαίων δὲ γῆν ὁ Ἀβραὰμ, ὁ μετ' ὀλίγον φίλος τοῦ Θεοῦ. Κατήγαγεν οὖν εἰς ὄρυγμα θηρίων ἔμπλεων τὸν Δανιὴλ ὁ Βαβυλωνίων βασιλεύς· ἀνήγαγε δὲ αὐτὸν ἀβλαβῆ ὁ ἁπάντων βασιλεὺς, ὁ πιστὸς Κύριος. Ταύτην κτήσεται τὴν ὑπομονὴν ὁ γνωστικὸς, ᾗ γνωστικός· εὐλογήσει πειραζόμενος, ὡς ὁ γενναῖος Ἰὼβ, ὡς Ἰωνᾶς εὔξεται καταπινόμενος ὑπὸ κήτους, καὶ ἡ D πίστις αὐτὸν ἀποκαταστήσει Νινευΐταις προφητεύοντα· κἂν μετὰ λεόντων καθειρχθῇ, ἡμερώσει τὰ θηρία· κἂν εἰς πῦρ ἐμβληθῇ, δροσισθήσεται, ἀλλ' οὐκ ἐκπυρωθήσεται· μαρτυρήσει νύκτωρ, μαρτυρήσει μεθ' ἡμέραν· ἐν λόγῳ, ἐν βίῳ, ἐν τρόπῳ μαρτυρήσει·

✠ P. 484 ED. POTTER, 405 ED. PARIS. [a] Prov. xxi, 26. [b] Prov. ii, 21, 22. [c] II Cor. viii, 12, 13. [d] Psal. cxi, 9.

(49) *Δίκαιοι*. Proverb. xxi, 26 : Ὁ δίκαιος ἐλεεῖ καὶ οἰκτείρει ἀφειδῶς. Proverb. ii, 21, 22 : Χρηστοὶ ἔσονται οἰκήτορες γῆς, ἄκακοι δὲ ὑπολειφθήσονται ἐν αὐτῇ. (Ὅτι εὐθεῖς κατασκηνώσουσι γῆν, καὶ ὅσιοι ὑπολειφθήσονται ἐν αὐτῇ.) Ὁδοὶ δὲ ἀσεβῶν ἐκ γῆς ὀλοῦνται· οἱ δὲ παράνομοι ἐξωσθήσονται ἐξ αὐτῆς.

(50) *Προμαντευόμενος*. H. ms., πραγματευόμενος. SYLBURG.

(51) *Ἐπικουρία γ*. Inversis casibus, legendum, Ἐπικουρίᾳ γὰρ εὔνοια μὲν συνδεῖται, λύεται δὲ ἔχθρα. Quod cum interpreti, tum etiam Sylburgio placuit.

(52) *Τὸ γὰρ κατ' εἰκόνα*. Conf. p. 133, 266, 418, 645, ed. Paris.

(53) *Ἀπάθειαν*. Stoicorum more loquitur, qui sapientem esse ἀπαθῆ dicebant. Conf. quæ superius dicta sunt ad pag. 80 edit. Paris.

(54) *Ἀνανίαν*. Similia superius dixit *Strom*. i, p. 329 edit. Paris.

σύνοικος ἐν τῷ Κυρίῳ (55) ὀαριστής τε καὶ συνέστιος A κατὰ τὸ πνεῦμα διαμένει· καθαρὸς μὲν τὴν σάρκα, καθαρὸς δὲ τὴν καρδίαν· ἡγιασμένος τὸν λόγον. Ὁ *κόσμος τούτῳ*, φησὶν, *ἐσταύρωται, καὶ αὐτὸς τῷ κόσμῳ*. Οὗτος, τὸν σταυρὸν τοῦ Σωτῆρος περιφέρων, ἕπεται Κυρίῳ μετ' ἴχνιον, ὥστε Θεὸς (56), ἅγιος ἁγίων γενόμενος. Πάσης τοίνυν ἀρετῆς μεμνημένος ὁ θεῖος νόμος, ἀλείφει μάλιστα τὸν ἄνθρωπον ἐπὶ τὴν ἐγκράτειαν, θεμέλιον ἀρετῶν κατατιθέμενος ταύτην· καὶ δὴ προπαιδεύει ἡμᾶς εἰς τὴν περιποίησιν τῆς ἐγκρατείας, ἀπὸ τῆς τῶν ζώων χρήσεως ἀπαγορεύων μεταλαμβάνειν τῶν ὅσα φύσει πίονα, καθάπερ τὸ τῶν συῶν γένος, εὐσαρκότατον τυγχάνον· τρυφητῶσι γὰρ ἡ τοιαύτη χρῆσις χορηγεῖται. Λέγεται γοῦν, τινὰ τῶν φιλοσοφούντων (57) ἐτυμολογοῦντα τὴν ὗν, θῦν εἶναι φάναι, ὡς εἰς θύσιν καὶ σφαγὴν μόνον (58) ἐπι- B τήδειον· δεδόσθαι γὰρ τῷδε τῷ ζώῳ ψυχὴν πρὸς οὐδὲν ἕτερον ἢ ἕνεκα τοῦ τὰς σάρκας σφριγᾷν. Τῶν τε ἰχθύων ὁμοίως ἀπηγόρευσε μεταλαμβάνειν, στέλλων ἡμῶν τὰς ἐπιθυμίας, ἐκείνων οἷς μήτε πτερύγια μήτε λεπίδες εἰσίν· εὐσαρκίᾳ γὰρ καὶ πιότητι τῶν ἄλλων ἰχθύων οὗτοι διαφέρουσιν. Ἐντεῦθεν οἶμαι καὶ τὰς τελετὰς οὐ μόνων τινῶν ζώων ἀπαγορεύειν ἅπτεσθαι, ἀλλ' ἔστιν ἃ καὶ τῶν καταθυομένων ὑπεξείλετο τῆς χρήσεως μέρη (59), δι' αἰτίας ἃς ἴσασιν οἱ μύσται. Εἰ δὴ γαστρὸς καὶ τῶν ὑπὸ γαστέρα κρατητέον, δῆλον ὡς ἄνωθεν παρειλήφαμεν παρὰ τοῦ Κυρίου διὰ τοῦ νόμου τὴν ἐπιθυμίαν ἐκκόπτειν. Γένοιτο δ' ἂν τελείως τοῦτο, εἰ τοῦ ὑπεκκαύματος τῆς ἐπιθυμίας, τῆς ἡδονῆς λέγω, ἀνυποκρίτως κατα- C γνοίημεν. Φασὶ δὲ αὐτῆς εἶναι τὴν ἔννοιαν, κίνησιν λείαν (60) καὶ προσηνῆ μετά τινος αἰσθήσεως. Ταύτῃ δουλεύοντα τὸν Μενέλεων, μετὰ τὴν Ἰλίου ἅλωσιν, φασὶν ὁρμήσαντα τὴν Ἑλένην ἀνελεῖν, ὡς κακῶν τοσούτων αἰτίαν γενομένην, ὅμως οὐ κατισχῦσαι πρᾶξαι, ἡττηθέντα τῷ κάλλει, δι' οὗ ἐπὶ τὴν ἀνάμνησιν τῆς ἡδονῆς ἀφίκετο. Ὅθεν ἐπισκώπτοντες οἱ τραγῳδοποιοὶ, ὀνειδιστικῶς ἐπεβόησαν αὐτῷ·

Σὺ (61) δ', ὡς ἐσεῖδες μαστὸν, ἐκβαλὼν ξίφος,
Φίλημ' ἐδέξω, προδότιν αἰκάλλων κύνα.

martyr. Cum Domino cohabitans, eoque familiariter utens, in spiritu permanet; mundus quidem carne, mundus autem corde, sanctificatus sermone. *Mundus*, inquit, *ei crucifixus est, et ipse mundo* [a]. Is crucem Servatoris circumferens, Domini sequitur vestigia, tanquam Deus, effectus sanctus sanctorum. Omnis ergo virtutis cum meminerit lex divina, hominem maxime exercet ad continentiam, eam statuens fundamentum virtutum: atque adeo nos præerudit ad continentiam acquirendam, ex usu animantium, iis vesci prohibens, quæ sunt natura pinguia, quemadmodum genus suum, quod carnis habet plurimum. Delicatis enim ac luxuriosis suppeditatur talis usus. Dicitur itaque quidam philosophus suis afferens etymologiam, qui ὗς dicitur, ὗν dixisse quasi θῦν, ut qui ad θύσιν, hoc est *mactationem*, aptus esset solummodo: datam enim esse huic animali ad nihil aliud animam, quam ut carnes luxuriarent. Et similiter nostras cupiditates reprimens, prohibuit illis vesci piscibus, qui nec pinnas habent, nec squamas. **175** Carnium enim bonitate et pinguedine hi aliis piscibus antecellunt. Hinc existimo mysteria quoque non solum prohibere ✠ aliqua tangere animalia, sed etiam nonnullas eorum, quæ sacrificantur, eximere ab usu partes, propter eas, quas mystæ sciunt, causas. Si est itaque venter continendus, et ea, quæ sunt sub ventre, clarum est, quod jam olim a Domino accepimus, per legem exscindere debere nos cupiditatem. Id autem perfecte fiet, si cupiditatis fomitem, voluptatem, inquam, non ficte damnaverimus. Dicunt ejus hanc esse notionem, ut sit lenis et blandus motus cum aliquo sensu. Ei servientem Menelaum post Trojam captam dicunt, cum impetu ferretur ad occidendam Helenam, quod tot et tantorum fuisset causa malorum, id tamen non potuisse efficere victum pulchritudine, per quam in mentem venit recordatio pristinæ voluptatis. Unde ludificantes tragici, cum probro ac dedecore in eum exclamant:

At tu papillam contuens gladium abjicis,
Et proditrici figis osculum cani.

✠ P. 485 ED. POTTER, 406 ED. PARIS. [a] Galat. vi, 14.

(55) *Σύνοικος ἐν τῷ Κ.* Hæc sic scribere et distinguere malim: Σύνοικος ὢν τῷ Κυρίῳ, ὀαριστής τε καὶ συνέστιος κατὰ τὸ πνεῦμα, διαμένει καθ. *Cum Domini sit cohabitator, et confabulator, et convictor quoad spiritum, permanet mundus carne*, etc. Illud ὀαριστής, quod perperam ὁ ἀριστής est in Flor. edit., ex Homero sumptum est qui Minoem Cretensem vocavit Διὸς μεγάλου ὀαριστήν, *Jovis magni confabulatorem*. Συνέστιος κατὰ τὸ πνεῦμα contradistinguitur ei, qui est συνέστιος κατὰ τὸ σῶμα. Vir enim bonus, licet corpore distans, quoad spiritum cum Christo conjunctus est.

(56) *Ὥστε Θεός.* Sic superius dixit θεοποιεῖσθαι τὸν ἄνθρωπον, *hominem Deum fieri*, *Protrept.* p. 71, ubi conf. adnotata.

(57) *Τινὰ τῶν φιλοσοφ.* Is Cleanthes est infra pag. 304. SYLBURG.—Varro lib. II *De re rustica*, cap. 4: « Sus Græce dicitur ὗς, olim thysus ab illo verbo, quod dicitur θύειν, quod est *immolare*. Ab suillo enim genere pecoris immolandi initium primum D sumptum videtur: cujus vestigia, quod initiis Cereris porci immolantur. » P. Victorinus in Varronem, hunc citat Clementis locum, et Jos. Scaliger legit θῦς ὗς, quod Latine Varro scripsit thysus. Vide libro VII *Strom.*, p. 707, Cleanthis, Philemonis et Æsopi dicta in hanc sententiam. COLLECT.— Porro de præcepto quo Judæi suillæ carnis esu interdicebantur, conf. Lactantius lib. IV, cap. 17, p. 367 edit. Oxon.

(58) *Μόνον.* Μόνην mavult Rittershusius in Notis ad Porphyrii librum *De vita Pythagoræ*, p. 8.

(59) *Μέρη.* Scilicet adipem, et quasdam alias partes, quas comedere nefas habebatur.

(60) *Κίνησιν λείαν.* Aristippus definivit τὴν ἡδονὴν λείαν κίνησιν· τὸν πόνον τραχεῖαν κίνησιν. *Voluptatem, lenem motum; dolorem, asperum motum.* Cicero lib. *De finib.*, c. 65: *Omnes jucundum motum, quo sensus hilarentur, Græce* ἡδονὴν, *Latine voluptatem appellant.*

(61) *Σύ.* Euripides in *Andromach.*, v. 627, Peleum

Et rursus:

Hebescit ensis ergo pulchritudine?

Ego vero Antistheni assentior qui dicit : *Ego Venerem si acciperem, jaculis confoderem : quia hæc nobis honestas probasque mulieres multas corrupit.* Cupidinem vero *naturæ vitium* appellabat, *cui succumbentes miseri, ægritudinem deum vocant.* Per hæc enim ostenditur vinci imperitiores, propter ignorationem voluptatis, quæ non est admittenda, etsi dea dicatur, hoc est, etsi divinitus data sit ad usum liberorum procreationis. Et Xenophon voluptatem aperte vitium dicens, inquit : « O misera, quid vero tu bonum nosti, aut quid honestum consideras? quæ ne eorum quidem, quæ sunt jucunda, appetitum exspectas, sed priusquam esurias quidem, comedis priusquam autem sitias, bibis : et ut jucunde vescaris, obsoniorum conditores excogitas : ut autem suaviter bibas, magno sumptu vina comparas, et per æstatem nivis quærendæ causa circumcursas : ut autem ✠ jucunde dormias, non solum molles lectos, sed etiam, quæ lectis supponantur, fulcra paras. » Unde, ut dicebat Aristo, ad *totum tetrachordon, voluptatem,* inquam, *et dolorem, et metum, et cupiditatem, et multa exercitatione et pugna opus est.*

Hi namque ad intima usque penetrant viscera,
Fluctusque in animo concitant mortalium.

A Καὶ πάλιν·

Ἆρ' (62) εἰς τὸ κάλλος ἐκκεκώφηνται (63) ξίφη;

Ἐγὼ δὲ ἀποδέχομαι τὸν Ἀντισθένη (64), *Τὴν Ἀφροδίτην* (65), λέγοντα, *κἂν κατατοξεύσαιμι, εἰ λάβοιμι· ὅτι πολλὰς ἡμῶν καλὰς καὶ ἀγαθὰς γυναῖκας διέφθειρεν.* Τόν τε ἔρωτα *κακίαν* φησὶ *φύσεως, ἧς ἥττους ὄντες οἱ κακοδαίμονες, θεὸν τὴν νόσον καλοῦσιν·* δείκνυται γὰρ διὰ τούτων ἡττᾶσθαι τοὺς ἀμαθεστέρους δι' ἄγνοιαν ἡδονῆς, ἣν οὐ χρὴ προσίεσθαι, κἂν θεὸς λέγηται, τουτέστι κἂν θεόθεν ἐπὶ τὴν τῆς παιδοποιίας χρείαν δεδομένη τυγχάνῃ. Καὶ ὁ Ξενοφῶν ἄντικρυς κακίαν λέγων τὴν ἡδονὴν, φησίν· « Ὦ τλῆμον (66), τί δὲ σὺ ἀγαθὸν (67) οἶσθα, ἢ τί καλὸν σκοπεῖς; ἥτις οὐδὲ τὴν τῶν ἡδέων ἐπιθυμίαν ἀναμένεις (68), B πρὶν μὲν πεινῆν ἐσθίουσα, πρὶν δὲ διψῆν πίνουσα· καὶ ἵνα μὲν ἡδέως φάγῃς, ὀψοποιοὺς μηχανωμένη, ἵνα δὲ ἡδέως πίνῃς, οἴνους (69) πολυτελεῖς παρασκευάζῃ· καὶ τοῦ θέρους χιόνα περιθέουσα ζητεῖς· ἵνα δὲ κατακοιμηθῇς (70) ἡδέως, οὐ μόνον τὰς κλίνας (71) μαλθακὰς, ἀλλὰ καὶ τὰ ὑπόβαθρα ταῖς κλίναις παρασκευάζῃ. » Ὅθεν, ὡς ἔλεγεν Ἀρίστων, *πρὸς ὅλον* (72) *τὸ τετράχορδον, ἡδονὴν, λύπην, φόβον, ἐπιθυμίαν, πολλῆς δεῖ τῆς ἀσκήσεως καὶ μάχης.*

Οὗτοι γὰρ, οὗτοι, καὶ διὰ σπλάγχνων ἔσω
Χωροῦσι, καὶ κυκῶσιν ἀνθρώπων κέαρ.

✠ P. 486 ED. POTTER, 406-407 ED. PARIS.

Introducit his verbis Menelaum alloquentem :

Ἐλὼν δὲ Τροίαν (εἶμι γὰρ κἀνταῦθά σοι),
Οὐκ ἔκτανες γυναῖκα χειρίαν λαβών·
Ἀλλ' ὡς ἐσεῖδες μαστὸν, ἐκβαλὼν ξίφος,
Φίλημ' ἐδέξω, προδότιν αἰκάλλων κύνα,
Ἥσσων πεφυκὼς Κύπριδος, ὦ κάκιστε σύ.

Capta autem Troja (nam et huc tua causa veniam)
Non interfecisti uxorem reductam in tuam potestatem:
Sed postquam vidisti ubera, abjecto gladio,
Osculum accepisti, adulans canem proditricem,
Factus inferior Venere, o ignavissime tu.

(62) Ἆρ'. Non minus aptum ἄρ', *igitur*, inquit Sylburg. Sed ἆρ' interrogat. retinet Euripides *Orest.* v. 1287.

(63) Ἐκκεκώφηνται. Alii scribunt ἐκκεκώφηται, ut etiam ἐκκεκώφωνται et ἐκκεκώφωται.

(64) Ἀντισθένη. Theodoretus *De curat. aff. Græc.*, lib. III : *Antisthenes quidem, Socratis familiaris Diogenisque præceptor, qui temperantiam dicitur fecisse quam maximi, hæc de Venere olim dixit: Ego, si Venerem capere mihi liceat, jaculis, nihil moratus, transfigam; quando hæc nobis honestas probasque mulieres una corrupit. Idem Antisthenes Cupidinem naturæ vitium appellabat, cui vitio miseri homines succumbentes, pessimam ægritudinem deum vocant.* Stobæus, tit. 29, ait, cum dixisse, *voluptates esse venandas, quæ labores sequuntur, non quæ præcedunt.* COLLECT.

(65) Τὴν Ἀφροδ. Ἐγὼ δὲ τὴν Ἀφροδίτην κατατοξ. Theodoret., qui hæc, pro more suo, e Clemente nostro sumpsit, Θεραπευτ. γ', p. 519.

(66) Ὦ τλῆμ. Verba sunt hæc Virtutis ad Vitium apud Xenophontem lib. II *Memorabil.*, pag. 739 edit. Francofurt.

(67) Τί δὲ σὺ ἀγ. Xenophon plenius : Τί δὲ σὺ ἀγαθὸν ἔχεις, ἢ τί ἡδὺ οἶσθα, μηδὲν τούτων ἕνεκα πράττειν ἐθέλουσα; *Quid boni habes, aut quam dele-* C *ctationem nosti, cum nihil horum causa facere velis?*

(68) Ἀναμένεις. Post hoc verbum addit Xenophon : Ἀλλὰ πρὶν ἐπιθυμῆσαι, πάντων ἐμπίπλασαι. *Sed prius, quam appetas, omnibus repleris.*

(69) Οἴνους. Melius Xenoph., οἴνους τε.

(70) Κατακοιμηθῇς. Καθυπνώσῃς, Xenoph.

(71) Οὐ μόνον τὰς κλ. Xenophon plenius et melius : Οὐ μόνον τὰς στρωμνὰς μαλακὰς, ἀλλὰ καὶ τὰς κλίνας, καὶ τὰ ὑπόβαθρα ταῖς κλίναις παρασκευάζεις. *Non tantum stragula mollia, sed etiam lectulos, lectulorumque fulcra paras.*

(72) Πρὸς ὅλον. H. Grotius in *Excerptis e trag.*, p. 437, hæc ad metri leges redacta Agathoni tribuit :

. . . . Πρὸς τὸ τετράχορδον δ' ὅλον,
Τὴν ἡδονὴν, ἐπιθυμίαν, λύπην, φόβον,
Ἀσκήσεώς γε καὶ μάχης πολλῆς δέει·
Οὗτοι γὰρ, οὗτοι καὶ διὰ σπλάγχνων ἔσω
Χωροῦσι, καὶ κυκῶσιν ἀνθρώπων κέαρ.

. . . . Hos in quadrijuges,
D *Metum, dolorem, cupiditatem, gaudia,*
Meditatione maxima et pugna est opus :
Hi namque sunt, hi, nostra qui sub viscera
Intrant, et imo corde qui fluctus cient.

Dein hæc adnotat : « Ascribitur hæc sententia in Clemente Aristoni. Ego Agathoni ex conjectura ascripsi, quod Aristonem inter tragicos non invenirem. Priores duo versus confusi ibidem exstant. » Sed Gatakerus *Advers.* c. 9, postquam integrum Clementis locum attulisset, hæc dicit: Hæc omnia Agathoni in *Excerptis* ascribit vir clarissimus Hugo Grotius, quod Aristonem inter tragicos nullum inveniret. Itaque ad metri leges reducere conatur: Haud est difficile multa sermone soluto scripta ad iambi etiam puri leges traducere: quod et alibi virum clarissimum fecisse deprehendimus. Cæterum mihi priora illa Aristonis philosophi omnino videntur; novissima tantum disticho comprehensa esse poetæ, et tragici forsan, sed incerti.

A *Καὶ γὰρ* (73) *τῶν σεμνῶν οἰομένων εἶναι τοὺς θυμοὺς ἡ ἡδονὴ κηρίνους ποιεῖ*, κατὰ Πλάτωνα· ὅτι *ἑκάστη ἡδονὴ* (74) *τε καὶ λύπη προσπασσαλοῖ τῷ σώματι ψυχὴν* τοῦ γε μὴ ἀφορίζοντος καὶ ἀποσταυροῦντος ἑαυτὸν τῶν παθῶν (75). *Ὁ ἀπολέσας τὴν ψυχὴν τὴν ἑαυτοῦ*, φησὶν ὁ Κύριος, *σώσει αὐτήν*· ἤτοι ῥιψοκινδύνως ὑπὲρ τοῦ Σωτῆρος, αὐτὴν ἐπιδιδοὺς, ὡς αὐτὸς ὑπὲρ ἡμῶν πεποίηκεν, ἢ ἀπολέσας αὐτὴν ἐκ τῆς πρὸς τὸν συνήθη βίον κοινωνίας. Ἐὰν γὰρ ἀπολῦσαι, καὶ ἀποστῆσαι, καὶ ἀφορίσαι (τοῦτο γὰρ ὁ σταυρὸς σημαίνει) τὴν ψυχὴν ἐθελήσῃς τῆς ἐν τούτῳ τῷ ζῆν τέρψεώς τε καὶ ἡδονῆς, ἕξεις αὐτὴν ἐν τῇ ἐλπίδι τῇ προσδοκωμένῃ, εὑρημένην καὶ ἀναπεπαυμένην. Εἴη (76) δ' ἂν τοῦτο μελέτη θανάτου, εἰ μόναις ταῖς κατὰ φύσιν μεμετρημέναις ὀρέξεσι, B μηδὲν ὑπεροριζούσαις τῶν κατὰ φύσιν, ἐπὶ τὸ μᾶλλον ἢ παρὰ φύσιν, ἔνθα τὸ ἁμαρτητικὸν φύεται, ἀρκεῖσθαι βουλοίμεθα. *Ἐνδύσασθαι οὖν δεῖ τὴν πανοπλίαν τοῦ Θεοῦ πρὸς τὸ δύνασθαι ἡμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου· ἐπεὶ τὰ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικὰ, ἀλλὰ δυνατὰ τῷ Θεῷ πρὸς καθαίρεσιν ὀχυρωμάτων, λογισμοὺς καθαιροῦντες, καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς ὑπακοὴν τοῦ Χριστοῦ*, ὁ θεῖος φησιν Ἀπόστολος. Ἀνδρὸς δὴ χρεία, ὅστις θαυμαστῶς καὶ ἀσυγχύτως τοῖς πράγμασι χρήσεται, ἀφ' ὧν τὰ πάθη ὁρμᾶται· οἷον πλούτῳ καὶ πενίᾳ, καὶ δόξῃ καὶ ἀδοξίᾳ, ὑγείᾳ καὶ νόσῳ, ζωῇ καὶ θανάτῳ, πόνῳ καὶ ἡδονῇ. Ἵνα γὰρ ἀδιαφόρως τοῖς διαφόροις χρησώμεθα, πολλῆς C ἡμῖν δεῖ διαφορᾶς, ἅτε προκεκακωμένοις ἀσθενείᾳ πολλῇ, καὶ προδιαστροφῇ κακῆς ἀγωγῆς τε καὶ τρυφῆς, μετὰ ἀμαθίας προαπολελαυκόσιν. Ὁ μὲν οὖν ἁπλοῦς λόγος τῆς καθ' ἡμᾶς φιλοσοφίας τὰ πάθη πάντα ἐναπερείσματα τῆς ψυχῆς φησιν εἶναι, τῆς μαλθακῆς καὶ εἰκούσης, καὶ οἷον ἐναποσφραγίσματα τῶν πνευματικῶν δυνάμεων, πρὸς ἃς ἡ πάλη ἡμῖν. Ἔργον γὰρ, οἶμαι, ταῖς κακούργοις δυνάμεσιν ἐνεργεῖν τι τῆς ἰδίας ἕξεως παρ' ἕκαστα πειρᾶσθαι, εἰς τὸ καταγωνίσασθαι καὶ ἐξιδιοποιήσασθαι τοὺς ἀπειπαμένους (77) αὐτάς. Ἕπεται δ' εἰκότως τοὺς μὲν καταπαλαίεσθαι, ὅσοι δὲ ἀθλητικώτερον τὸν ἀγῶνα μεταχειρίζονται, πάμμαχον ἀγωνισάμεναι, καὶ μέχρι τοῦ στεφάνου χωρήσασαι (78) αἱ προειρημέναι δυνά-

Eorum enim, qui graves existimantur, animos voluptas facit cereos, ex sententia Platonis: quoniam *unaquæque voluptas, et unusquisque dolor corpori affigit animam* ejus, qui non se separat ab affectibus, eosque cruci affigit. *Qui perdiderit animam suam*, inquit Dominus, *servabit ipsam* [a]: scilicet aut eam lubenter pro Domino periculis exponens, sicut ille se nostri gratia exposuit: aut eam perdens ex ea, quæ est ei cum hac vita, consuetudine. Si enim solvere, abducere, et segregare (id enim crux significat) animam volueris ab ea, quæ est in hac vita, voluptate et delectatione, habebis eam, in ea, quæ exspectatur, spe inventam et conquiescentem. Hoc enim fuerit meditatio mortis, si solis iis, quæ sunt secundum naturam dimensæ, appetitionibus, et quæ ea quæ sunt secundum naturam, non excedunt, declinando ad id, quod exsuperat, vel quod est præter naturam, in quo peccandi enascitur occasio, contenti esse velimus. *Oportet ergo nos Dei induere armaturam, ad hoc ut possimus resistere insidiis diaboli* [b]*: quoniam arma militiæ nostræ non sunt carnalia, sed Deo potentia, ad destructionem munitionum, cogitationes destruentes, et omnem altitudinem se extollentem adversus Dei cognitionem, et captivantes omnem intellectum ad obediendum fidei* [c], ait divinus Apostolus. Viro utique opus est, qui admirabiliter et inconfuse iis rebus sit usurus, a quibus oriuntur affectus: quemadmodum ✠ divitiis et paupertate, gloria et ignominia, sanitate et morbo, vita et morte, labore et voluptate. Ut enim indifferenter utamur differentibus, magna nobis opus est differentia, ut qui multa imbecillitate prius male affecti simus, et in mala educatione et institutione prius versati cum ignoratione. Simplex ergo ratio nostræ philosophiæ, dicit omnes affectus esse impressiones mollis et cedentis animæ, et veluti obsignationes potestatum spiritualium, adversus quas nobis est colluctatio. Maleficarum enim, ut puto, potestatum est opus, proprii habitus aliquid conari singulis rebus imprimere, ut nos, qui iis abrenuntiavimus, in certamine superent, et suos efficiant. Est ergo jure consequens, ut aliqui quidem in lucta prosternantur. Quicunque autem certamen magis athletice aggrediuntur, omni contentione decertan-

✠ P. 487 ED. POTTER, 407-408 ED. PARIS.

[a] Matth. x, 39; Marc. viii, 35. [b] Ephes. vi, 11. [c] II Cor. x, 4, 5.

Qualia multa laudat Clemens, tacito etiam auctoris nomine. Et Agathonis quidem tragici nomine citat Jo. Pricæus noster *Adnotat. ad Jac.* cap. iv, v. 1. Quanquam et Aristonis nomine quædam adducit iambica Theophilus *ad Autolyc.* lib. iii, sed quæ Aristophanis comici suspicetur esse Grotius. Verum istud inter conjectanea locum habet. »

(73) *Καὶ γάρ*. Platonis locus est in *Phædone*, Basil. edit. p. 33. Sylburg.

(74) *Ἑκάστη ἡδονή*. Plato in *Phædone*, p. 63 edit. Francofurt. qua in hoc opere semper usi sumus, ait: Ἡ τοῦ ὡς ἀληθῶς φιλοσόφου ψυχὴ οὕτως ἀπέχεται τῶν ἡδονῶν, καὶ ἐπιθυμιῶν, καὶ λυπῶν, καὶ φόβων, καθ' ὅσον δύναται. *Veri philosophi animus a voluptatibus, cupiditatibus, doloribus, et timoribus, pro viribus abstinet.* Dein paulo post hæc addit: Ἑκάστη ἡδονὴ καὶ λύπη, ὥσπερ ἧλον ἔχουσα, προσ-D ηλοῖ αὐτὴν (ψυχὴν) πρὸς σῶμα, καὶ προσπερονᾷ· *Omnis voluptas atque dolor, quasi clavum tenens, animam corpori affigit atque connectit.*

(75) *Ἀποσταυροῦντος ἑαυτὸν τῶν παθῶν*. Legendum videtur ἀποσταυροῦντος ἑαυτῷ τὰ πάθη, Vid. p. 405. Lowth. — Sed nil muto.

(76) *Εἴη*. Plato in *Phædone*, p. 6, cum dixisset animam a corporis communione ac voluptatibus quam maxime abstrahendam esse, hæc adjicit: Τοῦτο δὲ οὐδὲν ἄλλο ἐστὶ ἢ ὀρθῶς φιλοσοφοῦσα, καὶ τῷ ὄντι τεθνάναι μελετῶσα ῥᾳδίως· ἢ οὐ τοῦτ' ἂν εἴη μελέτη θανάτου; *Quod quidem nihil aliud est, quam recte philosophari, mortem revera facile meditari. Annon hoc est meditatio mortis?*

(77) *Ἀπειπαμένους*. Nempe in voto baptismali.

(78) *Ἀγωνισάμεναι . . . χωρήσασαι*. Lege ἀγωνισάμενοι . . . χωρήσαντες. Lowth. — Sed, retenta

tes, ad coronam usque perveniunt; prædictæ autem potestates in multo sudore et cruore tunc deficiunt, victores admirantes. Eorum enim, quæ moventur, alia quidem ex appetitione moventur et imaginatione, sicut animalia; alia autem per translationem, sicut inanimata; ex inanimis autem plantas quoque quidam dicunt moveri transeundo ad augmentum, si quis eis esse plantas inanimas concesserit. Et habitum quidem lapides; naturam plantæ; appetitionem vero et imaginationem, et ea præterea duo, quæ prius dicta sunt, bruta quoque participant. Ratiocinandi autem potestas, quæ est propria humanæ animæ, non debet similiter impelli atque animantia ratione carentia, sed imaginatione percepta discernere, et non ab eis abduci. Hæ ergo, **176** de quibus diximus, potestates, pulchritudines et glorias, et adulteria et voluptates, et tales ejusmodi inescantes imagines, iis, quæ facile seduci possunt, animabus protendunt, quemadmodum qui pecora abigunt, eis frondes porrigunt. Deinde cum eos astu circumvenerint, qui non possunt veram voluptatem a falsa discernere, fluxamque ac caducam injuriæque obnoxiam a sancta pulchritudine, ducunt in servitutem. Unaquæque autem deceptio assidue premens animam, in ea imprimit imaginem: et imprudens insciensque anima affectus circumfert imaginem, quæ ex inescatione et nostra assensione oritur. Basilidis ✠ autem sectatores affectus consueverunt vocare προσαρτήματα, id est, appendices: et ea esse quoad essentiam spiritus appensos animæ ratione præditæ, per quamdam conturbationem et confusionem primigeniam: et alias rursus spirituum adulterinas et diversi generis naturas iis adnasci, utpote lupi, simiæ, leonis, ursi, quorum proprietates animæ subinde occurrentes, ejus cupiditates animantibus dicunt assimilare. Quarum enim ferunt proprietates, earum opera factaque imitantur. Et non solum cum rationis expertium animantium appetitionibus et imaginibus accommodantur, sed etiam plantarum æmulantur motus et pulchritudines, propterea quod plantarum quoque adjunctas habeant

A μεις ἐν πολλῷ τῷ λύθρῳ, τότε δὴ ἀπαυδῶσι, θαυμάζουσαι τοὺς νικηφόρους. Τῶν γὰρ κινουμένων ἃ μὲν καθ' ὁρμὴν καὶ φαντασίαν κινεῖται, ὡς τὰ ζῶα· τὰ δὲ κατὰ μετάθεσιν, ὡς τὰ ἄψυχα. Κινεῖσθαι δὲ καὶ τῶν ἀψύχων τὰ φυτὰ μεταβατικῶς φασὶν εἰς αὔξησιν, εἴ τις αὐτοῖς ἄψυχα εἶναι συγχωρήσει τὰ φυτά. Ἕξεως (79) μὲν οὖν οἱ λίθοι, φύσεως δὲ τὰ φυτά, ὁρμῆς τε καὶ φαντασίας, τῶν τε αὖ δυεῖν τῶν προειρημένων (80), καὶ τὰ ἄλογα μετέχει ζῶα. Ἡ λογικὴ δὲ δύναμις, ἰδία οὖσα τῆς ἀνθρωπείας ψυχῆς, οὐχ ὡσαύτως τοῖς ἀλόγοις ζώοις ὁρμᾷν ὀφείλει, ἀλλὰ καὶ διακρίνειν τὰς φαντασίας, καὶ μὴ συναποφέρεσθαι αὐταῖς. Αἱ τοίνυν δυνάμεις, περὶ ὧν εἰρήκαμεν, κάλλη, καὶ δόξας, καὶ μοιχείας, καὶ ἡδονάς, καὶ τοιαύτας τινὰς φαντασίας δελεαστικὰς περιτείνουσι
B ταῖς εὐεπιφόροις ψυχαῖς, καθάπερ οἱ ἀπελαύνοντες τὰ θρέμματα, θαλλοὺς προσιέντες· εἶτα κατασοφισάμεναι τοὺς μὴ διακρίνειν δυνηθέντας τὴν ἀληθῆ ἀπὸ ψεύδους (81) ἡδονήν, καὶ τὸ ἐπίκηρόν τε καὶ ἐφύβριστον ἀπὸ τοῦ ἁγίου κάλλους, ἄγουσιν δουλωσάμεναι. Ἑκάστη δὲ ἀπάτη συνεχῶς ἐναπερειδομένη τῇ ψυχῇ, τὴν φαντασίαν ἐν αὐτῇ τυποῦται· καὶ δὴ τὴν εἰκόνα ἔλαθεν περιφέρουσα τοῦ πάθους ἡ ψυχὴ τῆς αἰτίας, ἀπό τε τοῦ δελέατος, καὶ τῆς ἡμῶν συγκαταθέσεως γινομένης. Οἱ δ' ἀμφὶ τὸν Βασιλείδην προσαρτήματα τὰ πάθη καλεῖν εἰώθασιν· πνεύματά τινα ταῦτα κατ' οὐσίαν ὑπάρχειν προσηρτημένα τῇ λογικῇ ψυχῇ, κατά τινα τάραχον καὶ σύγχυσιν ἀρχικήν· ἄλλας τε αὖ πνευμάτων νόθους καὶ ἑτερογενεῖς φύσεις προσεπι-
C φύεσθαι ταύταις, οἷον λύκου, πιθήκου, λέοντος, τράγου· ὧν τὰ ἰδιώματα περὶ τὴν ψυχὴν φανταζόμενα, τὰς ἐπιθυμίας τῆς ψυχῆς τοῖς ζώοις ἐμφερῶς ἐξομοιοῦν λέγουσιν. Ὧν γὰρ ἰδιώματα φέρουσι, τούτων τὰ ἔργα μιμοῦνται· καὶ οὐ μόνον ταῖς ὁρμαῖς καὶ φαντασίαις τῶν ἀλόγων ζώων προσοικειοῦνται, ἀλλὰ καὶ φυτῶν κινήματα καὶ κάλλη ζηλοῦσι, διὰ τὸ καὶ φυτῶν ἰδιώματα προσηρτημένα φέρειν. Ἔχει δὲ καὶ ἕξεως ἰδιώματα, οἷον ἀδάμαντος σκληρίαν. Ἀλλὰ μὲν πρὸς τὸ δόγμα τοῦτο διαλεξόμεθα ὕστερον, ὁπηνίκα περὶ ψυχῆς διαλαμβάνομεν· νῦν δὲ τοῦτο μόνον παρασημειωτέον, ὡς Δουρείου τινὸς ἵππου (82), κατὰ

✠ P. 488 ED. POTTER, 408-409 ED. PARIS.

veteri lectione, hoc modo poterint hæc explicari: *Quicunque vero athletice ac fortiter certamen ineunt, hos prædicti spiritus omni genere pugnæ adorti, et ad ipsam usque coronam, non sine multo sudore ac cruore, persequentes, tandem deficiunt, et victores admirantur.*

(79) *Ἕξεως*. Philo *Legis allegoriarum* lib. III, p. 1091: Ἡ μὲν ἕξις κοινὴ καὶ τῶν ἀψύχων ἐστὶ λίθων καὶ ξύλων, ἧς μετέχει καὶ τὰ ἐν ἡμῖν ἐοικότα λίθοις ὀστέα· ἡ δὲ φύσις διατείνει καὶ ἐπὶ τὰ φυτά· καὶ ἐν ἡμῖν δέ ἐστιν ἐοικότα φυτοῖς, ὄνυχές τε καὶ τρίχες. Ἔστι δὲ ἡ φύσις ἕξις ἤδη κινουμένη. Ψυχὴ δέ ἐστι φύσις προσειληφυῖα φαντασίαν καὶ ὁρμήν· αὕτη κοινὴ καὶ τῶν ἀλόγων ἐστίν. Ἔχει δὲ καὶ ἡμέτερος νοῦς ἀναλογοῦν τι ἀλόγῳ ψυχῇ. Πάλιν ἡ διανοητικὴ δύναμις ἰδία τοῦ νοῦ ἐστι, καὶ ἡ λογική. *Habitus quidem communis est et inanimatis, lapidibus et lignis, cujus participant, quæ in nobis similia sunt lapidibus, ossa: natura autem extendit sese ad plantas; et in nobis similia sunt plantis, ungues et capilli. Est vero natura, habitus jam motus. Anima autem est natura,*
D *quæ assumit imaginationem et impetum; ipsa communis et irrationalium est. Habet autem et mens nostra analogum quid irrationali animæ.* Idem latius persequitur lib. *Quod Deus sit immut.*, pag. 299. Conf. etiam ejusdem lib. *Quod mundus sit incorruptibilis.*

(80) *Δυεῖν τῶν πρ.* Nempe ἕξεως et φύσεως.

(81) *Τὴν ἀληθῆ ἀπὸ ψεύδους.* Concinnius, τὴν ἀληθῆ ἀπὸ τῆς ψευδοῦς· ut mox, τὸ ἐφύβριστον ἀπὸ τοῦ ἁγίου. Sylburg.

(82) *Δουρείου τινὸς ἵππου. Durei cujusdam equi speciem præfert.* Hoc potest de homine multifariis et diversis inter se vitiis obnoxio. Dureo equo ligneo ab Epeo fabricato multos Græcorum proceres fuisse inclusos, notum est. Hen. Junius cent. 3, proverb. 77. Hominem ergo quemvis intelligit qualem describebat Basilides, ὁ κατὰ Βασιλείδην ἄνθρωπος: Suidas, Δούρειος ὁ ξύλινος. Ἵππος τῶν Ἑλλήνων dicitur, et δουράτεος, et δούριος. Epiphanius hæresi 21, Simonianorum: Διὸ καὶ τὸν παρ' Ὁμήρῳ Δούριον ἵππον μεμηχανημένον, ὃν νο-

τὸν ποιητικὸν μῦθον, εἰκόνα σώζει ὁ κατὰ Βασιλείδην ἄνθρωπος, ἐν ἑνὶ σώματι τοσούτων πνευμάτων διαφόρων στρατὸν ἐγκεκολπισμένος. Αὐτὸς γοῦν ὁ τοῦ Βασιλείδου υἱὸς Ἰσίδωρος (83) ἐν τῷ *Περὶ προσφυοῦς ψυχῆς*, συναισθόμενος τοῦ δόγματος, οἷον ἑαυτοῦ κατηγορῶν, γράφει κατὰ λέξιν· « Ἐὰν γάρ τινι πεῖσμα δῷς, ὅτι μὴ ἔστιν ἡ ψυχὴ μονομερής, τῇ δὲ τῶν προσαρτημάτων βίᾳ τὰ τῶν χειρόνων γίνεται πάθη, πρόφασιν οὐ τὴν τυχοῦσαν ἕξουσιν οἱ μοχθηροὶ τῶν ἀνθρώπων λέγειν· Ἐβιάσθην, ἀπηνέχθην, ἄκων ἔδρασα, μὴ βουλόμενος ἐνήργησα· τῆς τῶν κακῶν ἐπιθυμίας αὐτὸς ἡγησάμενος, καὶ οὐ μαχεσάμενος ταῖς τῶν προσαρτημάτων βίαις. Δεῖ δὲ, τῷ λογιστικῷ κρείττονας γενομένους, τῆς ἐλάττονος ἐν ἡμῖν κτίσεως φανῆναι κρατοῦντας. » Δύο γὰρ δὴ ψυχὰς ὑποτίθεται B καὶ οὗτος ἐν ἡμῖν, καθάπερ οἱ Πυθαγόρειοι, περὶ ὧν ὕστερον ἐπισκεψόμεθα. Ἀλλὰ καὶ Οὐαλεντῖνος, πρός τινας ἐπιστέλλων, αὐταῖς λέξεσι γράφει περὶ τῶν προσαρτημάτων· « Εἷς δέ ἐστιν ἀγαθὸς, οὗ παῤῥησίᾳ (84) ἡ διὰ τοῦ Υἱοῦ φανέρωσις, καὶ δι' αὐτοῦ μόνου δύναιτο ἂν ἡ καρδία καθαρὰ γενέσθαι, παντὸς πονηροῦ πνεύματος ἐξωθουμένου τῆς καρδίας· πολλὰ γὰρ ἐνοικοῦντα αὐτῇ πνεύματα οὐκ ἐᾷ καθαρεύειν· ἕκαστον δὲ αὐτῶν, τὰ ἴδια ἐκτελεῖ ἔργα, πολλαχῶς ἐνυβριζόντων ἐπιθυμίαις οὐ προσηκούσαις. Καί μοι δοκεῖ ὅμοιόν τι πάσχειν τῷ πανδοχείῳ ἡ καρδία· καὶ γὰρ ἐκεῖνο κατατιτρᾶταί τε καὶ ὀρύττεται, καὶ πολλάκις κόπρου πίμπλαται, ἀνθρώπων ἀσελγῶς ἐμμενόντων, καὶ μηδεμίαν πρόνοιαν ποιουμένων τοῦ χωρίου, καθάπερ ἀλλοτρίου καθεστῶτος. Τὸν τρόπον C τοῦτον καὶ ἡ καρδία μέχρι μὴ προνοίας τυγχάνει, ἀκάθαρτος οὖσα, πολλῶν οὖσα δαιμόνων οἰκητήριον (85)· ἐπειδὰν δὲ ἐπισκέψηται αὐτὴν ὁ μόνος ἀγαθὸς Πατὴρ, ἡγίασται καὶ φωτὶ διαλάμπει· καὶ οὕτω μακαρίζεται (86) ὁ ἔχων τὴν τοιαύτην καρδίαν, ὅτι

A proprietates: habent autem etiam habitus proprietates, utpote duritiem adamantis. Sed adversus hoc dogma quidem postea disseremus, quando de anima tractabimus. nunc autem hoc solum adnotandum est, quod Durii equi, ut est in poeticis fabulis, imaginem servat homo ex sententia Basilidis, ut qui in uno corpore tot diversorum spirituum exercitum habeat inclusum. Ipse itaque filius Basilidis Isidorus, in lib. *De adnata anima*, ejusdem dogmatis particeps, scribit his verbis, veluti seipsum accusans: « Si enim alicui persuaseris non esse animam unius partis, vi autem appendicum fieri deteriorum affectus, non levem prætextum habebunt homines scelerati, dicendi: Coactus sum, abductus sum, coactus feci, non volens operatus sum: cum ipse dux fuerit malorum cupiditatis, et cum appendicum violentia non depugnarit. Oportet autem, ope partis rationalis factos superiores, minorem, quæ est in nobis creaturam, superasse apparere. » Is enim duas quoque in nobis ponit animas, sicut Pythagorei, quas postea considerabimus. Quin etiam Valentinus scribens ad aliquos, his verbis utitur de appendicibus: « Est ✠ autem unus bonus, cujus fiducia est ea, quæ fit per Filium manifestatio, et per eum solum potest cor fieri mundum, ejecto ex corde omni maligno spiritu. Multi enim in eo habitantes spiritus, id mundum esse non sinunt. Unusquisque autem eorum propria efficit opera, sæpe non convenientibus insultans cupiditatibus. Ac mihi quidem videtur cor non esse absimile diversorio: illud enim perforatur et effoditur, et stercore sæpe repletur, cum homines se petulanter gerant, et locum nihil omnino curent, ut qui sit alienus. Eodem modo cor quoque: cum, quandiu nulla ejus providentia geritur, sit immundum et multorum dæmonum habita-

✠ P. 489 ED. POTTER, 409-410 ED. PARIS.

μίζουσιν Ἕλληνες ἐπίτηδες γεγενῆσθαι, ἔλεγε πάλιν ὁ γόης, ὅτι ἀγνοίᾳ ἐστὶ τῶν ἐθνῶν. Cæterum eadem ratione Athenæus lib. IX ex Diphilo dixit: Δούρειον ἐπάγω χῆνα τῷ φυσήματι. *Dureum anserem adduco magna inflatum mole*; aut: *Vobis fero anserem tumore Durium*; quod scilicet farcimine distentus esset. Macrobius lib. III *Saturnal.*, cap. 13, refert Cincium in oratione, qua suasit legem Fanniam de moderandis sumptibus, objecisse suo sæculo, quod D porcum Trojanum mensis inferrent, hoc est differtum variis animantium generibus. Vide *Proverbia Chil.* IV, cent. 10, 70. COLLECT.

(83) *Ἰσίδωρος*. Theodoretus *Hæretic. fabul.* lib. I, cap. 4: Ἰσίδωρος, ὁ τοῦ Βασιλείδου υἱὸς, μετά τινος ἐπιθήκης τὴν τοῦ πατρὸς μυθολογίαν ἐκράτυνε. *Isidorus, Basilidæ filius, fabulosa patris dicta cum aliquo etiam additamento confirmavit.*

(84) *Εἷς δέ ἐστιν ἀγαθός· οὗ παῤῥησίᾳ*. Clarissimus Grabius in *Spicilegio* sæc. II in Valentini verba, hæc adnotavit: « Hæc iterum emendatione aliqua egent, et pro illis, οὗ παῤῥησίᾳ ἡ διὰ τοῦ Υἱοῦ φανέρωσις (ut in omnibus editionibus leguntur) ponenda, οὗ παρουσίᾳ, etc., *cujus præsentiam nobis exhibuit ea, quæ per Filium facta est, manifestatio*. Patet ex sequentibus: Ἐπειδὰν δὲ ἐπισκέψηται αὐτὴν ὁ μόνος ἀγαθὸς Πατήρ, etc. Quod autem προσαρτήματα attinet, de quibus Valentinus hæc scripsisse dicitur, ea declaranda sunt ex præcedentibus pag. 408 edit. Paris., Clementis verbis: Οἱ ἀμφὶ τὸν Βασιλείδην προσαρτήματα τὰ πάθη καλεῖν εἰώθασιν· πνεύματά τινα ταῦτα κατ' οὐσίαν ὑπάρχειν προσηρτημένα τῇ λογικῇ ψυχῇ κατά τινα τάραχον καὶ σύγχυσιν ἀρχικήν. Ἄλλας τε αὖ πνευμάτων νόθους καὶ ἑτερογενεῖς φύσεις προσεπιφύεσθαι ταύταις, οἷον λύκου, πιθήκου, λέοντος, τράγου· ὧν τὰ ἰδιώματα περὶ τὴν ψυχὴν φανταζόμενα, ἐπιθυμίας τῆς ψυχῆς τοῖς ζώοις ἐμφερῶς ἐξομοιοῦν λέγουσι. *Basilidis autem sectatores perturbationes animæ vocare solent* προσαρτήματα (*id est, appendices*), *eaque esse quosdam spiritus, secundum essentiam adhærentes animæ rationali per quamdam conturbationem et confusionem in principio factam. Et alias rursus adulterinas ac diversi generis spirituum naturas iis adnasci, utpote lupi, simiæ, leonis, ursi: quarum proprietatibus animæ per phantasiam obversantibus, cupiditates animæ animantibus plane similes reddi dicunt.* Ridiculam hanc opinionem breviter in sequentibus perstringit Clemens, et ubi Isidori atque Valentini verba adduxit, orthodoxam sententiam ex Barnabæ epistola declarat, ubi etiam cor infidelium οἶκος δαιμόνων dicitur quidem, sed de vi atque operationibus, non natura vel substantiis dæmonum intelligitur. »

(85) *Δαιμόνων οἰκητήριον*. Conf. *Recognitiones S. Clementis* sub finem lib. II, et lib. IV, cap. 15 et seq.

(86) *Μακαρίζεται*. Respicit Matth. v, 8. Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.

culum: postquam autem id inviserit, qui solus est bonus Pater, sanctificatum est, et luce resplendet: et sic qui tali corde est præditus, beatur, quoniam Deum videbit. » Quænam est ergo causa, quod non ab initio talis animæ cura ac providentia geratur, dicant nobis. Aut enim non est digna, et quodammodo sicut ex pœnitentia accedit ad eam providentia, vel natura, ut ipse vult, servatur? et necesse est eam, cum ab initio ejus cura geratur propter cognationem, immundis spiritibus nullum dare aditum, nisi ei vis afferatur, et imbecilla probetur. Si enim dederit, eam pœnitentia ductam, eligere quæ sunt meliora, invitus dicet id, quod decernit, quæ est apud nos, veritas: nempe ex obediente mutatione, non autem ex natura, esse salutem. Quemadmodum enim exhalationes, cum e terra, tum e paludibus ortæ, in caliginem et nimbos conglobantur: ita etiam carnalium cupiditatum vapores malam animæ inurunt habitudinem, voluptatis species ante animam undique spargentes. Intelligentiæ itaque luci tenebras offundunt, attrahente anima vapores concupiscentiæ, et condensante affectuum globos, ex perpetuo voluptatum usu. Gleba e terra sublata non est aurum, sed coquitur et percolatur, deinde pura evadens, aurum vocatur, quod est terra purificata. *Petite* enim, *et dabitur vobis* [a], iis, qui ex seipsis possunt ea, quæ sunt optima, eligere, dicitur. Quomodo autem nos diaboli operationes, et spiritus immundos in peccatoris animam seminare dicamus, non mihi pluribus verbis opus est, si adduxero testem Barnabam apostolicum (erat autem is ex septuaginta, et Pauli adjutor) ✠ his verbis sic dicentem: « Antequam nos Deo crederemus, erat nostrum cordis habitaculum interitui obnoxium et imbecillum, vere templum manu ædificatum: quia erat quidem plenum cultu idolorum **177**, et erat domus dæmonum, quod faceret quæcunque Deo sunt contraria. » Operationes ergo dæmonibus convenientes dicit peccatores efficere: non autem ait ipsos spiritus habitare in anima infidelis. Et ideo subjungit: « Attendite ut templum Domini gloriose ædificetur. Discite vos accepisse remissionem pec-

ὄψεται τὸν Θεόν. » Τίς οὖν ἡ αἰτία τοῦ μὴ προνοεῖσθαι ἐξ ἀρχῆς τὴν τοιαύτην ψυχὴν, εἰπάτωσαν ἡμῖν. Ἤτοι (87) γὰρ οὐκ ἔστιν ἀξία (καὶ πῶς ὥσπερ ἐκ μετανοίας ἡ πρόνοια πρόσεισιν αὐτῇ;) ἢ φύσις σωζομένη, ὡς αὐτὸς βούλεται, τυγχάνει· καὶ ἀνάγκη ταύτην, ἐξ ἀρχῆς διὰ συγγένειαν προνοουμένην, μηδεμίαν παρείσδυσιν τοῖς ἀκαθάρτοις παρέχειν πνεύμασιν, ἐκτὸς εἰ μὴ βιασθείη, καὶ ἀσθενὴς ἐλεγχθείη. Ἐὰν γὰρ δῷ μετανοήσασαν αὐτὴν ἑλέσθαι τὰ κρείττω, τοῦτ' ἐκεῖνος ἄκων ἐρεῖ, ὅπερ ἡ παρ' ἡμῖν ἀλήθεια δογματίζει, ἐκ μεταβολῆς πειθηνίου, ἀλλ' οὐκ ἐκ φύσεως, τὴν σωτηρίαν. Ὥσπερ γὰρ αἱ ἀναθυμιάσεις, αἵ τε γῆθεν αἵ τε ἀπὸ τελμάτων, εἰς ὁμίχλας συνίστανται καὶ νεφελώδεις συστροφάς· οὕτως αἱ τῶν σαρκικῶν ἐπιθυμιῶν ἀναδόσεις καχεξίαν προστρίβονται ψυχῇ, κατασκεδαννύουσαι τὰ εἴδωλα τῆς ἡδονῆς ἐπίπροσθεν τῆς ψυχῆς. Ἐπισκοτοῦσι γοῦν τῷ φωτὶ τῷ νοερῷ, ἐπισπωμένης τῆς ψυχῆς τὰς ἐκ τῆς ἐπιθυμίας ἀναδόσεις, καὶ παχυνούσης τὰς συστροφὰς τῶν παθῶν, ἐνδελεχείᾳ ἡδονῶν. Χρυσὸς δὲ ἀπὸ γῆς οὐκ αἴρεται βῶλος (88), ἀλλ' ἀφεψόμενος διυλίζεται· ἔπειτα καθαρὸς γενόμενος, χρυσὸς ἀκούει, γῆ κεκαθαρμένη. *Αἰτεῖσθε* (89) γὰρ, *καὶ δοθήσεται ὑμῖν*, τοῖς ἐξ ἑαυτῶν ἑλέσθαι τὰ κάλλιστα δυναμένοις λέγεται. Ὅπως δ' ἡμεῖς τοῦ διαβόλου τὰς ἐνεργείας καὶ τὰ πνεύματα τὰ ἀκάθαρτα εἰς τὴν τοῦ ἁμαρτωλοῦ ψυχὴν ἐπισπείρειν φαμὲν, οὗ μοι δεῖ πλειόνων λόγων, παραθεμένῳ μάρτυν τὸν ἀποστολικὸν Βαρνάβαν (ὁ δὲ, τῶν ἑβδομήκοντα (90) ἦν, καὶ συνεργὸς τοῦ Παύλου), κατὰ λέξιν ὧδέ πως λέγοντα (91)· « Πρὸ τοῦ ἡμᾶς πιστεῦσαι τῷ Θεῷ, ἦν ἡμῶν τὸ οἰκητήριον (92) τῆς καρδίας καὶ ἀσθενὲς, ἀληθῶς (93) οἰκοδομητὸς ναὸς διὰ χειρός· ὅτι ἦν πλήρης μὲν εἰδωλολατρείας, καὶ ἦν οἶκος δαιμόνων (94), διὰ τὸ ποιεῖν ὅσα ἦν ἐναντία τῷ Θεῷ. » Τὰς ἐνεργείας οὖν τὰς τοῖς δαιμονίοις καταλλήλους ἐπιτελεῖν φησὶ τοὺς ἁμαρτωλούς· οὐχὶ δὲ αὐτὰ τὰ πνεύματα ἐν τῇ τοῦ ἀπίστου κατοικεῖν ψυχῇ λέγει. Διὰ τοῦτο καὶ ἐπιφέρει (95)· « Προσέχετε ἵνα ὁ ναὸς τοῦ Κυρίου ἐνδόξως (96) οἰκοδομηθῇ· πῶς· μάθετε λαβόντες τὴν ἄφεσιν τῶν ἁμαρτιῶν· καὶ ἐλπίσαντες ἐπὶ τὸ ὄνομα, γενώμεθα καινοὶ, πάλιν ἐξ ἀρχῆς κτιζόμενοι. Οὐ γὰρ οἱ δαίμονες (97) ἡμῶν ἀπ-

[a] Matth. VII, 7. ✠ P. 490 ED. POTTER, 410-411 ED. PARIS.

(87) *Ἤτοι*. Hæc sententia sic scribenda et explicanda videtur: Ἤτοι γὰρ οὐκ ἔστιν ἀξία, καὶ πως ὥσπερ ἐκ μετανοίας ἡ πρόνοια πρόσεισιν αὐτῇ· ἢ φύσει σωζομένη, ὡς αὐτὸς βούλεται, τυγχάνει: *Aut enim talis anima non est digna, et quodammodo acta veluti pœnitentia accedit ad eam providentia: aut natura, ut ille vult, servatur*. Putavit enim hæreticus ille, sui suorumque animas natura esse ad salutem comparatas. Quod cum superius, tum etiam paulo infra latius explicatum est.

(88) *Χρυσὸς δὲ.... βῶλος*. Non inconvenienter legeris: Χρυσοῦ δὲ ἀπὸ γῆς οὐκ αἴρεται βῶλος, *auri gleba*. SYLBURG.

(89) *Αἰτεῖσθε*. Sic *Strom*. I, p. 346 edit. Paris.

(90) *Τῶν ἑβδομήκοντα*. Conf. quæ adnotavit Cotelerius ad *Recognitionum* S. Clementis lib. I, cap. 7.

(91) *Ὧδέ πως λέγοντα*. Quæ sequuntur, occurrunt in Epist. S. Barnabæ cap. 16.

(92) *Οἰκητήριον*. Κατοικητήριον, Barnab

(93) *Ἀληθῶς*. Barnabas, melius ὡς ἀληθῶς.

(94) *Ὅτι ἦν πλ... δαιμόνων*. Ex hoc loco corrigenda sunt illa Barnabæ: Ὅτι ἦν πλήρης μὲν εἰδωλολατρείας οἶκος, εἰδωλολατρεία ἦν οἶκος δαιμονίων.

(95) *Ἐπιφέρει*. Nempe, hac sententia interjacente: Οἰκοδομηθήσεται δὲ ἐπὶ τῷ ὀνόματι Κυρίου· *ædificabitur autem in nomine Domini*.

(96) *Ἐνδόξως*. Ἔνδοξος, Barnab. Porro hæc sententia S. Barnabæ auctoritate hoc modo scribenda et explicanda est: Προσέχετε, ἵνα ὁ ναὸς τοῦ Κυρίου ἐνδόξως (vel ἔνδοξος) οἰκοδομηθῇ. Πῶς; Μάθετε· Λαβόντες τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, καὶ ἐλπίσαντες ἐπὶ τῷ ὀνόματι τοῦ Κυρίου, ἐγενόμεθα καινοὶ, πάλιν ἐξ ἀρχῆς κτιζόμενοι. *Attendite, ut templum Domini magnifice ædificetur. Quomodo? Discite: Accepta remissione peccatorum, et spe habita in nomen Domini, facti sumus novi, iterum ab integro creati*.

(97) *Οὐ γὰρ οἱ δ... πρὶν ἢ πιστεῦσαι*. Perperam Menardus, in suis ad S. Barnabam notis,

λαύνονται, ἀλλ' αἱ ἁμαρτίαι, φησὶν (98), ἀφίενται, ἃς ὁμοίως ἐκείνοις ἐπετελοῦμεν πρὶν ἢ πιστεῦσαι. Εἰκότως οὖν ἀντέθηκε τὰ ἐπιφερόμενα· « Διὸ ἐν τῷ κατοικητηρίῳ (99) ἡμῶν ἀληθῶς ὁ Θεός· κατοικεῖ ἐν ἡμῖν πως ὁ Λόγος αὐτοῦ τῆς πίστεως, ἡ κλῆσις αὐτοῦ τῆς ἐπαγγελίας, ἡ σοφία τῶν δικαιωμάτων, αἱ ἐντολαὶ τῆς διδαχῆς. » Οἶδα ἐγὼ αἱρέσει τινὶ ἐντυχών· καὶ ὁ ταύτης προϊστάμενος διὰ τῆς χρήσεως ἔφασκε τῆς ἡδονῆς ἡδονῇ μάχεσθαι, αὐτομολῶν πρὸς ἡδονὴν διὰ προσποιητοῦ μάχης ὁ γενναῖος οὗτος γνωστικός· ἔφασκε γὰρ δὴ αὐτὸν καὶ γνωστικὸν εἶναι· ἐπεὶ οὐδὲν μέγα ἔλεγεν τὸ ἀπέχεσθαι ἡδονῆς μὴ πεπειραμένον, ἐν αὐτῇ δὲ γενόμενον, μὴ κρατεῖσθαι· ὅθεν γυμνάζεσθαι δι' αὐτῆς ἐν αὐτῇ. Ἐλάνθανε δὲ ἑαυτὸν κατασοφιζόμενος ὁ ἄθλιος τῇ φιληδόνῳ τέχνῃ. Ταύτῃ δῆλον οὖν τῇ δόξῃ καὶ Ἀρίστιππος ὁ Κυρηναῖος προσέβαλε, τοῦ τὴν ἀλήθειαν αὐχοῦντος σοφιστοῦ· ὀνειδιζόμενος οὖν ἐπὶ τῷ συνεχῶς ὁμιλεῖν τῇ ἑταίρᾳ τῇ Κορινθίᾳ (1), *Ἔχω γὰρ*, ἔλεγεν, *Λαΐδα, καὶ οὐκ ἔχομαι ὑπ' αὐτῆς*. Τοιοῦτοι δὲ καὶ οἱ φάσκοντες ἑαυτοὺς Νικολάῳ (2) ἕπεσθαι, ἀπομνημόνευμά τι τἀνδρὸς φέροντες ἐκ παρατροπῆς (3), τὸ δεῖν παραχρῆσθαι τῇ σαρκί (4). Ἀλλ' ὁ μὲν γενναῖος κολούειν δεῖν ἐδήλου τάς τε ἡδονὰς τάς τε ἐπιθυμίας, καὶ τῇ ἀσκήσει ταύτῃ καταμαραίνειν τὰς τῆς σαρκὸς ὁρμάς τε καὶ ἐπιθέσεις. Οἱ δὲ, εἰς ἡδονὴν τράγων δίκην ἐκχυθέντες, οἷον ἐφυβρίζοντες τῷ σώματι, καθηδυπαθοῦσιν· οὐκ εἰδότες, ὅτι τὸ μὲν ῥακοῦται, φύσει ῥευστὸν ὄν, ἡ ψυχὴ δὲ αὐτῶν ἐν βορβόρῳ κακίας κατορώρυκται, δόγμα ἡδονῆς αὐτῆς, οὐχὶ δὲ ἀνδρὸς ἀποστολικοῦ, μεταδιωκόντων. Τίνι γὰρ οὗτοι Σαρδαναπάλου διαφέρουσιν; οὗ τὸν βίον δηλοῖ τὸ ἐπίγραμμα·

catorum, et postquam speravimus in illud nomen, efficiamur novi, creati rursus ab initio. » Non enim dæmones a nobis expelluntur, sed peccata, inquit, remittuntur, quæ similiter atque illi faciebamus, priusquam crederemus. Merito ergo contra opposuit ea, quæ subjunguntur: « Quare in nostro habitaculo vere Deus inhabitat: in nobis est quodammodo Verbum ejus fidei, vocatio ejus promissionis, sapientia justificationum, mandata doctrinæ. » Scio me in quamdam incidisse hæresim: cujus princeps dicebat se per usum voluptatis pugnare cum voluptate, adeoque per simulatam pugnam ad voluptatem transfugit præclarus hic gnosticus. Se enim dicebat esse gnosticum: dicebat enim, nil magnum facere, si quis abstineret a voluptate, qui eam non esset expertus; sed eum, qui in ea versatus, non vinceretur: ideoque per eam dicebat se in ea exerceri. Seipsum autem miser imprudens decipiebat arte voluptaria. In eandem ergo, ut patet, venit sententiam Aristippus quoque Cyrenæus cum sophista, qui se jactat tenere veritatem. Cui cum probro daretur, quod cum meretrice Corinthia assidue versaretur: *Habeo*, inquiebat, *Laidem, sed ab ipsa non habeor*. Tales autem sunt etiam, qui dicunt se sequi Nicolaum, adducentes quoddam ejus viri adagium, sed ✠ ab eis detortum, nempe oportere carne abuti. Sed ille quidem vir præclarus significabat oportere voluptates arcere et cupiditates, et hac exercitatione marcidas flaccidasque reddere carnis appetitiones et insultus. Hi autem instar hircorum effusi in voluptatem, quodammodo corpus contumelia afficientes, in luxu et deliciis vitam agunt; nescientes quod id quidem, cum sit natura fluxum, deteritur; ipsorum autem infossa est anima in cœno vitii, ut qui decretum ipsius voluptatis, non autem viri apostolici, sequantur. Quid hi enim differunt a Sardanapalo? cujus vitam significat epigramma:

Ταῦτ' ἔχω (5) ὅσσ' ἔφαγον, καὶ ἐφύβρισα, καὶ μετ' ἔρωτος
Τέρπν' ἔπαθον· τὰ δὲ πολλὰ καὶ ὄλβια κεῖνα, λέλειπται.

Hæc habeo quæ edi, quæque exsaturata libido
Hausit, at illa jacent multa et præclara relicta.

✠ P. 491 ED. POTTER, 411-412 ED. PARIS.

hæc ipsius Barnabæ verba esse asseruit, quæ nec in Græco ejus textu, nec in veteri Latina versione exstant; et præterea hæreticos respiciunt, qui post Barnabæ tempora exorti sunt.

(98) *Φησίν*. Scilicet in iis, quæ modo citata sunt, ubi nos λαβεῖν ἄφεσιν τῶν ἁμαρτιῶν, *peccatorum remissionem accipere*, dixit.

(99) *Διὸ ἐν τῷ κ.* Hæc ipsius Barnabæ auctoritate sic distinguenda et explicanda sunt: Διὸ ἐν τῷ κατοικητηρίῳ ἡμῶν ἀληθῶς ὁ Θεός· κατοικεῖ ἐν ἡμῖν. Πῶς; Ὁ λόγος αὐτ. *Quare in domicilio nostro vere Deus exsistit: habitat in nobis. Quomodo? Verbum ejus fidei, voc.* Idem Lowthio visum est.

(1) *Τῇ Κορινθίᾳ*. Nempe Laide. Diogenes Laertius in *Aristippo*, lib. II, segm. 75: Ἐχρῆτο καὶ Λαΐδι τῇ ἑταίρᾳ, καθὰ φησὶ καὶ Σωτίων ἐν δευτέρᾳ τῶν *Διαδοχῶν*. Πρὸς οὖν τοὺς μεμφομένους ἔφη· Ἔχω Λαΐδα, ἀλλ' οὐκ ἔχομαι. Ἐπεὶ καὶ τὸ κρατεῖν, καὶ μὴ ἡττᾶσθαι ἡδονῶν ἄριστον, οὐ τὸ μὴ χρῆσθαι. *Utebatur et Laide meretrice, ut refert Sotion in secundo Successionum libro. Qua ex re cum sugillaretur à plurimis, habere se Laidem respondit, non haberi a Laide. Nam vincere, nec cedere voluptatibus præclarum esse, non earum usum sibi interdicere.* Conf. Lactantius lib. III, c. 15. Theodoretus serm. *De curand. Græc. affect.*, pag. 671. Cicero epist. ad Pætum, Athenæus lib. XII, Plutarchus in *Erotico*, Hesychius Milesius, etc.

(2) *Νικολάῳ*. Nicolai et Nicolaitarum historiam uberius pertractat auctor, *Strom.* III, p. 436.

(3) *Ἐκ παρατροπῆς*. Hinc intelligi poterit, cur ψευδωνύμους Νικολαΐτας dixerint auctor *Constitutionum apost.* lib. VI, c. 8, et Ignatius interpolatæ *Epistolæ ad Trallianos* cap. 11, scilicet quia hi hæretici *falso* se Nicolai discipulos esse jactabant, φάσκοντες ἑαυτοὺς Νικολάῳ ἕπεσθαι, cum tamen ille sobrie admodum pieque vixerit. Porro quos defensores, quos etiam accusatores habuit Nicolaus, accurate exposuit Cl. Cotelerius in suis ad *Constit. apost.* locum jam dictum notis.

(4) *Παραχρῆσθαι τῇ σαρκί*. Pejore sensu hanc phrasin adhibet auctor *Constitutionum apostol.*, lib. VI, cap. 10: Ἄλλοι δὲ ἀναίδην ἐκπορνεύειν, καὶ παραχρᾶσθαι τῇ σαρκὶ ἐδίδασκον, καὶ διὰ πάσης ἀνοσιουργίας ἰέναι. *Alii sine verecundia scortari, et carne abuti docebant, et per omne nequiter factum volutari.* Suidas: Παραχρῆται, πολὺ, σφοδρῶς συνουσιάζει, ἀκολάστως μίγνυται. Εἴρηται δὲ καὶ περὶ ἑκάστου

(5) *Ταῦτ' ἔχω*. Sardanapali epitaphium et latius,

Namque et ego cinis ecce, Nini rex maximus olim. A

✠ At vero Plato philosophus finem dicit esse duplicem: unum quidem, id quod est participabile et primum in ipsis formis, quod quidem nominat bonum; alterum autem id, quod est illius particeps, ejusque accipit similitudinem, quod quidem est in hominibus, qui virtutem et veram philosophiam sibi vindicant. Quare Cleanthes quoque in secundo *De voluptate*, dicit Socratem ubique docere, eumdem esse virum justum et beatum, eumque exsecrari qui primus divisit justum ab utili, ut qui rem fecerit impiam. Revera enim sunt impii, qui utile a justo, quod est secundum legem, separant. Ipse autem Plato dicit beatitudinem, quæ est εὐδαιμονία, esse, *bene habere dæmonem;* dici autem dæmonem, principalem animæ nostræ partem; beatitudinem autem esse perfectissimum bonum et plenissimum. Aliquando autem eam vocat vitam sibi consentientem et convenientem, et nonnunquam id, quod est ex virtute perfectissimum. Id autem ponit in scientia boni, et in ea, quæ est cum Deo, similitudine, similitudinem pronuntians in eo consistere, ut quis sit justus et sanctus cum prudentia. Annon sic quidem **180** ex nostris illud, *ad imaginem* quidem, statim in ortu accepisse hominem; *ad similitudinem* autem, per perfectionem postea esse accepturum, intelligunt? Jam vero docens Plato hanc similitudinem viro

Ναὶ μὴν Πλάτων ὁ φιλόσοφος διττὸν εἶναι τὸ τέλος B φησίν, τὸ μὲν μεθεκτόν τε καὶ πρῶτον ἐν αὐτοῖς ὑπάρχον τοῖς εἴδεσιν, ὃ δὴ καὶ τἀγαθὸν προσονομάζει· τὸ δὲ μετέχον ἐκείνου, καὶ τὴν ἀπ' αὐτοῦ δεχόμενον ὁμοιότητα, ὃ περὶ ἀνθρώπους γίνεται, τοὺς μεταποιουμένους ἀρετῆς τε καὶ τῆς ἀληθοῦς φιλοσοφίας. Διὸ καὶ Κλεάνθης ἐν τῷ δευτέρῳ *Περὶ ἡδονῆς* τὸν Σωκράτην φησὶ παρ' ἕκαστα διδάσκειν, ὡς ὁ αὐτὸς δίκαιός τε καὶ εὐδαίμων ἀνὴρ· καὶ τῷ πρώτῳ διελόντι τὸ δίκαιον ἀπὸ τοῦ συμφέροντος καταρᾶσθαι, ὡς ἀσεβές τι πρᾶγμα δεδρακότι· ἀσεβεῖς γὰρ τῷ ὄντι οἱ τὸ συμφέρον ἀπὸ τοῦ δικαίου τοῦ κατὰ νόμον χωρίζοντες. Αὐτὸς δὲ ὁ Πλάτων τὴν εὐδαιμονίαν *τὸ εὖ τὸν δαίμονα ἔχειν* (62), δαίμονα δὲ λέγεσθαι τὸ τῆς ψυχῆς ἡμῶν ἡγεμονικόν· τὴν δὲ C εὐδαιμονίαν τὸ τελειότατον ἀγαθὸν καὶ πληρέστατον λέγει. Ὁτὲ δὲ βίον ὁμολογούμενον καὶ σύμφωνον αὐτὴν ἀποκαλεῖ· καὶ ἔσθ' ὅτε τὸ κατ' ἀρετὴν τελειότατον· τοῦτο δὲ ἐν ἐπιστήμῃ τοῦ ἀγαθοῦ τίθεται, καὶ ἐν ἐξομοιώσει (63) τῇ πρὸς τὸν Θεόν· ὁμοίωσιν ἀποφαινόμενος δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως εἶναι. Ἦ γὰρ οὐχ οὕτως τινὲς τῶν ἡμετέρων τὸ μὲν *κατ' εἰκόνα* (64) εὐθέως κατὰ τὴν γένεσιν εἰληφέναι τὸν ἄνθρωπον, τὸ *καθ' ὁμοίωσιν* δὲ ὕστερον κατὰ τὴν τελείωσιν μέλλειν ἀπολαμβάνειν ἐκδέχονται; Αὐτίκα ὁ Πλάτων (65), τὴν ὁμοίωσιν ταύτην μετὰ ταπεινοφροσύνης ἔσεσθαι τῷ ἐναρέτῳ διδάσκων

✠ P. 499 ED. POTTER, 417-418 ED. PARIS.

ejusque constitutionis spe explorata, ut a Metrodoro scriptum est, continetur. Plutarchus *De vita secundum Epicurum:* Τὸ γὰρ εὐσταθὲς σαρκὸς κατάστημα καὶ τὸ περὶ ταύτης πιστὸν ἔλπισμα τὴν ἀκροτάτην χαρὰν ἔχει καὶ βεβαιοτάτην. Gellius lib. IX, cap. 5; Th. Canterus lib. II, cap. 6. COLLECT.

(61) *Ἀγαθόν.* Sic superius, Metrodori magister, Epicurus pag. 412 edit. Paris., dicit τέλος εἶναι τοῦ φιλοσόφου ἡδονήν. Θειάζει γοῦν σαρκὸς εὐσταθὲς κατάστημα καὶ τὸ περὶ ταύτης πιστὸν ἔλπισμα.

(62) *Τὸ εὖ τὸν δ.* Similia dixerunt etiam Stoici. Laertius in Zenone, lib. VII, segm. 88: Εἶναι δὲ αὐτὸ τοῦτο τὴν τοῦ εὐδαίμονος ἀρετὴν, καὶ εὔροιαν βίου, ὅταν πάντα πράττηται κατὰ τὴν συμφωνίαν τοῦ παρ' ἑκάστῳ δαίμονος. *Esse autem hoc ipsum felicis hominis virtutem, et felicem vitæ decursum, cum omnia geruntur ex consensu dæmonis qui apud unumquemque est.* Eum Antoninus, lib. III extremo, vocat τὸν ἔνδον ἐν τῷ στήθει ἱδρυμένον δαίμονα. *Dæmonem intus in pectore situm.* Apuleius etiam in *Apologia Socratis* hæc dicit: *Bona cupido bonus Deus est:* et mox addit εὐδαίμονας dici, *quorum* D *dæmon bonus, id est animus virtute perfectus, est.* Item Platonis discipulus Xenocrates apud Aristotelem *Topic.* lib. II, c. 6: Ὁμοίως δὲ καὶ εὐδαίμονα, οὗ ἂν ὁ δαίμων ᾖ σπουδαῖος· καθάπερ ὁ Ξενοκράτης φησὶν εὐδαίμονα εἶναι τὸν τὴν ψυχὴν ἔχοντα σπουδαίαν· ταύτην γὰρ ἑκάστῳ εἶναι δαίμονα. *Similiter* εὐδαίμονα *eum, cujus dæmon est bonus: quemadmodum Xenocrates ait* εὐδαίμονα *esse, cujus animus sit bonus; hunc enim cuique esse dæmonem.*

(63) *Ἐν ἐξομοιώσει.* Conf. supra pag. 403, 404, 405, edit. Paris.

(64) *Κατ' εἰκόνα.* Conf. *Pædag.* lib. I, cap. 12 principio.

(65) *Πλάτων.* Platonis locus iste citatus supra *Protrept.*, pag. 20. Exstat autem lib. IV *De leg.*, pag. 715; exstat et apud Aristot. *De mundo*, cap. 7; apud Plutarch. pag. 636, et Justin. mart. pag. 23 H. Legitur autem in vulg. edit., ἀρχήν τε καὶ τελευτὴν καὶ μέσαν τῶν ὄντων ἁπάντων. SYLBURG.—Conf. etiam Origenes *Adv. Celsum* lib. VI, p. 285. Exstant hæc in Platonis edit. Francof. p. 831.

ἐκεῖνό που ἑρμηνεύει· *Πᾶς ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται.* Λέγει οὖν ἐν τοῖς *Νόμοις· Ὁ μὲν δὴ Θεὸς, ὥσπερ καὶ ὁ παλαιὸς λόγος, ἀρχήν τε καὶ μέσα καὶ τελευτὴν τῶν πάντων ἔχων, εὐθεῖαν περαίνει κατὰ φύσιν περιπορευόμενος· τῷ δὲ αἰεὶ* (66) *ξυνέπεται δίκη, τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρός.* Ὁρᾷς ὅπως καὶ αὐτὸς εὐλάβειαν προσάγει τῷ θείῳ νόμῳ. Ἐπιφέρει γοῦν· *Ἧς ὁ μὲν εὐδαιμονήσειν μέλλων ἐχόμενος, ξυνέπεται ταπεινὸς καὶ κεκοσμημένος.* Εἶτα τούτοις τὰ ἀκόλουθα συνάψας, καὶ τῷ φόβῳ νουθετήσας, ἐπιφέρει· *Τίς οὖν* (67) *δὴ πρᾶξις φίλη καὶ ἀκόλουθος Θεῷ; μία καὶ ἕνα λόγον ἔχουσα ἀρχαῖον· ὅτι τῷ μὲν ὁμοίῳ τὸ ὅμοιον, ὄντι μετρίῳ, φίλον ἂν εἴη· τὰ δὲ ἄμετρα οὔτε ἀλλήλοις οὔτε τοῖς ἐμμέτροις* (68). *Τὸν οὖν τῷ Θεῷ* (69) *προσφιλῆ γενησόμενον, εἰς δύναμιν ὅτι μάλιστα καὶ αὐτὸν τοιοῦτον ἀναγκαῖον γίνεσθαι. Καὶ κατὰ τοῦτον δὴ τὸν λόγον ὁ μὲν σώφρων ἡμῶν Θεῷ φίλος· ὅμοιος γάρ· ὅ τε* (70) *μὴ σώφρων ἀνόμοιός τε καὶ διάφορος.* Τοῦτο ἀρχαῖον εἶναι φήσας τὸ δόγμα, τὴν ἐκ τοῦ Νόμου εἰς αὐτὸν ἥκουσαν διδασκαλίαν ᾐνίξατο. Κἂν τῷ *Θεαιτήτῳ* τὰ κακὰ ἀμφὶ τὴν θνητὴν φύσιν καὶ τόνδε τὸν τόπον περιπολεῖν ἐξ ἀνάγκης δοὺς, ἐπιφέρει· *Διὸ* (71) *καὶ πειρᾶσθαι χρὴ ἐνθένδε ἐκεῖσε φεύγειν ὅτι τάχιστα. Φυγὴ δὲ ὁμοίωσις Θεῷ κατὰ τὸ δυνατόν· ὁμοίωσις δὲ δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως γενέσθαι.* Σπεύσιππός τε, ὁ Πλάτωνος ἀδελφιδοῦς (72), τὴν εὐδαιμονίαν φησὶν ἕξιν εἶναι τελείαν ἐν τοῖς κατὰ φύσιν ἔχουσιν· ἢ ἕξιν ἀγαθῶν· ἧς δὴ καταστάσεως ἅπαντας μὲν ἀνθρώπους ὄρεξιν ἔχειν, στοχάζεσθαι δὲ τοὺς ἀγαθοὺς τῆς ἀοχλησίας· εἶεν δ' ἂν αἱ ἀρεταὶ τῆς εὐδαιμονίας ἀπεργαστικαί. Ξενοκράτης τε ὁ Χαλκηδόνιος (73) τὴν εὐδαιμονίαν ἀποδίδωσι κτῆσιν τῆς οἰκείας ἀρετῆς καὶ τῆς ὑπηρετικῆς αὐτῇ δυνάμεως. Εἶτα ὡς μὲν ἐν ᾧ γίνεται, φαίνεται λέγων τὴν ψυχήν· ὡς δ' ὑφ' ὧν, τὰς ἀρετάς· ὡς δ' ἐξ ὧν, ὡς μερῶν, τὰς καλὰς πράξεις, καὶ τὰς σπουδαίας ἕξεις τε καὶ διαθέσεις, καὶ κινήσεις, καὶ σχέσεις· ὡς τούτων οὐκ ἄνευ τὰ σωματικὰ καὶ τὰ ἐκτός. Ὁ γὰρ Ξενοκράτους γνώριμος Πολέμων φαίνεται τὴν εὐδαιμονίαν αὐτάρκειαν εἶναι βουλόμενος ἀγαθῶν πάντων, ἢ τῶν πλείστων καὶ μεγίστων. Δογματίζει γοῦν χωρὶς μὲν ἀρετῆς μηδέποτε ἂν εὐδαιμονίαν ὑπάρχειν, δίχα δὲ καὶ τῶν σωματικῶν καὶ τῶν ἐκτὸς τὴν ἀρετὴν αὐτάρκη πρὸς εὐδαιμονίαν εἶναι. Καὶ τὰ μὲν ὧδε ἐχέτω· αἱ δὲ ἀντιῤῥήσεις αἱ πρὸς τὰς εἰρημένας δόξας κατὰ καιρὸν τεθήσονται· ἡμῖν δὲ αὐτοῖς εἰς τέλος ἀτελεύτητον ἀφικέσθαι πρόκειται, πειθομένοις ταῖς ἐντολαῖς, τουτέστι τῷ Θεῷ, καὶ κατ' αὐτὰς

A bono futuram esse cum humilitate, illud utique interpretatur : *Omnis qui seipsum humiliat, exaltabitur* [a]. Dicit itaque in *Legibus : Deus quidem certe, ut vetus est oratio, continens principium et medium et finem universorum, recta pergit secundum naturam circumiens. Eum autem semper consequitur justitia, ultrix eorum, qui a lege divina desciverint.* Vides, quomodo ipse quoque legi divinæ adjungit cautionem, seu timorem. Subjungit itaque : *Cui qui beatus quidem est futurus, adhærens, sequitur humilis et compositus.* Deinde cum his ea, quæ sunt consequentia, conjunxisset, et timore adhibito admonuisset, subjungit : *Quænam est ergo actio, quæ a Deo amata, et eum consequitur? Una certe, rationem unam antiquam habens et præcipuam, quod* B *simili, quod quidem est moderatum, simile fuerit amicum; quæ sunt autem immoderata, neque sibi invicem, neque moderatis* ✠ *amica sunt. Qui igitur Deo talis amicus fore studet, necesse est, ut quam maxime pro viribus efficiatur talis. Hac itaque ratione quisquis est temperans, est Deo amicus; est enim similis; intemperatus autem, dissimilis et diversus.* Hoc autem vetus decretum esse dicens, eam, quæ a lege ad ipsum pervenit, doctrinam tacite significavit. Et in *Theæteto*; cum mala circa mortalem naturam et hunc locum necessario vagari concessisset, subjungit : *Quare oportet tentare hinc illuc fugere quam celerrime. Fuga autem est, Deo, quoad fieri potest, assimilatio; assimilatio autem,* C *justum et sanctum fieri cum prudentia.* Et Speusippus, Platonis ex sorore filius, dicit beatitudinem esse perfectum habitum in iis, qui se habent secundum naturam : aut habitum bonorum : quam constitutionem omnes quidem homines appetere; solos autem bonos consequi molestiæ vacuitatem : et quod virtutes felicitatem efficiant. Xenocrates vero Chalcedonensis definit beatitudinem, convenientis virtutis possessionem, et ejus, quæ ei inservit, facultatis; deinde, ut in quo quidem sit, apparet dicere animam ; ut autem a quibus, virtutes; ut ex quibus tanquam partibus, bonas actiones, et honestos habitus, et affectiones, et motus, et habitudines; utpote quod non sine his sint ea, quæ sunt corporis et externa. Xenocratis enim discipulus D Polemo, videtur velle beatitudinem esse sufficientiam omnium bonorum, vel plurimorum et maximorum. Decernit itaque, sine virtute quidem non futuram unquam beatitudinem ; absque bonis autem corporis et externis, virtutem esse sufficientem ad beatitudinem. Et hæc quidem sic habeant. Quæ au

✠ P. 500 ED. POTTER, 418-419 ED. PARIS. [a] Luc. XIV, 11.

(66) *Τῷ δὲ αἰεί.* Plato, Τῷ δ' αἰεί.

(67) *Τίς οὖν.* Hæc exstant in libro Platonis jam dicto, p. 832.

(68) *Ἐμμέτροις.* Adjicit Plato : Ὁ δὲ Θεὸς ἡμῖν ἁπάντων χρημάτων μέτρον ἂν εἴη μάλιστα, καὶ πολὺ μᾶλλον ἤπου τὶς, ὥς φασιν, ἄνθρωπος. *Deus profecto nobis rerum omnium maxime sit mensura, multoque magis, quam quivis, ut ferunt, homo.*

(69) *Τῷ Θεῷ.* Plato, τῷ τοιούτῳ.

(70) *Ὅ τε.* Plato, ὁ δέ. Ibidem mox, διάφορός τε καὶ ἄδικος.

(71) *Διό.* Hæc exstant *Theæteti* p. 129. Superius ea recitavimus ad Clementis p. 403 edit. Paris.

(72) *Ἀδελφιδοῦς.* Nempe υἱὸς τῆς ἀδελφῆς αὐτοῦ Ποτώνης, *filius Potones sororis* Platonis, ut refert Suidas, et Laertius in principio lib. IV.

(73) *Χαλκηδόνιος.* Conf. quæ superius adnotata sunt ad *Protrept.* p. 44 edit. Paris.

tem sunt ad refellendas eas, quæ jam dictæ sunt, sententias necessaria, dicentur suo tempore. Nobis autem est propositum pervenire ad finem minime finiendum, mandata, hoc est Deum, sequentibus, et secundum ea, sine reprehensione et scienter, per divinæ voluntatis cognitionem viventibus. Rectæ autem rationi seu Logo, quoad fieri potest, assimilatio, et finis, et in finalem seu perfectam adoptionem per Filium nos restituit, Patremque semper glorificat per magnum pontificem, qui nos fratres et cohæredes dignatus est appellare. Et Apostolus quidem breviter finem describens in Epistola ad Romanos, dicit : *Nunc vero liberati a peccatis, Deo autem servientes, habetis fructum vestrum in sanctificatione n ; finem autem, vitam æternam* [a]. Cum autem spem novisset ✠ duplicem, unam quidem, quæ exspectatur, alteram vero, quæ minis intenditur, finem adhuc esse docet spei restitutionem. *Patientia* enim, inquit, *probationem ; probatio vero spem : spes autem non confundit, quoniam charitas Dei diffusa est in cordibus nostris per Spiritum sanctum, qui datus est nobis* [b]. Propter quam charitatem est etiam in spem restitutio, *quam requiem* dicit alibi nobis esse repositam. Similia etiam invenias apud Ezechielem, quæ sic habent : *Anima peccans ipsa morietur. Et vir, qui fuerit justus, et fecerit judicium, et justitiam, supra montes non comedit, et suos oculos non sustulit ad idola domus Israel, et uxorem proximi sui non polluit, et ad uxorem in tempore immunditiei suæ non accessit* (non vult enim semen hominis probro ac vituperio affici), *et virum*, inquit, *non male afficiet, pignus debitoris reddet, raptum non rapiet, panem suum dabit esurienti, et amplius non accipiet, ab iniquitate avertet manum suam, verum faciet judicium inter virum et proximum, in justificationibus meis ambulabit, et justificationes meas custodiet, ad faciendam veritatem : est justus, vita vivet, dicit Adonai Dominus* [c]. Et Isaias, eum quidem, qui credidit, ad vitæ honestatem ; eum autem, qui est gnosticus, ad considerationem adhortans, ostendens non esse eamdem hominis et Dei virtutem, sic inquit : *Quærite Dominum, et in inveniendo ipsum invocate. Quando autem vobis appropinquaverit*, *relin-*

✠ P. 501 ED. POTTER, 419-420, ED. PARIS.
5, 6, 7, 8, 9.

A βιώσασιν ἀνεπιλήπτως καὶ ἐπιστημόνως, διὰ τῆς τοῦ θείου θελήματος γνώσεως· ἥ τε πρὸς τὸν ὀρθὸν λόγον ὡς οἷόν τε ἐξομοίωσις τέλος ἐστὶ, καὶ εἰς τὴν τελείαν υἱοθεσίαν διὰ τοῦ Υἱοῦ ἀποκατάστασις, δοξάζουσα ἀεὶ τὸν Πατέρα διὰ τοῦ μεγάλου ἀρχιερέως, τοῦ ἀδελφοὺς καὶ συγκληρονόμους (74) καταξιώσαντος ἡμᾶς εἰπεῖν. Καὶ ὁ μὲν Ἀπόστολος, συντόμως τὸ τέλος ἐν τῇ πρὸς Ῥωμαίους Ἐπιστολῇ διαγράφων, λέγει· *Νυνὶ δὲ, ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, δουλωθέντες δὲ τῷ Θεῷ, ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμόν· τὸ δὲ τέλος ζωὴν αἰώνιον*. Διττὴν δὲ εἰδὼς τὴν ἐλπίδα, τὴν μὲν προσδοκωμένην, τὴν δὲ ἀπειλημμένην (75), ἤδη τέλος διδάσκει τὴν τῆς ἐλπίδος ἀποκατάστασιν· *Ἡ γὰρ ὑπομονὴ*, φησὶ, *δοκιμήν· ἡ δὲ δοκιμὴ, ἐλπίδα· ἡ δὲ ἐλπὶς οὐ* B *καταισχύνει· ὅτι ἡ ἀγάπη τοῦ Θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν διὰ Πνεύματος ἁγίου τοῦ δοθέντος ἡμῖν*. Δι᾽ ἣν ἀγάπην καὶ εἰς τὴν ἐλπίδα ἀποκατάστασις, ἣν ἀνάπαυσιν (76) ἀλλαχοῦ λέγει ἀποκεῖσθαι ἡμῖν. Τὰ ὅμοια καὶ παρὰ τῷ Ἰεζεκιὴλ εὕροις ἂν, οὕτως ἔχοντα· *Ἡ ψυχὴ* (77) *ἁμαρτάνουσα, αὐτὴ ἀποθανεῖται· καὶ ἀνὴρ, ὃς ἂν γένηται δίκαιος, καὶ ποιήσῃ κρῖμα καὶ δικαιοσύνην, ἐπὶ τὰ ὄρη οὐκ ἔφαγεν, καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ οὐκ ἦρεν ἐπὶ τὰ εἴδωλα οἴκου Ἰσραὴλ, καὶ τὴν γυναῖκα τοῦ πλησίον οὐκ ἐμίανεν, καὶ πρὸς γυναῖκα ἐν καιρῷ ἀκαθαρσίας αὐτῆς οὐ προσῆλθεν* (οὐ γὰρ ἐφύβριστον τὴν ἀνθρώπου σποράν εἶναι βούλεται). *καὶ ἄνδρα*, φησὶ, *μὴ κακώσῃ·* C *ἐνεχύρασμα ὀφείλοντος ἀποδώσει· ἅρπαγμα οὐ μὴ ἁρπάσῃ· τὸν ἄρτον αὐτοῦ πεινῶντι δώσει* (78)· *καὶ πλεονασμὸν οὐ λήψεται· ἐξ ἀδικίας ἀποτρέψει τὴν χεῖρα αὐτοῦ· κρῖμα ἀληθινὸν ποιήσει ἀνὰ μέσον ἀνδρὸς καὶ τοῦ πλησίον· ἐν τοῖς δικαιώμασί μου πορεύσεται, καὶ τὰ δικαιώματά μου ἐφύλαξε, τοῦ ποιῆσαι ἀλήθειαν· δίκαιός ἐστι, ζωῇ ζήσεται, λέγει* Ἀδωναΐ *Κύριος*. Ὅ τε Ἡσαΐας τὸν μὲν πιστεύσαντα εἰς σεμνότητα βίου, τὸν γνωστικὸν δὲ εἰς ἐπίστασιν (79) παρακαλῶν, μὴ τὴν αὐτὴν εἶναι ἀρετὴν (80) ἀνθρώπου καὶ Θεοῦ παριστὰς, ὧδέ φησι· *Ζητήσατε τὸν Κύριον, καὶ ἐν τῷ εὑρίσκειν αὐτὸν ἐπικαλέσασθε. Ἡνίκα δ᾽ ἂν ἐγγίζῃ ὑμῖν, ἀπολειπέτω ὁ ἀσεβὴς τὰς ὁδοὺς αὐτοῦ· καὶ ἀνὴρ ἄνομος τὰς ὁδοὺς αὐτοῦ·*

[a] Rom. VI, 22. [b] Rom. V, 4, 5. [c] Ezech. XVIII. 4

(74) *Ἀδελφοὺς καὶ συγκληρ.* Respicere videtur Hebr. II, 11 : Οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν· et Rom. VIII, 17, ubi fideles vocati sunt συγκληρονόμοι Χριστοῦ.

(75) *Ἀπειλημμένην*. Interpres, *quæ minis intenditur :* perinde ac si ab ἀπειλεῖν profecta esset hæc vox. Vertendum fuerat, *quæ jam recepta est*, vel *cujus jam compotes sumus facti :* nam ab ἀπολαμβάνω ducta est. Vult auctor, Apostolum duplicem nostram spem descripsisse : priorem, cujus in hac vita *participes sumus*, nempe *sanctificationem :* alteram, quam *exspectamus*, nempe *vitam æternam.*

(76) *Ἀνάπαυσιν*. Respicit forte Heb. IV, 8, 9, 11 : Εἰ γὰρ αὐτοὺς Ἰησοῦς κατέπαυσεν, οὐκ ἂν περὶ ἄλλης ἐλάλει μετὰ ταῦτα ἡμέρας. Ἄρα ἀπολείπεται D σαββατισμὸς τῷ λαῷ τοῦ Θεοῦ. Σπουδάσωμεν οὖν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν.

(77) *Ἡ ψυχή*. Hæc superius occurrunt *Pædag.* lib. I, sub. finem c. 10, e quo loco cum hoc collato patebit, Clementem διὰ μνήμης has Scripturas recitasse.

(78) *Δώσει*. Sequitur apud Ezechielem, καὶ γυμνὸν περιβαλεῖ, καὶ τὸ ἀργύριον αὐτοῦ ἐπὶ τόκῳ οὐ δώσει· quod librariorum negligentia propter δώσει repetitum excidisse videtur.

(79) *Ἐπίστασιν*. Scribi etiam possit ἐπίτασιν.

(80) *Τὴν αὐτὴν ἀρ.* Hoc addit propter Stoicos, qui eamdem esse Dei ac hominum virtutem dicebant : quos Clemens infra refellit, *Strom.* VII, p. 753.

A *καὶ ἐπιστραφήτω πρὸς Κύριον, καὶ ἐλεηθήσεται*, ἕως, *Καὶ τὰ διανοήματα ὑμῶν ἀπὸ τῆς διανοίας μου*. Ἡμεῖς τοίνυν κατὰ τὸν γενναῖον Ἀπόστολον, *ἐκ πίστεως ἐλπίδα δικαιοσύνης ἀπεκδεχόμεθα· ἐν γὰρ Χριστῷ* (81) *οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ πίστις δι' ἀγάπης ἐνεργουμένη. Ἐπιθυμοῦμεν δὲ ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος*, ἕως, *Κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα*. Τὰ ὅμοια τῷ Παύλῳ ἡ πανάρετος Σοφία (82) λέγει· *Ὁ δὲ ἐμοῦ* (83) *ἀκούων, κατασκηνώσει ἐπ' ἐλπίδι πεποιθώς* (84)· ἡ γὰρ τῆς ἐλπίδος ἀποκατάστασις ὁμωνύμως *ἐλπὶς* εἴρηται· διὰ τοῦ *κατασκηνώσει* τῇ λέξει (85) παγκάλως προσέθηκε τὸ *πεποιθώς*, δεικνὺς τὸν τοιοῦτον ἀναπεπαῦσθαι, ἀπολαβόντα ἣν B ἤλπιζεν ἐλπίδα· διὸ καὶ ἐπιφέρει, *Καὶ ἡσυχάσει ἀφόβως ἀπὸ παντὸς κακοῦ*. Ἄντικρυς δὲ ὁ Ἀπόστολος ἐν τῇ προτέρᾳ τῶν πρὸς Κορινθίους διαῤῥήδην φησί· *Μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ*· ἵνα γένηται ἐκεῖνο· Εἰ ὑμεῖς (86) ἐμοῦ, ἐγὼ δὲ Χριστοῦ· ὑμεῖς οὖν μιμηταὶ Χριστοῦ γίνεσθε, Χριστὸς δὲ Θεοῦ. *Τὴν ἐξομοίωσιν* (87) τοίνυν τῷ Θεῷ, *εἰς ὅσον οἷόν τε ἦν δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως γενέσθαι*, σκοπὸν τῆς πίστεως ὑποτίθεται· τέλος δὲ τὴν ἐπὶ τῇ πίστει τῆς ἐπαγγελίας ἀποκατάστασιν. Ἐκ τούτων οὖν αἱ πηγαὶ τῶν περὶ τέλους δογματισάντων, ἃς προειρήκαμεν, βλύζουσιν. Ἀλλὰ τούτων μὲν ἅλις.

quat impius vias suas, et convertatur ad Dominum, et misericordiam consequetur, usque ad : *Cogitata vestra a cogitatione mea* [a]. *Nos* ergo, ex præclari Apostoli sententia, *ex fide spem justitiæ exspectamus : in Christo enim neque* **181** *circumcisio aliquid valet, neque præputium, sed fides, quæ per dilectionem operatur* [b]. *Cupimus autem unumquemque vestrum eamdem ostendere sollicitudinem ad expletionem spei*, usque ad illud : *Secundum ordinem Melchisedec factus pontifex in æternum* [c]. Paulo quoque similia dicit Sapientia omni virtute plena : *Qui autem me audit, habitabit in spe confidens* [d]. Spei enim restitutio, *spes* dicta est æquivoce : propterea huic dictioni, ✠ *habitabit*, pulcherrime adjecit, *confidens :* ostendens eum, qui est hujusmodi, requievisse, recepta ea spe, quam sperabat. Quare etiam subjungit : *Et quiescet secure ab omni malo*. Aperte autem dicit Apostolus in priori ad Corinthios : *Imitatores mei estote, sicut et ego Christi* [e] : ut illud efficiatur : Si vos mei, ego autem Christi; vos ergo estis Christi imitatores, Christus vero Dei. *Deo* ergo *assimilari, ut, quoad fieri potest, fiat quis justus et sanctus cum prudentia*, statuit esse scopum fidei; finem autem, eam, quæ fit per fidem, promissi restitutionem. Ex his ergo fontes eorum, qui de fine decreverunt, quos prius diximus, scaturiunt. Sed de his quidem satis est.

CAPUT XXIII.

De matrimonii commodis et præceptis in ejus usu observandis; quæ plenius tractat libro sequenti.

Ἐπεὶ δὲ ἡδονὴ καὶ ἐπιθυμία ὑποπίπτειν γάμῳ C δοκεῖ, καὶ περὶ τούτου διαληπτέον. Γάμος μὲν οὖν ἐστι σύνοδος ἀνδρὸς καὶ γυναικὸς ἡ πρώτη (88) κατὰ νόμον ἐπὶ γνησίων τέκνων σπορᾷ. Ὁ γοῦν κωμικὸς Μένανδρος·

.... *Παίδων*, φησί, *σπόρῳ τῶν γνησίων*
Δίδωμί σοί γε τὴν ἐμαυτοῦ θυγατέρα.

Ζητοῦμεν δὲ, εἰ γαμητέον· ὅπερ τῶν κατὰ πρός τι (89) πως ἔχειν ὠνομασμένων ἐστίν. Τινὶ γὰρ

Quoniam autem voluptas et cupiditas videntur cadere in matrimonium, de hoc quoque tractandum est. Est ergo matrimonium prima legitima viri et mulieris conjunctio ad legitimorum liberorum procreationem. Menander itaque comicus ait :

Ad seminandos legitimos liberos
Tibi meam trado filiam.

Quærimus autem, an sit uxor ducenda : quod quidem est ex iis, quæ secundum ad aliquid quodam-

✠ P. 502 ED. POTTER, 420-421 ED. PARIS. [a] Isa. LV, 6, 7, 9. [b] Gal. V, 5, 6. [c] Heb. VI, 11, 20. [d] Prov. I, 33. [e] I Cor. XI, 1.

(81) *Χριστῷ*. Χριστῷ Ἰησοῦ, Galat.

(82) *Ἡ πανάρετος Σοφία*. Sic Clemens Romanus sub finem prioris Epistolæ : Οὕτως γὰρ λέγει ἡ πανάρετος Σοφία. *Ita siquidem dicit Sapientia omnem virtutem complectens*. Post quem, librum Proverbiorum, πανάρετον Σοφίαν appellarunt, non solum Clemens Alexandrinus, sed etiam Hegesippus, Irenæus, καὶ ὁ πᾶς τῶν ἀρχαίων χορός, *et totus antiquorum chorus*, apud Eusebium *Hist. eccles.* lib. IV, cap. 18. Conf. quæ ad Clementem Romanum adnotavit Cotelerius.

(83) *Ὁ δ' ἐμ*. Vide, quæ superius in pag. 342 edit. Paris. adnotata sunt. COLLECT.

(84) *Πεποιθώς*. Abest a Prov. I, 33, ubi tamen adnotat Flaminius Nobilius, in scholio quodam hæc exstare, ἀναπαύσεται ἐν εἰρήνῃ πεποιθώς.

(85) *Διὰ τοῦ κατασκηνώσει τῇ λέξει*. Clarius divise, δι' ἃ, *quapropter :* inquit Sylburg. Rectius legetur, ἐπὶ τῇ τοῦ κατασκηνώσει λέξει. LOWTH.

(86) *Ὑμεῖς*. Illa etiam Pauli verba respicere videtur Clemens, quæ occurrunt I Cor. III, 22, 23 : Πάντα ὑμῶν ἐστιν· ὑμεῖς δὲ Χριστοῦ· Χριστὸς δὲ D Θεοῦ.

(87) *Ἐξομοίωσιν*. Cum apostoli doctrina confert, quæ paulo superius e Platone recitavit.

(88) *Ἡ πρώτη*. Videtur Clemens σύνοδον πρώτην, *primam conjunctionem*, nuptias appellans, eas distinguere a concubinatu, γάμοις ἐπεισάκτοις. Nec enim secundas nuptias post mortem alterius e conjugibus contractas damnavit, ut e *Strom.* III satis patet. Sic Hermas lib. II, sub finem mandat. IV : *Si vir, vel mulier alicujus decesserit, et nupserit aliquis illorum, numquid peccat? Qui nubit, non peccat, inquit : sed si per se manserit, magnum sibi conquirit honorem apud Dominum*. Ubi quid de secundis nuptiis senserint antiqui Patres, multis testimoniis edocuit Cotelerius. Qui tamen existimasse videtur, Clementem ea causa σύνοδον πρώτην vocasse τὸν γάμον, quod μονογαμίαν solam probaret.

(89) *Κατὰ πρός τι*. Lowthius mavult κατὰ ἢ πρός τι.

modo se habere dicuntur. Est enim alicui ducenda uxor, hoc est aliquo modo se habenti, et aliqua uxor ducenda, et quæ aliquo modo se habeat. Neque enim est uxor ducenda cuilibet, neque semper; sed tempus quoque est, in quo convenit; et persona, cui convenit; et ætas, usque ad quam. Neque ergo est cuilibet uxor quælibet ducenda, neque semper, sed neque omni modo ac temere; sed ei, qui aliquo modo se habet, et qualem, et quando oportet, et liberorum gratia, et ea, quæ est in omnibus similis, et non vi aut necessitate virum amantem diligit. Unde Abraham, uxorem suam sororem esse defendens, ait: *Mihi soror est ex patre, sed non ex matre, fuit autem mihi quoque in uxorem* [a]; docens eas, quæ ex eadem matre natæ sunt, non esse ducendas uxores. Jam vero paucis persequamur historiam. Plato ergo matrimonium collocat ✠ in bonis externis, astruens scilicet nostri generis immortalitatem, et quamdam perpetuitatem, qua posteritas posteritati lampadem quasi vicissim in manus tradit. Democritus autem repudiat matrimonium et procreationem liberorum, propter multas, quæ ex ipsis oriuntur, molestias, et quod abstrahant ab iis quæ sunt magis necessaria. Ei autem Epicurus quoque assentitur, et quicunque in voluptate, molestiæque et doloris vacuitate bonum collocant. Præterea ex Stoicorum quidem sententia est indifferens, et matrimonium et

A γαμητέον, ὅπερ καὶ πῶς ἔχοντι, καὶ τίνα, καὶ πῶς ἔχουσαν· οὔτε γὰρ παντὶ γαμητέον, οὔτε πάντοτε, ἀλλὰ καὶ χρόνος ἐστὶν, ἐν ᾧ καθήκει, καὶ πρόσωπον, ᾧ προσήκει, καὶ ἡλικία, μέχρι τίνος. Οὔτε οὖν παντὶ γαμητέον πᾶσαν οὔτε πάντοτε, ἀλλ' οὐδὲ παντελῶς καὶ ἀναίδην (90)· ἀλλὰ τὸ πῶς ἔχοντι (91), καὶ ὁποίαν, καὶ ὁπότε δεῖ, καὶ χάριν παίδων, καὶ τὴν κατὰ πάντα ὁμοίαν, καὶ μὴ βίᾳ ἢ ἀνάγκῃ στέργουσαν τὸν ἀγαπῶντα ἄνδρα. Ὅθεν ὁ Ἀβραὰμ φησὶν, ἐπὶ τῆς γυναικὸς σκηπτόμενος ὡς ἀδελφῆς· *Ἀδελφή μοί ἐστιν ἐκ πατρὸς, ἀλλ' οὐκ ἐκ μητρός· ἐγένετο δέ μοι* (92) *καὶ* (93) *εἰς γυναῖκα·* τὰς ὁμομητρίους μὴ δεῖν ἄγεσθαι πρὸς γάμον διδάσκων. Ἐπίωμεν δὲ ἐν βραχεῖ τὴν ἱστορίαν. Πλάτων (94) μὲν οὖν ἐν τοῖς ἐκτὸς ἀγαθοῖς τάττει τὸν B γάμον, ἐπισκευάσας τὴν ἀθανασίαν τοῦ γένους ἡμῶν, καὶ οἱονεὶ διαμονήν τινα παισὶ παίδων μεταλαμπαδευομένην· Δημόκριτος δὲ γάμον καὶ παιδοποιίαν παραιτεῖται διὰ τὰς πολλὰς ἐξ αὐτῶν ἀηδίας τε καὶ ἀφολκὰς ἀπὸ τῶν ἀναγκαιοτέρων. Συγκατατάττεται δὲ αὐτῷ καὶ Ἐπίκουρος (95), καὶ ὅσοι ἐν ἡδονῇ καὶ ἀοχλησίᾳ, ἔτι δὲ καὶ ἀλυπίᾳ, τἀγαθὸν τίθενται. Ἔτι κατὰ μὲν τοὺς ἀπὸ τῆς Στοᾶς ἀδιάφορον (96) ὅ τε γάμος ἥ τε παιδοτροφία· κατὰ δὲ τοὺς ἐκ τοῦ Περιπάτου ἀγαθόν. Συλλήβδην οὗτοι, μέχρι γλώττης ἀγαγόντες τὰ δόγματα, ἡδοναῖς ἐδουλώθησαν· οἱ μὲν παλλακίσιν, οἱ δὲ ἑταίραις, μειρακίοις τε οἱ πλεῖστοι κεχρημένοι. Ἡ σοφὴ δὲ ἐκείνη τετρακτὺς ἐν τῷ

✠ P. 503 ED. POTTER, 421-422 ED. PARIS. [a] Genes. xx, 12.

(90) *Ἀναίδην*. Et hic et infra aliquoties scribi possit ἀνέδην. Conf. *Index Græcus*.

(91) *Τὸ πῶς ἔχοντι*. Congruentius dativo casu, τῷ πῶς ἔχοντι· ut paulo superius, τίνι. SYLBURG.

(92) *Δέ μοι*. Δέ μου, Genes.

(93) *Καί*. Abest. a Genes.

(94) *Πλάτων*. Respicit Platonis *De legibus* lib. VI, p. 869 extrema: Περὶ γάμων δὴ ταῦτ' ἔστω παραμύθια λεγόμενα, καὶ δὴ καὶ τὰ ἔμπροσθεν τούτων ῥηθέντα, ὡς χρὴ τῆς ἀειγενοῦς φύσεως ἀντέχεσθαι τῷ παῖδας παίδων καταλείποντα ἀεὶ τῷ Θεῷ ὑπηρέτας ἀνθ' αὑτοῦ παραδιδόναι. *Ad nuptias igitur ut decet celebrandas et hæc exhortantur, et illa, quæ in superioribus diximus, asserentes oportere filiorum filios relinquendo, nostros videlicet in divino ministerio successores, naturam assequi sempiternam.* Nec multo post hæc addit, p. 871, de connubio junctis agens: Ὧν δὴ χάριν μητρὶ καὶ πατρὶ καὶ τοῖς γυναικὸς οἰκείοις παρέντας χρὴ τὰς αὑτῶν οἰκήσεις, οἷον εἰς ἀποικίαν ἀφικνουμένους αὐτοὺς, ἐπισκοποῦντάς τε ἅμα καὶ ἐπισκοπουμένους οἰκεῖν, γεννῶντάς τε καὶ ἐκτρέφοντας παῖδας, καθάπερ λαμπάδα τὸν βίον παραδιδόντας ἄλλοις ἐξ ἄλλων. *Quapropter parentibus utrisque, affinibusque relictis, seorsim quasi ad coloniam proficiscantur, ac vicissim seipsos observantes habitent, liberos generando, et educando: et vitam, quam ab aliis acceperunt, a se, quasi lampada, aliis tradant.* Idem *De legibus* l. IV, p. 835, jubet uxorem ducere, διανοηθέντα, ὡς ἔστιν ᾗ τὸ ἀνθρώπινον γένος φύσει τινὶ μετείληφεν ἀθανασίας· *cogitantem, quod sic natura quadam humanum genus quodammodo immortalitatem consequitur.* Dein paulo post hæc adjicit: Γένος οὖν ἀνθρώπων ἐστί τι ξυμφυὲς τοῦ παντὸς χρόνου, ὃ διὰ τέλους αὐτῷ ξυνέπεται καὶ συνέψεται τούτῳ τὸ ἀθάνατον ὄν· τῷ παῖδας παίδων καταλιπόμενον, ταυτὸν καὶ ἓν ὂν ἀεὶ γενέσει, τῆς ἀθανασίας μετειληφέναι. *Genus itaque hominum immortale hoc modo in sempiternum perdurat, quod filiorum filios relinquendo unum et idem semper per generationem immortalitatem adipiscatur.* Porro Theodoretus hunc Clementis locum transtulit in *Θεραπευτ.* ιβ', p. 675: Καὶ ἀποδεχόμεθα τὸν Πλάτωνα, τοῖς ἀγαθοῖς τὸν γάμον ξυντάξαντα, καὶ ἀθανασίας ἐπίνοιαν, καὶ διαμονὴν τοῦ γένους καλέσαντα· Δημοκρίτῳ δὲ καὶ Ἐπικούρῳ λίαν μεμφόμεθα, παραιτεῖσθαι καὶ τὸν γάμον καὶ τὴν παιδογονίαν κελεύουσι· τὴν μὲν γάρ τοι ἡδονὴν ὁρισάμενοι τέλος, τὰς φροντίδας ἔχοντα, καὶ τινὰς ἀηδίας, παντελῶς ἀπεκήρυξαν. Οἱ δὲ τῆς ποικίλης μέσην τινὰ ὁδὸν ὥδευσαν· τοῖς γὰρ ἀδιαφόροις τὸν γάμον καὶ τὴν παιδογονίαν ξυνέζευξαν. *Platonemque admittimus nuptias inter bona collocantem, immortalitatisque parandæ inventum, et stabilitatem generis appellantem; Democritum vero et Epicurum vehementer damnamus, qui nuptias et liberorum procreationem vitari jubent. Qui enim humanam felicitatem voluptate metiebantur, quidquid curarum aliquid vel fastidii afferre poterat, omnino repudiarunt. At Stoici media quadam via incesserunt: conjugia enim et liberorum susceptionem inter indifferentia recensuerunt.*

(95) *Ἐπίκουρος*. Diogenes Laertius in *Epicuro*, lib. X, seg. 119: Καὶ μηδὲ γαμήσειν, μηδὲ τεκνοτροφήσειν. *Et nec uxorem ducere, nec liberos nutrire sustinuit.* Ubi conf. quæ adnotavit cl. Menagius.

(96) *Ἀδιάφορον*. A. Gellius lib. II, cap. 7: *Quæ vero in medio sunt, et a Græcis tum ἀδιάφορα, tum μέσα appellantur, ut in militiam ire, rus colere, honores capessere, causas defendere, uxorem ducere, ... quoniam hæc, et his similia per sese ipsa neque honesta sunt, neque turpia, sed proinde ut a nobis aguntur, ita ipsis actionibus aut probanda fiunt, aut reprehendenda.* Conf. paulo superius, p. 916 edit. Paris. et Origenes *Adv. Celsum*, lib. IV, p. 194.

κήπῳ μετὰ τῆς ἑταίρας (97) ἔργοις ἐκύδαινον τὴν ἡδονήν. Οὐκ ἂν οὖν ἐκφύγοιεν τὴν βουζύγιον ἀρὰν, ὅσοι μὴ δοκιμάζοντες σφίσι συμφέρειν τινὰ, ἑτέροις ταῦτα παρακελεύονται ποιεῖν· ἢ αὖ τοὔμπαλιν. Τοῦτο βραχέως ἡ Γραφὴ δεδήλωκεν, εἰρηκυῖα· *Ὃ μισεῖς* (98), *ἄλλῳ οὐ ποιήσεις*. Πλὴν οἱ γάμον δοκιμάζοντες, Ἡ φύσις ἡμᾶς ἐποίησεν, φασὶν, εὐθέτους πρὸς γάμον, ὡς δῆλον ἐκ τῆς σωμάτων κατασκευῆς, τῶν τε ἀῤῥένων καὶ τῶν θηλειῶν· καὶ τὸ *Αὐξάνεσθε καὶ πληθύνεσθε* συνεχῶς ἐπιβοῶνται. Εἰ δὲ καὶ ταῦθ' οὕτως ἔχει, ἀλλ' αἰσχρόν γε αὐτοῖς δοκεῖ τὸ καὶ τῶν ἀλόγων ζώων τὸν ὑπὸ Θεοῦ δημιουργηθέντα ἄνθρωπον ἀκρατέστερον εἶναι, ἃ τὴν ἐπιμιξίαν οὐ ποιεῖται πρὸς πολλὰ καὶ ἀναίδην (99), ἀλλὰ πρὸς ἓν καὶ ὁμόφυλον· οἷαι αἱ πελειάδες, καὶ αἱ φάσσαι, καὶ τὸ τρυγόνων γένος, καὶ ὅσα τούτοις παραπλήσια. Ἔτι φασὶν, « Ὁ ἄτεκνος τῆς κατὰ φύσιν τελειότητος ἀπολείπεται, ἅτε μὴ ἀντικαταστήσας τῇ χώρᾳ τὸν οἰκεῖον διάδοχον· τέλειος γὰρ ὁ πεποιηκὼς ἐξ αὑτοῦ τὸν ὅμοιον· μᾶλλον δὲ, ἐπειδὰν κἀκεῖνον τὸ αὐτὸ πεποιηκότα ἐπίδῃ, τουτέστιν, ὅταν εἰς τὴν αὐτὴν καταστήσῃ φύσιν τὸ τεκνωθὲν τῷ τεκνώσαντι. » Γαμητέον οὖν πάντως καὶ τῆς πατρίδος ἕνεκα, καὶ τῆς τῶν παίδων διαδοχῆς, καὶ τῆς τοῦ κόσμου, τὸ ὅσον ἐφ' ἡμῖν, συντελειώσεως· ἐπεὶ καὶ γάμον τινὰ οἰκτείρουσιν οἱ ποιηταὶ ἡμιτελῆ (1) καὶ ἄπαιδα· μακαρίζουσι δὲ *τὸν ἀμφιθαλῆ*. Αἱ δὲ σωματικαὶ νόσοι μάλιστα τὸν γάμον ἀναγκαῖον δεικνύουσι· ἡ γὰρ τῆς γυναικὸς κηδεμονία, καὶ τῆς παραμονῆς ἡ ἐκτένεια, τὰς ἐκ τῶν ἄλλων οἰκείων καὶ φίλων ἔοικεν ὑπερτίθεσθαι προσκαρτερήσεις, ὅσῳ τῇ συμπαθείᾳ διαφέρειν καὶ προσεδρεύειν μάλιστα πάντων προαιρεῖται· καὶ τῷ ὄντι κατὰ τὴν Γραφὴν ἀναγκαία βοηθός (2). Ὁ γοῦν κωμικὸς Μένανδρος, καταδραμὼν τοῦ γάμου, ἀλλὰ καὶ τὰ χρήσιμα ἀντιτιθεὶς, ἀποκρίνεται τῷ εἰπόντι·

A liberorum susceptio; ex peripateticorum vero, bonum. Ut semel autem dicam, illi lingua tenus sua deducentes dogmata, voluptatibus servierunt, alii quidem pellicibus, alii vero meretricibus, plurimi autem utentes adolescentulis. Sapiens autem illa quaternio, in horto cum meretrice, factis voluptatem colebat. Non ergo eam gravissimam effugerint exsecrationem, qui cum sibi aliqua non conferre judicent, alios ea hortentur facere, vel contra. Hoc breviter Scriptura significavit, dicens: *Quod odio habes, alii ne feceris* [a]. Cæterum qui matrimonium approbant, Nos, inquiunt, fecit natura aptos ad matrimonium, ut liquet ex compositione corporum masculorum et feminarum: et frequenter illud acclamant: *Crescite et multiplicamini* [b]. Etsi B autem hæc quoque ita se habeant, ipsis tamen turpe videtur, quod homo, quem Deus est architectatus, sit animantibus brutis intemperantior, quæ cum multis et temere non congrediuntur, sed cum uno, et quod sit ejusdem generis: cujusmodi sunt columbæ, et palumbes, et genus turturum, et quæ sunt his similia. « Præterea, inquiunt, qui caret liberis, est ea perfectione defectus, quæ est secundum naturam, ut qui suum successorem in suum locum non substituerit. ✠ Perfectus enim est, qui ex seipso fecit similem: vel potius quando illum idem fecisse viderit, hoc est, quando in eamdem pervenerit naturam filius, cujus est, qui eum genuit. » Est ergo omnino uxor ducenda, et patriæ C causa, et liberorum successionis, et mundi, quantum est in nobis, perfectionis. Nam istius etiam matrimonii miserentur poetæ, quod est *semiperfectum* et caret liberis; beatum autem prædicant id, quod floret et *germinat undequaque*. Morbi autem corporis maxime indicant necessarium esse matrimonium. Uxoris enim cura et assidua ejus perseverantia videtur aliorum necessariorum et amicorum tantum superare tolerantiam, quanto ea mutua doloris consensione et misericordia antecellit, et vult omnium maxime lubenter adesse et præsentia sua succurrere. Et revera ex Scripturæ sententia est necessaria *adjutrix* [c]. Menander itaque comicus, cum matrimonium esset insectatus, alia etiam utilia opponens, respondet ei, qui dixerat:

.... πρὸς τὸ πρᾶγμ' ἔχω κακῶς·
Ἐπαριστερῶς γὰρ αὐτὸ λαμβάνεις....

Affectus in rem sum male:
Nam tu sinistre, nec bene, hanc quidem capis.

✠ P. 504 ED. POTTER. [a] Tob. IV, 16. [b] Genes. I, 28. [c] Genes. II, 18.

(97) *Τῆς ἑταίρας*. Præcipue Leontium innuere videtur, quæ Epicuro et Epicureis *in horto* sese prostituit. Athenæus lib. XIII, cap. 6: Οὗτος οὖν Ἐπίκουρος οὐ Λεόντιον εἶχεν ἐρωμένην, τὴν ἐπὶ ἑταιρείᾳ διαβόητον γενομένην; Ἡ δὲ οὐχ ὅτε φιλοσοφεῖν ἤρξατο, ἐπαύσατο ἑταιροῦσα, πᾶσί τε τοῖς Ἐπικουρείοις συνῆν ἐν τοῖς κήποις· Ἐπικούρῳ δὲ καὶ ἀναφανδὸν, ὥστ' ἐκεῖνον, πολλὴν φροντίδα ποιούμενον αὐτῆς, τοῦτ' ἐμφανίζειν διὰ τῶν πρὸς Ἕρμαχον ἐπιστολῶν. *Hujus Epicuri annon famosa meretrix Leontium amica fuit? Illa autem philosophiæ operam navare cum cœpisset, non ideo scortari destitit, sed Epicureis omnibus in hortis se prostituit, et palam quidem Epicuro, adeo ut de illa multum fuerit sollicitus Epicurus: quod suis ad Hermachum litteris declaravit.* Conf. Diogenes Laertius lib. X, seg. 4 et seq.

(98) *Ὃ μισεῖς*. Tob. IV, 16: Καὶ ὃ μισεῖς, μηδενὶ ποιήσῃς. *Constitutionum apostol.* lib. I, cap. 1: Ὃ σὺ μισεῖς ὑφ' ἑτέρου σοὶ γενέσθαι, σὺ ἄλλῳ οὐ ποιή- D σεις. Ubi conf. quæ adnotavit Cotelerius. Conf. etiam *Const. apost.* lib. III, cap. 15; lib. VII, cap. 2; *Recognitionum* S. Clementis lib. VIII, cap. 56.

(99) *Ἀναίδην*. Ἀνέδην hic et aliquoties infra scribendum monuit Heinsius.

(1) *Ἡμιτελῆ*. Homerus de Protesilao ait, *Iliad.* Β', v. 700:

Τοῦ δὲ καὶ ἀμφιδρυφὴς ἄλοχος Φυλάκῃ ἐλέλειπτο,
Καὶ δόμος ἡμιτελής· τὸν δ' ἔκτανε Δάρδανος ἀνήρ.

Hujus ambas lacerata genas uxor in Phylace relicta erat,
Et domus semiperfecta: hunc etenim interfecerat Dardanus vir.

Ubi scholiastes vetus ait: Ἡμιτελὴς, ἤτοι ἄτεκνος. Dein,

(2) *Βοηθός*. Deus uxorem appellat βοηθὸν κατ' αὐτόν, Genes. II, 18. Mox, ἀλλὰ καὶ τὰ χρ. legit interpres.

Deinde subjungit :

Gravia fuerunt et molesta quæ tibi,
Vides in ipso, sed bona haud contra vides;

182 et quæ deinceps sequuntur. Fert autem opem quoque matrimonium iis, qui ætate processerunt, ut quod exhibeat uxorem curam gerentem, et alat, qui ex ea suscepti sunt, liberos, ut in senectute parentes suos nutriant :

Nam liberi sunt fama defuncto viro,
Et ex profundo retia, ut suber, trahunt,

fila servantes lino ex tragici Sophoclis sententia. Non permittunt autem legislatores maximos magistratus gerere iis, qui uxorem non duxerint. Jam vero Laconum ✠ legislator, non solum pœnam imposuit ei qui uxorem non duxisset, sed etiam ei qui unam tantum, et ei qui duxisset serius, et ei qui solus viveret. Præclarus autem Plato jubet uxoris quoque alimentum publico pendere ærario eum, qui uxorem non duxisset, et sumptus convenientes dare magistratibus. Si enim, ductis uxoribus, li-

A Εἶτ' ἐπιφέρει·

Τὰ δυσχερῆ (3) τε καὶ τὰ λυπήσαντά σε
Ὁρᾷς ἐν αὐτῷ· τὰ δ' ἀγάθ' οὐκ ἐπιβλέπεις·

καὶ τὰ ἑξῆς. Βοηθεῖ δὲ ὁ γάμος καὶ ἐπὶ τῶν προβεβηκότων τῷ χρόνῳ, παριστὰς τὴν γαμετὴν ἐπιμελουμένην, καὶ τοὺς ἐκ ταύτης παῖδας γηροβοσκοὺς ἐκτρέφων. Παῖδες (4) δὲ ἀνδρὶ,

Κατ' αἶαν ὄντι κληδόνες γεγάασι·
Φελλοὶ δ' ὣς ἄγουσι δίκτυον τὸν ἐκ βυθοῦ,

καὶ κλωστῆρα σώζοντες λίνῳ, κατὰ τὸν τραγικὸν Σοφοκλέα. Οἵ τε νομοθέται οὐκ ἐπιτρέπουσι τὰς μεγίστας ἀρχὰς τοῖς μὴ γαμήσασι μετεῖναι. Αὐτίκα ὁ τῶν Λακώνων (5) νομοθέτης οὐκ ἀγαμίου μόνον B ἐπιτίμιον ἔστησεν, ἀλλὰ μονογαμίου (6), καὶ ὀψιγαμίου, καὶ μονοδιαιτησίας. Ὁ δὲ γενναῖος Πλάτων (7), καὶ τροφὴν γυναικὸς ἀποτίνειν εἰς τὸ δημόσιον κελεύει τὸν μὴ γήμαντα, καὶ τὰς καθηκούσας δαπάνας ἀποδιδόναι τοῖς ἄρχουσιν· εἰ γὰρ μὴ γήμαντες οὐ παιδοποιήσονται, τὸ ὅσον ἐφ' ἑαυτοῖς, ἀνδρῶν σπάνιν

✠ P. 505 ED. POTTER, 423 ED. PARIS.

Dein, cum hujus vocis alios sensus attulisset, hæc adjicit : Βέλτιον δὲ εἰρῆσθαι ἡμιτελῆ διὰ τὸ μὴ γεγεννηκότα παῖδας πλεῦσαι. Homero ἀμφιθαλὴς est, cui uterque parens vivit. *Iliad.* X, v. 496 :

Τὸν δὲ καὶ ἀμφιθαλὴς ἐκ δαιτύος ἐστυφέλιξε.

Hunc et aliquis utroque parente vivo florens e convivio exturbat.

Ubi scholiates vetus ait : Ἀμφιθαλὴς, κατὰ ἀμφοτέρους τοὺς γονέας θάλλων· ὅ ἐστιν, ἔχων τοὺς γονεῖς C ἀμφοτέρους. Consentiunt Eustathius, Hesychius, Suidas, *Etymologici magni* auctor.

(3) *Τὰ δυσχερῆ*. In libello sententiarum comicarum hoc ita disticho exprimitur ab H. Stephano :

Tu nuptiarum tædia et molestias
Scis intueri, non tueris commoda. Collect.

(4) *Παῖδες*. Versus illi sic disponentur melius :

Παῖδές δέ γ' ἀνδρὶ ὑπ' αἶαν ὄντι κληδόνες
Γεγᾶσι, φελλοὶ δ' ὣς ἄγουσι δίκτυον,
Τὸν ἐκ βυθοῦ κλωστῆρα σώζοντες λίνῳ.

Sed notandum legi eos, ut H. observavit, non apud Sophoclem, sed apud Æschylum in *Choephoris*, p. 247, hoc modo :

Παῖδες γὰρ ἀνδρὶ κληδόνες σωτήριοι
Θανόντι· φελλοὶ δ' ὣς ἄγουσι δίκτυον,
Τὸν ἐκ βυθοῦ κλωστῆρα σώζοντες λίνον.

D Sylburg. — Quos versus sic vertit Grotius in *Excerpt. e Trag.* p. 34 :

Nomen superstes mortuis sunt liberi,
Velutque suber, rete quo defenditur,
Submersa plane fila ne in fundum ruant.

Hi porro in Æschyli *Choephoris* occurrunt v. 503. Quo loco Stanleius nostras hoc modo eos correxit :

Παῖδες γὰρ ἀνδρὶ κατθανόντι κληδόνες
Γεγᾶσι· φελλοὶ δ' ὣς ἄγουσι δίκτυον,
Τὸν ἐκ βυθοῦ κλωστῆρα σώζοντες λίνου.

« Nec, inquit, est necesse, ut Clementem memoria lapsum suspicemur pro Æschylo Sophoclem substituisse. Notum est enim, Clemente ipso indicante, tragicos a se invicem multa suffuratos, vocibus leviuscule, imo quandoque nihil, immutatis, notionibus vero et imaginibus eisdem prorsus conservatis. » Eadem dicit Gatakerus etiam nostras in *Cinno* pag. 391.

(5) *Λακώνων νομ.* De Laconica lege meminit et Plutarchus *Lycurgo* pag. 15. H. Sylburg. — Joannes Meursius *Miscellan. Lacon.* lib. II, cap. 3, hæc sic vertit et exp. : « *Laconum legislator, non duntaxat cœlibatus pœnam statuit, sed et unici matrimonii, item seri, tum et vitæ solitariæ.* Ubi μονοδιαιτησίαν, *vitam solitariam*, non aliam dicit, quam C viduitatem post exactum matrimonium. » Pollux lib. III, cap. 3, sect. 5 : Ἦσαν δὲ ἀγαμίας δίκαι πολλαχοῦ, καὶ ὀψιγαμίου, καὶ κακογαμίου ἐν Λακεδαίμονι. *Erant vero cœlibatus actiones multis locis : etiam seri matrimonii, atque mali, Lacedæmone.* Plura hac de re videsis apud Meursium loco jam dicto, et Nic. Cragium *De republ. Lacedæm.* lib. III, cap. 1 et seq.

(6) *Μονογαμίου.* Nic. Cragius *De repub. Lacedæm.* lib. III, principio cap. 10, hæc dicit : « Quod Spartanis non licuerit nisi unam habere uxorem, ex iis liquet, quæ sunt apud Herodot. lib. V. Nam cum retulisset historicus, quo pacto Anaxandrides priori uxori alteram superinduxisset, ait tandem, hoc Spartanum non fuisse. Verba ejus hæc sunt : Μετὰ δὲ, γυναῖκας ἔχων δύο, διξὰς ἱστίας οἴκεε, ποιέων οὐδαμὰ Σπαρτιατικά. Quod itaque apud Clementem est, fuisse apud Spartanos ἐπιτίμιον μονογαμίου, ejus loco existimo legendum κακογαμίου, ne magno D auctori theologus adversari videatur. Sicut et hæc tria conjunguntur apud Pollucem, ἀγαμίου, κακογαμίου, et ὀψιγαμίου. Idque eo magis, quia apud Clementem additur etiam ἐπιτίμιον fuisse μονοδιαιτησίας, qua vetita vita solitaria. Nisi forte illud velimus intelligere, pœnam constitutam ei qui, mortua priore uxore, alteram non duxisset. Sed prior sententia probabilior.

(7) *Πλάτων.* Plato, *De legibus* lib. VI, p. 870 : Ἂν δ' ἄρα τις μὴ πείθηται ἑκὼν, ἀλλότριον δὲ αὑτὸν καὶ ἀκοινώνητον ἐν τῇ πόλει ἔχῃ, καὶ ἄγαμος ὢν γένηται πεντεκαιτριακοντούτης, ζημιούσθω κατ' ἐνιαυτὸν ἕκαστον· ὁ μέγιστον μὲν τίμημα κεκτημένος ἑκατὸν δραχμαῖς· ὁ δὲ δεύτερον ἑβδομήκοντα· τρίτον δὲ ἑξήκοντα· ὁ δὲ τέταρτον τριάκοντα. Τοῦτο δ' ἔστω τῆς Ἥρας ἱερόν. Ὁ δὲ μὴ ἐκτίνων κατ' ἐνιαυτὸν δεκαπλάσιον ὀφειλέτω. Πραττέσθω δὲ ὁ ταμίας τῆς θεοῦ· μὴ ἐκπράξας δὲ, αὐτὸς ὀφειλέτω. *Si quis autem sponte non pareat, et alienus ab hoc consortio*

ποιήσουσιν, καὶ καταλύσουσι τάς τε πόλεις, καὶ τὸν A κόσμον τὸν ἐκ τούτων· τὸ δὲ τοιοῦτον ἀσεβὲς, θείαν γένεσιν καταλυόντων· ἤδη δὲ ἄνανδρον καὶ ἀσθενὲς (8), τὴν μετὰ γυναικὸς καὶ τέκνων φεύγειν συμβίωσιν· οὗ γὰρ ἡ ἀποβολὴ κακόν ἐστι, τούτου πάντως ἡ κτῆσις ἀγαθόν· ἔχει δ' οὕτω καὶ ἐπὶ τῶν λοιπῶν. Ἀλλὰ μὴν ἡ τῶν τέκνων ἀποβολὴ τῶν ἀνωτάτω κακῶν ἐστι, φασίν· ἡ οὖν τῶν τέκνων κτῆσις ἀγαθόν· εἰ δὲ τοῦτο, καὶ ὁ γάμος.

beros non susceperint, quatenus in iis quidem situm est, hominum raritatem invehent, et civitates dissolvent, et, qui ex eis constat, mundum. Hi autem impie agunt, ut qui divinitus institutam generationem destruant. Quinetiam ignavi est et imbecilli animi, fugere conjunctionem vitæ et consuetudinem cum uxore et liberis. Cujus enim est amissio malum, ejus omnino possessio bonum est; ita autem se habet etiam in reliquis. Atqui liberorum amissio, inquiunt, est ex supremis malis; liberorum ergo possessio, bonum est; quod si ita est, etiam matrimonium.

Ἄνευ δὲ πατρὸς, φησὶ, *τέκνον οὐκ εἴη ποτ' ἄν·*
Ἄνευ δὲ μητρὸς οὐδὲ συλλαβὴ τέκνου·
Πατέρα δὲ γάμος (9) *ποιεῖ, ὡς μητέρα ἀνήρ.*

Namque absque patre liberos nemo tulit;
Nec absque matre filii conceptio;
Patrem autem nuptiæ efficiunt, ut vir matrem.

Εὐχὴν οὖν μεγίστην καὶ Ὅμηρος τίθεται, *ἄνδρα τε* B *καὶ οἶκον*, ἀλλ' οὐχ ἁπλῶς, μετὰ ὁμοφροσύνης (10) δὲ τῆς ἐσθλῆς. Ὁ μὲν γὰρ τῶν ἄλλων γάμος ἐφ' ἡδυπαθείᾳ ὁμονοεῖ, ὁ δὲ τῶν φιλοσοφούντων ἐπὶ τὴν κατὰ Λόγον ὁμόνοιαν ἄγει, ὁ μὴ τὸ εἶδος (11), ἀλλὰ τὸ ἦθος ἐπιτρέπων ταῖς γυναιξὶ κοσμεῖσθαι, μηδ' ὡς ἐρωμέναις χρῆσθαι ταῖς γαμεταῖς προστάττων τοῖς ἀνδράσι, σκοπὸν πεποιημένοις τὴν τῶν σωμάτων ὕβριν· ἀλλ' εἰς βοήθειαν παντὸς τοῦ βίου καὶ τὴν ἀρίστην σωφροσύνην περιποιεῖσθαι τὸν γάμον. Πυρῶν γὰρ, οἶμαι, καὶ κριθῶν τε αὖ κατὰ τοὺς οἰκείους καιροὺς καταβαλλομένων σπερμάτων, τιμιώτερός ἐστιν ὁ σπειρόμενος ἄνθρωπος, ᾧ πάντα φύεται· κἀκεῖνά γε καὶ νήφοντες καταβάλλουσι τὰ σπέρματα οἱ γεωργοί. Πᾶν οὖν, εἴ τι ῥυπαρὸν καὶ μεμολυσμένον ἐπιτήδευμα, ἀφαγνιστέον τοῦ γάμου, ὡς C μὴ ὀνειδισθείημεν τὴν τῶν ἀλόγων ζώων σύνοδον, τῆς ἀνθρωπίνης συζυγίας συνᾴδουσαν τῇ φύσει μᾶλλον, κατὰ τὸν ὁμολογούμενον θορονθορόν. Τὰ γοῦν ἔνια αὐτῶν, ᾧ κελεύεται καιρῷ, εὐθέως ἀπαλλάττεται, καταλιπόντα τὴν δημιουργίαν τῇ διοικήσει (12). Τοῖς τραγῳδοποιοῖς (13) δὲ ἡ Πολυξένη, καίτοι ἀποσφαττομένη ἀναγέγραπται, ἀλλὰ καὶ θνήσκουσα

Maximum itaque votum statuit Homerus, *virum et familiam*, sed non absolute, verum *cum bona consensione*. Nam aliorum quidem matrimonium in voluptate consentit et delectatione; eorum autem, qui philosophantur, matrimonium deducit ad eum, qui est secundum Logon seu rationem, consensum; qui non formam, sed mores permittit ornare mulieribus; præcipitque maritis, ne utantur uxoribus tanquam amicis, unum sibi proponentes scopum, ut corpori probrum afferant, sed ad totius vitæ auxilium, et optimam temperantiam, matrimonium usurpent. Frumenti enim et hordei, ut arbitror, seminibus, quæ convenientibus temporibus ✠ terræ committuntur, præstantior est qui matrimonio seminatur, homo, in cujus usum omnia a natura producuntur. Atque illa quidem semina agricolæ sobrii deponunt. Si quod sit ergo sordidum et spurcum studium, id est a matrimonio expurgandum, ne nobis probro dari possit, quod brutorum animantium congressus magis naturæ conveniat, quam humana conjunctio, in ipso calore Veneris. Nonnulla certe eorum, quo tempore jubentur, statim abstinent, relinquentia opificium Providentiæ.

✠ P. 506 ed. POTTER, 424 ED. PARIS.

vivat in civitate, et sine connubio quinque et triginta egerit annos, singulis annis, si de maximo censu est, drachmis centum mulctetur; si de secundo, septuaginta; si de tertio, sexaginta; si de quarto, triginta. Quæ quidem pecunia deæ Junoni consecranda est. Si quis autem singulis annis non persolverit, decuplum debeat. Cujus pecuniæ exactor sit deæ ipsius quæstor; ac nisi exegerit, ipse debeat. Ejusdem operis lib. IV, p. 835: Μὴ πειθόμενος δ' αὖ, μηδὲ γαμῶν, ἔτη τριάκοντα γεγονὼς καὶ πέντε, ζημιούσθω μὲν κατ' ἐνιαυτὸν τόσῳ καὶ τόσῳ. *Qui non paruerit, et quinque ac triginta annos natus uxorem non duxerit, tanta in annos singulos mulctetur pecunia*, etc.

(8) *Ἄνανδρον καὶ ἀσθ.* H. ms., καὶ ἄνανδρον καὶ ἀσθ. SYLBURG.

(9) *Πατέρα δέ γ.* Metrum talem potius lectionem postulat:

Πατέρα δὲ ποιεῖ τέκνα, μητέρ' ὡς ἀνήρ.

SYLBURG. Hic senarius mutilus est. Libet sic fulcire:

Πατέρα δὲ γάμος ἐμποιεῖ, ὡς μητέρα ἀνήρ.

Ut sit apostrophe comica ad alium, nisi quid docti contra. Fed. Morellus P. R. COLLECT. — Conf. Gatakeri *Advers.* cap. 10.

(10) *Μετὰ ὁμοφροσ.* Si hemistichium velis, legendum erit, μεθ' ὁμοφροσύνης δέ τε ἐσθλῆς· cui D affinis locus infra ex eodem fonte, p. 214. SYLBURG. Vide quæ adnotata sunt in p. 309. Cui simile illud Euripidis *Medeæ:*

Ἥπερ μεγίστη γίνεται σωτηρία,
Ὅταν γυνὴ πρὸς ἄνδρα μὴ διχοστατῇ.

Felicitatem quam supremam existimo,
Concors marito mulier ubi degit suo.

COLLECT.

(11) *Μὴ τὸ εἶδος.* Respicit I Tim. II, 9, vel II Pet. II, 3.

(12) *Τῇ διοικήσει.* Vox ista apud Clementem significat naturæ aut Providentiæ dispositionem aut administrationem. Vid. p. 434, 452. LOWTH.

(13) *Τοῖς τραγῳδ.* Conf. Euripid. *Hecuba*, et Philo p. 604. H. SYLBURG.

A tragicis autem scriptum est, Polyxenam, etsi interficeretur, moriendo tamen *magnam* adhibuisse *diligentiam, ut honeste caderet.*

Illa tegens, mares quæ haud licuit cernere.

Fuit autem illi quoque calamitas matrimonium. Succumbere itaque et cedere vitiis et animi perturbationibus, est extrema servitus : sicut ea certe vincere, sola est libertas. Divina itaque Scriptura eos, qui præcepta transilierunt, dicit esse *venundatos alienigenis*, hoc est, peccatis, quæ a natura sunt aliena, donec conversi agant pœnitentiam. Conservandum est ergo matrimonium, tanquam sacra aliqua statua, mundum ab iis, quæ polluunt : et a somnis quidem expergiscamur cum Domino, eamus autem dormitum cum gratiarum actione, et oremus,

Cum somno indulges, lux et cum fulserit alma,

tota nostra vita Dominum testantes ; pietatem quidem ac religionem anima possidentes, temperantiam autem etiam usque ad corpus deducentes. Deo enim revera gratum est, a lingua ad opera traducere moderationem. Ad impudentiam autem via est turpis sermo : et utriusque finis est turpium rerum perpetratio. Quod autem consulit Scriptura uxorem ducere, et nec a conjugio unquam permittit discedere, legem aperte constituit : *Non dimittes uxorem, præterquam propter fornicationem* [a]. Adulterium autem existimat conjungi matrimonio, dum vivit alter ex separatis. Suspicione autem et criminatione liberam reddit uxorem, ut non ornetur ac comatur plus, quam sit decorum, sed assidue attendat precibus et orationibus ; utque e domo sæpe non exeat, a sui autem aspectu, quoad fieri potest, excludat eos, qui ad eam non attinent, ducatque domus custodiam intempestivis nugis conducibiliorem. *Qui autem dimissam accipit uxorem, mœchatur*, inquit : ✠ *si quis* enim *dimiserit uxorem, mœchatur ipsam* [b], hoc est, cogit eam mœchari. Non solum autem qui dimisit, est ejus causa, sed etiam qui eam suscepit, præbens mulieri peccandi occasionem ; si enim non suscipiat, revertetur ad virum. Quid vero lex [c]? Ut reprimat ad vitia propensionem, jubet de medio tolli eam, quæ adulterata, et adulterii fuerit convicta ; sin autem fuerit e familia sacerdotis, jubet eam igni tradi [d]. Obruitur autem adulter quoque lapidibus, sed non in eodem loco, ne mors quidem sit eis communis. Nequaquam igitur lex cum Evangelio pugnat, sed ei consentit. Quidni enim, cum utrumque unus suppeditavit Dominus? Quæ enim est fornicata, vivit quidem peccato, sed mortua est

A ὅμως *πολλὴν πρόνοιαν* πεποιῆσθαι τοῦ *εὐσχημόνως πεσεῖν*,

Κρύπτουσ' (14), *ἃ κρύπτειν ὄμματ' ἀῤῥένων*
[ἐχρῆν.

Ἦν δὲ κἀκείνῃ γάμος ἡ συμφορά. Τὸ ὑποπεσεῖν οὖν καὶ παραχωρῆσαι τοῖς πάθεσιν ἐσχάτη δουλεία· ὥσπερ ἀμέλει τὸ κρατεῖν τούτων ἐλευθερία μόνη. Ἡ γοῦν θεία Γραφὴ τοὺς παραβάντας τὰς ἐντολὰς πεπρᾶσθαι λέγει τοῖς ἀλλογενέσι, τουτέστιν ἁμαρτίαις ἀνοικείαις τῇ φύσει, ἄχρις ἂν ἐπιστρέψαντες μετανοήσωσι. Καθαρὸν οὖν τὸν γάμον, ὥσπερ τι ἱερὸν ἄγαλμα, τῶν μιαινόντων φυλακτέον· ἀνεγειρομένοις μὲν ἐκ τῶν ὕπνων μετὰ Κυρίου, ἀπιοῦσι δὲ εἰς ὕπνον μετ' εὐ- B χαριστίας, καὶ εὐχομένοις,

Ἡμὲν ὅτ' εὐνάζῃ, καὶ ὅτ' ἂν φάος ἱερὸν ἔλθῃ,

μαρτυρουμένοις τὸν Κύριον παρ' ὅλον ἡμῶν τὸν βίον· τὸ μὲν θεοσεβεῖν τῇ ψυχῇ κεκτημένοις, τὸ σώφρον δὲ μέχρι καὶ τοῦ σώματος ἄγουσιν. Θεοφιλὲς γὰρ τῷ ὄντι ἀπὸ τῆς γλώττης ἐπὶ τὰ ἔργα τὸ κόσμιον διαχειραγωγεῖν· ὁδὸς δὲ ἐφ' ἀναισχυντίαν ἡ αἰσχρολογία· καὶ τέλος ἀμφοῖν ἡ αἰσχρολογία (15). Ὅτι δὲ γαμεῖν ἡ Γραφὴ συμβουλεύει οὐδὲ ἀφίστασθαί ποτε τῆς συζυγίας ἐπιτρέπει, ἄντικρυς νομοθετεῖ· *Οὐκ ἀπολύσεις γυναῖκα, πλὴν εἰ μὴ ἐπὶ λόγῳ πορνείας*· μοιχείαν δὲ ἡγεῖται τὸ ἐπιγῆμαι ζῶντος θατέρου τῶν κεχωρισμένων. Ἀνύποπτον δὲ εἰς διαβολὴν δείκνυσι γυναῖκα (16) τὸ μὴ καλλωπίζεσθαι, C μηδὲ μὴν κοσμεῖσθαι πέρα τοῦ πρέποντος, εὐχαῖς (17) καὶ δεήσεσι προσανέχουσαν ἐκτενῶς· τὰς μὲν ἐξόδους τῆς οἰκίας φυλαττομένην τὰς πολλὰς, ἀποκλείουσαν δ' ὡς οἷόν θ' ἑαυτὴν τῆς πρὸς τοὺς οὐ προσήκοντας προσόψεως, προὐργιαίτερον τιθεμένην τῆς ἀκαίρου φλυαρίας τὴν οἰκουρίαν. *Ὁ δὲ ἀπολελυμένην λαμβάνων γυναῖκα μοιχᾶται*, φησίν· *ἐὰν γάρ τις ἀπολύσῃ γυναῖκα, μοιχᾶται αὐτὴν*, τουτέστιν, ἀναγκάζει μοιχευθῆναι. Οὐ μόνον δὲ ὁ ἀπολύσας αἴτιος γίνεται τούτου, ἀλλὰ καὶ ὁ παραδεξάμενος αὐτὴν, ἀφορμὴν παρέχων τοῦ ἁμαρτῆσαι τῇ γυναικί· εἰ γὰρ μὴ δέχοιτο, ἀνακάμψει πρὸς τὸν ἄνδρα. Τί οὖν ὁ νόμος; Πρὸς ἀναστολὴν τῆς εὐεπιφορίας τῶν παθῶν ἀναιρεῖσθαι προστάττει τὴν μοι- D χευθεῖσαν, καὶ ἐπὶ τούτῳ ἐλεγχθεῖσαν· ἐὰν δὲ ἱέρεια ᾖ, πυρὶ παραδίδοσθαι προστάττει. Λιθοβολεῖται δὲ καὶ ὁ μοιχός· ἀλλ' οὐκ ἐν τῷ αὐτῷ τόπῳ, ἵνα μηδὲ ὁ θάνατος αὐτοῖς κοινὸν ᾖ. Οὐ δὴ μάχεται τῷ Εὐαγγελίῳ ὁ νόμος· συνᾴδει δὲ αὐτῷ. Πῶς γὰρ οὐχὶ, ἑνὸς ὄντος ἀμφοῖν χορηγοῦ τοῦ Κυρίου; Ἡ γάρ τοι πορνεύσασα ζῇ μὲν τῇ ἁμαρτίᾳ, ἀπέθανε δὲ ταῖς ἐντο-

✠ P. 507 ED. POTTER 424-425 ED. PARIS. [a] Matth. v, 32, xix, 9; Marc, x, 11, 12; Luc. xvi, 18. [b] Ibid. [c] Levit. xx, 10; Deut. xxii, 22. [d] Levit. xxix, 9.

(14) *Κρύπτουσ'*. Euripides *Hecub.* v. 569-570 :
Πολλὴν πρόνοιαν εἶχεν εὐσχήμως πεσεῖν,
Κρύπτουσ' ἃ κρύπτειν ὄμματ' ἀρσένων χρεών.
Magnam sollicitudinem habuit, decenter ut caderet,
Et occultaret, quæ occultare oculos virorum con-
[venit.

(15) *Αἰσχρολογία*. Sensus requirit αἰσχρουργία, vel contracte αἰσχρουργία· quod vidit etiam interpres. SYLBURG.

(16) *Γυναῖκα*. Respicere videtur I Tim. ii, 9, 10.

(58) *Ἀκόλουθον γὰρ εἶναί φασι τὴν πρᾶξιν ταύτην ἐκείνῃ τῇ φωνῇ, τῇ, ὅτι παραχρήσασθαι τῇ σαρκὶ δεῖ*. Atque ita quoque habet Eusebius, nisi quod legit παραχρᾶσθαι. Rufinus : « Ex qua occasione isti consequens putaverunt, ut secundum hoc factum vel dictum Nicolai unusquisque carne sua, in quod delectaret, abuteretur. » Christophors. : « Atque illi dicto, carne nempe abuti oportere, hæretici hoc ipsorum factum congruere asseverant. » Atque ita relinquunt dubium interpretes, cujusnam sit dictum illud : « Carne abuti oportere, » Nicolai, an hæreticorum; et quodnam factum intelligant, Nicolai uxorem publicantis, an Nicolaitarum, qui communes habebant uxores. Illius tamen utrumque intelligere se videtur innuere, cum ait hæreticos ejus factum et dictum temere et inconsiderate sequi. Et quod est apud Nicephori interpretem lib. III, c. 15, quicunque vellet ducere eam jussit, eique facto congruens adjecit dictum, « abutendum esse carne, » inquiens. COLLECT.

sequentes, qui ejus hæresim persequuntur, impudenter effuseque fornicantur. Ego autem audio Nicolaum quidem nulla unquam alia, quam ea, quæ ei nupserat, uxore usum esse; et ex illius liberis, filias quidem consenuisse virgines, filium autem permansisse incorruptum. Quæ cum ita se habeant, vitii erat depulsio atque expurgatio, in medium apostolorum circumactio uxoris, cujus dicebatur laborare zelotypia: et continentia a voluptatibus, quæ magno studio parari solent, docebat illud, « abuti carne, » hoc est, exercere carnem. Neque enim, ut existimo, volebant, convenienter Domini præcepto, « duobus dominis servire [a], » voluptati et Deo. Dicunt itaque Matthiam quoque sic docuisse: « Cum carne quidem pugnare, et ea uti, nihil ei impudicum largiendo ad voluptatem; augere autem animam per fidem et cognitionem. » Sunt autem, qui etiam publicam venerem pronuntiant mysticam communionem; et sic ipsum nomen contumelia afficiunt. Sicut enim operari eum dicimus, tum qui malum aliquod facit, tum etiam qui bonum, idem nomen utrique tribuentes; haud aliter « communio » usurpari solet; nam bona quidem est in communicatione tum pecuniæ, tum nutrimenti et vestitus: illi autem quamlibet veneream

A ἁπλῶς καὶ ἀβασανίστως, ἐκπορνεύουσιν ἀναίδην (59) οἱ τὴν αἵρεσιν αὐτοῦ μετιόντες. Πυνθάνομαι δ' ἔγωγε τὸν Νικόλαον μηδεμιᾷ ἑτέρᾳ παρ' ἣν ἔγημεν, κεχρῆσθαι γυναικί· τῶν τ' ἐκείνου (60) τέκνων θηλείας μὲν καταγηρᾶσαι παρθένους, ἄφθορον (61) δὲ διαμεῖναι τὸν υἱόν. Ὧν οὕτως ἐχόντων, ἀποβολὴ πάθους ἦν, εἰς μέσον τῶν ἀποστόλων (62) ἡ τῆς ζηλοτυπουμένης ἐκκύκλησις γυναικός· καὶ ἡ ἐγκράτεια τῶν περισπουδάστων ἡδονῶν, τὸ « παραχρῆσθαι (63) τῇ σαρκὶ » ἐδίδασκεν. Οὐ γὰρ, οἶμαι, ἐβούλοντο (64), κατὰ τὴν τοῦ Σωτῆρος ἐντολὴν, « δυσὶ κυρίοις δουλεύειν, » ἡδονῇ καὶ Θεῷ (65). Λέγουσι γοῦν καὶ τὸν Ματθίαν οὕτω διδάξαι. « Σαρκὶ μὲν μάχεσθαι καὶ παραχρῆσθαι (66), μηθὲν αὐτῇ πρὸς ἡδονὴν ἀκόλαστον (67) ἐνδιδόντα· ψυχὴν δὲ B αὔξειν διὰ πίστεως καὶ γνώσεως (68). Εἰσὶν δ' οἳ (69) τὴν πάνδημον Ἀφροδίτην κοινωνίαν μυστικὴν ἀναγορεύουσιν, ἐνυβρίζοντες καὶ τῷ ὀνόματι (70)· λέγεται γὰρ καὶ τὸ ποιεῖν τι κακὸν ἐργάζεσθαι, ὥσπερ ἂν καὶ τὸ ἀγαθόν τι, ὁμωνύμως ἐργάζεσθαι· ὁμοίως δὲ καὶ « ἡ κοινωνία· » ἀγαθὸν δὲ καὶ ἐν μεταδόσει ἀργύριον (71), καὶ τροφῆς, καὶ στολῆς· οἱ δὲ καὶ τὴν ὁποιανδηποτοῦν ἀφροδισίων συμπλοκὴν κοινωνίαν ἀσεβῶς κεκλήκασιν. Φασὶ γοῦν τινα αὐτῶν, ἡμετέρᾳ παρθένῳ, ὡραίᾳ τὴν ὄψιν, προσελ-

[a] Matth. VI, 24; Luc. XVI, 13.

(59) *Ἐκπορνεύουσιν ἀναίδην*. Eusebius, ἀναίδην ἐκπορνεύουσιν, inverso ordine.

(60) *Τῶν τ' ἐκ.* Τῶν τε ἐκείνου τέκνων τὰς μὲν θηλ. Eus. elegantius.

(61) *Ἄφθορον*. Theodoretus ἤϊθεον explicat. Est autem ἤϊθεος, secundum Hesychium, ἄγαμος, « cælebs. » C

(62) *Εἰς μέσον τῶν ἀπ.* Ἡ εἰς μέσον τῶν ἀποστόλων τῆς ζηλοτυπουμένης ἐκ. Euseb.

(63) *Παραχρῆσθαι*. Illa verba, « hoc est exercere carnem, » adjecit Hervetus: nam Græce tantum est, ἡ ἐγκράτεια τῶν περισπουδάστων ἡδονῶν τὸ παραχρῆσθαι τῇ σαρκὶ ἐδίδασκεν. Rufinus: « Quo per hoc continentem se ostenderet ejus rei, quam nimio putabatur expetere, contemnendam magis quam expetendam carnis edocens voluptatem. » Christophors.: « Quinetiam ejus continentia in voluptatum depulsione, ad quas conquirendas plerique nimio studio incitabantur, perspicue docebat, carne abuti oportere, quo ejus refrenetur libido. Non enim, credo, secundum Domini mandatum duobus dominis inservire voluit. » Atque hanc interpretationem substituere potes in locum illorum Herveti, « et continentia a voluptatibus, » usque ad, « Dicunt itaque. » Nam quod apud Clementem est, οὐ γὰρ, οἶμαι, ἐβούλοντο, corrigendum est ex Eusebio ἐβούλετο. Porro quod dixit Clemens, filium Nicolai « permansisse incorruptum, ἄφθορον διαμεῖναι, Nicephorus ἐν ἀφθορίᾳ dicit; et ejus interpres, « in incorrupto cælibatu permansisse. » Theodoretus Nicolaum ait, τὰ τέκνα τὴν ὑπὲρ φύσιν ἁγνείαν ἐκπαιδεῦσαι, καὶ τὸν μὲν υἱὸν ἤϊθεον διαμεῖναι, « liberos suos supernaturalem castitatem docuisse, et filium quidem cælibem permansisse. » Rufinus quoque: « Filius autem castitatem incorrupti corporis custodivit, » melius quam Christoph.: « Filium vitam puram et nulla labis contagione aspersam traduxisse. » Potest enim et labe carere torus immaculatus conjugii. Clemens ergo Nicolaum ait suam uxorem vulgantem, id fecisse οὐ νομοθετοῦντα, ut ait Theodoretus, « non jubentem, » sed ut accusatores redargueret; hæreticos autem immerito, ut ait Augustinus, factum ejus in sectam turpissimam vertisse, qua placet usus indifferens feminarum, nam ei sceleri et vita et dicta ejus adversabantur. COLLECT. — Παραχρᾶσθαι iterum Euseb.

(64) *Ὁ ἐβούλοντο*. Euseb. rectius ἐβούλετο, sing. numero: de Nicolao enim loquitur.

(65) *Θεῷ*. Κυρίῳ Euseb.

C (66) *Παραχρῆσθαι*. Παραχρᾶσθαι iterum Euseb. Dein, μηδέν pro μηθέν.

(67) *Ἀκόλαστον*. Abest ab Euseb.

(68) *Γνώσεως*. Hactenus Clementis verba recitavit Euseb.

(69) *Εἰσὶν δ' οἱ*. Hoc sectatoribus Prodici tribuit Theodoretus lib. I *De hæretic. fab.*, ubi et hæc Clementis verba citat, itemque illa p. 457: « Omnium hominum infelicissimi, » etc. COLLECT. — Theodoretus *Hæret. fab.* lib. I, cap. 6, p. 197. Prodici, Adamitarum sectæ auctoris, erroribus enumeratis, hæc adjicit: Καὶ τούτου δὴ μάρτυρα τὸν Στρωματέα παρέξομαι Κλήμεντα, ἱερὸν ἄνδρα, καὶ πολυπειρίᾳ ἅπαντας ἀπολιπόντα. Λέγει δ' οὕτως ἐν τῷ τρίτῳ τῶν *Στρωματέων*. « Cujus rei testem Stromateum Clementem producam, virum sanctum, et qui abundantia doctrinæ omnibus antecelluit. Sic autem loquitur in tertio Stromatum. » Tum sequuntur Clementis verba usque ad ὀνόματι. Porro D εἰσὶ δέ pro εἰσὶν δ' habet Theodor. Dein ὀνομάζουσι pro ἀναγορεύουσι.

(70) *Ἐνυβρίζοντες καὶ τῷ ὀνόματι*. Hæc vetus Clementis interpres omisit; Theodoreti autem interpres sic vertit: « Vel ipso nomine contumeliosi. » Sensus est, quem Latine expressimus. Ὄνομα autem respicit nomen Christianum, cui contumeliæ notam ab impuris istis hæreticis inuri putavit auctor: quemadmodum paulo superius, p. 428, edit. Paris. de similibus dicit: Ἐξ ὧν ἡ μεγίστη κατὰ τοῦ ὀνόματος ἐῤῥύη βλασφημία. « A quibus in » Christianum « nomen manavit maximum dedecus. » Vel potius respicit κοινωνίαν, quam vocem, cum ea mysticam Christi ejusque membrorum « conjunctionem » significaret, ad turpes et nefarios « concubitus » applicabant hæretici. Cui sensui favent quæ sequuntur.

(71) *Ἀργύριον*. Scribendum esse ἀργυρίου, vidit interpres.

θόντα φάναι· Γέγραπται, « Παντὶ τῷ αἰτοῦντί σε δίδου· » τὴν δὲ σεμνῶς πάνυ ἀποκρίνασθαι, μὴ συνεῖσαν τὴν τἀνθρώπου ἀσέλγειαν· Ἀλλὰ περὶ γάμου τῇ μητρὶ διαλέγου. Ὢ τῆς ἀθεότητος! καὶ τῶν τοῦ Κυρίου φωνῶν διαψεύδονται οἱ τῆς ἀσελγείας κοινωνοὶ, οἱ τῆς λαγνείας ἀδελφοὶ, ὄνειδος οὐ φιλοσοφίας μόνον, ἀλλὰ καὶ παντὸς τοῦ βίου· οἱ παραχαράσσοντες τὴν ἀλήθειαν, μᾶλλον δὲ κατασκάπτοντες, ὡς οἷόν τε αὐτοῖς· οἵ γε τρισάθλιοι (72) τήν τε σαρκίνην κατὰ τὴν συνουσιαστικὴν κοινωνίαν (73) ἱεροφαντοῦσι, καὶ ταύτην οἴονται εἰς τὴν βασιλείαν αὐτοὺς ἀνάγειν τοῦ Θεοῦ (74). Εἰς τὰ χαμαιτυπεῖα μὲν οὖν ἡ τοιάδε εἰσάγει κοινωνία· καὶ δὴ συμμέτοχοι εἶεν αὐτοῖς οἱ σύες καὶ οἱ τράγοι· εἶεν δ' ἂν ἐν ταῖς μείζοσι παρ' αὐτοῖς ἐλπίσιν αἱ προεστῶσαι τοῦ τέγους πόρναι, ἀναίδην εἰσδεχόμεναι (75) τοὺς βουλομένους ἅπαντας. « Ὑμεῖς δὲ οὐχ οὕτως ἐμάθετε τὸν Χριστὸν, εἴ γε αὐτὸν ἠκούσατε, καὶ ἐν αὐτῷ ἐδιδάχθητε, καθώς ἐστιν ἀλήθεια ἐν Χριστῷ Ἰησοῦ (76), ἀποθέσθαι ὑμᾶς τὰ (77) κατὰ τὴν προτέραν ἀναστροφὴν, τὸν παλαιὸν ἄνθρωπον, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης· ἀνανεοῦσθαι δὲ τῷ πνεύματι τοῦ νοὸς ὑμῶν, καὶ ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον, τὸν κατὰ Θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας, » κατὰ τὴν ἐξομοίωσιν τοῦ Θείου (78). « Γίνεσθε οὖν μιμηταὶ τοῦ Θεοῦ, ὡς τέκνα ἀγαπητὰ, καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ὑμᾶς (79), καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ Θεῷ εἰς ὀσμὴν εὐωδίας. Πορνεία δὲ, καὶ πᾶσα ἀκαθαρσία, ἢ πλεονεξία, μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις, καὶ αἰσχρότης, καὶ μωρολογία· » καὶ γὰρ ἀπὸ τῆς φωνῆς ἁγνεύειν μελετᾶν διδάσκων ὁ Ἀπόστολος, γράφει· Τοῦτο γὰρ ἴστε γινώσκοντες (80), ὅτι πᾶς πόρνος, » καὶ τὰ ἑξῆς, ἕως, « Μᾶλλον δὲ καὶ ἐλέγχετε. » Ἐῤῥύη δὲ αὐτοῖς τὸ δόγμα ἔκ τινος ἀποκρύφου· καὶ δὴ παραθήσομαι τὴν λέξιν τὴν τῆς τούτων ἀσελγείας μητέρα· καὶ εἴτε αὐτοὶ τῆς βίβλου συγγραφεῖς, ὅρα τὴν ἀπόνοιαν, εἰ καὶ Θεοῦ διαψεύδονται δι' ἀκρασίαν· εἴτε ἄλλοις (81) περιτυχόντες, τὸ καλὸν τοῦτο ἐνόσησαν δόγμα (82), διεστραμμένως ἀκηκοότες. Ἔχει δὲ (83) οὕτω τὰ τῆς λέξεως· « Ἓν ἦν τὰ πάντα· ἐπεὶ δὲ ἔδοξεν αὐτοῦ τῇ ἑνότητι μὴ εἶναι μόνῃ, ἐξῆλθεν ἀπ' αὐτοῦ

A conjunctionem impie vocaverunt « communionem. » Dicunt itaque ex iis quemdam, cum ad nostram virginem vultu formosam accessisset, dixisse : Scriptum est : « Da omni te petenti [a] : » illam autem honeste admodum respondisse, ut quæ non intelligeret hominis petulantiam : At tu matrem ✠ conveni de matrimonio. O impietatem! etiam voces Domini ementiuntur isti intemperantiæ communicatores, fratresque libidinis, non solum probrum philosophiæ, sed etiam totius vitæ; qui veritatem, quantum in eis situm est, adulterant ac corrumpunt, vel potius defodiunt; homines infelicissimi carnalem concubitus communionem consecrant, et hanc ipsos putant ad regnum Dei perducere. Ad lupanaria ergo deducit hæc communio, et cum eis B communicaverint sues et hirci, maximaque apud illos in spe fuerint meretrices, quæ in prostibulis præsto sunt, et volentes omnes admittunt. « Vos autem non sic Christum didicistis, siquidem ipsum audiistis, et in eo docti estis, quemadmodum est veritas **188** in Christo Jesu, ut deponatis quæ sunt secundum veterem conversationem, veterem hominem, qui corrumpitur secundum desideria deceptionis. Renovamini autem spiritu mentis vestræ, et induatis novum hominem, qui creatus est secundum Deum in justitia et sanctitate veritatis [b], » ad Dei similitudinem. « Efficimini ergo Dei imitatores, ut filii dilecti, et ambulate in dilectione, sicut Christus quoque dilexit nos, et tradidit seipsum pro C nobis oblationem et hostiam Deo in odorem suavitatis. Fornicatio autem, et omnis immunditia, vel avaritia, ne nominetur quidem in vobis, sicut decet sanctos, et turpitudo, et stultiloquium [c]. » Etenim docens Apostolus meditari vel ipsa voce esse castos, scribit : « Hoc enim scitote, quod omnis fornicator, » et cætera, usque ad illud : « Magis autem arguite [d]. » Effluxit autem eis dogma ex quodam apocrypho libro. Atque adeo afferam dictionem, quæ mater eorum intemperantiæ et origo est : et sive ipsi hujus libri scriptores se fateantur, en eorum vecordiam, licet Deo eum falso ascribant libidinis intemperantia ducti : sive ab aliis, eos perverse audientes, hoc præclarum dogma acceperint, sic porro se habent ejus verba : « Unum erant omnia :

✠ P. 524 ED. POTTER, 437-438 ED. PARIS.

[a] Matth. v, 42; Luc. vi, 30. [b] Ephes. iv, 20-24. [c] Ephes. v, 1-4. [d] Ibid. 5-11.

(72) *Οἵ γε τρισάθ.* Hanc pericopen, usque ad hæc verba βουλομένους ἅπαντας, recitavit Theodoretus *Hæret. fabul.* lib. I, cap. 6. Porro οἱ γάρ pro οἵ γε habet ille.

(73) *Τήν τε σαρκίνην κατὰ τὴν συνουσιαστικὴν κ.* Haud scio an verius, τήν τε σαρκίνην καὶ τὴν συνουσιαστικὴν κ. SYLBURG. — Recte : sic enim hunc locum exhibet Theodoretus, τὴν σαρκικὴν καὶ τὴν συνουσ. κ.

(74) *Τοῦ Θεοῦ.* Τοῦ Χριστοῦ Theodoret.

(75) *Εἰσδεχόμεναι.* Ἐκδεχόμεναι, Theodoret.

(76) *Χριστῷ Ἰησοῦ.* Τῷ Ἰησοῦ, Ephes.

(77) *Τά.* Abest a vulg., Ephes.

(78) *Κατὰ τὴν ἐξομοίωσιν τοῦ Θείου.* Commation illud abest a vulg. Bibl. Ephes., inquit Sylburg. Est autem a Clemente additum, ut Apostoli D verba accommodaret ad ea quæ de divina similitudine paulo superius dixerat.

(79) *Ὑμᾶς.* Ἡμᾶς, Ephes.

(80) *Ἴστε γινώσκ.* Ἐστὲ γινώσκ. Ephes.

(81) *Ἄλλοις.* Forte convenientius ἄλλως, adverb. SYLBURG.

(82) *Τοῦτο ἐνόσησαν δόγμα.* Scribi possit ἐνόησαν, « excogitarunt. » Quamvis νοσεῖν etiam ad animum transferri solet. Hinc Chrysostomus in I Cor. xv : Ἄξιον δὲ ἀκοῦσαι, τί ἐνταῦθα λέγουσιν οἱ τὰ Μανιχαίων νοσοῦντες. « Operæ pretium fuerit audire, quid dicant, qui Manichæorum hæresi laborant. »

(83) *Δέ.* Vel δή, ut paulo superius, καὶ δὴ παραθήσομαι.

postquam autem ejus unitati visum est non esse solam, exiit ab eo inspiratio, et cum ea iniit communionem, et fecit dilectum. Exhinc autem egressa est ab ipso inspiratio, cum qua cum communionem iniisset, fecit potestates, quæ nec possunt videri nec audiri, » usque ad illud, « unamquamque in nomine proprio. » Si enim hi quoque, sicut Valentiniani, spiritales posuissent ✠ communiones, suscepisset forte aliquis eorum opinionem: carnalis autem libidinis communionem ad sanctam inducere prophetiam, est ejus qui desperat salutem. Talia etiam statuunt Prodici quoque asseclæ, qui seipsos falso nomine vocant Gnosticos: seipsos quidem dicentes esse natura filios primi Dei; ea vero nobilitate et libertate abutentes, vivunt ut volunt; volunt autem libidinose; se nulla re teneri arbitrati, ut « domini sabbati, » et qui sint quovis genere superiores, filii regales. Regi autem, inquiunt, lex scripta non est. Primum quidem, quod non faciant omnia quæ volunt: multa enim eos prohibebunt, etsi cupiant et conentur. Quinetiam quæ faciunt, non faciunt ut reges, sed ut mastigiæ: clanculum enim committunt adulteria, timentes ne deprehendantur, et vitantes ne condemnentur, et metuentes ne supplicio afficiantur. Quomodo etiam res est libera, intemperantia et turpis sermo? « Omnis enim, qui peccat, est servus, » inquit Apostolus [a]. Sed quomodo vitam ex Deo instituit, qui seipsum præbuit deditilium cuivis concupiscentiæ? cum dixerit Dominus: « Ego autem dico: Ne concupiscas [b]. » Vultne autem aliquis sua sponte peccare, et decernere adulteria esse committenda, voluptatibusque et deliciis se explendum, et aliorum violanda matrimonia, cum aliorum etiam, qui inviti peccant, misereamur? Quod si in externum mundum venerint, qui in alieno non fuerint fideles, verum non habebunt. Afficit autem hospes aliquis cives contumelia, et eis injuriam facit; et non potius ut peregrinus, utens necessariis, vivit, cives non offendens? Quomodo autem, cum eadem faciant, ac ii, quos gentes odio habent, quod legibus obtemperare nolint, nempe iniqui, et incontinentes, et avari, et adulteri, dicunt se solos Deum nosse? Oporteret enim eos, cum in alienis adsunt, recte vivere, ut revera regiam

A ἐπίπνοια, καὶ ἐκοινώνησεν αὐτῇ, καὶ ἐποίησε τὸν ἀγαπητόν. Ἐκ δὲ τούτου ἐξῆλθεν ἀπ' αὐτοῦ ἐπίπνοια, ᾗ κοινωνήσας ἐποίησε δυνάμεις, μήτε ὁραθῆναι, μήτε ἀκουσθῆναι δυναμένας, » ἕως, « ἐπ' ὀνόματος ἰδίου ἑκάστην. » Εἰ γὰρ καὶ οὗτοι, καθάπερ οἱ ἀπὸ Οὐαλεντίνου, πνευματικὰς ἐτίθεντο κοινωνίας, ἴσως τις αὐτῶν τὴν ὑπόληψιν ἐπεδέξατο· σαρκικῆς δὲ ὕβρεως κοινωνίαν εἰς προφητείαν ἁγίαν ἀνάγειν ἀπεγνωκότος ἐστὶ τὴν σωτηρίαν. Τοιαῦτα (84) καὶ οἱ ἀπὸ Προδίκου, ψευδωνύμως Γνωστικοὺς (85) σφᾶς αὐτοὺς ἀναγορεύοντες, δογματίζουσιν· υἱοὺς μὲν φύσει τοῦ πρώτου Θεοῦ λέγοντες αὐτοὺς, καταχρώμενοι δὲ τῇ εὐγενείᾳ καὶ τῇ ἐλευθερίᾳ, ζῶσιν ὡς βούλονται· βούλονται δὲ φιληδόνως· κρατηθῆναι ὑπ' οὐδενὸς νενομικότες, ὡς ἂν « κύριοι τοῦ σαββάτου (86), καὶ ὑπεράνω παντὸς B γένους πεφυκότες, βασίλειοι παῖδες· βασιλεῖ δὲ, φασὶ, νόμος ἄγραφος. Πρῶτον (87) μὲν, ὅτι οὐ ποιοῦσιν ἃ βούλονται πάντα· πολλὰ γὰρ αὐτοὺς κωλύσει καὶ ἐπιθυμοῦντας καὶ πειρωμένους· καὶ ἃ ποιοῦσι δὲ, οὐχ ὡς βασιλεῖς, ἀλλ' ὡς μαστιγίαι ποιοῦσι· λάθρα γὰρ μοιχεύουσιν, τὸ ἁλῶναι δεδιότες, καὶ τὸ καταγνωσθῆναι ἐκκλίνοντες, καὶ φοβούμενοι κολασθῆναι (88). Πῶς δὲ ἐλεύθερον ἡ ἀκρασία καὶ ἡ αἰσχρολογία; « Πᾶς (89) γὰρ, « φησὶν (90), « ὁ ἁμαρτάνων δοῦλός ἐστιν, » ὁ Ἀπόστολος λέγει. Ἀλλὰ πῶς κατὰ Θεὸν πολιτεύεται ὁ πάσῃ ἐπιθυμίᾳ ἔνδοτον ἑαυτὸν παρασχὼν, τοῦ Κυρίου φήσαντος, « Ἐγὼ δὲ λέγω, Μὴ ἐπιθυμήσῃς; » Ἑκὼν δέ τις ἁμαρτάνειν βούλεται, καὶ δόγμα τίθησι τὸ μοιχεύειν, καὶ καθηδυπαθεῖν, καὶ λυμαίνεσθαι τοὺς ἄλλων γάμους, C ὅπου γε καὶ τοὺς ἄλλους ἄκοντας ἁμαρτάνοντας ἐλεοῦμεν; Κἂν εἰς ξένον τὸν κόσμον ἀφιγμένοι ὦσι, πιστοὶ (91) ἐν τῷ ἀλλοτρίῳ μὴ γενόμενοι, τὸ ἀληθὲς οὐχ ἕξουσιν. Ὑβρίζει δέ τις ξένος πολίτας, καὶ τούτους ἀδικεῖ· οὐχὶ δὲ ὡς παρεπίδημος (92), τοῖς ἀναγκαίοις χρώμενος, ἀπρόσκοπος τοῖς πολίταις διαβιοῖ; Πῶς δὲ καὶ τοῖς ὑπὸ τῶν ἐθνῶν μεμισημένοις, διὰ τὸ μὴ πράσσειν τὰ ὑπὸ τῶν νόμων διηγορευμένα, τουτέστι τοῖς ἀδίκοις, καὶ ἀκρατέσι, καὶ πλεονέκταις, καὶ μοιχοῖς τὰ αὐτὰ πράσσοντες, Θεὸν ἐγνωκέναι μόνοι λέγουσιν; Ἐχρῆν γὰρ αὐτοὺς, καὶ ἐν τοῖς ἀλλοτρίοις παρόντας, καλῶς βιοῦν, ἵνα δὴ τῷ ὄντι τὸ βασιλικὸν ἐνδείξωνται. Ἤδη δὲ καὶ τοῖς ἀνθρωπίνοις νομοθέταις καὶ τῷ θείῳ νόμῳ ἀπεχθάνονται, D παρανόμως βιοῦν ἐπανῃρημένοι. Ὁ γοῦν « ἐκκεντη-

✠ P. 525 POTTER, 438-439 ED. PARIS. [a] Rom. VI, 16. [b] Matth. V, 28.

(84) *Τοιαῦτα... δογματίζουσιν*. Hoc commation Theodoretus in suum *Hæret. Fabul.* lib. I, cap. 1, p. 197 transtulit.

(85) *Ψευδωνύμως Γνωστικούς*. Sic *Strom.* VII, pag. 722: Τῶν ψευδωνύμων τούτων ἀνόσιος γνῶσις. Hinc Irenæus libros suos vocavit Ἔλεγχον καὶ ἀνατροπὴν τῆς ψευδωνύμου γνώσεως.

(86) *Κύριοι τοῦ σαββάτου*. Hic, et infra p. 442, respicit Matth. XII, 8: Κύριος γάρ ἐστι καὶ τοῦ σαββάτου ὁ Υἱὸς τοῦ ἀνθρώπου.

(87) *Πρῶτον*. Ante hanc vocem aliquid hujusmodi deesse videtur. Ψεύδονται δὲ ἐν τούτοις. « In his autem falluntur. »

(88) *Κολασθῆναι*. Fortasse rectius τὸ κολασθῆναι, cum articulo, ut in præcedentibus duobus membris. SYLBURG.

(89) *Πᾶς*. Non tam verba Apostoli, ut neque paulo post Christi, quam eorum sensum profert.

(90) *Φησίν*. Supervacua est hæc vox, ut quandoque alias.

(91) *Πιστοί*. Respicit Luc. XVI, 11, 12: Εἰ οὖν ἐν τῷ ἀδίκῳ μαμωνᾷ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ἀληθινὸν τίς ὑμῖν πιστεύσει; Καὶ εἰ ἐν τῷ ἀλλοτρίῳ πιστοὶ οὐκ ἐγένεσθε, τὸ ὑμέτερον τίς ὑμῖν δώσει;

(92) *Ὡς παρεπίδημος*. Respicere videtur I Petr. II, 11, 12.

σας (93) » τὸν πόρνον εὐλαβούμενος (94) πρὸς τοῦ Θεοῦ δείκνυται ἐν τοῖς « Ἀριθμοῖς. Καὶ ἐὰν εἴπωμεν, » φησὶν ὁ Ἰωάννης ἐν τῇ ἐπιστολῇ, « ὅτι κοινωνίαν ἔχομεν μετ' αὐτοῦ, » τουτέστι μετὰ τοῦ Θεοῦ, « καὶ ἐν τῷ σκότει περιπατῶμεν, ψευδόμεθα, καὶ οὐ ποιοῦμεν τὴν ἀλήθειαν· ἐὰν δὲ ἐν τῷ φωτὶ περιπατῶμεν, ὡς αὐτὸς ἐν τῷ φωτὶ (95), κοινωνίαν ἔχομεν μετ' αὐτοῦ, καὶ τὸ αἷμα Ἰησοῦ τοῦ υἱοῦ αὐτοῦ καθαρίζει ἡμᾶς ἀπὸ τῆς ἁμαρτίας. » Πόθεν οὖν κρείττους εἰσὶ τῶν κοσμικῶν οἱ τοιαῦτα πράσσοντες, καὶ τοῖς χειρίστοις τῶν κοσμικῶν ὅμοιοι; ὅμοιοι γάρ, οἶμαι, τὰς φύσεις οἱ καὶ τὰς πράξεις ὅμοιοι. Ὧν δὲ ὑπερφέρειν κατὰ τὴν εὐγένειαν ἀξιοῦσι, τούτων καὶ τοῖς ἤθεσιν ὑπερέχειν ὀφείλουσιν, ὅπως τὸν εἰς τὴν φυλακὴν (96) συγκλεισμὸν διαφύγωσιν. Ὄντως γάρ, ὡς ὁ Κύριος ἔφη, « Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν B πλείω (97) τῶν γραμματέων καὶ Φαρισαίων, οὐκ εἰσελεύσεσθε εἰς τὴν βασιλείαν τοῦ Θεοῦ. » Περὶ δὲ τῆς τῶν βρωμάτων ἐγκρατείας δείκνυται ἐν τῷ Δανιήλ· συνελόντι δ' εἰπεῖν, περὶ ὑπακοῆς ὁ Δαβὶδ ψάλλων λέγει· « Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδὸν αὐτοῦ; » Καὶ παραχρῆμα ἀκούει· « Ἐν τῷ φυλάσσεσθαι (98) τὸν λόγον σου ἐν ὅλῃ καρδίᾳ· » ὅ τε Ἱερεμίας φησί· « Τάδε λέγει Κύριος· Κατὰ τὰς ὁδοὺς τῶν ἐθνῶν μὴ πορεύσησθε (99). Ἐντεῦθεν ἄλλοι τινὲς κινηθέντες, μικροὶ καὶ οὐτιδανοί, τὸν ἄνθρωπον ὑπὸ διαφόρων δυνάμεων πλασθῆναι λέγουσι, καὶ τὰ μὲν μέχρις ὀμφαλοῦ θειοδεστέρας τέχνης εἶναι, τὰ ἔνερθε δέ, τῆς ἥττονος· οὗ δὴ χάριν ὀρέγεσθαι συνουσίας. Λέληθε δὲ αὐτούς, ὅτι καὶ τὰ C ἀνωτέρω μέρη τῆς τροφῆς ὀριγνᾶται καὶ λαγνεύει τισίν· ἐναντιοῦνται δὲ καὶ τῷ Χριστῷ, πρὸς τοὺς Φαρισαίους εἰρηκότι (1), τὸν αὐτὸν Θεὸν καὶ « τὸν ἐκτὸς » ἡμῶν καὶ « τὸν ἔσω » ἄνθρωπον πεποιηκέναι. Ἀλλὰ καὶ ἡ ὄρεξις οὐ τοῦ σώματός ἐστι, κἂν διὰ τὸ σῶμα γίνηται. Ἄλλοι τινές, οὓς καὶ Ἀντιτάκτας (2) καλοῦμεν, λέγουσιν, ὅτι ὁ μὲν Θεὸς ὁ τῶν ὅλων πατὴρ ἡμῶν ἐστι φύσει, καὶ πάνθ', ὅσα πεποίηκεν,

A indolem ostenderent. Jam vero et humanos legislatores, et divinam legem habent sibi infensam, cum inique et præter leges vivere instituerint. Is certe, qui scortatorem « confodit, » a Deo pius esse ostenditur in Numeris. « Et si dixerimus, » inquit Joannes in epistola, « quod societatem habemus cum eo, « nempe Deo, « et in tenebris ✠ ambulamus, mentimur, et veritatem non facimus. Si autem in luce ambulamus, sicut et ipse est in luce, societatem habemus cum ipso, et sanguis Jesu filii ejus emundat nos a peccato [a]. » Quomodo ergo sunt hi hujus mundi hominibus meliores, qui hæc faciunt, et vel pessimis hujus mundi sunt similes? sunt enim, ut arbitror, similes natura, qui sunt factis similes. Quibus autem se esse censent nobilitate superiores, eos debent etiam superare moribus, ut vitent ne includantur in carcere. Revera enim, ut dixit Dominus: « Nisi abundaverit justitia vestra plus quam scribarum et Pharisæorum, non intrabitis in regnum Dei [b]. » De abstinentia autem a cibis ostenditur a Daniele [c]. Ut semel autem dicam, de obedientia dicit psallens David: « In quo diriget junior viam suam [d]? » Et statim audit: « In custodiendo sermones tuos in toto corde. » Et dicit Jeremias: « Hæc autem dicit Dominus: Per vias gentium ne ambulaveritis [e]. » Hinc moti aliqui alii, pusilli et nullius pretii, dicunt formatum fuisse hominem a diversis potestatibus: et quæ sunt quidem usque ad umbilicum esse artis divinioris; quæ autem subter, minoris; qua de causa coitum quoque appetere. Non animadvertunt autem, quod superiores quoque partes nutrimentum appetunt, et quibusdam libidinantur. Adversantur autem Christo quoque, qui dixit Pharisæis, eumdem Deum et « internum » nostrum **189** et « externum » fecisse hominem [f]. Quinetiam appetitio non est corporis, etsi fiat per corpus. Quidam alii, quos etiam vocamus Antitactas,

✠ P. 526 ED. POTTER. [a] Num. xxv, 8; I Joan. I, 6, 7. [b] Matth. v, 20. [c] Dan. I. [d] Psal. cxviii, 9. [e] Jerem. x, 2. [f] Luc. xi, 40.

(93) *Ἐκκεντήσας*. Respicit Numer. xxv, 8, quo loco Phineas dicitur Zimri et Cosbi scortantes confodisse: Καὶ ἀπεκέντησεν ἀμφοτέρους, τόν τε ἄνθρωπον τὸν Ἰσραηλίτην καὶ τὴν γυναῖκα διὰ τῆς μήτρας αὐτῆς.

(94) *Εὐλαβούμενος*. Videtur legendum εὐλογούμενος. Lowth.

(95) *Αὐτὸς ἐν τ.* Αὐτός ἐστιν ἐν τ. Joan., ubi mox μετ' ἀλλήλων pro μετ' αὐτοῦ· dein, αἷμα Ἰησοῦ Χριστοῦ· et rursum, ἀπὸ πάσης τῆς ἁμαρτ.

(96) *Φυλακήν*. Τὰ ἐν φυλακῇ πνεύματα, « spiritus in carcere, » dixit Apostolus, I Pet. iii, 19. Φυλακῆς etiam metaphora aliquoties usus est Christus de sceleratorum pœnis agens.

(97) *Πλείω*. Πλεῖον, Matth., ubi mox, οὐ μὴ εἰσέλθητε εἰς τ. β. τῶν οὐρανῶν.

(98) *Ἐν τῷ φ.* Psalm. cxviii: Ἐν τῷ φυλάξασθαι τοὺς λόγους σου· et sequens commation, ἐν ὅλῃ καρδίᾳ, conjungit cum sequenti membro A. Sylburg.

(99) *Πορεύσησθε*. Μανθάνετε. Jerem.

(1) *Εἰρηκότι*. Respicere videtur Luc. xi, 40: Οὐχ ὁ ποιήσας τὸ ἔξωθεν καὶ τὸ ἔσωθεν ἐποίησεν;

(2) *Ἀντιτάκτας*. Hæc, paucis mutatis, Theodoretus in *Hæret. fabul.* lib. i, cap. 16, transtulit: D Ἦσαν δὲ καὶ ἄλλοι τινές, οὓς Ἀντιτάκτας ἐκάλουν οἱ ἀσεβεῖς, οἳ τὸν μέγαν ἄγνωστον Θεόν, ὡς αὐτοὶ λέγουσι, πατέρα οἰκεῖον ὠνόμαζον· τοῦτον δὲ ἀγαθὸν εἶναι, καὶ Θεὸν ποιητήν· ἕνα δέ τινα τῶν ὑπ' αὐτοῦ γεγονότων ἐπισπεῖραι ζιζάνια· ὃς καὶ πάντας ἡμᾶς, ὡς αὐτοὶ λέγουσι, κακοῖς περιέβαλεν, ἀντιταξάμενος ἡμῶν τῷ ἀγαθωτάτῳ πατρί, οὗ δὴ χάριν, καὶ ἡμεῖς ἀντιτασσόμεθα αὐτῷ, εἰς ἐκδίκησιν τοῦ πατρὸς ἀνθιστάμενοι τοῖς νόμοις αὐτοῦ. Καὶ ἐπειδὴ αὐτὸς οὗτος εἶπεν, Οὐ μοιχεύσεις, ἡμεῖς, φησί, μοιχεύσωμεν ἐπὶ καταλύσει τῆς ἐντολῆς αὐτοῦ. Τούτους εἰκότως ἄν τις ἐφευρετὰς ὀνομάσοι κακῶν, οἳ ταῖς ἀσελγείαις τὰς βλασφημίας συνάπτουσιν. « Fuerunt et alii quidam, quos Antitactas impii vocabant, qui magnum ignotum Deum, ut ipsi dicunt, patrem suum appellabant. Hunc vero esse bonum, et Deum creatorem: unum autem quempiam ex iis, qui ex eo geniti erant, seminasse zizania; qui in nos omnes, ut ipsi dicunt, mala injecit, ut qui optimo patri nostro restiterit. Quo fit, ut nos quoque illi resistamus, ad ultionem patris nostri legibus ejus adversantes. Et quoniam ipse dixit: Non mœchaberis, nos, inquit, mœchemur, ut ejus præceptum infringamus. Hos malorum jure quispiam dixerit inventores, qui libidinibus suis blasphemias adjungunt.

hoc est « adversarios » et repugnantes, dicunt quod Deus quidem universorum noster est natura pater, et omnia quæcunque fecit, bona sunt; unus autem quispiam ex iis, qui ab ipso facti sunt, seminatis zizaniis, malorum naturam generavit: quibus etiam nos omnes implicavit, ut nos efficeret Patri adversarios. Quare nos etiam ipsi huic adversamur ad Patrem ulciscendum, contra secundi voluntatem facientes. Quoniam ergo hic dixit: «Non mœchaberis: » nos, inquiunt, mœchamur, ✠ ut ejus mandatum dissolvamus. Quibus responderimus quoque, quod pseudoprophetas, et eos qui veritatem simulant, ex operibus cognosci accepimus: si male audiunt autem vestra opera, quomodo adhuc dicetis vos veritatem tenere? Aut enim nullum est malum, et non est utique dignus reprehensione is, quem vos insimulatis, ut qui Deo sit adversatus, neque fuit alicujus mali effector; una enim cum malo arbor quoque interimitur: aut si est malum ac consistit, dicant nobis, quid dicunt esse ea, quæ data sunt, præcepta, de justitia, de continentia, de tolerantia, de patientia, et iis, quæ sunt hujusmodi, bona an mala? et si fuerit quidem malum præceptum, quod plurima prohibet facere turpia, adversus seipsum legem feret vitium, ut seipsum dissolvat, quod quidem non potest fieri; sin autem bonum, cum bonis adversentur præceptis, bono adversari, et mala facere confitentur. Jam vero ipse quoque Servator, cui soli censent esse parendum, odio habere, et maledictis insequi prohibuit: et, « Cum adversario, » inquit, « vadens, ejus amicus conare discedere [a]. » Aut ergo Christi quoque negabunt suasionem, adversantes adversario: aut, si sint amici, contra eum certamen suscipere nolunt. Quid vero? an nescitis, viri egregii (loquor enim tanquam præsentibus), quod cum præceptis, quæ se recte habent, pugnantes, propriæ saluti resistitis? Non enim ea, quæ sunt utiliter edicta, sed vos ipsos evertitis. Et Dominus: « Luceant » quidem, inquit, « bona vestra opera [b]: » vos autem libidines et intemperantias vestras manifestas redditis. Et alioqui si vultis legislatoris præcepta dissolvere, quanam de causa, illud quidem: « Non mœchaberis; » et hoc: « Stu-

A ἀγαθά ἐστιν· εἷς δέ τις τῶν ὑπ' αὐτοῦ γεγονότων ἐπέσπειρεν τὰ ζιζάνια, τὴν τῶν κακῶν φύσιν γεννήσας· οἷς (3) καὶ δὴ (4) πάντας ἡμᾶς περιέβαλεν, ἀντιτάξας ἡμᾶς (5) τῷ Πατρί. Διὸ δὴ καὶ αὐτοὶ ἀντιτασσόμεθα τούτῳ εἰς ἐκδικίαν τοῦ Πατρὸς (6), ἀντιπράσσοντες τῷ βουλήματι τοῦ δευτέρου. Ἐπεὶ οὖν οὗτος « Οὐ μοιχεύσεις » εἴρηκεν, ἡμεῖς, φασὶ (7), μοιχεύομεν ἐπὶ καταλύσει τῆς ἐντολῆς αὐτοῦ. Φαίημεν δ' ἂν καὶ πρὸς τούτους, ὅτι τοὺς ψευδοπροφήτας καὶ τοὺς ὅσοι τὴν ἀλήθειαν ὑποκρίνονται, ἐξ ἔργων γινώσκεσθαι παρειλήφαμεν (8). Εἰ διαβάλλεται δὲ ὑμῶν ἔργα, πῶς ἔτι (9) τῆς ἀληθείας ἀντέχεσθαι ὑμᾶς ἐρεῖτε; Ἢ γὰρ οὐδέν ἐστι κακὸν, καὶ οὐκ ἔτι μέμψεως ἄξιος, ὃν αἰτιᾶσθε ὡς ἀντιτεταγμένον τῷ Θεῷ, οὐδὲ κακοῦ τινος γέγονε ποιητικός· συναναι-
B ρεῖται γὰρ τῷ κακῷ καὶ τὸ δένδρον (10)· ἢ εἰ ἔστι τὸ πονηρὸν ἐνυπάρξει (11), εἰπάτωσαν ἡμῖν, τί λέγουσιν εἶναι τὰς δοθείσας ἐντολὰς περὶ δικαιοσύνης, περὶ ἐγκρατείας, περὶ ὑπομονῆς, περὶ ἀνεξικακίας καὶ τῶν τούτοις ὁμοίων, φαύλας ἢ ἀστείας; καὶ εἰ μὲν φαύλη εἴη, τὰ πλεῖστα ἀπαγορεύουσα ποιεῖν τῶν αἰσχρῶν ἡ ἐντολὴ, καθ' ἑαυτῆς νομοθετήσει ἡ κακία ἐπὶ καταλύσει τῇ ἰδίᾳ, ὅπερ ἀδύνατον· εἰ δὲ ἀγαθὴ, ἀντιτασσόμενοι ταῖς ἀγαθαῖς ἐντολαῖς ἀγαθῷ ἀντιτάσσεσθαι, καὶ τὰ κακὰ πράσσειν ὁμολογοῦσιν. Ἤδη δὲ καὶ ὁ Σωτὴρ αὐτὸς, ᾧ πείθεσθαι ἀξιοῦσιν μόνῳ, τὸ μισεῖν (12) καὶ τὸ λοιδορεῖν κεκώλυκεν· καὶ, « Μετὰ τοῦ ἀντιδίκου βαδίζων, φίλος αὐτοῦ πειράθητι ἀπαλλαγῆναι, » φησίν. Ἢ τοίνυν καὶ τὴν Χρι-
C στοῦ παραίνεσιν ἀρνήσονται, ἀντιτασσόμενοι τῷ ἀντιτεταγμένῳ· ἢ φίλοι γινόμενοι, τούτῳ οὐκ ἀντιδικήσουσιν. Τί δαί; οὐκ ἴστε, ὦ γεννάδαι, (ὡς πρὸς παρόντας γὰρ εἴποιμ' ἄν·) ὅτι ταῖς καλῶς ἐχούσαις ἐντολαῖς μαχόμενοι, τῇ ἰδίᾳ ἀνθίστασθε σωτηρίᾳ; Οὐ γὰρ τὰ διαγορευθέντα χρησίμως, ἀλλ' ἑαυτοὺς καταστρέφετε. Καὶ ὁ μὲν Κύριος, Τὰ ἀγαθὰ (13) ὑμῶν ἔργα λαμψάτω, » ἔφη, ὑμεῖς δὲ τὰς ἀσελγείας ὑμῶν ἐκφανεῖς ποιεῖτε. Ἄλλως τε εἰ τὰς ἐντολὰς καταλύειν τοῦ νομοθέτου θέλετε, τί δήποτε τὸ μὲν « Οὐ μοιχεύσεις, » καὶ « Οὐ παιδοφθορήσεις (14), » καὶ ὅσα εἰς ἐγκράτειαν συμβάλλεται, καταλύειν ἐπιχειρεῖτε δι' ἀκρασίαν τὴν σφῶν· οὐ καταλύετε δὲ χειμῶνα τὸν ὑπ' αὐτοῦ γενόμενον, ἵνα θέρος ποιήσητε μεσοῦντος ἔτι τοῦ χειμῶνος· οὐδὲ γῆν πλωτὴν, βατὴν δὲ θάλασσαν (15)
D

✠ P. 527 ED. POTTER, 440 ED. PARIS. [a] Matth. v, 25; Luc. xii, 58. [b] Matth. v, 16.

(3) *Οἷς*. Ὃς legisse videtur Theodoretus.

(4) *Δή*. Supervacua est. SYLBURG. — Scribi possit, οἷς δὴ καὶ πάντ.

(5) *Ἀντιτάξας ἡμᾶς*. Ἀντιταξάμενος ἡμῶν. Theodoret.

(6) *Εἰς ἐκδικίαν τοῦ Πατρός*. Hoc commation Theodoreti interpres.

(7) *Φασί*. Φησί. Theodoret. ad sequentia, Clementis ad præcedentia refert.

(8) *Παρειλήφαμεν*. Nempe a Christo dicente: Ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς, Matth. vii, 16.

(9) *Πῶς ἔτι*. Δὴ, vel synonyma οὖν, inserta, legendum videtur, πῶς οὖν ἔτι... SYLBURG.

(10) *Συναναιρεῖται γὰρ τῷ κακῷ καὶ τὸ δένδρον*. «Malo enim sublato, tollitur arbor, » e quo id nascitur: ac proinde si nullum sit malum, sequitur nullum esse principium Deo bono adversarium. Respexisse autem videtur Matth. vii, 17, 18.

(11) *Τὸ πονηρὸν ἐνυπάρξει*. Vel divise ἐν ὑπάρξει, « in essentia. » Putabant enim hæretici, principium illud, quod Deo repugnaret, esse « essentia malum. »

(12) *Τὸ μισεῖν*. Respicit Matth. v, 43, 44, vel Luc. vi, 27, 28; dein Matth. v, 25, vel Luc. xii, 58.

(13) *Τὰ ἀγαθά*. Matth. v, 16: Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως εἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα.

(14) *Οὐ παιδοφθορήσεις*. Conf. quæ superius dicta sunt ad *Protrept.* p. 67 edit. Paris.

(15) *Βατὴν δὲ θάλασσαν*. Poetice dictum. Lycophron *Cassandræ* vers. 1414:

..... *Τῷ θάλασσα μὲν βατὴ*
Πεζῷ ποτ' ἔσται, γῆ δὲ ναυσθλωθήσεται.

ἐργάζεσθε, καθάπερ οἱ τὰς ἱστορίας συνταξάμενοι (16), τὸν βάρβαρον ἐθελῆσαι Ξέρξην; Τί δ' οὐχὶ πάσαις ταῖς ἐντολαῖς ἀντιτάσσεσθε; Εἰπόντος γὰρ, « Αὐξάνεσθε καὶ πληθύνεσθε, » ὑμᾶς τοὺς ἀντιταγμένους ἐχρῆν μηδόλως συνουσίᾳ χρῆσθαι. Καὶ εἰπόντος, « Ἔδωκα ὑμῖν πάντα εἰς τροφὰς » καὶ ἀπολαύσεις, ὑμᾶς ἐχρῆν μηδενὸς ἀπολαύειν. Ἀλλὰ καὶ, « Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, » λέγοντος, ὑμᾶς ἐχρῆν μὴ ἀποδιδόναι ἀντίταξιν ἀντιτάξει· καὶ τὸν κλέπτην κελεύσαντος « τετραπλοῦν » ἀποδιδόναι, ὑμᾶς ἐχρῆν καὶ προσδοῦναι τῷ κλέπτῃ· ὁμοίως τε αὖ καὶ τῇ, « Ἀγαπήσεις τὸν Κύριον, » ἐντολῇ ἀντιτασσομένους, ἔδει οὔτε τὸν ὅλων Θεὸν ἀγαπῆσαι. Καὶ πάλιν, εἰπόντος, « Οὐ ποιήσεις γλυπτὸν, οὐδὲ χωνευτὸν, ὑμᾶς ἀκόλουθον ἦν καὶ τὰ γλυπτὰ προσκυνεῖν. Πῶς οὖν οὐκ ἀσεβεῖτε, ἀντιτασσόμενοι μὲν, ὥς φατε, τῷ Δημιουργῷ, τὰ δὲ ὅμοια ταῖς πόρναις καὶ τοῖς μοιχοῖς ἐζηλωκότες; Πῶς δὲ οὐκ αἰσθάνεσθε μείζονα ποιοῦντες, ὃν ὡς ἀσθενῆ νομίζετε; Εἴπερ, ὃ βούλεται, τοῦτο γίνεται, ἀλλ' οὐχὶ ἐκεῖνο, ὅπερ ἠθέλησεν ὁ ἀγαθός. Ἔμπαλιν γὰρ ἀσθενὴς δείκνυταί πως ὑμῶν αὐτῶν (17) ὁ ὑμέτερος, ὥς φατε, πατήρ. Ἀναλέγονται δὲ καὶ οὗτοι ἔκ τινων προφητικῶν περικοπῶν λέξεις ἀπανθισάμενοι, καὶ συγκαττύσαντες κακῶς, κατ' ἀλληγορίαν εἰρημένας, ἐξ εὐθείας λαβόντες. Γεγράφθαι γάρ φησιν· « Ἀντέστησαν Θεῷ, καὶ ἐσώθησαν. » Οἱ δὲ καὶ « Τῷ ἀναιδεῖ Θεῷ » προστιθέασι· δέχονται δὲ ὡς βουλὴν παρηγγελμένην τὸ λόγιον τοῦτο, καὶ σωτηρίαν σφίσι λογίζονται, τὸ ἀνθίστασθαι τῷ Δημιουργῷ. « Τῷ » μὲν οὖν « ἀναιδεῖ Θεῷ » οὐ γέγραπται· Εἰ δὲ καὶ οὕτως ἔχοι, τὸν κεκλημένον διάβολον, ὦ ἀνόητοι, ἐξακούσατε ἀναιδῆ, ἢ ὡς διαβάλλοντα (18) τὸν ἄνθρωπον, ἢ ὡς κατήγορον τῶν ἁμαρτανόντων, ἢ ὡς ἀποστάτην. Ὁ γοῦν λαὸς, ἐφ' οὗ εἴρηται ἡ περικοπή, παιδευόμενοι ἐφ' οἷς ἥμαρτον βαρέως φέροντες, καὶ στένοντες, διεγόγγυζον τὴν εἰρημένην λέξιν· ὅτι τὰ μὲν ἄλλα ἔθνη παρανομοῦντα οὐ κολάζεται, αὐτοὶ δὲ μόνοι παρ' ἕκαστα κολούονται· ὡς καὶ Ἰερεμίαν εἰρηκέναι· « Διὰ τί (19) ὁδὸς ἀσεβῶν εὐοδοῦται; » ὅμοιον τούτῳ τὸ παρὰ τῷ Μαλαχίᾳ τὸ προειρημένον. « Ἀντέστησαν Θεῷ, καὶ ἐσώθησαν· χρηματιζόμενοι γὰρ οἱ προφῆται, οὐ μόνον τινὰ ἀκούειν λέγουσι παρὰ τοῦ Θεοῦ, ἀλλὰ καὶ αὐτοὶ διαγγέλλοντες δείκνυνται κατὰ ἀνθυποφορὰν τὰ πρὸς τοῦ λαοῦ θρυλλούμενα, ὡς ἐπιζητήματά τινα ὑπὸ τῶν ἀνθρώπων ἀναφέροντες· ἐξ ὧν καὶ τὸ προκείμενον τυγχάνει ῥητόν. Καὶ μή τι πρὸς τούτους ὁ Ἀπόστολος ἐν τῇ πρὸς Ῥωμαίους

A prum puero non inferes, » et quæcunque ad continentiam conferunt, dissolvere conamini, propter vestram intemperantiam : non dissolvitis autem, quæ ab ipso fit, hiemem, ut media adhuc hieme æstatem faciatis; neque terram navigabilem, mare autem pedibus pervium, facitis, ut qui historias composuerunt, barbarum Xerxem dicunt voluisse facere? Cur vero non omnibus præceptis repugnatis? Nam cum ille dicat : « Crescite et multiplicamini [a], » oporteret ✠ vos, qui adversamini, nullo modo uti coitu. Et cum dixit : « Dedi vobis omnia ad vescendum [b] » et fruendum, vos nullo frui oportuit. Quinetiam eo dicente : « Oculum pro oculo [c], » oportuit vos decertationem contraria non rependere decertatione. Et cum furem jusserit reddere B « quadruplum [d], » oportuit vos furi aliquid etiam addere. Rursus vero similiter, cum præcepto : « Diliges Deum tuum ex toto corde tuo [e], » repugnetis, oportuit nec universorum quidem Deum diligere. Et rursus, cum dixerit : « Non facies sculptile neque fusile [f], » consequens erat ut etiam sculptilia adoraretis. Quomodo ergo non impie facitis, qui Creatori quidem, ut dicitis, resistitis; quæ sunt autem meretricibus et adulteris similia, sectamini? Quomodo autem non sentitis vos eum majorem facere, quem pro imbecillo habetis; si quidem id fit, quod hic vult; non autem illud, quod voluit bonus? contra enim ostenditur quodam modo a vobis ipsis, imbecillum esse, quem vestrum C patrem dicitis. Recensent etiam ex quibusdam locis propheticis decerptas dictiones, et male consarcinatas, quæ allegorice dicta sunt tanquam recto ductu et citra figuram dicta sumentes. Dicunt enim scriptum esse : « Deo restiterunt, et salvi facti sunt [g] : » illi autem « Deo impudenti » addunt; et hoc eloquium tanquam consilium præceptum accipiunt : et hoc ad salutem conferre existimant, quod Creatori resistant. At « impudenti » quidem « Deo, » non est scriptum. Si autem sic quoque habeat, eum, qui vocatus est diabolus, intelligite impudentem : vel quod hominem calumniis impetat, vel quod accuset peccatores, vel quod sit apostata. Populus ergo, de quo hoc dictum est, cum castigaretur propter sua peccata, ægre ferentes et geD mentes, his verbis, quæ dicta sunt, murmurabant, quod aliæ quidem gentes cum inique se gerant non puniantur, ipsi autem in singulis vexentur; adeo ut Jeremias quoque dixerit : « Cur via impiorum

✠ P. 528 ED. POTTER, 441-442 ED. PARIS. [a] Gen. I, 28; IX, 1. [b] Genes. I, 29; IX, 2, 3. [c] Exod. XXI, 24. [d] Ibid. XXII, 1. [e] Deut. VI, 5. [f] Deut. XXVII, 15. [g] Malach. III, 15.

..... *Cui mare quidem pervium*
Pediti erit, terra autem navigabitur.

Ubi scholiastes hæc adnotat : Ὁ Ξέρξης τὸν μὲν Ἑλλήσποντον ἔχωσεν, ἤτοι βατὴν γῆν ἐποίησεν, τὸν δὲ Ἄθων ὄρος κόψας, ἐποίησε θάλασσαν, ὡς ὁ Ἡρόδοτος ἱστορεῖ. Conf. quæ ibi adnotat Meursius.

(16) *Οἱ τὰς ἱστορίας συνταξ.* Herodotus *Polyhymnia* p. 249, 251; Thucydides lib. IV, p. 156; Arrianus lib. V, p. 103, et alii. H. SYLBURG.

(17) *Δείκνυταί πως ὑμῶν αὐτῶν.* Forte δείκνυται πρὸς ὑμῶν αὐτῶν, « ostenditur a vobis ipsis. » Πρὸς autem in hac significatione passim ab hoc nostro usurpari, docet *Index* Sylburg.

(18) *Ὡς διαβάλλοντα.* Justinus M. *Cohort. ad Græc.* p. 108 edit. Oxon. : Ὃν διάβολον αἱ θεῖαι Γραφαὶ καλοῦσιν, ἀπὸ τῆς πρώτης αὐτοῦ πρὸς τὸν ἄνθρωπον διαβολῆς ταύτης τῆς προσηγορίας τυχόντα. « Quem diabolum divinæ Scripturæ vocant, a prima sua adversus hominem calumnia et criminatione nomine sumpto. »

(19) *Διὰ τί.* Τί ὅτι, Jerem.

prosperatur [a]? » quod simile est ei, quod prius allatum est ex Malachia: « Deo restiterunt, et salvi facti sunt. » Nam prophetæ divinitus inspirati, non solum quæ a Deo audierint, se loqui profitentur; sed et ipsi etiam solent ea, quæ vulgo jactantur a populo, exceptionis modo, edicere, et tanquam quæstiones ab hominibus motas referre: cujusmodi est illud dictum, cujus mentio jam facta est. Nunquid autem ad hos verba sua dirigens, scribit Apostolus in Epistola ad Romanos: « Et non sicut blasphemamur, et sicut dicunt aliqui nos ✠ dicere: Faciamus mala, ut eveniant bona, quorum justa est damnatio [b]? » Ii sunt, qui inter legendum tono vocis pervertunt Scripturas ad proprias voluptates, et quorumdam **190** accentuum et punctorum transpositione, quæ prudenter et utiliter præcepta sunt, ad suas trahunt delicias. « Qui irritatis Deum sermonibus vestris, » inquit Malachias, « et dicitis, in quonam eum irritavimus? Dum vos dicitis: Quicunque facit malum, bonus est coram Domino, et ipse in eis complacuit; et ubi est Deus justitiæ [c]? »

A ἐπιστολῇ ἀποτεινόμενος γράφει· « Καὶ μὴ καθὼς βλασφημούμεθα, καὶ καθώς φασί τινες ἡμᾶς λέγειν, ὅτι, Ποιήσωμεν τὰ κακὰ, ἵνα ἔλθῃ τὰ ἀγαθὰ, » ὧν τὸ κρίμα ἔνδικόν ἐστιν; Οὗτοί εἰσιν οἱ κατὰ τὴν ἀνάγνωσιν φωνῆς τόνῳ διαστρέφοντες τὰς Γραφὰς πρὸς τὰς ἰδίας ἡδονὰς, καί τινων προσῳδιῶν καὶ στιγμῶν μεταθέσει τὰ παραγγελθέντα σωφρόνως τε καὶ συμφερόντως βιαζόμενοι πρὸς ἡδυπαθείας τὰς ἑαυτῶν· « Οἱ παροξύνοντες (20) τὸν Θεὸν τοῖς λόγοις ὑμῶν, ὁ Μαλαχίας φησὶ, καὶ εἴπατε· Ἐν τίνι παρωξύναμεν αὐτόν; Ἐν τῷ λέγειν ὑμᾶς· Πᾶς ὁ ποιῶν πονηρὸν ἀγαθὸς ἐνώπιον Κυρίου, καὶ ἐν αὐτοῖς ηὐδόκησεν· καὶ ποῦ ἔστιν ὁ Θεὸς τῆς δικαιοσύνης; »

CAPUT V.

Duo genera hæreticorum notat: prius illorum qui omnia omnibus licere pronuntiant, quos refutat.

Ne ergo hunc locum ungue amplius fodicantes, plurium absurdarum hæresium meminerimus; nec rursus dum in singulis adversus unamquamque dicere necesse habemus, propterea pudore afficiamur, et nimis prolixos hos faciamus commentarios, age in duo dividentes omnes hæreses, eis respondeamus. Aut enim docent indiscrete vivere: aut modum excedentes, per impietatem et odium profitentur continentiam. Prius autem tractandum est de prima parte. Quod si quodlibet vitæ genus licet eligere, tum eam scilicet etiam licet, quæ est continens: et si electus tute poterit quodlibet vitæ genus sectari, manifestum est eam, quæ temperanter et secundum virtutem agitur, longe tutissimam esse. Nam cum « domino sabbati, » etiamsi intemperanter vivat, nulla ratio reddenda sit, multo magis qui vitam moderate et temperate instituit, nulli erit rationi reddendæ obnoxius. « Omnia enim licent, sed non omnia expediunt [d], » ait Apostolus. Quod si omnia licent, videlicet moderatum quoque esse et temperantem. Quemadmodum ergo is est laudandus, qui libertate sua usus est ad vivendum ex virtute: ita multo magis qui dedit nobis liberam nostri potestatem, et concessit vivere ut vellemus, est venerandus et adorandus, quod non permiserit, ut nostra electio et vitatio cuiquam necessario serviret. Si est autem uterque æque securus, et qui incontinentiam, et qui continentiam elegerit, non est tamen ex æquo honestum et decorum. Qui enim impegit in voluptates, gratificatur corpori: temperans autem animam corporis dominam liberat a perturbationibus. Et si dicant nos « vocatos fuisse in libertatem, solummodo ne præbeamus li-

B Ἵν' οὖν (21) μὴ, ἐπιπλεῖον ὀνυχίζοντες (22) τὸν τόπον, πλειόνων ἀτόπων αἱρέσεων ἐπιμεμνήμεθα, μηδ' αὖ καθ' ἑκάστην αὐτῶν λέγειν πρὸς ἑκάστην ἀναγκαζόμενοι, αἰσχυνώμεθά τε ἐπ' αὐτοῖς. καὶ ἐπὶ μήκιστον τὰ ὑπομνήματα προάγωμεν· φέρε, εἰς δύο διελόντες πράγματα ἁπάσας τὰς αἱρέσεις, ἀποκρινώμεθα αὐτοῖς· ἢ γάρ τοι ἀδιαφόρως ζῆν διδάσκουσιν, ἢ, τὸ ὑπέρτονον ἄγουσαι, ἐγκράτειαν διὰ δυσσεβείας καὶ φιλαπεχθημοσύνης καταγγέλλουσι. Πρότερον δὲ περὶ τοῦ προτέρου διαληπτέον τμήματος· εἰ πάντα ἔξεστιν ἑλέσθαι βίον, δῆλον ὅτι (23) καὶ τὸν μετ' ἐγκρατείας· καὶ εἰ πᾶς βίος ἀκίνδυνος ἐκλεκτῷ, δῆλον ὅτι μετὰ ἀρετῆς καὶ σωφροσύνης πολὺ μᾶλλον ἀκίνδυνος· δοθείσης γὰρ ἐξουσίας « τῷ κυρίῳ τοῦ σαββάτου, » εἴπερ ἀκολάστως βιῶσαι, C ἀνεύθυνον εἶναι, πολλῷ μᾶλλον ὁ κοσμίως πολιτευσάμενος οὐχ ὑπεύθυνος ἔσται. « Πάντα μὲν γὰρ ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει, » φησὶν ὁ Ἀπόστολος. Εἰ δὲ καὶ πάντα ἔξεστι, δῆλον ὅτι καὶ τὸ σωφρονεῖν. Ὥσπερ οὖν ὁ τῇ ἐξουσίᾳ εἰς τὸ κατ' ἀρετὴν βιῶσαι συγχρησάμενος ἐπαινετὸς, οὕτω πολὺ μᾶλλον ὁ τὴν ἐξουσίαν ἡμῖν δεδωκὼς ἐλευθέραν καὶ κυρίαν, καὶ συγχωρήσας ἡμῖν βιοῦν ὡς βουλόμεθα, σεμνὸς καὶ προσκυνητὸς, μὴ ἐάσας δουλεύειν ἡμῶν κατὰ ἀνάγκην τὰς αἱρέσεις καὶ τὰς φυγάς. Εἰ δὲ τὸ ἀδεὲς ἑκάτερος ἔχει, D ὅ τε ἀκρασίαν ὅ τε ἐγκράτειαν ἑλόμενος, ἀλλὰ τὸ σεμνὸν, οὐχ ὅμοιον. Ὁ μὲν γὰρ εἰς ἡδονὰς ἐξοκείλας σώματι χαρίζεται, ὁ δὲ σώφρων τὴν κυρίαν τοῦ σώματος ψυχὴν ἐλευθεροῖ τῶν παθῶν. Κἂν ἐπ' ἐλευθερίᾳ κεκλῆσθαι λέγωσιν ἡμᾶς, μόνον μὴ τὴν ἐλευθερίαν εἰς ἀφορμὴν τῇ σαρκὶ παρέχωμεν, κατὰ τὸν Ἀπόστολον· εἰ δὲ ἐπιθυμίᾳ χαριστέον, καὶ τὸν ἐπονείδιστον βίον ἀδιάφορον ἡγητέον, ὡς αὐτοὶ λέγουσιν,

✠ P. 529 ED. POTTER, 443 ED. PARIS. [a] Jerem. XII, 1. [b] Rom. III. 8. [c] Malach. II, 17. [d] I Cor. VI, 13; X, 23.

(20) *Παροξύνοντες*. Παροξύναντες Malach., ubi mox, ἐν τοῖς λογ.· dein, καλὸν ἐνώπιον Κυρίου, καὶ ἐν αὐτοῖς αὐτὸς εὐδόκησε.

(21) *Ἵν' οὖν. . ἐπιμεμνήμεθα.* Usitatius, ἵν' οὖν... ἐπιμεμνώμεθα. SYLBURG.

(22) *Ὀνυχίζοντες*. Id est ἀκριβολογοῦντες. Hesychius, Ὀνυχιεῖ, ἐπιμελῶς ἐξετάσει. Hinc proverbium Ἐξ ὄνυχος, Latine « Ad unguem. »

(23) *Δῆλον ὅτι*. Flor. edit. conjuncte δηλονότι. SYLBURG.

ἤτοι πάντα ταῖς ἐπιθυμίαις πειστέον καὶ εἰ τοῦτο, τὰ ἀσελγέστατα καὶ ἀνοσιώτατα πρακτέον ἅπαντα, ἑπομένους τοῖς ἀναπείθουσιν ἡμᾶς· ἢ τῶν ἐπιθυμιῶν τινας ἐκκλινοῦμεν, καὶ οὐκ ἔτι ἀδιαφόρως βιωτέον, οὐδὲ ἀναίδην δουλευτέον τοῖς ἀτιμοτάτοις μέρεσιν ἡμῶν, γαστρὶ καὶ αἰδοίοις, δι' ἐπιθυμίαν κολακευόντων τὸν ἡμέτερον νεκρόν (24). Τρέφεται γὰρ καὶ ζωοποιεῖται διακονουμένη εἰς ἀπόλαυσιν ἐπιθυμία, καθάπερ ἔμπαλιν κολουομένη μαραίνεται. Πῶς δέ ἐστι δυνατὸν, ἡττηθέντα τῶν τοῦ σώματος ἡδονῶν, ἐξομοιοῦσθαι τῷ Κυρίῳ, ἢ γνῶσιν ἔχειν Θεοῦ; Πάσης γὰρ ἡδονῆς ἐπιθυμία κατάρχει· ἐπιθυμία δὲ λύπη τις καὶ φροντὶς, δι' ἔνδειαν ὀρεγομένη τινός. Ὥστ' οὐκ ἄλλο τί μοι δοκοῦσιν οἱ τοῦτον ἐπανῃρημένοι τὸν τρόπον, ἀλλ' ἢ τὸ λεγόμενον δὴ τοῦτο,

. . . . . *Πρός τ' αἴσχεσιν ἄλγεα πάσχειν·*

ἐπίσπαστον ἑαυτοῖς αἱρούμενοι κακὸν (25), νῦν καὶ ἐς ὕστερον. Εἰ μὲν οὖν πάντα ἐξῆν, καὶ μηδὲν ἦν δέος ἀποτυχεῖν τῆς ἐλπίδος διὰ πράξεις πονηρὰς, ἴσως ἦν ἄν τις αὐτοῖς πρόφασις τοῦ βιοῦν κακῶς τε καὶ ἐλεεινῶς· ἐπεὶ δὲ βίος τις ἡμῖν μακάριος δι' ἐντολῶν ἐπιδέδεικται, ᾧ χρὴ πάντας ἑπομένους, μὴ παρακούοντας τῶν εἰρημένων τινὸς, μηδὲ ὀλιγωροῦντας τῶν προσηκόντων, κἂν ἐλάχιστον ᾖ, ἕπεσθαι ᾗ ἂν ὁ λόγος ἡγῆται· εἰ σφαλείημεν αὐτοῦ, ἀθανάτῳ κακῷ (26) περιπεσεῖν ἀνάγκη· κατακολουθήσασι δὲ τῇ θείᾳ Γραφῇ, δι' ἧς ὁδεύουσιν οἱ πεπιστευκότες, ἐξομοιοῦσθαι κατὰ δύναμιν τῷ Κυρίῳ, οὐκ ἀδιαφόρως βιωτέον, ἀλλὰ καθαρευτέον εἰς δύναμιν τῶν ἡδονῶν καὶ τῶν ἐπιθυμιῶν, ἐπιμελητέον τε τῆς ψυχῆς, ᾗ πρὸς μόνῳ τῷ Θείῳ διατελεστέον. Καθαρὸς γὰρ ὢν καὶ πάσης κακίας ἀπηλλαγμένος ὁ νοῦς, δεκτικός πως ὑπάρχει τῆς τοῦ Θεοῦ δυνάμεως, ἀνισταμένης ἐν αὐτῷ τῆς θείας εἰκόνος· « Καὶ πᾶς ὁ ἔχων τὴν ἐλπίδα ταύτην ἐπὶ τῷ Κυρίῳ (27), ἁγνίζει, φησὶν, ἑαυτὸν (28), καθὼς ἐκεῖνος ἁγνός ἐστιν. » Θεοῦ δὲ γνῶσιν λαβεῖν τοῖς ἔτι ὑπὸ τῶν παθῶν ἀγομένοις ἀδύνατον· οὐκοῦν οὐδὲ τῆς ἐλπίδος τυχεῖν, μηδεμίαν τοῦ Θεοῦ γνῶσιν πεποιημένοις· καὶ τοῦ μὲν ἀποτυγχάνοντος τοῦδε τοῦ τέλους ἡ τοῦ Θεοῦ ἄγνοια κατηγορεῖν ἔοικε· τὸ δὲ ἀγνοεῖν τὸν Θεὸν ἡ τοῦ βίου πολιτεία παρίστησιν. Παντάπασι γὰρ ἀδύνατον ἅμα τε καὶ ἐπιστήμονα εἶναι, καὶ τὴν τοῦ σώματος

A bertatem, in occasionem carni [a], » ex sententia Apostoli. Si autem cupiditati est obsequendum, et quæ probrosa est et turpis vita tanquam indifferens est eligenda, ut ipsi dicunt; aut cupiditatibus est omnino parendum, et si hoc ita est, facienda sunt quævis ✠ impudicissima et maxime nefaria, eos sequendo, qui nobis persuadent : aut sunt aliquæ declinandæ cupiditates, et non est amplius vivendum indifferenter, neque est impudenter serviendum vilissimis et abjectissimis nostris partibus, ventri et pudendis, dum cupiditate ducti nostro blandimur cadaveri. Nutritur enim et vivificatur cupiditas, dum ei voluptates ministrantur : quemadmodum rursus si impediatur et interturbetur,
B flaccescit. Quomodo autem fieri potest, ut qui victus est a voluptatibus corporis, Domino assimiletur, aut Dei habeat cognitionem? Omnis enim voluptatis principium est cupiditas : cupiditas autem est molestia et sollicitudo, quæ propter egestatem aliquid appetit. Quare nihil aliud mihi videntur, qui hanc vitæ rationem suscipiunt, quam quod dicitur,

Ultra ignominiam sentire dolores;

ut qui malum a se accersitum, nunc et in posterum eligant. Si ergo « omnia licerent, » nec timendum esset ne a spe excideremus propter malas actiones, esset fortasse eis aliquis prætextus, cur male viverent et miserabiliter. Quoniam autem vita beata nobis ostensa est per præcepta, quam oportet omnes sequentes, nec aliquid eorum, quæ dicta sunt, perperam intelligentes, nec eorum, quæ
C convenit, aliquid, etsi sit vel minimum, contemnentes, sequi quo logos ducit; quia, si ab eo aberraverimus, in malum immortale incidamus necesse est; si divinam autem Scripturam secuti fuerimus, per quam ingrediuntur, qui crediderunt, ut Domino, quoad fieri potest, assimilentur, non est vivendum indifferenter, sed pro viribus mundos esse oportet a voluptatibus et cupiditatibus, curaque est gerenda animæ, qua apud solum Deum perseverandum est. Mens enim, quæ est munda et ab omni vitio libera, est quodammodo apta ad potestatem Dei suscipiendam, cum divina in ea assurgat imago : « Et quicunque habet hanc spem in Domino, seipsum, » inquit, « mundum castumque facit, quatenus ille est castus [b]. Ut ii autem acci-
D piant Dei cognitionem, qui adhuc ducuntur ab affectibus, minime potest fieri : ergo nec ut finem assequantur, cum nullam habeant Dei cognitionem. Et eum quidem, qui hunc finem non assequitur, accusare videtur Dei ignoratio; ut Deus autem ignoretur, effi-

✠ P. 530 ED. POTTER, 444 ED. PARIS. [a] Galat. v, 13. [b] Joan. III, 3.

(24) *Νεκρόν*. Sic humanum corpus appellat, ut superius p. 436 edit. Paris.

(25) *Ἐπίσπαστον .... κακόν*. Phrasis poetica. Homerus, *Odyss.* Σ, vers. 72:

Ἢ τάχα Ἶρος ἄϊρος ἐπίσπαστον κακὸν ἕξει.
Certe cito Irus infelix accersitum a se malum habebit.

Hesychius : Ἐπίσπαστον, αὐθαίρετον, ὅπερ ἑαυτῷ τις ἐπισπᾶται κακόν. Metaphoram aiunt ductam ἀπὸ τῶν ὀρνίθων δελεαζομένων, καὶ ἑαυτοῖς τὸν ὄλεθρον ἐπισπωμένων.

(26) *Ἀθανάτῳ κακῷ*. Phrasis Homerica, ex *Odyss.* M, vers. 18, ubi de Charybdi hæc dicit poeta:

Ἡ δέ τοι οὐ θνητὴ, ἀλλ' ἀθάνατον κακόν ἐστι.
Illa sane non mortalis, sed immortale malum est.

(27) *Ἐπὶ τῷ Κυρίῳ*. Ἐπ' αὐτῷ. Joann.

(28) *Ἁγνίζει.... ἑαυτόν*. Didymus in Comment.: « Dum ergo speret unusquisque similem se fore Deo, » castificet semetipsum, « sicuti est castus ille. » Collect.

cit ✠ vitæ institutio. Omnino enim fieri non potest, ut quis simul sit et scientia præditus, et blandiri corpori non erubescat. Neque enim potest unquam convenire, quod voluptas sit bonum, cum eo, quod bonum sit solum pulchrum et honestum: vel etiam cum eo, quod solus sit pulcher Dominus, et solus bonus Deus, et solus amabilis. « In Christo autem circumcisi estis, circumcisione non manu facta, in exspoliatione corporis carnis, in circumcisione Christi [a]. Si ergo cum Christo consurrexistis, quæ sursum sunt quærite, quæ sursum sunt sapite, non quæ sunt super terram. Mortui enim estis, et vita vestra absconsa est cum Christo in Deo; » non autem ea, quam exercent, fornicatio. « Mortificate ergo membra, quæ sunt super terram, fornicationem, immunditiam, passionem, desiderium, propter quæ venit ira Dei. Deponant ergo ipsi quoque iram, indignationem, vitium, maledictum, turpem sermonem ex ore suo, exuentes veterem hominem cum concupiscentiis, et induentes novum, qui renovatur in agnitionem, ad imaginem ejus, qui
191 creavit ipsum [b]. » Vitæ enim institutio aperte eos arguit, qui mandata novere: qualis enim sermo, talis est vita. Arbor autem cognoscitur ex fructibus, non ex floribus et foliis ac ramis. Cognitio ergo est ex fructu et vitæ institutione, non ex sermone et flore. Non enim nudum sermonem dicimus esse cognitionem, sed quamdam divinam scientiam, et lucem illam, quæ innata animæ ex præceptorum obedientia, omnia, quæ per generationem oriuntur, manifesta facit, et hominem instruit, ut seipsum cognoscat, et qua ratione compos fieri possit, edocet. Quod enim oculus est in corpore, hoc est in mente cognitio. Neque dicant libertatem, qua quis voluptati servit, sicut ii, qui bilem dicunt dulcem. Nos enim didicimus libertatem, qua Dominus noster nos liberat a voluptatibus, et a cupiditatibus, et aliis perturbationibus solvens. « Qui dicit: Novi Dominum, et mandata ejus non servat, mendax est, et in eo veritas non est [c], » ait Joannes.

A κολάκειαν ἐπαισχύνεσθαι (29)· οὐδὲ γὰρ συνάδειν ποτὲ δύναται τὸ ἀγαθὸν εἶναι τῇ ἡδονῇ, ἢ μόνον εἶναι τὸ καλὸν ἀγαθὸν (30) ἢ καὶ μόνον καλὸν τὸν Κύριον, καὶ μόνον ἀγαθὸν τὸν Θεὸν, καὶ μόνον ἐραστόν· « Ἐν Χριστῷ δὲ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ, ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῆς σαρκὸς (31), ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ. Εἰ οὖν συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε (32), τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς· ἀπεθάνετε γὰρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ· » οὐχὶ δὲ πορνεία, ἣν ἀσκοῦσιν. « Νεκρώσατε οὖν τὰ μέλη (33) τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν, δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ. Ἀποθέσθωσαν οὖν καὶ αὐτοὶ (34) ὀργὴν, θυμὸν, κακίαν, βλασφημίαν, αἰσχρολογίαν ἐκ τοῦ στόματος αὐ-
B τῶν, ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς ἐπιθυμίαις, καὶ ἐνδυσάμενοι τὸν νέον τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν. » Τὰ γὰρ τῆς πολιτείας ἐλέγχει σαφῶς τοὺς ἐγνωκότας τὰς ἐντολάς· ἐπεὶ οἷος ὁ λόγος, τοῖος ὁ βίος (35)· ἀπὸ δὲ τῶν καρπῶν τὸ δένδρον (36), οὐκ ἀπὸ τῶν ἀνθῶν καὶ πετάλων, γνωρίζεται. Ἡ γνῶσις οὖν ἐκ τοῦ καρποῦ καὶ τῆς πολιτείας, οὐκ ἐκ τοῦ λόγου καὶ τοῦ ἄνθους· οὐ γὰρ λόγον ψιλὸν εἶναι τὴν γνῶσίν φαμεν, ἀλλά τινα ἐπιστήμην θείαν· καὶ φῶς ἐκεῖνο τὸ ἐν τῇ ψυχῇ ἐγγενόμενον ἐκ τῆς κατὰ τὰς ἐντολὰς ὑπακοῆς, τὸ πάντα κατάδηλα ποιοῦν, τά τε ἐν γενέσει, αὐτόν τε τὸν ἄνθρωπον, ἑαυτόν τε γινώσκειν παρασκευάζον, καὶ τοῦ Θεοῦ ἐπήβολον καθί-
C στασθαι διδάσκον· ὡς γὰρ (37) ὀφθαλμὸς ἐν σώματι, τοῦτο ἐν τῷ νῷ ἡ γνῶσις. Μηδὲ λεγόντων ἐλευθερίαν τὴν ὑπὸ ἡδονῆς δουλείαν, καθάπερ οἱ τὴν χολὴν γλυκεῖαν· ἡμεῖς γὰρ ἐλευθερίαν μεμαθήκαμεν, ἣν ὁ Κύριος ἡμᾶς ἐλευθεροῖ μόνος, ἀπολύων τῶν ἡδονῶν τε καὶ τῶν ἐπιθυμιῶν, καὶ τῶν ἄλλων παθῶν. « Ὁ λέγων· Ἔγνωκα τὸν Κύριον (38), καὶ τὰς ἐντολὰς αὐτοῦ μὴ τηρῶν, ψεύστης ἐστὶν, καὶ ἐν τούτῳ ἡ ἀλήθεια οὐκ ἔστιν, » Ἰωάννης λέγει

CAPUT VI.

Secundum genus hæreticorum aggreditur, illorum scilicet qui ex impia de Deo omnium conditore sententia, continentiam exercent.

Adversus autem alterum genus hæreticorum, qui speciose per continentiam impie se gerunt, tum in

D Τοῖς δὲ εὐφήμως (39) δι' ἐγκρατείας ἀσεβοῦσιν εἴς τε τὴν κτίσιν καὶ τὸν ἅγιον Δημιουργὸν, τὸν παντο-

✠ P. 531 ED. POTTER. [a] Col. II, 11. [b] Ibid. III, 4, 10. [c] I Joan. II, 4.

(29) *Ἐπαισχύνεσθαι.* Scribendum οὐκ ἐπαισχύνεσθαι: quod viderunt etiam interpres et Lowthius.

(30) *Ἢ μόνον εἶναι τὸ καλὸν ἀγαθόν.* Flor. edit. ἣ μόνον, « quæ solum » relative: sed ἢ legendum esse, probat etiam Herveti versio. SYLBURG.—Legendum καὶ μόνον εἶναι τὸ καλὸν ἀγαθόν. LOWTH.

(31) *Τῆς σαρκός.* Τῶν ἁμαρτιῶν τῆς σαρκός, vulg. Bibl. Coloss.

(32) *Ζητεῖτε.* Οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος addunt vulg. Bibl.

(33) *Μέλη.* Μέλη ὑμῶν Coloss. ubi mox, Ἐπιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν ἐν εἰδωλολατρείᾳ.

(34) *Ἀποθέσθωσαν οὖν καὶ αὐτοί.* Νυνὶ δὲ καὶ ἀπόθεσθε καὶ ὑμεῖς τὰ πάντα, Coloss., ubi mox, στόματος αὐτῶν, μὴ ψεύδεσθαι ἀλλήλοις, ἀπεκδ· et rursum ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ, καὶ ἐνδυσ.

(35) *Οἷος ὁ λόγος, τοῖος ὁ βίος.* Seneca ad Lucilium Epist. 114: « Apud Græcos in proverbium cessit: Talis hominibus fuit oratio, qualis vita. » Erasmus *Chil.* I, cent. 6, prov. 50, ex Aristide Græcum affert: Οἷος ὁ τρόπος, τοιοῦτον εἶναι καὶ τὸν λόγον, sed melius expressum habes e Clemente. COLLECT.—Conf. quæ sub finem *Protreptici* adnotata sunt.

(36) *Δένδρον.* Respicit Christi effatum: Ἐκ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται. Matth. XII, 33.

(37) *Ὡς γάρ.* Forte rectius ὃ γάρ, vel ὅπερ γάρ, « quod enim. » SYLBURG.

(38) *Τὸν Κύριον.* Αὐτόν, Joann.

(39) *Εὐφήμως.* Sic infra pag. 452 edit. Paris.: Οἱ δὲ ἀντιτασσόμενοι τῇ κτίσει τοῦ Θεοῦ διὰ τῆς εὐφήμου ἐγκρατείας.

A κράτορα μόνον Θεόν, καὶ διδάσκουσι μὴ δεῖν παραδέχεσθαι γάμον καὶ παιδοποιίαν μηδὲ ἀντεισάγειν τῷ κόσμῳ δυστυχήσοντας ἑτέρους, μηδὲ ἐπιχορηγεῖν τῷ θανάτῳ τροφήν, ἐκεῖνα λεκτέον· πρῶτον μὲν τὸ τοῦ ἀποστόλου Ἰωάννου· « Καὶ νῦν ἀντίχριστοι πολλοὶ γεγόνασιν· ὅθεν ἐγνώκαμεν (40), ὅτι ἐσχάτη ὥρα ἐστίν. Ἐξ ἡμῶν ἐξῆλθον, ἀλλ' οὐκ ἦσαν ἐξ ἡμῶν· εἰ γὰρ ἦσαν ἐξ ἡμῶν, μεμενήκεισαν ἂν μεθ' ἡμῶν. » Ἔπειτα καὶ διαστρεπτέον αὐτούς, τὰ ὑπ' αὐτῶν φερόμενα διαλύοντας, ὧδέ πως· « Τῇ Σαλώμῃ ὁ Κύριος πυνθανομένῃ, μέχρι πότε θάνατος ἰσχύσει, » οὐχ ὡς (41) κακοῦ τοῦ βίου ὄντος καὶ τῆς κτίσεως πονηρᾶς, « Μέχρις ἄν, εἶπεν, ὑμεῖς αἱ γυναῖκες τίκτετε· » ἀλλ' ὡς τὴν ἀκολουθίαν τὴν φυσικὴν διδάσκων· γενέσει γὰρ πάντως ἕπεται καὶ φθορά. B Τρυφῆς μὲν οὖν καὶ πάσης ἀκοσμίας ἡμᾶς ὁ νόμος ἐξάγειν προῄρηται. Καὶ τοῦτό ἐστιν αὐτοῦ τέλος, ἐκ τῆς ἀδικίας ἡμᾶς εἰς δικαιοσύνην ὑπάγειν, γάμους τε αἱρουμένους σώφρονας, καὶ παιδοποιίας, καὶ πολιτείας. Ὁ δὲ Κύριος οὐ καταλύειν (42) τὸν νόμον ἀφικνεῖται, ἀλλὰ πληρῶσαι· πληρῶσαι δὲ οὐχ ὡς ἐνδεεῖ (43), ἀλλὰ τῷ τὰς κατὰ νόμον προφητείας ἐπιτελεῖς γενέσθαι κατὰ τὴν αὐτοῦ παρουσίαν· ἐπεὶ τὰ τῆς ὀρθῆς πολιτείας καὶ τοῖς δικαίως βεβιωκόσι πρὸ τοῦ νόμου διὰ τοῦ λόγου ἐκηρύσσετο. Οἱ τοίνυν πολλοί, τὴν ἐγκράτειαν οὐκ εἰδότες, σώματι πολιτεύονται, ἀλλ' οὐ πνεύματι. Γῆ δὲ καὶ σποδὸς τὸ σῶμα ἄνευ πνεύματος, αὐτίκα μοιχείαν (44) ἐξ ἐνθυμήσεως κρίνει ὁ Κύριος. Τί γάρ; οὐκ ἔστι καὶ γάμῳ ἐγκρατῶς χρῆσθαι, καὶ μὴ πειρᾶσθαι διαλύειν ὃ C « συνέζευξεν (45) ὁ Θεός; » Τοιαῦτα γὰρ διδάσκουσιν οἱ τῆς συζυγίας μερισταί, δι' οὓς καὶ τὸ ὄνομα βλασφημεῖται (46). Μιαρὰν δὲ εἶναι τὴν συνουσίαν λέγοντες οὗτοι, οἱ τὴν σύστασιν καὶ αὐτοὶ (47) ἐκ συνουσίας εἰληφότες, πῶς οὐκ ἂν εἶεν μιαροί; Τῶν δὲ ἁγιασθέντων ἅγιον, οἶμαι, καὶ τὸ σπέρμα. Ἡγιάσθαι μὲν οὖν ἡμῖν ὀφείλει οὐ μόνον τὸ πνεῦμα, ἀλλὰ καὶ ὁ τρόπος, καὶ ὁ βίος, καὶ τὸ σῶμα. Ἐπεὶ τίνι λόγῳ ὁ ἀπόστολος Παῦλος ἡγιάσθαι λέγει « τὴν γυναῖκα ὑπὸ τοῦ ἀνδρός, ἢ τὸν ἄνδρα ὑπὸ τῆς γυναικός; » Τί δέ ἐστιν ὅπερ ὁ Κύριος εἶπε πρὸς τοὺς περὶ τοῦ ἀποστασίου πυνθανομένους, « Εἰ ἔξεστιν (48) ἀπολῦσαι γυναῖκα, Μωϋσέως ἐπιτρέψαντος; » « Πρὸς τὴν σκληροκαρδίαν ὑμῶν, φησίν, ὁ Μωϋσῆς ταῦτα ἔγραψεν· ὑμεῖς δὲ οὐκ ἀνέγνωτε, ὅτι τῷ πρωτοπλάστῳ ὁ Θεὸς D

A creaturam, tum in sanctum Opificem, qui est solus Deus omnipotens; et dicunt non esse admittendum matrimonium et liberorum procreationem, nec ✠ in mundum esse inducendos alios infelices futuros, nec suppeditandum morti nutrimentum, hæc sunt opponenda: primum quidem illud Joannis: « Et nunc antichristi multi facti sunt, unde scimus quod novissima hora est. Ex nobis exierunt, sed non erant ex nobis. Nam si fuissent ex nobis, permansissent utique nobiscum [a]. » Deinde sunt etiam evertendi, et dissolvenda, quæ ab eis afferuntur, hoc modo: « Salomæ interroganti, quousque vigebit mors, » non quasi vita esset mala, et mala creatura, « Dominus, Quoadusque, inquit, vos mulieres paritis, » sed quasi naturalem docens consequen- B tiam: ortum enim omnino sequitur interitus. Vult ergo lex quidem nos a deliciis omnique probro et dedecore educere. Et hic est ejus finis, ut nos ab injustitia ad justitiam deducamur, honesta eligendo matrimonia, et liberorum procreationem, bonamque vitæ institutionem. Dominus autem « non venit ad solvendam legem, sed ad implendam [b]: » ad implendam autem, non ut cui aliquid deesset, sed quod legis prophetiæ per ejus adventum completæ fuerint. Nam recta vitæ institutio, iis etiam, qui juste vixerunt ante legem, per logon prædicabatur. Vulgus ergo hominum, quod non novit continentiam, corpore vitam degit, sed non spiritu: sine spiritu autem corpus nihil aliud est quam terra et C cinis. Jam adulterium judicat Dominus ex cogitatione. Quid enim? annon licet etiam continenter uti matrimonio, et non conari dissolvere, quod « conjunxit Deus [c]? » Talia enim docent conjugii divisores, propter quod nomen probris ac maledictis appetitur inter gentes. Sceleratum autem dicentes isti esse coitum, qui ipsi quoque suam essentiam ex coitu accepere, quomodo non fuerint scelerati? Eorum autem, qui sunt sanctificati, sanctum quoque, ut puto, semen est. Ac nobis quidem debet esse sanctificatus, non solum spiritus, sed et mores, et vita, et corpus. Nam quanam ratione dicit Paulus apostolus esse « sanctificatam mulierem a viro, » aut « virum a muliere [d]? » Quid est autem, quod Dominus quoque dixit iis, qui interrogabant de divortio: « An liceat D uxorem dimittere, cum Moyses id permiserit? » « Ad

✠ P. 532 ED. POTTER, 445 ED. PARIS. [a] I Joan. II, 18, 19. [b] Matth. V, 17. [c] Ibid. XIX, 6. Marc. X, 9. [d] I Cor. VII, 14.

(40) *Ἐγνώκαμεν*. Γινώσκομεν, Joann.

(41) *Οὐχ ὡς*. Simplicior ordo est, εἶπεν· Μέχρις ἂν ὑμεῖς αἱ γυναῖκες τίκτετε· οὐχ ὡς κακοῦ τοῦ βίου ὄντος καὶ τῆς κτίσεως πονηρᾶς, ἀλλ' ὡς... SYLBURG. —Porro hoc Christi ad Salomen dictum iterum occurrit in *Excerpt. e Theodot.* pag. 799, item libri hujusce pag. 452 edit. Paris., ubi ex Evangelio secundum Ægyptios sumptum, memorat auctor.

(42) *Καταλύειν*. Matth. V, 17: Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας· οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι.

(43) *Ἐνδεεῖ*. Congruentius ἐνδεῆ, vel ἐνδεᾶ. SYLBURG.

(44) *Μοιχείαν*. Respicit Matth. V, 18. Πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς ἤδη ἐμοίχευσεν αὐτὴν τῇ καρδίᾳ αὐτοῦ.

(45) *Ὃ συνέζευξεν*. Matth. XIX, VI; Marc., X. 9: Ὃ οὖν ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω.

(46) *Τὸ ὄνομα βλασφημεῖται*. Nomen Christianum vult, ut superius p. 428, edit. Paris. Simile est illud apostoli Jac. II, 7: Οὐκ αὐτοὶ βλασφημοῦσι τὸ καλὸν ὄνομα τὸ ἐπικληθὲν ἐφ' ὑμᾶς· et Rom. II, 24: Τὸ γὰρ ὄνομα τοῦ Θεοῦ δι' ὑμᾶς βλασφημεῖται ἐν τοῖς ἔθνεσιν.

(47) *Καὶ αὐτοί*. Eodem argumento Marcionitas matrimonium prohibentes oppugnat Tertullianus sub finem lib. I *Contra Marcion.*: « Utique enim et Marcion ex nuptiis natus est. »

(48) *Εἰ ἔξεστιν*. Hæc, verbis paulum mutatis, exstant Matth. XIX, 3 et seq.; Marc. X, 2 et seq.

duritiam cordis vestri, inquit, Moyses hæc scripsit. Vos autem non legistis, quod protoplasto Deus ✠ dixit : « Eritis duo in carne una? Quare qui dimittit uxorem, præterquam fornicationis causa, facit eam mœchari[a]. Sed post resurrectionem, inquit, nec uxorem ducunt, nec nubunt[b]. Etenim de ventre et cibis dictum est : « Escæ ventri, et venter escis; Deus autem et illum et has destruet[c]; » hos impetens, qui instar caprorum et hircorum sibi vivendum esse censent, ne secure ac sine terrore comessent et coirent. Si resurrectionem itaque receperint, ut ipsi dicunt, et ideo matrimonium infirmant et abrogant; nec comedant, nec bibant : « destrui » enim « ventrem et cibos, » dicit Apostolus in resurrectione. Quomodo ergo esuriunt, et sitiunt, et carnis patiuntur affectiones, et alia, quæ non patietur, qui per Christum accepit perfectam, quæ speratur, resurrectionem? Quin etiam ii, qui colunt idola, a cibis et venere abstinent. « Non est » autem, inquit, « regnum Dei cibus et potus[d]. » Certe magis quoque curæ est, qui angelos colunt et dæmones, simul a vino et animatis et rebus abstinere venereis. Quemadmodum autem humilitas est mansuetudo, non autem afflictio corporis : ita etiam continentia est animæ virtus, quæ non est in manifesto, sed in occulto. Sunt autem etiam, qui matrimonium aperte dicunt fornicationem, et decernunt id traditum esse a diabolo. Dicunt autem gloriosi isti iactatores se imitari Dominum, qui neque uxorem duxit, neque in mundo aliquid possedit; se magis quam alii Evangelium intellexisse gloriantes. Eis autem dicit Scriptura : « Deus superbis resistit, humilibus autem dat gratiam[e]. » Deinde nesciunt causam cur Dominus uxorem non duxerit. Primum quidem, propriam **192** sponsam habuit Ecclesiam : deinde vero, nec homo erat communis, ut opus haberet etiam adjutore aliquo secundum carnem; neque erat ei necesse procreare filios, qui manet in æternum, et natus est solus Dei Filius. Hic ipse autem Dominus dicit : « Quod Deus conjunxit, homo ne separet[f]. » Et rursus : « Sicut autem erat in diebus Noe, erant nubentes, et nuptui dantes, ædificantes, et plantantes; et sicut erat in diebus Lot, ita erit adventus Filii hominis[g]. » Et quod hoc non dicit ad gentes, ostendit, cum subjun-

A εἶπεν· « Ἔσεσθε οἱ δύο εἰς σάρκα μίαν; Ὥστε ὁ ἀπολύων τὴν γυναῖκα χωρὶς λόγου πορνείας ποιεῖ αὐτὴν μοιχευθῆναι. Ἀλλὰ (49) μετὰ τὴν ἀνάστασιν, φησὶν (50), οὔτε γαμοῦσιν, οὔτε γαμίζονται. » Καὶ γὰρ περὶ τῆς κοιλίας καὶ τῶν βρωμάτων εἴρηται· « Τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν· ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει· » τούτους ἐπιῤῥαπίζων τοὺς δίκην κάπρων καὶ τράγων ζῇν οἰομένους, ἵνα μὴ ἀδεῶς ἐσθίοιεν, καὶ ὀχεύοιεν. Εἰ γοῦν τὴν ἀνάστασιν ἀπειλήφασιν (51), ὡς αὐτοὶ λέγουσι, καὶ διὰ τοῦτο ἀθετοῦσι τὸν γάμον· μηδὲ ἐσθιέτωσαν, μηδὲ πινέτωσαν· « καταργεῖσθαι » γὰρ ἔφη « τὴν κοιλίαν καὶ τὰ βρώματα » ὁ Ἀπόστολος ἐν τῇ ἀναστάσει. Πῶς οὖν καὶ πεινῶσι, καὶ διψῶσι, καὶ τὴν σάρκα πάσχουσι, καὶ τὰ ἄλλα, ὅσα ὁ διὰ Χριστοῦ τε- B λείαν τὴν προσδοκωμένην ἀνάστασιν λαβὼν οὐ πείσεται; Ἀλλ' οἱ καὶ τὰ εἴδωλα σεβόμενοι βρωμάτων τε ἅμα καὶ ἀφροδισίων ἀπέχονται· « Οὐκ ἔστι δὲ ἡ βασιλεία Θεοῦ βρῶσις καὶ πόσις, » φησίν. Ἀμέλει διὰ φροντίδος ἐστὶ καὶ τοῖς μάγοις, οἴνου τε ὁμοῦ καὶ ἐμψύχων καὶ ἀφροδισίων ἀπέχεσθαι, λατρεύουσιν ἀγγέλοις καὶ δαίμοσιν. Ὡς δὲ ἡ ταπεινοφροσύνη (52) πραότης ἐστὶν, οὐχὶ δὲ κακουχία σώματος· οὕτω καὶ ἡ ἐγκράτεια ψυχῆς ἀρετὴ, ἡ οὐκ ἐν φανερῷ, ἀλλ' ἐν ἀποκρύφῳ. Εἰσὶν θ' οἳ πορνείαν ἄντικρυς τὸν γάμον λέγουσι καὶ ὑπὸ τοῦ διαβόλου ταύτην παραδίδοσθαι δογματίζουσι· μιμεῖσθαι δ' αὐτοὺς οἱ μεγαλαυχοί φασι τὸν Κύριον, μήτε γήμαντα, μήτε τι ἐν τῷ κόσμῳ κτησάμενον· μᾶλλον παρὰ τοὺς ἄλλους νενοηκέναι τὸ Εὐαγγέλιον καυχώμενοι. Λέγει δὲ αὐτοῖς ἡ Γραφή· C « Ὑπερηφάνοις ὁ Θεὸς ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν. » Εἶτ' οὐκ ἴσασι τὴν αἰτίαν τοῦ μὴ γῆμαι τὸν Κύριον· πρῶτον μὲν γὰρ, τὴν ἰδίαν νύμφην εἶχεν, τὴν Ἐκκλησίαν· ἔπειτα δὲ οὐδὲ ἄνθρωπος ἦν κοινὸς, ἵνα καὶ βοηθοῦ τινος κατὰ σάρκα δεηθῇ· οὐδὲ τεκνοποιήσασθαι ἦν αὐτῷ ἀναγκαῖον ἀϊδίως μένοντι, καὶ μόνῳ Υἱῷ Θεοῦ γεγονότι. Αὐτὸς δὲ οὗτος ὁ Κύριος λέγει· « Ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω. » Καὶ πάλιν· « Ὥσπερ (53) δὲ ἦν ἐν ταῖς ἡμέραις Νῶε, ἦσαν γαμοῦντες, γαμίζοντες, οἰκοδομοῦντες, φυτεύοντες, καὶ ὡς ἦν ἐν ταῖς ἡμέραις Λὼτ, οὕτως ἔσται ἡ παρουσία τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. » Καὶ ὅτι οὐ πρὸς τὰ ἔθνη λέγει, ἐπιφέρει· « Ἆρα ἐλθὼν ὁ Υἱὸς τοῦ ἀνθρώπου (54), εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς; » D Καὶ πάλιν· « Οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ

✠ P. 533 ED. POTTER, 446 ED. PARIS. [a] Matth. xix, 3; Marc. x, 2. [b] Matth. xxii, 30; Marc. xii, 23; Luc. xx, 35. [c] I Cor. vi 13. [d] Rom. xiv, 17. [e] Jac. iv, 6; I Pet. v, 5. [f] Matth. xix, 6; Marc x, 9. [g] Matth. xxiv, 37; Luc. xvii, 28.

(49) *Ἀλλά*. Hæc, verbis rursus paulum variatis, occurrunt Matth. xxii, 30; Marc. xii, 23; Luc. xx, 35.

(50) *Φησίν*. Si quis pluraliter malit φασί, per me licet. SYLBURG

(51) *Τὴν ἀνάστασιν ἀπ.* Hi hæretici affirmabant id, quod ante eos, S. Paulo in vivis agente, alii dixerant, τὴν ἀνάστασιν ἤδη γεγονέναι, « resurrectionem esse jam factam : » II Tim. ii, 18. Sic etiam Menander docuit « resurrectionem per id, quod est in eum, baptisma accipere ejus discipulos, et ultra non posse mori, sed perseverare non senescentes et immortales : » ut referunt Irenæus lib. i, cap. 21, et Tertullianus lib. *De anima*, cap. 50. Memorat etiam Tertullianus lib. *De resurrectione carnis*, cap. 19, alios fuisse hæreticos, qui dicebant « resurrectionem eam vindicandam, qua quis adita veritate redanimatus et revivificatus Deo, ignorantiæ morte discussa, velut de sepulcro veteris hominis eruperit : . . . exinde resurrectionem fide consecutos cum Domino esse, cum eum in baptismate induerint. »

(52) *Ταπεινοφροσύνη*. Respicere videtur Coloss. ii, 23 : Ἅτινά ἐστι λόγον μὲν ἔχοντα σοφίας ἐν ἐθελοθρησκείᾳ, καὶ ταπεινοφροσύνῃ, καὶ ἀφειδίᾳ τοῦ σώματος.

(53) *Ὥσπερ*. Horum sensus occurrit Luc. xvii, 28; Matth. xxiv, 37.

(54) *Ἆρα ἐλθὼν ὁ Υἱὸς τοῦ ἀνθ.* Ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐλθὼν ἆρα, Luc.

ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις.» Καίτοι καὶ ταῦτα ἀλληγορεῖται. Διὰ τοῦτο οὐδὲ τοὺς καιροὺς ὥρισεν (55), «οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ,» ἵνα διαμένῃ κατὰ τὰς γενεὰς ὁ κόσμος. Τὸ δὲ, «Οὐ πάντες χωροῦσι τὸν λόγον τοῦτον (56)· εἰσὶ γὰρ εὐνοῦχοι, οἵτινες ἐγεννήθησαν οὕτως· καί εἰσιν εὐνοῦχοι, οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων· καί εἰσιν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν. Ὁ δυνάμενος χωρεῖν χωρείτω·» οὐκ ἴσασιν, ὅτι μετὰ τὴν τοῦ ἀποστασίου ῥῆσιν, πυθομένων τινῶν, ὅτι, «ἐὰν οὕτως ᾖ (57) ἡ αἰτία τῆς γυναικὸς, οὐ συμφέρει τῷ ἀνθρώπῳ γαμῆσαι·» τότε ὁ Κύριος ἔφη· «Οὐ πάντες χωροῦσι τὸν λόγον τοῦτον, ἀλλ' οἷς δέδοται.» Τοῦτο γὰρ οἱ πυνθανόμενοι μαθεῖν ἐβουλήθησαν, εἰ συγχωρεῖ, καταγνωσθείσης ἐπὶ πορνείᾳ γυναικὸς καὶ ἐκβληθείσης, ἑτέραν γῆμαι. Φασὶ δὲ καὶ ἀθλητὰς (58) οὐκ ὀλίγους ἀφροδισίων ἀπέχεσθαι, δι' ἄσκησιν σωματικὴν ἐγκρατευομένους· καθάπερ τὸν Κροτωνιάτην Ἄστυλον, καὶ Κρίσωνα (59) τὸν Ἱμεραῖον· καὶ Ἀμοιβεὺς (60) δὲ ὁ κιθαρῳδὸς, νεόγαμος ὤν, ἀπέσχετο τῆς νύμφης· ὅτε Κυρηναῖος Ἀριστοτέλης (61), Λαΐδα ἐρῶσαν ὑπεώρα (62) μόνος· ὁμωμοκὼς οὖν τῇ ἑταίρᾳ, ἦ μὴν ἀπάξειν αὐτὴν εἰς πατρίδα, εἰ συμπράξειεν αὐτῷ τινα πρὸς τοὺς ἀνταγωνιστὰς, ἐπειδὰν διεπράξατο, χαριέντως ἐκτελῶν τὸν ὅρκον, γραψάμενος αὐτῆς ὡς ὅτι μάλιστα ὁμοιοτάτην εἰκόνα, ἀνέστησεν εἰς Κυρήνην, ὡς ἱστορεῖ Ἴστρος ἐν τῷ *Περὶ ἰδιότητος ἀθλων*. Ὥστ' οὐδ' ἡ εὐνουχία ἐνάρετον (63), εἰ μὴ δι' ἀγάπην γίνοιτο τὴν πρὸς τὸν Θεόν. Αὐτίκα περὶ τῶν βδελυσσομένων τὸν γάμον Παῦλος ὁ μακάριος λέγει· «Ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως, προσέχοντες πνεύμασι πλάνοις (64) καὶ διδασκαλίαις δαιμονίων, κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων.» Καὶ πάλιν λέγει· «Μηδεὶς (65) ὑμᾶς καταβραβευέτω ἐν ἐθελοθρησκείᾳ ταπεινοφροσύνης, καὶ ἀφειδίᾳ σώματος.» Ὁ δὲ αὐτὸς κἀκεῖνα γράφει· «Δέδεσαι γυναικί; μὴ ζήτει λύσιν. Λέλυσαι ἀπὸ γυναικός; μὴ ζήτει γυναῖκα.» Καὶ πάλιν· «Ἕκαστος

A git: «Num cum venerit Filius hominis, inveniet fidem in terra [a]?» Et rursus: «Væ prægnantibus et ✠ lactantibus in illis diebus [b].» Quanquam hæc quoque dicuntur allegorice. Propterea nec «tempora» præfiniit, «quæ Pater posuit in sua potestate [c],» ut permaneret mundus per generationes. Illud autem: «Non omnes capiunt verbum hoc: sunt enim eunuchi, qui sic nati sunt; et sunt eunuchi, qui castrati sunt ab hominibus; et sunt eunuchi, qui seipsos castrarunt propter regnum cœlorum. Qui potest capere, capiat [d];» nesciunt quod, postquam de divortio esset locutus, cum quidam rogassent: «Si sic sit causa uxoris, non expedit homini uxorem ducere;» tunc dixit Dominus: «Non omnes capiunt verbum hoc, sed quibus datum est [e].» B Hoc enim qui rogabant, volebant ex eo scire, an uxore damnata et ejecta propter fornicationem, concedat aliam ducere. Aiunt autem athletas quoque non paucos abstinere a venere, propter exercitationem corporis continentes: quemadmodum Crotoniatem Astylum, et Crisonem Himeræum. Quinetiam Amœbeus citharœdus, cum recenter matrimonio junctus esset, a sponsa abstinuit: et Cyrenæus Aristoteles amantem Laidem solus despexit. Cum meretrici itaque jurasset, se eam esse in patriam abducturum, si ei adversus decertantes adversarios in aliquibus opem tulisset, postquam id perfecisset, lepide a se dictum jusjurandum exsequens, cum curasset imaginem ejus quam simillimam depingi, eam Cyrenæ statuit, ut scribit Ister in libro *De proprietate certaminum*. C Quare nec castitas est bonum, nisi fiat propter dilectionem Dei. Jam de iis, qui matrimonium abhorrent, dicit beatus Paulus: «In novissimis diebus deficient quidam a fide, attendentes spiritibus erroris, et doctrinis dæmoniorum, prohibentium nubere, abstinere a cibis [f].» Et rursus dicit: «Nemo vos seducat in voluntaria humilitatis religione, et parcimonia cor-

✠ P. 534 ED. POTTER, 447 ED. PARIS. [a] Luc. xviii, 8. [b] Matth. xxiv, 19; Marc. xiii, 17; Luc. xxi, 23. [c] Act. i, 7. [d] Matth. xix, 11, 12. [e] Ibid. 10, 11. [f] I Tim. iv, 1, 3.

(55) *Ὥρισεν*. Nempe Christus, qui hæc loquitur Act. i, 7.

(56) *Τὸν λόγον τοῦτον*. Τοῦτον τὸν λόγον, ἀλλ' οἷς δέδοται. Matth., ubi mox, οἵτινες ἐκ κοιλίας, μητρὸς ἐγεννήθησαν οὕτως.

(57) *Ἐὰν οὕτως ᾖ*. Εἰ οὕτως ἐστίν, Matth.

(58) *Ἀθλητάς*. Eustathius in *Iliad.* Ω, p. 1472: Οἱ ἀθληταὶ τὸν τοῦ ἀθλεῖν πάντα καιρὸν οὐκ ἀφίεντο πλησιάζειν γυναιξί. «Athletæ per omne tempus certandi non admittebantur ad coeundum cum feminis.» Horatius *De arte poet.* v. 412:

Qui studet optatam cursu contingere metam,
Multa tulit fecitque puer, sudavit et alsit,
Abstinuit venere et vino . . . .

Conf. quæ adnotata sunt ad principium hujusce *Stromatum* libri.

(59) *Κρίσωνα*. Plato Crisonis meminit in *Protagora* p. 334: Ὥσπερ ἂν δέοιό μου Κρίσωνι τῷ Ἱμεραίῳ δρομεῖ ἀκμάζοντι ἕπεσθαι. Et lib. viii *De legib.*, p. 840, inter athletas abstinentes se a rebus venereis enumerat Κρίσσωνα, καὶ Ἀστύλον, καὶ Διόπομπον. Pausanias Ἠλιακ. Β'. Ἀστύλος δὲ Κροτωνιάτης Πυθαγόρου μέν ἐστιν ἔργον, τρεῖς δὲ ἐφεξῆς Ὀλυμπιάδος σταδίου καὶ διαύλου νίκας ἔχει. Athenæus lib. xiv Amœbei citharœdi meminit, qui, quoties cantaturus exiret, talentum in singulos dies accipiebat. Cæterum de loco illo caprorum et hircorum, vide quæ in *Pædagogo* notata sunt. COLLECT.

D (60) *Ἀμοιβεύς*. Ælianus *Var. hist.* lib. iii, cap. 30: Ἀμοιβέας ὁ κιθαρῳδὸς σωφρονέστατος ἐλέγετο, καὶ γυναῖκα ὡραιοτάτην ἔχων μὴ ὁμιλεῖν αὐτῇ. «Amœbeas citharœdus maxima continentia præditus dicitur fuisse, cumque venustissimam uxorem haberet, non coivisse cum ea.»

(61) *Ἀριστοτέλης*. Eadem de Eubata Cyrenæo refert Ælianus *Var. hist.* lib. x, cap. 2.

(62) *Ὑπεώρα*. Rectius H. ms. ὑπερεώρα, «despiciebat.» SYLBURG.

(63) *Οὐδ' ἡ εὐν*. Conf. *Strom.* iv, p. 533 edit. Paris.

(64) *Πνεύμασι πλάνοις*. H. ms., πνεύμασι πλάνης, «spiritibus erroris.» SYLBURG.

(65) *Μηδείς*. Hæc conflavit auctor ex Coloss. ii, 18: Μηδεὶς ἡμᾶς καταβραβευέτω θέλων ἐν ταπεινοφροσύνῃ καὶ θρησκείᾳ τῶν ἀγγέλων· et v. 23: Ἅτινά ἐστι λόγον μὲν ἔχοντα σοφίας ἐν ἐθελοθρησκείᾳ, καὶ ταπεινοφροσύνῃ, καὶ ἀφειδίᾳ σώματος.

poris [a]. » Idem autem illa quoque scribit : « Alligatus es uxori? ne quæras solutionem. Solutus es ab uxore? ne quæras uxorem [b]. » Et rursus : « Unusquisque autem suam uxorem habeat, ne tentet vos Satanas [c]. » Quid vero? ✠ non etiam justi veteres creaturam cum gratiarum actione participabant? Aliqui autem etiam liberos susceperunt, continenter versati in matrimonio. Et Eliæ quidem corvi alimentum afferebant, panes et carnes. Quinetiam Samuel propheta armum, quem ex iis, quæ comedisset, reliquerat, allatum, dedit edendum Sauli. Hi autem, qui se eos dicunt vitæ institutis excellere, cum illorum actionibus ne poterunt quidem conferri. « Qui » itaque « non comedit, comedentem ne spernat. Qui autem comedit, eum qui non comedit non judicet : Deus enim ipsum accepit [d]. » Quin etiam Dominus de seipso dicens : Venit, » inquit, « Joannes, nec comedens, nec bibens, et dicunt : Dæmonium habet; venit Filius hominis comedens et bibens, et dicunt : Ecce homo vorax et vini potor, amicus publicanorum, et peccator [e]. » An etiam

A (66) δὲ τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ Σατανᾶς. » Τί δέ; οὐχὶ καὶ οἱ παλαιοὶ δίκαιοι εὐχαρίστως τῆς κτίσεως μετελάμβανον; Οἱ δὲ καὶ ἐπαιδοποιήσαντο (67), γήμαντες ἐγκρατῶς. Καὶ τῷ μὲν Ἠλίᾳ (68) οἱ κόρακες ἔφερον τροφὴν, ἄρτους καὶ κρέα· καὶ Σαμουὴλ (69) δὲ ὁ προφήτης, ὃν καταλελοίπει κωλεὸν ἐξ ὧν ἤσθιε, φέρων ἔδωκε τῷ Σαοὺλ φαγεῖν. Οἱ δὲ καὶ τούτους ὑπερφέρειν λέγοντες πολιτείᾳ καὶ βίῳ οὐδὲ συγκριθῆναι ταῖς ἐκείνων πράξεσι δυνήσονται. « Ὁ μὴ ἐσθίων (70) » τοίνυν « τὸν ἐσθίοντα μὴ ἐξουθενείτω· ὁ δὲ ἐσθίων τὸν μὴ ἐσθίοντα μὴ κρινέτω· ὁ Θεὸς γὰρ αὐτὸν προσελάβετο. » Ἀλλὰ καὶ ὁ Κύριος περὶ ἑαυτοῦ λέγων, « Ἦλθεν, φησὶν, Ἰωάννης, μήτε ἐσθίων, μήτε πίνων· καὶ λέγουσι, Δαιμόνιον ἔχει· ἦλθεν ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐσθίων B καὶ πίνων, καὶ λέγουσιν· Ἰδοὺ ἄνθρωπος φαγὸς (71) καὶ οἰνοπότης, φίλος τελωνῶν, καὶ ἁμαρτωλός. » Ἢ καὶ (72) τοὺς ἀποστόλους (73) ἀποδοκιμάζουσι (74); Πέτρος μὲν γὰρ καὶ Φίλιππος ἐπαιδοποιήσαντο· Φίλιππος δὲ καὶ τὰς θυγατέρας ἀνδράσιν ἐξέδωκεν. Καὶ ὅ γε Παῦλος οὐκ ὀκνεῖ ἔν τινι ἐπιστολῇ (75) τὴν αὐτοῦ

✠ P. 535 ED. POTTER, 448 ED. PARIS. [a] Coh. II, 18, 23. [b] I Cor. VII, 27. [c] Ibid. 2, 5. [d] Rom. XIV, 3. [e] Matth. XI, 18, 19.

(66) *Ἕκαστος*. Hæc composita sunt ex I Cor. VII, 2 : Διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω· et v. 5 : Καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχησθε, ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ Σατανᾶς διὰ τὴν ἀκρασίαν ὑμῶν.

(67) *Οἱ δὲ καὶ ἐπαιδοποιήσαντο*. Conf. *Strom.* VI, p. 664, et quæ ibi adnotanda sunt.

(68) *Ἠλίᾳ*. I Reg. XVII, 6 : Καὶ οἱ κόρακες ἔφερον αὐτῷ ἄρτους τὸ πρωΐ, καὶ κρέα τὸ δείλης.

(69) *Σαμουὴλ*. I Sam. IX, 24 : Καὶ ἥψησεν ὁ μάγειρος τὴν κωλέαν, καὶ παρέθηκεν αὐτὴν ἐνώπιον Σαοὺλ· καὶ εἶπε Σαμουὴλ τῷ Σαοὺλ· Ἰδοὺ ὑπόλειμμα, παράθες αὐτὸ ἐνώπιόν σου, καὶ φάγε.

(70) *Ὁ μὴ ἐσθ.* Ὁ ἐσθίων τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω· καὶ ὁ μὴ ἐσθίων τὸν ἐσθίοντα μὴ κρινέτω, Rom. IV, 3.

(71) *Φαγός*. Φάγος, Matth., ubi mox, τελωνῶν φίλος καὶ ἁμαρτωλῶν.

(72) *Ἢ καὶ τ.* Hæc usque ad . . . τῆς ὑπηρεσίας εὐσταλές, recitavit Eusebius *Ecclesiasticæ historiæ* lib. III, cap. 30, ut etiam Nicephorus *Eccles. hist.* lib. II, cap. 44.

(73) *Τοὺς ἀποστόλους*. Idem accidit Herveto in hunc locum scribenti, quod Eusebio lib. III *Historiæ*, cap. 25, qui citat locum Act. XXI de Philippo diacono, cui erant quatuor filiæ, nec distinguit ab apostolo diaconum. Nam et hunc Clementis locum inseruit libro suo Eusebius cap. 24, sed interpres novissimus Christophorsonus in cap. 25 vertit : « Philippum dico unum e septem diaconis, qui Hierapoli extremum vitæ diem obiit. » Cum sit Græce : Φίλιππον τῶν δώδεκα ἀποστόλων, ὃς κεκοίμηται ἐν Ἱεραπόλει. Quod enim ait Suffridus Petrus, eum legisse εἷς τῶν ἑπτὰ διακόνων, vel ἕνα, ex conjectura, non ex manuscripto, videtur esse : nam et Rufinus cap. 31 vertit : « Dico autem de Philippo, qui fuit unus ex apostolis, qui dormivit apud Hierapolim. » In *Catalogo* D. Hieronymi est : « Philippus apostolus in Phrygia prædicat Evangelium Domini Jesu. Sepelitur Hierapoli, cum filiabus honorifice. » At monet M. Victorius hæc adjecta esse a Græcis, sed in voce Polycrat. genuinum est Hieronymi, quod citat ex ejus epistola adversus Victorem synodica, unde etiam illa sunt Eusebii, vertitque : « Philippum loquor de duodecim apostolis, qui dormivit Hierapoli, et duas filias ejus, quæ virgines senuerunt : et aliam ejus filiam, quæ Spiritu sancto plena in Ephesо occubuit. » Postremum istud Eusebius effert : Καὶ ἡ ἑτέρα αὐτοῦ θυγάτηρ ἐν ἁγίῳ Πνεύματι πολιτευσαμένη, ἣ ἐν Ἐφέσῳ ἀναπαύεται. Rufinus : « Sed et duæ ejus filiæ inibi virgines consenuere, et alia ejus filia Spiritu sancto repleta permansit apud Ephesum; » rectius quam Christophorsonus, qui vertit, « quarum altera vitam Spiritus sancti, » etc., tres C enim apparet fuisse. Vide et Nicephorum lib. II, cap. 44, qui, errorem Eusebii animadvertens, ait per interpretem, « alterius Philippi, non apostoli. » COLLECT. — Nonnulli volunt a Clemente apostolum pro diacono positum fuisse : quemadmodum, ut aiunt, apostoli nomen viris apostolicis tribuerunt alii ex antiquis Patribus, ac speciatim Polycrates et Papias. Conf. Eusebius *Ecclesiasticæ historiæ* lib. III, cap. 30 et 31, et ibi Valesii notæ. Philippum diaconum συναπόστολον appellant apostoli in *Constitut. apost.* lib. VI, cap. 7, ubi conf. quæ hac de re adnotavit Cotelerius.

(74) *Ἀποδοκιμάζουσι*. Ἀποδοκιμάσουσι, fut. tempore, Euseb., Niceph.

(75) *Ἔν τινι ἐπιστολῇ*. Ad Philipp. c. IV. De conjuge autem ejus vise et Ignatii epist. 6, et Euseb. *Hist. eccles.* lib. III, cap. 24. H. SYLBURG. — Respicit Clemens Philipp. IV, 3 : Καὶ ἐρωτῶ σε, σύζυγε γνήσιε, συλλαμβάνου αὐταῖς, αἵτινες ἐν τῷ Εὐαγγελίῳ συνήθλησάν μοι. Quibus in verbis, licet γνήσιε D masculini generis sit, tamen cum Græci, ac præcipue Athenienses, diversa genera sæpe miscuerint, ut cum κλυτὸς Ἱπποδάμεια, etc., dixit Homerus; et cum apostoli et alii veteris Ecclesiæ pastores in curandis, et ad fidem convertendis feminis feminarum ope plerumque usi sint, de quo more consuli poterit *Constitut. apostol.* lib. III, cap. 15, putabant nonnulli Paulum hoc loco conjugem suam hortari, ut ei operi diligenter incumberet. Ignatius interpolat. *Epist. ad Philadelph.*, cap. 3, Paulum matrimonio junctum fuisse affirmat : Πέτρου, καὶ Παύλου, καὶ τῶν ἄλλων ἀποστόλων, τῶν γάμοις προσομιλησάντων. « Petri, et Pauli, et aliorum apostolorum, qui in nuptiis versati sunt. » Ubi conferri poterunt, quæ adnotavit Cotelerius. Adjici merentur, quæ adnotavit Beveregius nostras ad apostol. can. 5 : « Ex hisce, inquit, verbis nihil certius, nihil apertius esse potest, quam temporibus quibus conditi sunt hi canones, episcopos, presbyteros, et diaconos conjugatos esse. Nec mirum, cum Petrum et reli-

προσαγορεύειν (76) σύζυγον, ἣν οὐ περιεκόμιζε διὰ τὸ τῆς ὑπηρεσίας εὐσταλές (77). Λέγει οὖν ἔν τινι ἐπιστολῇ· « Οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν, ὡς καὶ οἱ λοιποὶ ἀπόστολοι; » Οὗτοι μὲν, οἰκείως τῇ διακονίᾳ ἀπερισπάστῳ τῷ κηρύγματι προσανέχοντες (78), οὐχ ὡς γαμετὰς, ἀλλ' ὡς ἀδελφὰς (79) περιῆγον τὰς γυναῖκας, συνδιακόνους ἐσομένας πρὸς τὰς οἰκουροὺς γυναῖκας, δι' ὧν καὶ εἰς τὴν γυναικωνῖτιν ἀδιαβλήτως (80) παρεισεδύετο ἡ τοῦ Κυρίου διδασκαλία. Ἴσμεν γὰρ καὶ ὅσα περὶ διακόνων γυναικῶν ἐν τῇ ἑτέρᾳ πρὸς Τιμόθεον ἐπιστολῇ ὁ γενναῖος διατάσσεται Παῦλος. Ἀλλὰ μὴν ὁ αὐτὸς οὗτος κέκραγεν, ὡς « οὐκ ἔστιν ἡ βασιλεία τοῦ Θεοῦ βρῶσις καὶ πόσις· » οὐδὲ μὴν ἀποχὴ οἴνου καὶ κρεῶν· « ἀλλὰ δικαιοσύνη, καὶ εἰρήνη, καὶ χαρὰ ἐν Πνεύματι ἁγίῳ. » Τίς αὐτῶν, μηλωτὴν καὶ ζώνην δερματίνην ἔχων, περιέρχεται ὡς Ἠλίας (81); Τίς δὲ σάκκον περιβέβληται, γυμνὸς τὰ ἄλλα, καὶ ἀνυπόδετος, ὡς Ἡσαΐας; ἢ περίζωμα μόνον λινοῦν, ὡς Ἱερεμίας; Ἰωάννου δὲ τὴν ἔνστασιν τὴν γνωστικὴν τοῦ βίου τίς μιμήσεται; Ἀλλὰ καὶ οὕτω βιοῦντες, ηὐχαρίστουν τῷ κτίσαντι οἱ μακάριοι προφῆται. Ἡ δὲ Καρποκράτους δικαιοσύνη, καὶ τῶν ἐπίσης αὐτῷ τὴν ἀκόλαστον μετιόντων κοινωνίαν, ὧδέ πως καταλύεται· ἅμα γὰρ τῷ φάναι, « Τῷ αἰτοῦντί (82) σε δός· » ἐπιφέρει· « Καὶ τὸν θέλοντα δανείσασθαι μὴ ἀποστραφῇς· » ταύτην διδάσκων τὴν κοινωνίαν, οὐχὶ δὲ τὴν λάγνον. Πῶς δὲ ὁ αἰτῶν, καὶ λαμβάνων, καὶ δανειζόμενος, ἀπὸ μηδενὸς ὑπάρχοντος τοῦ ἔχοντος, καὶ διδόντος, καὶ δανείζοντος; Τί δ'; ὅταν ὁ Κύριος φῇ, « Ἐπείνασα, καὶ ἐχορτάσατέ με (83)· ἐδίψησα, καὶ ἐποτί-

A reprobant apostolos? Petrus enim et Philippus filios procrearunt: Philippus autem filias quoque suas viris locavit. Et Paulus quidem certe non veretur in quadam epistola suam appellare « conjugem, » quam non circumferebat, quod non magno ei esset opus ministerio. Dicit itaque in quadam epistola : « Non habemus potestatem sororem uxorem circumducendi, sicut et reliqui apostoli [a]? Sed hi quidem, ut erat consentaneum, ✠ ministerio, quod divelli non poterat, prædicationi scilicet, attendentes, non ut uxores, sed ut sorores circumducebant mulieres, quæ una ministraturæ essent apud mulieres quæ domos custodiebant : per quas etiam in gynæceum, absque ulla reprehensione malave suspicione, ingredi posset doctrina Domini. Scimus enim quæ- B cunque de feminis diaconis in altera ad Timotheum præstantissimus docet Paulus. Atqui hic ipse exclamavit : « Non est regnum Dei esca et potus : » neque vero abstinentia a vino et carnibus; « sed justitia, et pax, et gaudium in Spiritu sancto [b]. » Quis eorum, ovilla pelle indutus, zona pellicea accinctus, circuit ut Elias? Quis cilicium induit, cætera nudus, et discalceatus, ut Isaias? vel subligaculum tantum habet lineum, ut Jeremias? Joannis autem vitæ institutum gnosticum quis imitabitur? Sed sic quoque viventes, gratias Creatori agebant beati prophetæ. Carpocratis autem justitia, et eorum, qui æque atque ipse impudicam prosequuntur communionem, hoc modo dissolvitur; simul enim ac C dixerit : « Te petenti des; » subjungit : « Et eum, qui velit mutuo accipere, ne averseris [c]; » hanc do-

✠ P. 536 ED. POTTER, 448-449 ED. PARIS. [a] I Cor. IX, 5. [b] Rom. XIV, 17. [c] Matth. V, 42.

quos apostolos uxores habuisse affirmat Basilius, *De abdicat. ser.*, statim ab initio. Et ipse quoque Ignatius : Ὡς Πέτρου, καὶ Παύλου, καὶ τῶν ἄλλων ἀποστόλων, τῶν γάμοις προσομιλησάντων. Ignat. *Epist. ad Philadelph.*, p. 98 edit. Usser. Hunc, fateor, Ignatii locum corruptum esse, ac nomen Pauli ab hæreticis insertum esse, e mss. nescio quibus acriter contendunt pontificii; sed incassum, ut probat Jac. Armachanus in *Prolegomenis* ad Ignatium, cap. 17. Ambrosius autem Paulum, cum Joanne, eosque solos, excipit : « Omnes, » inquit, « apostoli, exceptis Joanne et Paulo, uxores habuerunt : » Ambros. in II Cor. XI, 2. At Clemens Alexandrinus Paulum etiam uxorem habuisse scribit *Strom.* III, p. 488 edit. Paris., ubi et Philippum addit. De Philippo idem asserit et D. Chrysostomus Εἰς τὸν Ὀζίαν λόγ. δ', tom. V, p. 147 ed. Savil. et ante eum Polycrates Ephesinorum episcopus in epistola ad Victorem Romanum, apud Euseb. *Hist. eccles.* lib. III, c. 31. At Philippum illum, qui quatuor habuisse filias dicitur Act. XXI, 9, non apostolum, sed diaconum fuisse, probat Isidorus Pelusiota lib. I, epist. 147. »

(76) *Προσαγορεύειν*. Προσαγορεῦσαι, Euseb., Niceph.

(77) *Τὸ τῆς ὑπηρεσίας εὐσταλές*. Hoc ipse Clemens explicat infra, *Strom.* IV, p. 513 edit. Paris.

(78) *Ἀπερισπάστῳ τῷ κ. π.* Quid sit, ἀπερίσπαστον κήρυγμα, haud facile explicari potest. Scribendum ἀπερισπάστως τῷ κηρύγματι προσανέχοντες, « prædicationi » sine ulla distractione « attendentes. » Sic D. Paulus I Cor. VII, 35 : Ἀλλὰ πρὸς τὸ εὔσχημον καὶ εὐπρόσεδρον τῷ Κυρίῳ ἀπερισπάστως. « Sed ut decenter et apte adhærescatis Domino » sine ulla distractione.

(79) *Οὐχ ὡς γαμετὰς, ἀλλ' ὡς ἀδελφάς*. Clemens infra, *Strom.* VI, pag. 664 : Ἀδελφὴ δὲ τούτῳ ἡ γυνὴ μετὰ τὴν παιδοποιίαν, ὡς καὶ ὁμοπατρία κρίνεται, τότε μόνον τοῦ ἀνδρὸς ἀναμιμνησκομένη, ὁπηνίκα ἂν τοῖς τέκνοις προσβλέπῃ. « Uxor autem ei fit soror post liberorum susceptionem, et eodem loco habetur, ac si esset eodem patre nata, tunc solum viri recordans, quando filios aspexerit, » etc. Ubi conf. adnotata.

(80) *Ἀδιαβλήτως*. *Constitut. apostol.* lib. III, cap. 15 : Προχείρισαι δὲ διάκονον πιστὴν καὶ ἁγίαν εἰς τὰς τῶν γυναικῶν ὑπηρεσίας. Ἔστι γὰρ ὁπόταν ἔν τισιν οἰκίαις ἄνδρα διάκονον γυναιξὶν οὐ δύνασαι D πέμπειν διὰ τοὺς ἀπίστους· ἀποστελεῖς οὖν γυναῖκα διάκονον διὰ τὰς τῶν φαύλων διανοίας. « Elige autem diaconissam fidelem et sanctam, ad mulierum ministeria. Fit enim nonnunquam, ut in quibusdam domibus virum diaconum ad mulieres non possis mittere propter infideles : destinabis igitur mulierem diaconissam ob improborum cogitationes.

(81) *Ἠλίας*. Conf. I Reg. XIX, 13, 19; II Reg. I, 8; ibid., 13, 14.

(82) *Τῷ αἰτοῦντι*. Apud D. Lucam ita legitur cap. 6, ut ait G. Hervetus, sed Matthæi cap. V, v. 42, sic reperies, ut Clemens habet : Καὶ τὸν θέλοντα ἀπὸ σοῦ δανείσασθαι μὴ ἀποστραφῇς. « Qui autem petit a te, da ei, et volenti mutuare a te ne averteris. » Vel, ut D. Augustinus legit : « Et qui voluerit accipere mutuum a te, ne aversatus fueris. » Collect.

(83) *Ἐχορτάσατέ με*. Ἐδώκατέ μοι φαγεῖν, Matth., ubi mox, ἑνὶ τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστ.

cens communionem, non autem illam incestam et impudicam. Quomodo autem fuerit is qui petit et accipit, et is qui mutuatur, si nullus sit qui habeat et det mutuo? Quid vero? **193** quando dicit Dominus: « Esurivi, et me pavistis; sitii, et potum mihi dedistis; hospes eram, et me collegistis; nudus, et me vestiistis [a]; » deinde subjungit: « Quatenus fecistis uni horum minimorum, mihi fecistis [b]. » Nunquid easdem quoque tulit leges in Veteri Testamento? « Qui dat mendico, fœneratur Deo [c]. » Et: « Ne abstinueris a benefaciendo egenó [d], » inquit. Et rursus: « Eleemosynæ et fides ne te deficiant [e], » inquit. « Paupertas » autem « virum humiliat, ditant autem manus virorum [f]. » Subjungit autem: « Qui pecuniam suam non dedit ad usuram, fit acceptus. » Et: « Pretium redemptionis ✠ animæ, propriæ judicantur divitiæ [g]. » Annon aperte indicat, quod sicut mundus componitur ex contrariis, nempe ex calido et frigido, humido et sicco, ita etiam ex iis qui dant, et ex iis qui accipiunt? Et rursus cum dixit: « Si vis perfectus esse, vende quæ habes, et da pauperibus, » refellit eum qui gloriabatur quod « omnia a juventute præcepta servaverat; » non enim impleverat illud: « Diliges proximum tuum sicut teipsum [h]: » tunc autem cum a Domino perficeretur, docebatur communicare et impertiri per charitatem. Honeste ergo non prohibuit esse divitem, sed esse divitem injuste et inexplebiliter. « Possessio (enim,) quæ cum iniquitate acceleratur, minor redditur [i]. » Sunt (enim,) qui seminantes multiplicant, et qui colligentes minus habent [j]. » De quibus scriptum est: « Dispersit, dedit pauperibus, justitia ejus manet in sæculum sæculi [k]. » Qui enim « seminat et plura colligit, » is est, qui per terrenam et temporalem communicationem ac distributionem, cœlestia acquirit et æterna. Est autem alius, qui nemini impertit, et incassum « thesauros in terra colligit, ubi ærugo et tinea destruunt [l]. » De quo scriptum est: « Qui colligit mercedes, colligit in saccum perforatum [m]. » Hujus « agrum » Dominus in Evangelio dicit « fuisse fertilem [n]: » deinde cum vellet fructus reponere, et esset « majora horrea ædificaturus, » sibi dixisse per prosopopœiam: « Habes bona multa reposita tibi in multos annos, ede, bibe, lætare.: Stulte ergo, inquit, hac nocte animam tuam a te repetunt; quæ ergo parasti, cujus erunt [a]? »

σατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με· γυμνὸς, καὶ περιεβάλετέ με· » εἶτα ἐπιφέρει· « Ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. » Οὐχὶ δὲ τὰ αὐτὰ καὶ ἐν τῇ Παλαιᾷ Διαθήκῃ νομοθετεῖ; « Ὁ διδοὺς (84) πτωχῷ δανείζει Θεῷ· » καὶ, « Μὴ ἀπόσχῃ εὖ ποιεῖν ἐνδεεῖ (85), » φησίν. Καὶ πάλιν· « Ἐλεημοσύναι καὶ πίστεις μὴ ἐκλιπέτωσάν σε, » εἶπεν. « Πενία » δὲ « ἄνδρα ταπεινοῖ· χεῖρες δὲ ἀνδρῶν (86), πλουτίζουσιν. » Ἐπιφέρει (87) δέ· « Ἢ δ' ἂν (88), ὃς οὐκ ἔδωκεν ἐπὶ τόκῳ τὸ ἀργύριον αὐτοῦ, ἀποδεκτὸς γίνεται· » καὶ, « Λύτρον (89) ψυχῆς ἀνδρὸς, ὁ ἴδιος πλοῦτος κρίνεται. » Οὐχὶ διασαφεῖ ἄντικρυς, ὡς οὖν ἐξ ἐναντίων ὁ κόσμος σύγκειται, ὥσπερ ἐκ θερμοῦ καὶ ψυχροῦ (90), ξηροῦ τε καὶ ὑγροῦ, οὕτω κἀκ τῶν διδόντων, κἀκ τῶν λαμβανόντων; Πάλιν τε αὖ ὅταν εἴπῃ, « Εἰ θέλεις τέλειος γενέσθαι, πωλήσας τὰ ὑπάρχοντα, δὸς πτωχοῖς, » ἐλέγχει τὸν καυχώμενον ἐπὶ τῷ πάσας τὰς ἐντολὰς ἐκ νεότητος τετηρηκέναι· οὐ γὰρ πεπληρώκει τό, « Ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν· » τότε δὲ, ὑπὸ τοῦ Κυρίου συντελειούμενος, ἐδιδάσκετο δι' ἀγάπην μεταδιδόναι. Καλῶς οὖν πλουτεῖν οὐ κεκώλυκεν, ἀλλὰ γὰρ τὸ ἀδίκως καὶ ἀπλήστως πλουτεῖν· « Κτῆσις γὰρ ἐπισπευδομένη (91) μετὰ ἀνομίας ἐλάττων γίνεται. Εἰσὶ (92) γὰρ οἳ σπείροντες πλείονα ποιοῦσι, καὶ οἱ συνάγοντες ἐλαττοῦνται· » περὶ ὧν γέγραπται· Ἐσκόρπισεν, ἔδωκεν τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα· « ὁ μὲν γὰρ σπείρων καὶ πλείονα συνάγων οὗτός ἐστιν ὁ διὰ τῆς ἐπιγείου καὶ προσκαίρου μεταδόσεως τὰ οὐράνια κτώμενος καὶ τὰ αἰώνια· ἕτερος δὲ ὁ μηδενὶ μεταδιδοὺς, « κενῶς καὶ θησαυρίζων ἐπὶ τῆς γῆς, ὅπου σὴς καὶ βρῶσις ἀφανίζει· » περὶ οὗ γέγραπται « Συνάγων τοὺς μισθοὺς, συνήγαγεν εἰς δεσμὸν τετρυπημένον. » Τούτου « τὴν χώραν (93) εὐφορῆσαι » λέγει ἐν τῷ Εὐαγγελίῳ ὁ Κύριος· ἔπειτα τοὺς καρποὺς ἀποθέσθαι βουληθέντα, οἰκοδομησόμενον ἀποθήκας μείζονας, κατὰ τὴν προσωποποιίαν εἰπεῖν πρὸς ἑαυτόν. « Ἔχεις ἀγαθὰ πολλὰ ἀποκείμενά σοι εἰς ἔτη πολλά· φάγε, πίε, εὐφραίνου. Ἄφρόν οὖν, ἔφη· ταύτῃ γὰρ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ· ἃ οὖν ἡτοίμασας, τίνι γένηται; »

✠ P. 537 ED. POTTER, 449-450 ED. PARIS. [a] Matth. xxv, 35, 36. [b] Ibid. 40. [c] Prov. xix, 17. [d] Prov. iii, 27. [e] Ibid. 3. [f] Prov. x, 4. [g] Prov. xiii, 8. [h] Matth. xix, 16; Marc. x, 17; Luc. xviii, 18. [i] Prov. xiii, 11. [j] Prov. xi, 23. [k] Psal. cxi, 9. [l] Matth. vi, 19. [m] Agg. i, 6. [n] Luc. xii, 16-20.

(84) *Ὁ διδ.* Prov. xix, 17: Δανείζει Θεῷ ὁ ἐλεῶν πτωχόν.

(85) *Ἐνδεεῖ.* Ἐνδεῆ, Proverb. Sic superius ἐνδεῆ mutatum in ἐνδεεῖ, p. 445 edit. Paris.

(86) *Ἀνδρῶν.* Ἀνδρείων, Proverb.

(87) *Ἐπιφέρει.* Quis hæc « subjungit? » Certe non Salomon loco proverbiorum, quem antea respexit: nam in eo hæc non reperiuntur. Forte respicit Psal. xv, quo cum v. 1 interrogatum fuisset: « Quis habitabit in monte Domini? » Aliquis ἐπιφέρει, « respondet, » v. 5, eum ibi habitaturum esse, qui τὸ ἀργύριον αὐτοῦ οὐκ ἔδωκεν ἐπὶ τόκῳ. Similia occurrunt Ezech. xviii, 8.

(88) *Ἢ δ' ἄν.* Pro ἢ δ' ἂν non incommode reposueris ἰδοὺ ἀνήρ. Fr. Junius minori mutatione legit, ἐπιφέρει δε ὅδ' αὖ. Interpres commation id præteriit. Sylburg.

(89) *Λύτρον.* Proverb. xiii, 8: Λύτρον ἀνδρὸς ψυχῆς ὁ ἴδιος πλοῦτος, πτωχὸς δὲ οὐχ ὑφίσταται ἀπειλήν.

(90) *Ψυχροῦ.* Hoc in Flor. edit. omissum postulat antithesis. Sylburg.

(91) *Κτῆσις. . . ἐπισπευδομένη.* Ὕπαρξις ἐπισπουδαζομένη, Proverb. κτῆσις ἐπισπουδαζομένη, Clemens *Pædag.* lib. iii, cap. ult.

(92) *Εἰσί.* Εἰσὶν οἳ τὰ ἴδια σπείροντες, πλείονα ποιοῦσιν· εἰσὶ δὲ καὶ οἳ συνάγοντες ἐλαττοῦνται, Proverb.

(93) *Χώραν.* Lucæ sensum, verbis paulum mutatis exhibet auctor.

CAPUT VII.

Qua in re Christianorum continentia eam quam sibi vindicant philosophi antecellat.

Ἡ μὲν οὖν ἀνθρωπίνη ἐγκράτεια, ἡ κατὰ τοὺς φιλοσόφους, λέγω τοὺς Ἑλλήνων, τὸ διαμάχεσθαι τῇ ἐπιθυμίᾳ, καὶ μὴ ἐξυπηρετεῖν αὐτῇ εἰς τὰ ἔργα, ἐπαγγέλλεται· ἡ καθ' ἡμᾶς δὲ, τὸ μὴ ἐπιθυμεῖν, οὐχ ἵνα τις ἐπιθυμῶν καρτερῇ, ἀλλ' ὅπως καὶ τοῦ ἐπιθυμεῖν ἐγκρατεύηται. Λαβεῖν δὲ ἄλλως οὐκ ἔστι τὴν ἐγκράτειαν ταύτην ἢ χάριτι τοῦ Θεοῦ. Διὰ τοῦτο εἶπεν· « Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν. » Ταύτην ἔλαβε τὴν χάριν καὶ ὁ Μωϋσῆς, τὸ ἐνδεὲς σῶμα περικείμενος, ἵνα τεσσαράκοντα ἡμέρας μήτε πεινάσῃ, μήτε διψήσῃ. Ὡς δὲ ὑγιαίνειν ἄμεινον τοῦ νοσοῦντα περὶ ὑγιείας διαλέγεσθαι, οὕτω τὸ εἶναι φῶς τοῦ περὶ φωτὸς λαλεῖν, καὶ ἡ κατὰ ἀλήθειαν ἐγκράτεια τῆς ὑπὸ τῶν φιλοσόφων διδασκομένης. Οὐ γὰρ ὅπου φῶς, ἐκεῖ σκότος· ἔνθα δέ ἐστιν ἐπιθυμία ἐγκαθεζομένη, μόνη τυγχάνουσα, κἂν τῇ ἐνεργείᾳ ἡσυχάζῃ τῇ διὰ τοῦ σώματος, τῇ μνήμῃ συνουσιάζει πρὸς τὸ μὴ παρόν. Καθόλου δὲ ἡμῖν προείτω (94) ὁ λόγος περί τε γάμου, περί τε τροφῆς, καὶ τῶν ἄλλων, μηδὲν κατ' ἐπιθυμίαν ποιεῖν, θέλειν δὲ μόνα ἐκεῖνα τὰ ἀναγκαῖα. Οὐ γάρ ἐσμεν ἐπιθυμίας (95) τέκνα, ἀλλὰ θελήματος· καὶ τὸν ἐπὶ παιδοποιΐᾳ γήμαντα ἐγκράτειαν ἀσκεῖν χρὴ, ὡς μηδὲ ἐπιθυμεῖν τῆς γυναικὸς τῆς ἑαυτοῦ, ἣν ἀγαπᾷν ὀφείλει, σεμνῷ καὶ σώφρονι παιδοποιούμενος θελήματι. Οὐ γὰρ « τῆς σαρκὸς πρόνοιαν ποιεῖσθαι εἰς ἐπιθυμίας » ἐμάθομεν· « εὐσχημόνως δὲ ὡς ἐν ἡμέρᾳ, » τῷ Χριστῷ, καὶ τῇ Κυριακῇ τῇ φωτεινῇ ἀγωγῇ, « περιπατοῦντες, μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις, μὴ ἔρισι καὶ ζήλοις. » Ἀλλὰ γὰρ οὐ μόνον περί τι ἓν εἶδος τὴν ἐγκράτειαν συνορᾷν προσήκει, τουτέστι τὰ ἀφροδίσια, ἀλλὰ γὰρ καὶ περὶ τὰ ἄλλα, ὅσα σπαταλῶσα ἐπιθυμεῖ ἡ ψυχὴ ἡμῶν, οὐκ ἀρκουμένη τοῖς ἀναγκαίοις, περιεργαζομένη δὲ τὴν χλιδήν. Ἐγκράτειά ἐστιν ἀργυρίου καταφρονεῖν· τρυφῆς, κτήσεως, θέας καταμεγαλοφρονεῖν· στόματος κρατεῖν, κυριεύειν λογισμῷ τῶν πονηρῶν. Ἤδη δὲ καὶ ἄγγελοί (96) τινες, ἀκρατεῖς γενόμενοι, ἐπιθυμίᾳ ἁλόντες, οὐρανόθεν δεῦρο καταπεπτώκασιν. Οὐαλεντῖνος δὲ ἐν τῇ πρὸς Ἀγαθόποδα (97) ἐπιστολῇ, « Πάντα, φησὶν, ὑπομείνας, ἐγκρατὴς ἦν, θεότητα Ἰησοῦς εἰργάζετο· ἤσθιε καὶ ἔπινεν ἰδίως, οὐκ ἀποδιδοὺς τὰ βρώματα. Τοσαύτη ἦν αὐτῷ ἐγκρατείας δύναμις, ὥστε καὶ μὴ φθαρῆναι τὴν τροφὴν ἐν αὐ-

A Humana ergo continentia, ea, inquam, quæ est ex sententia philosophorum Græcorum, profitetur pugnare cum cupiditate, et in factis ei non inservire; quæ est autem ex nostra sententia continentia, non concupiscere; non ut quis concupiscens se fortiter gerat, sed ut etiam a concupiscendo se contineat. Non potest autem ea aliter comparari continentia, nisi gratia Dei. Et ideo dixit: « Petite, et dabitur vobis [a]. » Hanc gratiam Moyses quoque accepit, qui indigo corpore erat indutus, ut quadraginta diebus neque esuriret, neque sitiret. Quemadmodum autem melius est sanum esse, quam ægrotantem disserere de sanitate: ita lucem esse, quam loqui de luce; et quæ est ex veritate continentia, ea quæ docetur a philosophis. Non enim
B ubi est lux, illic tenebræ; ubi autem sola insidet cupiditas, etiamsi quiescat a corporea operatione, at memoria cum eo, quod non est præsens, congreditur. Generatim ✠ autem nobis procedat oratio de matrimonio, nutrimento, et aliis, ut nihil faciamus ex cupiditate, velimus autem ea sola, quæ sunt necessaria. Non sumus enim filii cupiditatis, sed voluntatis; et eum, qui uxorem duxit propter liberorum procreationem, exercere oportet continentiam, ut ne suam quidem concupiscat uxorem, quam debet diligere, honesta et moderata voluntate operam dans liberis. Non enim « carnis curam gerere ad concupiscentias » didicimus; « honeste autem tanquam in die, » Christo, et Dominica lucida vitæ institutione, « ambulantes, non in comessa-
C tionibus et ebrietatibus, non in cubilibus et impudicitiis, non in litibus et contentionibus [b]. » Verumenimvero non oportet considerare continentiam in uno solum genere, nempe in rebus venereis, sed etiam in quibuscunque aliis, quæ luxuriosa concupiscit anima, non contenta necessariis, sed sollicita de deliciis. Continentia est pecuniam despicere; voluptatem, possessionem, spectaculum magno et excelso animo contemnere; os continere, ratione quæ sunt mala vincere. Jam vero angeli quoque quidam, cum fuissent incontinentes, victi cupiditate, huc e cœlo deciderunt. Valentinus autem in Epistola ad Agathopodem: « Cum omnia,
D

✠ P. 538 ED. POTTER, 450-451 ED. PARIS. [a] Matth. VII, 7. [b] Rom. XIII, 12, 13, 14.

(94) *Προείτω*. In προείτω vestigia sunt duplicis scripturæ, προέτω et προΐτω. SYLBURG.

(95) *Οὐ γάρ ἐσμεν ἐπ*. Respicit forte Joan. I, 13: Οἳ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ θελήματος ἀνδρὸς, ἀλλ' ἐκ Θεοῦ ἐγεννήθησαν.

(96) *Ἄγγελοι*. Opinio ista veterum quorumdam de angelis, hausta est ex illo Genes. VI: Ἰδόντες δὲ οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων, et quæ sequuntur: sed decepit illos Hebraismus: qua de re et Munsterus in eum locum, et Notationes nostræ in homilias S. Patrum pag. 560. H. SYLBURG. — Conf. quæ adnotavimus ad finem *Pædag.*, lib. III, cap. 2.

(97) *Ἀγαθόποδα*. Cl. Grabius *Spiciléq.* sæc. II, p. 53, ad hunc Clementis locum hæc adnotavit: « Agathopus, ad quem Valentinus litteras dedit, idem forte fuit cum illo qui S. Ignatium Romam ad martyrium abductum comitatus est. » Idem existimavit Cl. Pearsonus Adnot. in hæc verba Ignatianæ epistolæ ad Smyrnæos cap. 10: Φίλωνα καὶ Ῥέων Ἀγαθόπουν, οἳ ἐπηκολούθησάν μοι· « Philonem et Reum Agathopoda, qui me secuti sunt. »

inquit, sustinuisset, erat continens, divinitatem sibi comparavit Jesus; edebat et bibebat peculiari modo, non reddens cibos; tanta ei inerat vis continentiæ, ut etiam nutrimentum in eo non interierit, quoniam ipse non habuit interitum. » Nos ergo propter dilectionem in Dominum, et propter ipsum honestum, amplectimur continentiam, templum Spiritus sanctificantes. Honestum enim est, « propter regnum cœlorum seipsum castrare [a] » ab omni cupiditate, et « emundare conscientiam a mortuis operibus, ad serviendum Deo viventi [b]. » Qui autem propter odium adversus carnem susceptum a conjugali conjunctione, et eorum qui conveniunt ciborum participatione, liberari desiderant, inducti sunt et impii, et absque ratione continentes, sicut aliæ gentes plurimæ. Brachmanes quidem certe neque animatum comedunt, neque vinum bibunt; sed aliqui quidem ex iis quotidie sicut nos **194** cibum capiunt; nonnulli autem ex iis tertio quoque die, ut ait Alexander Polyhistor ✠ in *Indicis*; mortem autem contemnunt, et vivere nihili faciunt; credunt enim esse regenerationem; aliqui autem colunt Herculem et Panem. Qui autem ex Indis vocantur Σεμνοί, hoc est, *venerandi*, nudi totam vitam transigunt: ii veritatem exercent, et futura prædicunt, et colunt quamdam pyramidem, sub qua existimant alicujus dei ossa reposita. Neque vero Gymnosophistæ, nec qui dicuntur Σεμνοί, utuntur mulieribus, hoc enim præter naturam et iniquum esse existimant; qua de causa seipsos castos conservant. Virgines autem sunt etiam mulieres, quæ dicuntur Σεμναί, hoc est, *venerandæ*. Videntur autem observare cœlestia, et per eorum significationem quædam futura prædicere.

A τῷ· ἐπεὶ τὸ φθείρεσθαι αὐτὸς οὐκ εἶχεν. » Ἡμεῖς μὲν οὖν δι' ἀγάπην τὴν πρὸς τὸν Κύριον καὶ δι' αὐτὸ τὸ καλὸν ἐγκράτειαν ἀσπαζόμεθα, τὸν νεὼν τοῦ Πνεύματος (98) ἁγιάζοντες· καλὸν γὰρ « διὰ τὴν βασιλείαν τῶν οὐρανῶν εὐνουχίζειν (99) ἑαυτὸν » πάσης ἐπιθυμίας, « καὶ καθαρίζειν τὴν συνείδησιν ἀπὸ νεκρῶν ἔργων εἰς τὸ λατρεύειν Θεῷ ζῶντι. » Οἱ δὲ διὰ τὸ μῖσος τὸ πρὸς τὴν σάρκα τῆς κατὰ γάμον συναλλαγῆς καὶ τῆς τῶν καθηκόντων βρωμάτων μεταλήψεως ἀχαρίστως ἀπαλλάττεσθαι ποθοῦντες ἀμαθεῖς τε καὶ ἄθεοι, ἀλόγως ἐγκρατευόμενοι, καθάπερ τὰ πλεῖστα τῶν ἄλλων ἐθνῶν. Βραχμᾶναι (1) γοῦν οὔτε ἔμψυχον ἐσθίουσιν, οὔτε οἶνον πίνουσιν· ἀλλ' οἱ μὲν αὐτῶν καθ' ἑκάστην ἡμέραν, ὡς ἡμεῖς, τὴν τροφὴν προσίενται, ἔνιοι δ' αὐτῶν διὰ τριῶν ἡμερῶν, ὥς
B φησιν Ἀλέξανδρος ὁ Πολυΐστωρ ἐν τοῖς *Ἰνδικοῖς*· καταφρονοῦσι δὲ θανάτου, καὶ παρ' οὐδὲν ἡγοῦνται τὸ ζῆν· πείθονται γὰρ εἶναι παλιγγενεσίαν· ἃ δὲ (2) σέβουσιν Ἡρακλέα καὶ Πᾶνα. Οἱ καλούμενοι δὲ Σεμνοὶ τῶν Ἰνδῶν γυμνοὶ διαιτῶνται τὸν πάντα βίον· οὗτοι τὴν ἀλήθειαν ἀσκοῦσι, καὶ περὶ τῶν μελλόντων προμηνύουσι, καὶ σέβουσί τινα πυραμίδα, ὑφ' ἣν ὀστέα τινὸς θεοῦ νομίζουσιν ἀποκεῖσθαι. Οὔτε δὲ οἱ Γυμνοσοφισταὶ οὔθ' οἱ λεγόμενοι Σεμνοὶ γυναιξὶ χρῶνται· παρὰ φύσιν γὰρ τοῦτο καὶ παράνομον δοκοῦσι· δι' ἣν αἰτίαν σφᾶς αὐτοὺς ἁγνοὺς τηροῦσι· παρθενεύουσι δὲ καὶ Σεμναί. Δοκοῦσι δὲ παρατηρεῖν τὰ οὐράνια, καὶ διὰ τῆς τούτων σημειώσεως τῶν μελλόν-
C των προμαντεύεσθαί τινα.

CAPUT VIII.

Loca S. Scripturæ ab hæreticis in vituperium matrimonii adducta explicat; et primo verba Apostoli Rom. VI, 14, ab hæreticorum perversa interpretatione vindicat.

Quoniam autem qui introducunt indifferentiam, paucas quasdam Scripturas detorquentes, titillanti suæ voluptati eas suffragari existimant; tum præcipue illam quoque: « Peccatum enim vestri non dominabitur; non estis enim sub lege, sed sub gratia [c]; » et aliquas alias hujusmodi, quarum post hæc non est rationi consentaneum ut faciam mentionem (non enim navem instruo piraticam), age paucis eorum argumentum perfringamus. Ipse enim egregius Apostolus in verbis, quæ prædictæ dictioni subjungit, intentati criminis afferet solutionem: « Quid ergo? peccabimus, quia non sumus sub lege, sed sub gratia? Absit [d]. » Adeo divine et prophetice e vestigio dissolvit artem voluptatis sophi-

Ἐπεὶ δὲ οἱ τὴν ἀδιαφορίαν εἰσάγοντες, βιαζόμενοί τινας ὀλίγας Γραφὰς, συνηγορεῖν αὐτῶν τῇ ἡδυπαθείᾳ οἴονται· ἀτὰρ δὴ κἀκείνην· « Ἁμαρτία γὰρ (3) ὑμῶν οὐ κυριεύσει· οὐ γάρ ἐστε ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν· » καί τινας ἄλλας τοιαύτας, ὧν ἐπὶ τοιούτοις μεμνῆσθαι οὐκ εὔλογον· (οὐ γὰρ ἐπισκευάζω ναῦν
D πειρατικήν·) φέρε δὴ διὰ βραχέων διακόψωμεν αὐτῶν τὴν ἐγχείρησιν· αὐτὸς γὰρ ὁ γενναῖος Ἀπόστολος τῇ προειρημένῃ λέξει ἐπιφέρων ἀπολύσεται τὸ ἔγκλημα· « Τί οὖν; ἁμαρτήσωμεν (4), ὅτι οὐκ ἐσμὲν ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν; Μὴ γένοιτο. » Οὕτως ἐνθέως καὶ προφητικῶς καταλύει παραχρῆμα τὴν σοφιστικὴν τῆς ἡδονῆς τέχνην. Οὐ συνίεισιν οὖν, ὡς ἔοικεν, ὅτι « Τοὺς πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν

[a] Matth. XIX, 12. [b] Hebr. IX, 14. ✠ P. 539 ED. POTTER, 451, 452 ED. PARIS. [c] Rom. VI, 14. [d] Ibid., 15.

(98) *Τὸν νεὼν τοῦ Πνεύματος*. Conf. I Cor. III, 16, 17.

(99) *Εὐνουχίζειν*. Respicit Matth. XIX, 12: Εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν.

(1) *Βραχμᾶναι*. De philosophis Indicis conf. Strabo, *Geogr.* lib. XV; Eusebius, *Præpar. evangel.*, lib. VI, c. 10; *Recognition.* Clementis lib. IX, cap. 20; Clemens noster, *Strom.* I, pag. 305, edit. Paris., etc.

(2) *Ἃ δέ*. Aptius legemus οἱ δέ, vel οἵδε, ut mox οὗτοι. SYLBURG.

(3) *Γάρ*. Δέ, Rom.

(4) *Ἁμαρτήσωμεν*. Convenientius ἁμαρτήσομεν, indic. modo, ut Vulg. Bib. Rom. VI. Eadem Biblia II Cor. V, τὰ διὰ τοῦ σώματος. SYLBURG.

τοῦ βήματος τοῦ Χριστοῦ, ἵνα κομίσηται ἕκαστος διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν εἴτε ἀγαθὸν εἴτε κακόν· » ἵνα ἃ διὰ τοῦ σώματος ἔπραξέ τις, ἀπολάβῃ. « Ὥστε εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις, » οὐκ ἔτι ἁμαρτητική. « Τὰ ἀρχαῖα παρῆλθεν, » ἀπελουσάμεθα τὸν βίον τὸν παλαιόν· « Ἰδοὺ (5) γὰρ γέγονε καινὰ, » ἁγνεία ἐκ πορνείας, καὶ ἐγκράτεια ἐξ ἀκρασίας, δικαιοσύνη ἐξ ἀδικίας. « Τίς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ; ἢ τίς (6) κοινωνία φωτὶ πρὸς σκότος; τίς δὲ συμφώνησις Χριστοῦ πρὸς Βελίαρ; τίς μερὶς (7) πιστῷ μετ' ἀπίστου; τίς δὲ συγκατάθεσις ναῷ Θεοῦ μετ' εἰδώλων; Ταύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας, καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ Θεοῦ. »

A sticam. Non intelligunt ergo, ut videtur, quod « omnes nos oportet manifestari ante tribunal Christi, ut referat unusquisque per corpus ea quæ fecit, sive bonum, sive malum [a]: » ut quæ per corpus fecit aliquis, recipiat. « Quare si quis est in Christo, nova creatura est, » nec amplius peccatis dedita: « Vetera prætererierunt, » vitam antiquam exuimus. « Ecce enim nova facta sunt [b], » castitas ex fornicatione, et continentia ex incontinentia, justitia ex injustitia. « Quæ est enim participatio justitiæ et injustitiæ? aut quæ luci cum tenebris societas? quæ est autem conventio Christo cum Belial? quæ pars est fideli cum infideli? quæ est autem consensio templo Dei cum idolis [c]? Has ergo habentes promissiones, mundemus nos ipsos ab omni inquinamento carnis et spiritus, perficientes sanctitatem in B timore Dei [d]. »

CAPUT IX.

Dictum Christi ad Salomen exponit, quod tanquam in vituperium nuptiarum prolatum hæretici allegabant.

Οἱ δὲ ἀντιτασσόμενοι τῇ κτίσει τοῦ Θεοῦ διὰ τῆς εὐφήμου ἐγκρατείας κἀκεῖνα λέγουσι τὰ πρὸς Σαλώμην εἰρημένα, ὧν πρότερον (8) ἐμνήσθημεν· φέρεται δὲ, οἶμαι, ἐν τῷ κατ' Αἰγυπτίους Εὐαγγελίῳ. Φασὶ γάρ, ὅτι αὐτὸς εἶπεν ὁ Σωτήρ· « Ἦλθον καταλῦσαι τὰ ἔργα τῆς θηλείας· » θηλείας μὲν τῆς ἐπιθυμίας, ἔργα δὲ γέννησιν καὶ φθοράν. Τί οὖν ἂν εἴποιεν; Κατελύθη ἡ διοίκησις αὕτη; Οὐκ ἂν φήσαιεν· μένει γὰρ ἐπὶ τῆς αὐτῆς οἰκονομίας ὁ κόσμος. Ἀλλ' οὐκ ἐψεύσατο ὁ Κύριος· τῷ ὄντι γὰρ τὰ τῆς ἐπιθυμίας κατέλυσεν ἔργα, φιλαργυρίαν, φιλονεικίαν, φιλοδοξίαν, γυναικομανίαν, παιδεραστίαν, ὀψοφαγίαν, ἀσωτίαν, καὶ τὰ τούτοις ὅμοια. Τούτων δὲ ἡ γένεσις φθορὰ τῆς ψυχῆς, εἴ γε « νεκροὶ (9) τοῖς παραπτώμασι » γινόμεθα· καὶ αὕτη ἡ θήλεια ἀκρασία ἦν. Γένεσιν δὲ καὶ φθορὰν τὴν ἐν κτίσει προηγουμένως γίνεσθαι ἀνάγκη μέχρι παντελοῦς διακρίσεως καὶ ἀποκαταστάσεως ἐκλογῆς, δι' ἣν καὶ αἱ τῷ κόσμῳ συμπεφυρμέναι οὐσίαι τῇ οἰκειότητι προσνέμονται. Ὅθεν εἰκότως, περὶ συντελείας μηνύσαντος τοῦ Λόγου, ἡ Σαλώμη φησί· « Μέχρι τίνος οἱ ἄνθρωποι ἀποθανοῦνται; » ἄνθρωπον δὲ καλεῖ ἡ Γραφὴ (10) διχῶς, τόν τε φαινόμενον καὶ τὴν ψυχήν· πάλιν τε αὖ τὸν σωζόμενον καὶ τὸν μή. Καὶ θάνατος ψυχῆς ἡ ἁμαρτία λέγεται. Διὸ καὶ παρατετηρημένως ἀποκρίνεται ὁ Κύριος· « Μέχρις (11) ἂν τίκτωσιν αἱ γυναῖκες, » τουτέστι

Qui autem Dei creaturæ resistunt per speciosam illam continentiam, illa quoque dicunt, quæ ad Salomen dicta sunt, quorum prius meminimus: habentur autem, ut existimo, in Evangelio secundum ✠ Ægyptios. Aiunt enim ipsum dixisse Servatorem: « Veni ad dissolvendum opera feminæ; » feminæ quidem, cupiditatis; opera autem generationem et interitum. Quid ergo dixerint? Desiit C hæc administratio? Non dixerint: manet enim mundus in eadem œconomia. Sed non falsum dixit Dominus; revera enim opera dissolvit cupiditatis, avaritiam, contentionem, gloriæ cupiditatem, mulierum insanum amorem, pædicatum, ingluviem, luxum et profusionem, et quæ sunt his similia. Horum autem ortus, est animæ interitus: siquidem « delictis mortui » efficimur [e]. Ea vero femina est intemperantia. Ortum autem et interitum creaturarum propter ipsorum naturas fieri necesse est, usque ad perfectam distinctionem et restitutionem electionis, per quam, quæ etiam sunt mundo permistæ et confusæ substantiæ, proprietati suæ restituuntur. Unde merito cum de consummatione Logos locutus fuerat, ait Salome: « Quousque morientur homines? » Hominem autem vocat D Scriptura dupliciter: et eum, qui apparet, et animam; et eum rursus, qui servatur, et eum qui non.

[a] II Cor. v, 10. [b] Ibid., 16, 17. [c] II Cor. vi, 14, 15, 16. [d] II Cor. vii, 1. ✠ P. 540 ED. POTTER, 452, 453 ED. PARIS. [e] Ephes. ii, 5.

(5) Ἰδού. Ἰδοὺ γέγονε καινὰ τὰ πάντα. II Cor. v.

(6) Ἢ τίς. Τίς δέ. II Cor. vi.

(7) Βελίαρ; τίς μ. Βελίαλ; ἢ τίς μ. II Cor. vi, ubi mox τὰς ἐπαγγελίας, ἀγαπητοί, καθ.

(8) Πρότερον. Nempe p. 445 edit. Paris., ubi conf. adnotata.

(9) Νεκροί. Respicit Ephes. ii, 5: Καὶ ὄντας ἡμᾶς νεκροὺς τοῖς παραπτώμασι συνεζωοποίησε τῷ Χριστῷ.

(10) Γραφή. II Cor. iv. Ad dictum de morte pertinet istud Pauli I Tim. v: Ἡ δὲ σπαταλῶσα ζῶσα τέθνηκε· et hæc Philonis pag. 41: Φύσει μὲν οὐκ ἔστι θάνατος, καθ' ὃν χωρίζεται ψυχὴ ἀπὸ σώματος· ὁ δὲ ἐπὶ τιμωρίᾳ συνίσταται, ὅταν ἡ ψυχὴ τὸν ἀρετῆς βίον θνήσκῃ, τὸν δὲ κακίας ζῇ μόνον. Εὖ δὲ καὶ ὁ Ἡράκλειτος, κατὰ τοῦτο Μωϋσέως ἀκολουθήσας τῷ δόγματι, φησί· Ζῶμεν τὸν ἐκείνων θάνατον, τεθνήκαμεν δὲ τὸν ἐκείνων βίον. SYLBURG.

(11) Μέχρις. Infra in *Excerpt. ex Theodot.*, pag. 799, edit. Paris.: Ὅταν ὁ Σωτὴρ πρὸς Σαλώμην λέγῃ, «Μέχρι τότε εἶναι θάνατον, ἄχρις ἂν αἱ γυναῖκες τίκτωσιν, » οὐ τὴν γένεσιν κακίζων ἔλεγεν, ἀναγκαίαν οὖσαν διὰ τὴν σωτηρίαν τῶν πιστευόντων· « Quando Servator Salomæ dixit: *Eo usque fore mortem, quousque mulieres parerent*, non locutus est ista in vituperium generationis, quæ utique necessaria est propter salutem fidelium. »

Mors autem animæ dicitur peccatum. Quare caute et considerate respondet Dominus : « Quoadusque pepererint mulieres, » hoc est, quandiu operabuntur cupiditates. « Et ideo quemadmodum per unum hominem peccatum ingressum est in mundum, per peccatum quoque mors ad omnes homines pervasit, quatenus omnes peccaverunt; et regnavit mors ab Adam usque ad Moysen [a], » inquit Apostolus : naturali autem divinæ œconomiæ necessitate mors sequitur generationem : et corporis et animæ conjunctionem consequitur eorum dissolutio. Si est autem propter doctrinam et agnitionem generatio, restitutionis causa erit dissolutio. Quomodo autem existimatur mulier causa mortis, propterea quod pariat : ita etiam dicetur dux vitæ propter eamdem causam. Proinde quæ prior inchoavit transgressionem, *Vita* est appellata [b], propter causam successionis : et eorum, qui generantur, et qui peccant, tam justorum quam injustorum, mater est, unoquoque nostrum seipsum justificante, vel contra inobedientem constituente. Unde non ego quidem arbitror Apostolum abhorrere vitam, quæ est ✠ in carne, cum dicit : « Sed in omni fiducia, ut semper, nunc quoque Christus magnificabitur in corpore meo, sive per vitam, sive per mortem. Mihi enim vivere Christus et mori lucrum. Si autem vivere in carne, et hoc quoque mihi fructus operis, quid eligam nescio, et coarctor ex duobus, cupiens resolvi, et esse cum Christo : multo enim melius : manere autem in carne, est magis necessarium propter vos [c]. » Per hæc enim, ut puto, aperte ostendit, exitus quidem e corpore perfectionem, esse in Dei dilectionem : ejus autem præsentiæ in carne, ex grato animo profectam tolerantiam, propter eos, qui salute indigent. Quid vero? non etiam ea, quæ deinceps sequuntur, ex iis, quæ dicta sunt ad Salomen, **195** subjungunt ii, qui quidvis potius quam quæ est ex veritate, evangelicam regulam sunt secuti ? Cum ea enim dixisset : « Recte ergo feci, quæ non peperi : » scilicet, quod generatio non esset ut oportet assumpta; excipit Dominus, dicens : « Omni herba vescere, ea autem, quæ habet amaritudinem, ne vescaris. » Per hæc enim significat, esse in nostra potestate, et non esse necessarium ex prohibitione præcepti, vel con-

A μέχρις ἂν αἱ ἐπιθυμίαι ἐνεργῶσι. « Διὰ τοῦτο ὥσπερ δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθε, καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος (12) εἰς πάντας ἀνθρώπους διῆλθεν, ἐφ' ᾧ πάντες ἥμαρτον· καὶ (13) ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως, » φησὶν ὁ Ἀπόστολος· φυσικῇ δὲ ἀνάγκῃ θείας οἰκονομίας γενέσει θάνατος ἕπεται· καὶ συνόδῳ ψυχῆς καὶ σώματος ἡ τούτων διάλυσις ἀκολουθεῖ. Εἰ δὲ ἕνεκεν μαθήσεως καὶ ἐπιγνώσεως ἡ γένεσις, ἀποκαταστάσεως δὲ (14) ἡ διάλυσις· ὡς δὲ αἰτία θανάτου διὰ τὸ τίκτειν ἡ γυνὴ νομίζεται, οὕτω καὶ ζωῆς διὰ τὴν αὐτὴν αἰτίαν λεχθήσεται ἡγεμών. Αὐτίκα ἡ προκατάρξασα τῆς παραβάσεως (15) « ζωὴ » (16) προσηγορεύθη διὰ τὴν τῆς διαδοχῆς αἰτίαν, τῶν τε γεννωμένων τῶν τε ἁμαρτανόντων (17) γίνεται, ὁμοίως δικαίων
B ὡς καὶ ἀδίκων, μήτηρ, ἑκάστου ἡμῶν ἑαυτὸν δικαιοῦντος, ἢ ἔμπαλιν ἀπειθῆ κατασκευάζοντος. Ὅθεν οὐχ ἡγοῦμαι ἔγωγε μυσάττεσθαι τὴν ἐν σαρκὶ ζωὴν τὸν Ἀπόστολον, ὁπηνίκα ἂν φῇ· « Ἀλλ' ἐν πάσῃ παῤῥησίᾳ, ὡς πάντοτε, καὶ νῦν μεγαλυνθήσεται Χριστὸς ἐν τῷ σώματί μου εἴτε διὰ ζωῆς εἴτε διὰ θανάτου· ἐμοὶ γὰρ τὸ ζῆν Χριστὸς, καὶ τὸ ἀποθανεῖν κέρδος. Εἰ δὲ τὸ ζῆν ἐν σαρκὶ, καὶ (18) τοῦτό μοι καρπὸς ἔργου· τί αἱρήσομαι, οὐ γνωρίζω· συνέχομαι τε ἐκ τῶν δύο, τὴν ἐπιθυμίαν ἔχων εἰς τὸ ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι· πολλῷ γὰρ κρεῖττον· τὸ δὲ ἐπιμένειν τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς· » ἐνεδείξατο γὰρ, οἶμαι, διὰ τούτων σαφῶς τῆς μὲν ἐξόδου τοῦ σώματος τὴν πρὸς Θεὸν ἀγάπην τελείωσιν εἶναι, τῆς δὲ ἐν σαρκὶ παρουσίας τὴν εὐχάριστον διὰ τοὺς σωθῆ-
C ναι δεομένους ὑπομονήν. Τί δέ; οὐχὶ καὶ τὰ ἑξῆς τῶν πρὸς Σαλώμην εἰρημένων ἐπιφέρουσιν οἱ πάντα μᾶλλον ἢ τῷ κατὰ τὴν ἀλήθειαν εὐαγγελικῷ στοιχήσαντες κανόνι; Φαμένης γὰρ αὐτῆς· « Καλῶς οὖν ἐποίησα μὴ τεκοῦσα· » ὡς οὐ δεόντως τῆς γενέσεως παραλαμβανομένης, ἀμείβεται λέγων ὁ Κύριος· « Πᾶσαν φάγε βοτάνην· τὴν δὲ πικρίαν ἔχουσαν μὴ φάγῃς· » σημαίνει γὰρ καὶ διὰ τούτων, ἐφ' ἡμῖν εἶναι, καὶ οὐκ ἐξ ἀνάγκης, κατὰ κώλυσιν ἐντολῆς, ἤτοι τὴν ἐγκράτειαν ἢ καὶ τὸν γάμον· καὶ ὅτι ὁ γάμος συνεργάζεταί τι τῇ κτίσει, προσδιασαφῶν. Μή ποτ' οὖν ἁμάρτημά τις ἡγείσθω τὸν γάμον τὸν κατὰ Λόγον, εἰ μὴ πικρὰν (19) ὑπολαμβάνει παιδοτροφίαν· πολλοῖς γὰρ ἔμπαλιν ἀτεκνία λυπηρότατον· μήτ' ἂν (20) πικρὰ ἡ
D παιδοποιία φαίνηταί τινι, μεταπερισπῶσα τῶν θείων

[a] Rom. v, 12-14. [b] Gen. III, 20. ✠ P. 541 ED. POTTER, 453, 454 ED. PARIS. [c] Philip. I, 20-24.

(12) *Θάνατος*. Bibl. addunt, καὶ οὕτως εἰς πάντας ἀνθρώπους ὁ θάνατος· quod commation per librariorum negligentiam propter θάνατος repetitum excidisse videtur.

(13) *Καί*. Ἀλλ' Rom.

(14) *Δέ*. Malim δή.

(15) *Παραβάσεως*. Respicere videtur I Tim. II, 14 : Καὶ Ἀδὰμ οὐκ ἠπατήθη· ἡ δὲ γυνὴ, ἀπατηθεῖσα, ἐν παραβάσει γέγονε.

(16) *Ζωή*. De Evæ appellatione in eamdem sententiam infra quoque meminit auctor p. 197, 201, et Philo p. 136. H. SYLB.—Genes. III, 20 : Καὶ ἐκάλεσεν Ἀδὰμ τὸ ὄνομα τῆς γυναικὸς αὐτοῦ Ζωὴ, ὅτι μήτηρ πάντων τῶν ζώντων.

(17) *Ἁμαρτανόντων*. Videtur legendum ἀποθανόντων. LOWTH.

(18) *Καί*. Abest a Philipp., ubi mox, καὶ τί αἱρ. Dein, συνέχομαι γὰρ ἐκ τ. Rursum, πολλῷ γὰρ μᾶλλον κρεῖτ. tandem, ἐπιμένειν ἐν τῇ σ.

(19) *Πικράν*. Eadem voce usus est hac in re Menander apud Stobæum serm. 74 :

. . . Ἢ δεῖ ζῆν μόνον,
Ἢ πατέρα παίδων ἀποθανεῖν γεννωμένων·
Οὕτω τὸ μετὰ ταῦτ' ἐστὶ τοῦ βίου πικρόν.

. . . Aut cælibi
Vivendum, aut sobole enata moriendum patri :
Adeo est acerbum, quidquid est vitæ super.

(20) *Μήτ' ἄν*. Pro μήτ' ἂν non minus apte legeretur μήτ' αὖ. SYLBURG.

διὰ τὰς χρειώδεις ἀσχολίας. Μὴ φέρων δ' οὗτος εὐκόλως τὸν μονήρη βίον, ἐπιθυμεῖ τοῦ γάμου· ἐπεὶ τὸ εὐάρεστον μετὰ σωφροσύνης ἀβλαβὲς, καὶ κύριος ἕκαστος ἡμῶν τυγχάνει τῆς περὶ τέκνων γονῆς αἱρέσεως. Συνορῶ δ' ὅπως τῇ προφάσει τοῦ γάμου οἱ μὲν ἀπισχημένοι (21) τούτου μὴ κατὰ τὴν ἁγίαν γνῶσιν εἰς μισανθρωπίαν ὑπεῤῥύησαν, καὶ τὸ τῆς ἀγάπης οἴχεται παρ' αὐτοῖς· οἱ δὲ, ἐνσχεθέντες καὶ ἡδυπαθήσαντες τῇ τοῦ νόμου συμπεριφορᾷ (22), ὥς φησιν ὁ Προφήτης, παρωμοιώθησαν τοῖς κτήνεσιν.

A tinentiam, vel etiam matrimonium; et quod matrimonium creationi aliquid affert auxilii, præterea explicans. Ne quis ergo eum deliquisse existimet, qui secundum Logon matrimonium inierit, nisi existimet amaram esse filiorum educationem: contra tamen, permultis videtur esse molestissimum liberis carere. Neque amara cuiquam videatur liberorum procreatio, eo quod negotiis implicatos a divinis abstrahat. Est enim, qui vitam solitariam facile ferre non valens, expetit matrimonium: quandoquidem res grata, qua quis temperanter fruitur, et innoxia: et unusquisque nostrum eatenus sui dominus est, ut eligat, an velit liberos procreare. Intelligo autem, quod aliqui quidem, qui prætextu matrimonii difficultatum ab eo abstinuerunt, non convenienter sanctæ cognitioni ad inhumanitatem et odium hominum defluxerunt, et perit apud ipsos charitas; alii autem matrimonio ligati, et luxui ac voluptatibus dediti, lege quodammodo eos comitante, fuerunt, ut ait Propheta, « assimilati jumentis [a]. »

CAPUT X.

Verba Christi Matth. XVIII, 20, *mystice exponit.*

Τίνες δὲ « οἱ δύο καὶ τρεῖς ὑπάρχουσιν, ἐν ὀνόματι Χριστοῦ συναγόμενοι, » παρ' οἷς « μέσος ἐστὶν ὁ Κύριος; » ἢ οὐχὶ ἄνδρα καὶ γυναῖκα καὶ τέκνον τοὺς τρεῖς λέγει; ὅτι ἀνδρὶ γυνὴ διὰ Θεοῦ ἁρμόζεται. Ἀλλὰ κἂν εὔζωνός τις εἶναι θέλῃ, οὐχ αἱρούμενος τὴν παιδοποιίαν διὰ τὴν ἐν παιδοποιίᾳ ἀσχολίαν, Μενέτω, φησὶν ὁ Ἀπόστολος, ἄγαμος (23), « ὡς κἀγώ. » Βούλεσθαι γὰρ λέγειν τὸν Κύριον ἐξηγοῦνται, μετὰ μὲν τῶν πλειόνων, τὸν Δημιουργὸν εἶναι τὸν γενεσιουργὸν Θεὸν, μετὰ δὲ τοῦ ἑνὸς, τοῦ ἐκλεκτοῦ, τὸν Σωτῆρα, ἄλλου δηλονότι Θεοῦ τοῦ ἀγαθοῦ Υἱὸν πεφυκότα. Τὸ δ' οὐχ οὕτως ἔχει· ἀλλ' ἔστι μὲν καὶ μετὰ τῶν σωφρόνως γημάντων καὶ τεκνοποιησάντων ὁ Θεὸς δι' Υἱοῦ· ἔστι δὲ καὶ μετὰ τοῦ ἐγκρατευσαμένου λογικῶς ὁ αὐτὸς ὡσαύτως Θεός. Εἶεν δ' ἂν καὶ ἄλλως οἱ μὲν τρεῖς θυμός (24) τε καὶ ἐπιθυμία καὶ λογισμὸς, σάρξ (25) δὲ καὶ ψυχὴ καὶ πνεῦμα κατ' ἄλλον λόγον· τάχα δὲ καὶ τὴν κλῆσιν τήν τε ἐκλογὴν δευτέραν, καὶ τρίτον τὸ εἰς τὴν πρώτην τιμὴν κατατασσόμενον γένος, αἰνίσσεται ἡ προειρημένη τριάς· μεθ' ὧν ἡ πανεπίσκοπος τοῦ Θεοῦ δύναμις ἀμερῶς μεριστή. Ὁ τοίνυν ταῖς κατὰ φύσιν ἐνεργείαις τῆς ψυχῆς ἐν δέοντι χρώμενος ἐπιθυμεῖ μὲν τῶν κατ' ἀλλήλων (26), μισεῖ δὲ τὰ βλάπτοντα, καθὼς αἱ ἐντολαὶ (27) προστάττουσιν· « Ἐνευλογήσεις » γὰρ,

B Quinam sunt autem illi « duo et tres, qui congregantur in nomine Domini, in » quorum ✠ « medio » est Dominus [b]? annon virum et mulierem et filium tres dicit, quoniam mulier cum viro per Deum conjungitur? Quod si accinctus quis esse velit et expeditus, non volens procreare liberos, propter eam, quæ est in procreandis liberis, molestiam et occupationem, « maneat, » inquit Apostolus, absque uxore « ut ego [c]. » Quidam vero effatum Domini exponunt, ac si dixisset, cum pluribus quidem esse Creatorem ac præsidem generationis Deum; cum uno autem, nempe electo, Servatorem, qui alterius, boni scilicet, Dei Filius sit. Hoc autem non ita habet: sed est quidem etiam cum iis, qui honeste ac moderate in matrimonio versati sunt, et liberos susceperunt, Deus per Filium: est autem etiam cum eo, qui secundum logon, seu rationem, fuit continens, idem Deus. C Fuerint autem aliter quoque tres quidem, ira, cupiditas, et ratio: caro autem et anima et spiritus, alia ratione. Forte autem et vocationem et electionem secundam, et tertium genus, quod in primo honore collocatur, innuit trias prius dicta: cum quibus est, quæ omnia considerat, Dei potestas, absque divisione cadens in divisionem. Qui ergo

[a] Psal. XLVIII, 21. ✠ P. 542 ED. POTTER, 454, 455 ED. PARIS. [b] Matth. XVIII, 20. [c] I Cor. VII, 7.

(21) Ἀπισχημένοι. Usitatius ἀπεσχημένοι, ut cum alibi, tum pag. 196, 238. SYLBURG.

(22) Τοῦ νόμου συμπεριφορᾷ. Intelligit, ut opinor, indulgentiam plurium uxorum Patribus concessam, v. pag. 461. LOWTH. — Vel id intelligit, quod in Latina versione expressimus, nonnullos scilicet, prætextu matrimonii, ac proinde lege, ut sibi persuadent, permittente, carni nimium indulgere: cum e contra, ut postea dicit: Σωφρόνως ἐβούλετο ταῖς γαμεταῖς χρῆσθαι τοὺς ἄνδρας, καὶ ἐπὶ μόνῃ παιδοποιίᾳ· « Lex viros moderate et propter solam liberorum procreationem uxoribus uti voluit; p. 456 edit. Paris. Conf. *Pædag.* lib. II, c. 10.

(23) Ἄγαμος. Hæc vox non solum eum significat qui nunquam uxorem duxit, sed etiam eum qui, uxore mortua, aliam non duxit: ut apud Latinos, *cælebs*. I Cor. VII, 10, 11. Παραγγέλλω γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρισθῆναι· ἐὰν δὲ καὶ χωρισθῇ, με- D νέτω ἄγαμος, ἢ τῷ ἀνδρὶ καταλλαγήτω.

(24) Θυμός. Respicit Platonicam animæ divisionem in partem concupiscibilem, irascibilem, et rationalem: de qua superius ad principium *Pædag.* lib. III, dictum est.

(25) Σάρξ. Alia humanæ naturæ divisio. Sic Clementis discipulus Origenes *Philocal.* p. 8: Ὁ ἄνθρωπος συνέστηκεν ἐκ σώματος καὶ ψυχῆς καὶ πνεύματος· « Homo ex corpore, anima et spiritu constat. » Irenæus lib. V, initio c. 9: « Perfectus homo constat carne, animo et spiritu. » Ante hos D. Paulus I Thess. V, 23, dixit: Αὐτὸς δὲ ὁ Θεὸς τῆς εἰρήνης ἁγιάσαι ὑμᾶς ὁλοτελεῖς! καὶ ὁλόκληρον ὑμῶν τὸ πνεῦμα καὶ ἡ ψυχὴ καὶ τὸ σῶμα ἀμέμπτως ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου τηρηθείη!

(26) Κατ' ἀλλήλων. Rectius conjuncte καταλλήλων, « convenientium. » SYLBURG.

(27) Αἱ ἐντολαί. Hæc in S. Scriptura frustra quæ-

animus naturalibus, ita ut oportet, utitur operationibus, desiderat quidem ea, quæ sunt convenientia, odio autem habet ea, quæ lædunt, sicut jubent mandata : « Benedices » enim, inquit, « benedicenti, et maledices maledicenti. » Quando autem his, ira scilicet et cupiditate, superior factus, et creaturæ amore vere affectus propter eum, qui est Deus et effector omnium, gnostice vitam instituerit, et Salvatori similis evadens, facilem temperantiæ habitum acquisiverit, et cognitionem, fidem, ac dilectionem conjunxerit, simplici hac in parte judicio utens, et vere spiritalis factus, nec earum, quæ ex ira et cupiditate procedunt, cogitationum omnino capax, ad Domini imaginem ab ipso artifice efficitur homo perfectus, is sane dignus jam est, qui frater a Domino nominetur, is simul est amicus et filius. Sic ergo « duo et tres » in eodem « congregantur, » nempe in homine gnostico. Poterit etiam multorum quoque concordia ex tribus æstimata, cum quibus est Dominus, significare unam Ecclesiam, unum hominem, genus unum. Annon cum uno quidem Judæo ✠ erat Dominus, cum legem tulit : at prophetans, et Jeremiam mittens Babylonem, quinetiam eos qui erant ex gentibus vocans per prophetiam, congregavit duos populos : tertius autem est unus, qui ex duobus « creatur in novum hominem, quo inambulat et inhabitat » in ipsa Ecclesia? Et lex simul et prophetæ, una cum Evangelio, in nomine Christi congregantur in unam cognitionem. Qui ergo propter odium uxorem non ducunt, vel propter concupiscentiam carne indifferenter abutuntur, non sunt in numero illorum qui servantur, cum quibus est Dominus.

A φησὶ, « τὸν εὐλογοῦντα, καὶ καταράσῃ τὸν καταρώμενον. » Ὅταν δὲ, καὶ τούτων ὑπεραναβὰς, τοῦ θυμοῦ καὶ τῆς ἐπιθυμίας, ἔργῳ ἀγαπήσῃ τὴν κτίσιν διὰ τὸν ἁπάντων Θεόν τε καὶ ποιητὴν, γνωστικῶς βιώσεται, ἕξιν ἐγκρατείας ἄπονον περιπεποιημένος κατὰ τὴν πρὸς τὸν Σωτῆρα ἐξομοίωσιν, ἑνώσας τὴν γνῶσιν, πίστιν, ἀγάπην, εἷς ὢν ἐνθένδε τὴν κρίσιν, καὶ πνευματικὸς ὄντως, ἀπαράδεκτος τῶν κατὰ τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν διαλογισμῶν πάντῃ πάντως, ὁ κατ' εἰκόνα ἐκτελούμενος τοῦ Κυρίου πρὸς αὐτοῦ τοῦ τεχνίτου ἄνθρωπος τέλειος, ἄξιος ἤδη τοῦ ἀδελφὸς (28) πρὸς τοῦ Κυρίου ὀνομάζεσθαι· φίλος ἅμα οὗτος καὶ υἱός ἐστιν. Οὕτως « οἱ δύο καὶ οἱ τρεῖς » ἐπὶ τὸ αὐτὸ « συνάγονται, » τὸν γνωστικὸν ἄνθρωπον. Εἴη δ' ἂν καὶ ἡ ὁμόνοια τῶν πολλῶν ἀπὸ τῶν τριῶν ἀριθμουμένη, B μεθ' ὧν ὁ Κύριος, ἡ μία Ἐκκλησία, ὁ εἷς ἄνθρωπος, τὸ γένος τὸ ἕν. Ἢ μήτι μετὰ μὲν τοῦ ἑνὸς τοῦ Ἰουδαίου ὁ Κύριος νομοθετῶν ἦν· προφητεύων δὲ ἤδη, καὶ τὸν Ἱερεμίαν ἀποστέλλων εἰς Βαβυλῶνα, ἀλλὰ καὶ τοὺς ἐξ ἐθνῶν διὰ τῆς προφητείας καλῶν, συνῆγε λαοὺς τοὺς δύο· τρίτος δὲ ἦν ἐκ τῶν δυεῖν (29) « κτιζόμενος » εἷς « εἰς καινὸν ἄνθρωπον, ᾧ δὴ ἐμπεριπατεῖ τε καὶ κατοικεῖ » ἐν αὐτῇ τῇ Ἐκκλησίᾳ; Νόμος τε ὁμοῦ καὶ προφῆται σὺν καὶ τῷ Εὐαγγελίῳ ἐν ὀνόματι Χριστοῦ εἰς μίαν συνάγονται γνῶσιν. Οὐκοῦν οἱ διὰ μῖσος μὴ γαμοῦντες, ἢ δι' ἐπιθυμίαν ἀδιαφόρως τῇ σαρκὶ καταχρώμενοι, οὐκ ἐν ἀριθμῷ C τῶν σωζομένων ἐκείνων, μεθ' ὧν ὁ Κύριος.

CAPUT XI.

Legis et Christi mandatum ae non concupiscendo exponit.

His sic ostensis, age Scripturas, quæ adversantur sophistis hæreticis, jam adducamus, et regulam continentiæ secundum logon seu rationem observandam declaremus. Qui vero intelligit, quæ Scriptura cuique hæresi contraria sit, eam tempestive adhibendo refutabit eos, qui dogmata mandatis contraria fingunt. Atque ut ab alto rem repetamus, lex quidem, sicut prius diximus, illud, « Non concupisces uxorem proximi tui[a], » prius exclamavit ante conjunctam Domini in Novo Testamento vocem, quæ dicit ex sua ipsius persona : « Audivistis legem præcipientem : Non moechaberis. Ego autem dico : Non concupisces[b]. » Quod enim vellet lex viros uti moderate uxoribus, et

Τούτων ὧδε ἐπιδεδειγμένων, φέρε, ὁπόσαι τούτοις τοῖς κατὰ τὰς αἱρέσεις σοφισταῖς ἐναντιοῦνται Γραφαὶ, ἤδη παραθώμεθα τὸν κανόνα τῆς κατὰ λόγον τηρουμένης ἐγκρατείας μηνύοντες. Ἑκάστῃ δὲ τῶν αἱρέσεων τὴν οἰκείως ἐνισταμένην Γραφὴν ὁ συνιὼν ἐπιλεγόμενος κατὰ καιρὸν, χρήσεται πρὸς κατάλυσιν τῶν παρὰ τὰς ἐντολὰς δογματιζόντων. Ἄνωθεν μὲν οὖν ὁ νόμος, ὥσπερ προειρήκαμεν, τὸ, « Οὐκ D ἐπιθυμήσεις τῆς τοῦ πλησίον, » τῆς τοῦ Κυρίου προσεχοῦς κατὰ τὴν Νέαν Διαθήκην φωνῆς, προσαναπεφώνηκε (30), τῆς αὐτῆς αὐτοπροσώπως λεγούσης· « Ἠκούσατε τοῦ νόμου παραγγέλλοντος (31)· Οὐ μοιχεύσεις· ἐγὼ δὲ λέγω· Οὐκ ἐπιθυμήσεις. » Ὅτι γὰρ σωφρόνως ἐβούλετο ταῖς γαμεταῖς χρῆσθαι

✠ P. 543 ED. POTTER, 455, 456 ED. PARIS.

[a] Exod. xx, 17. [b] Matth. v, 27, 28.

rentur. Respicit forte Gen. xii, 3, ubi Deus ait : Εὐλογήσω τοὺς εὐλογοῦντάς σε, καὶ τοὺς καταρωμένους σε καταράσομαι· vel Gen. xxvii, 29, ubi Isaacus Jacobo sic benedicit : Ὁ καταρώμενός σε ἐπικατάρατος· ὁ δ' εὐλογῶν σε ηὐλογημένος. Nisi potius hæc ex apocrypho libro petita fuerint.

(28) *Ἀδελφός*. Respicit Hebr. ii, 11, ubi Dominus dicitur, οὐκ ἐπαισχύνεσθαι ἀδελφοὺς αὐτοὺς καλῶν.

(29) *Τῶν δυεῖν*. Respicit Ephes. ii, 10 : Ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον, ποιῶν εἰρήνην, ἀποκαταλλάξῃ τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι. Dein II Cor. vi, 16 : Ὑμεῖς γὰρ ναὸς Θεοῦ ἐστε ζῶντος, καθὼς εἶπεν ὁ Θεὸς, ὅτι Ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω.

(30) *Προσαναπεφώνηκε*. Forte aptius προαναπεφώνηκε, « prius exclamavit. » Sylburg.

(31) *Τοῦ νόμου παραγγέλλοντος*. Interpretamentum Clementis, qui, verbis paulum mutatis, S. Scripturæ sensum exhibet. Ἠκούσατε, ὅτι ἐῤῥέθη ἀρχαίοις, dicit Christus apud Matthæum.

τοὺς ἄνδρας ὁ νόμος καὶ ἐπὶ μόνῃ (32) παιδοποιίᾳ, A δῆλον ἐκ τοῦ κωλύειν μὲν τῇ « αἰχμαλώτῳ » (33) παραχρῆμα ἐπιμίγνυσθαι τὸν ἄγαμον· ἐπιθυμήσαντος δὲ ἅπαξ, τριάκοντα πενθεῖν ἐπιτρέπειν ἡμέρας, κειραμένῃ καὶ τὰς τρίχας· εἰ δὲ μηδ' οὕτως μαραίνοιτο ἡ ἐπιθυμία, τότε παιδοποιεῖσθαι, δεδοκιμασμένης τῆς ὁρμῆς τῆς κυριευούσης κατὰ τὴν προθεσμίαν τοῦ χρόνου, εἰς ὄρεξιν εὔλογον. Ὅθεν οὐ δείξειας ἐγκύμονι πλησιάσαντα τῶν πρεσβυτέρων τινὰ κατὰ τὴν Γραφήν· ἀλλ' ὕστερον μετά τε τὴν κυοφορίαν μετά τε τὴν τοῦ τεχθέντος γαλακτουχίαν εὕροις ἂν πάλιν πρὸς τῶν ἀνδρῶν γινωσκομένας τὰς γυναῖκας. Αὐτίκα τοῦτον εὑρήσεις τὸν σκοπὸν καὶ τὸν τοῦ Μωϋσέως πατέρα φυλάσσοντα, τριετίαν διαλιπόντα μετὰ τὴν τοῦ Ἀαρὼν ἀποκύησιν, γεννήσαντα τὸν Μωϋσέα. B Ἥ τε αὖ Λευϊτικὴ φυλὴ, τοῦτον φυλάσσουσα τὸν τῆς φύσεως νόμον ἐκ Θεοῦ, ἐλάττων τὸν ἀριθμὸν παρὰ τὰς ἄλλας εἰς τὴν προκατηγγελμένην εἰσῆλθε γῆν· οὐ γὰρ ῥᾳδίως αὐξάνει γένος εἰς πολυπληθίαν, σπειράντων μὲν τῶν ἀνδρῶν τῶν τὸν κατὰ τοὺς νόμους γάμον ἀναδεδεγμένων, ἀναμενόντων δὲ οὐ τὴν κυοφορίαν μόνον, ἀλλὰ καὶ τὴν γαλακτουχίαν. Ὅθεν εἰκότως καὶ ὁ Μωϋσῆς, κατ' ὀλίγον εἰς ἐγκράτειαν προβιβάζων τοὺς Ἰουδαίους, τριῶν ἡμερῶν κατὰ τὸ ἑξῆς ἀπεσχημένους ἀφροδισίου ἡδονῆς, προσέταξεν ἐπακούειν τῶν θείων λόγων. « Ἡμεῖς οὖν ναοὶ τοῦ Θεοῦ ἐσμεν, καθὼς εἶπεν ὁ προφήτης (34), ὅτι Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω· καὶ ἔσομαι αὐτῶν Θεὸς, καὶ αὐτοὶ ἔσονταί μου λαός· » ἐὰν κατὰ τὰς ἐντολὰς πολιτευώμεθα, εἴτε ὁ καθ' ἕκαστον ἡμῶν, εἴτε καὶ C ἀθρόα ἡ Ἐκκλησία. « Διὸ ἐξέλθετε ἐκ μέσου αὐτῶν καὶ ἀφορίσθητε, λέγει Κύριος· καὶ ἀκαθάρτου μὴ ἅπτεσθε· κἀγὼ εἰσδέξομαι ὑμᾶς, καὶ ἔσομαι ὑμῖν εἰς πατέρα, καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας, λέγει Κύριος παντοκράτωρ. » Οὐ τῶν γεγαμηκότων, ὥς φασιν, ἀλλὰ τῶν ἐθνῶν τῶν ἐν πορνείᾳ βιούντων ἔτι, πρὸς δὲ καὶ τῶν προειρημένων αἱρέσεων ἀφορισθῆναι, ὡς ἀκαθάρτων καὶ ἀθέων, κελεύει προφητικῶς ἡμᾶς. Ὅθεν καὶ ὁ Παῦλος πρὸς τοὺς ὁμοίους ἀποτεινόμενος τοῖς εἰρημένοις, « Ταύτας οὖν ἔχετε (35) τὰς ἐπαγγελίας, φησὶν, ἀγαπητοί· καθαρίσωμεν ἑαυτῶν τὰς καρδίας ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ Θεοῦ. Ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ· ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ, παρθένον ἁγνὴν παραστῆσαι (36) τῷ D Χριστῷ. » Ἐκκλησία δὲ ἄλλον οὐ γαμεῖ, τὸν νυμφίον κεκτημένη· ἀλλ' ὁ καθ' ἕκαστον ἡμῶν, ἣν ἂν βούληται κατὰ τὸν νόμον γαμεῖν, τὸν πρῶτον λέγω γάμον (37), ἔχει τὴν ἐξουσίαν. « Φοβοῦμαι δὲ μήπως, ὡς ὁ ὄφις ἐξηπάτησεν Εὔαν (38) ἐν τῇ πανουργίᾳ,

propter solam liberorum susceptionem, ex eo clarum est, quod prohibet quidem eum, qui non habet uxorem, statim cum « captiva » habere consuetudinem [a]. Quod si semel desideraverit, ei, cum tonsa fuerit capillos, permittere ut lugeat triginta diebus. Si autem ne sic quidem emarcescat cupiditas, tunc liberis operam dare, cum quæ dominatur impulsio, probata sit præfinito tempore consentanea rationi appetitio. Unde nullum ex veteribus ex Scriptura ostenderis, qui cum prægnante rem habuerit: sed postquam gestavit uterum, et postquam editum fetum a lacte depulit, rursus a viris cognitas fuisse uxores. Jam hunc **196** scopum et institutum invenies servantem Moysis patrem, cum triennium post Aaronem editum intermisisset, genuisse Moysem. Et rursus Levitica tribus, servans hanc naturæ legem a Deo traditam, aliis numero minor ingressa est in terram promissam. Non enim facile multiplicatur genus, cum viri quidem seminant, legitimo juncti matrimonio; exspectant autem non solum uteri gestationem, sed etiam a lacte depulsionem. Unde merito Moyses quoque Judæos paulatim provehens ad continentiam, cum ✠ « tribus diebus [b] » deinceps consequentibus a venerea voluptate abstinuissent, jussit audire verba Dei. « Nos ergo Dei templa sumus, sicut dixit propheta: Inhabitabo in eis, et inambulabo, et ero eorum Deus, et ipsi erunt meus populus, » si ex præceptis vitam instituamus, sive singuli nostrum, sive tota simul Ecclesia. « Quare egredimini e medio ipsorum, et separamini, dicit Dominus, et immundum ne tangatis; et ego vos suscipiam, et ero vobis in patrem, et vos eritis mihi in filios et filias, dicit Dominus omnipotens [c]. » Non ab iis, qui uxores duxerunt, ut aiunt, sed a gentibus, quæ adhuc vivebant in fornicatione, præterea autem a prius quoque dictis hæresibus, ut immundis et impiis, prophetice nos jubet separari. Unde etiam Paulus quoque verba dirigens ad eos, qui erant iis, qui dicti sunt, similes: « Has ergo promissiones habete, inquit, dilecti: mundemus corda nostra ab omni inquinamento carnis et spiritus, perficientes sanctitatem in timore Dei [d]. Zelo enim vos zelo Dei; despondi enim vos uni viro, virginem castam exhibere Christo [e]. » Et Ecclesia quidem alii non jungitur matrimonio, cum sponsum habeat: sed unusquisque nostrum habet potestatem ducendi, quamcunque velit, legitimam uxorem, in primis, inquam, nuptiis. « Vereor autem, ne, sicut serpens seduxit

[a] Deut. XXI, 11, 12, 13. ✠ P. 544 ED. POTTER, 456-457 ED. PARIS. [b] Exod. XIX, 20. [c] II Cor. VI, 16, 17, 18. [d] II Cor. VII, 1. [e] II Cor. XI, 2.

(32) *Ἐπὶ μόνῃ π.* Conf. *Pædag.*, lib. II, c. 10, p. 192 edit. Paris.

(33) *Αἰχμαλώτῳ.* Conf. *Strom.* II, pag. 399 edit. Paris.

(34) *Ἡμεῖς ... προφήτης.* Ὑμεῖς γὰρ ναὸς Θεοῦ ἐστε ζῶντος, καθὼς εἶπεν ὁ Θεός, II Cor. VI, ubi mox, ἔσονταί μοι λ.

(35) *Ἔχετε.* Ἔχοντες II Cor. VII, ubi mox, καθαρίσωμεν ἑαυτοὺς ἀπ.

(36) *Παρθένον ἁγνὴν παραστῆσαι.* Subaudiendum ὥστε. SYLBURG.

(37) *Τὸν πρῶτον λ. γάμον.* Conf. p. 428 et 461. LOWTH.

(38) *Ἐξηπάτ. Εὔ.* Εὔαν ἐξηπάτησεν ἐν τῇ πανουργίᾳ αὐτοῦ, οὕτω φθαρῇ, II Cor. XI.

Eram in astutia, corrumpantur sensus vestri a simplicitate, quæ in Christo est [a]. » pie admodum et doctoris instar dixit Apostolus. Quocirca admirabilis quoque Petrus : « Charissimi, inquit, obsecro vos tanquam advenas et peregrinos, abstinete vos a carnalibus desideriis, quæ militant adversus animam, conversationem vestram inter gentes habentes bonam : quoniam sic est voluntas Dei, ut bene facientes obmutescere faciatis imprudentium hominum ignorantiam; quasi liberi, et non quasi velamen habentes malitiæ libertatem, sed ut servi Dei [b]. » Similiter etiam scribit Paulus in Epistola ad Romanos : « Qui mortui sumus peccato, quomodo adhuc vivemus in ipso? Quoniam vetus homo noster simul est crucifixus, ut destruatur corpus peccati [c], » usque ad illud : « Neque exhibete membra vestra, arma injustitiæ peccato [d]. » Atque adeo cum in hunc locum devenerim, videor mihi non esse prætermissurus, quin notem, quod, eumdem Deum per legem et prophetas et Evangelium prædicet Apostolus. Illud enim : « Non concupisces, » quod scriptum est in Evangelio, legi attribuit in Epistola ad Romanos, sciens esse unum eum, qui prædicavit per legem et prophetas, Patrem, et qui per ipsum est annuntiatus. Dicit ✠ enim : « Quid dicemus? Lex estne peccatum? Absit. Sed peccatum non cognovi, nisi per legem. Concupiscentiam enim non cognovissem, nisi lex diceret : Non concupisces [e]. » Quod si ii, qui sunt diversæ sententiæ, repugnantes, existiment Paulum verba sua dirigentem adversus Creatorem, dixisse ea, quæ deinceps sequuntur : « Novi enim, quod non habitat in me, hoc est, in carne mea, bonum [f] ; » legant ea, quæ prius dicta sunt ; et ea, quæ consequuntur. Prius enim dixit : « Sed inhabitans in me peccatum ; » propter quod consentaneum erat dicere illud : « Non habitat in carne mea bonum [g]. » Consequenter subjunxit : « Si autem quod nolo, hoc ego facio, non utique ego id operor, sed quod inhabitat in me peccatum : » quod « repugnans, » inquit, « legi » Dei et « mentis meæ, captivat me in lege peccati, quæ est in membris meis. Miser ego homo, quis me liberabit de corpore mortis hujus [h]? » Et rursus (nunquam enim quovis modo juvando defatigatur) non veretur veluti concludere : « Lex enim spiritus liberavit me a lege peccati et mortis : » quoniam « per Filium Deus condemnavit peccatum in carne, ut justificatio legis impleatur in nobis, qui non secundum

A φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς τὸν Χριστόν· » σφόδρα εὐλαβῶς καὶ διδασκαλικῶς εἴρηκεν ὁ Ἀπόστολος. Διὸ καὶ ὁ θαυμάσιος Πέτρος φησίν· « Ἀγαπητοὶ, παρακαλῶ ὡς παροίκους καὶ παρεπιδήμους, ἀπέχεσθαι τῶν σαρκικῶν ἐπιθυμιῶν, αἵτινες στρατεύονται κατὰ τῆς ψυχῆς, τὴν ἀναστροφὴν ὑμῶν καλὴν ἔχοντες (39) ἐν τοῖς ἔθνεσιν· ὅτι οὕτως ἐστὶ τὸ θέλημα τοῦ Θεοῦ, ἀγαθοποιοῦντας, φιμοῦν τὴν τῶν ἀφρόνων ἀνθρώπων ἐργασίαν (40)· ὡς ἐλεύθεροι, καὶ μὴ ὡς ἐπικάλυμμα ἔχοντες τῆς κακίας τὴν ἐλευθερίαν, ἀλλ' ὡς δοῦλοι Θεοῦ. » Ὁμοίως δὲ καὶ ὁ Παῦλος ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ γράφει· « Οἵτινες ἀπεθάνομεν τῇ ἁμαρτίᾳ, πῶς ἔτι ζήσομεν ἐν αὐτῇ ; Ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρ- B τίας, » ἕως, « Μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ. » Καὶ δὴ ἐνταῦθα γενόμενος, δοκῶ μοι μὴ παραλείψειν ἀνεπισημείωτον, ὅτι τὸν αὐτὸν Θεὸν διὰ νόμου καὶ προφητῶν καὶ Εὐαγγελίου ὁ Ἀπόσταλος κηρύσσει· τὸ γὰρ, « Οὐκ ἐπιθυμήσεις, » ἐν τῷ Εὐαγγελίῳ γεγραμμένον, τῷ νόμῳ περιτίθησιν ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ, ἕνα εἰδὼς τὸν διὰ νόμου καὶ προφητῶν κηρύξαντα, καὶ τὸν δι' αὐτοῦ εὐαγγελισθέντα Πατέρα. Φησὶ γάρ· « Τί ἐροῦμεν (41); Ὁ νόμος ἁμαρτία (42); Μὴ γένοιτο. Ἀλλὰ τὴν ἁμαρτίαν οὐκ ἔγνων εἰ μὴ διὰ νόμου· τήν τε γὰρ ἐπιθυμίαν οὐκ ᾔδειν, εἰ μὴ ὁ νόμος ἔλεγεν· Οὐκ ἐπιθυμήσεις. » Κἂν οἱ ἀντιτασσόμενοι τῶν ἑτεροδόξων, προσαποτεινόμενον τὸν Παῦλον τῷ Κτίστῃ, εἰρηκέναι ὑπολάβωσι τὰ ἑξῆς· « Οἶδα γὰρ, C ὅτι οὐκ οἰκεῖ ἐν ἐμοὶ, τουτέστιν ἐν τῇ σαρκί μου, ἀγαθόν· » ἀλλ' ἀναγινωσκόντων τὰ προειρημένα, καὶ τὰ ἐπιφερόμενα· προεῖπε γὰρ, « Ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία· » δι' ἣν ἀκόλουθον ἦν εἰπεῖν, « Ὅτι οὐκ οἰκεῖ ἐν τῇ σαρκί μου ἀγαθόν. » Ἑπομένως ἐπήγαγεν· « Εἰ δὲ ὃ οὐ θέλω, τοῦτο ἐγὼ (43) ποιῶ, οὐκ ἔτι ἐγὼ κατεργάζομαι αὐτὸ, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία· » ἥτις, « ἀντιστρατευομένη (44) τῷ νόμῳ τοῦ Θεοῦ καὶ τοῦ νοός μου, » φησὶν, « αἰχμαλωτίζει με ἐν τῷ νόμῳ τῆς ἁμαρτίας, τῷ ὄντι ἐν τοῖς μέλεσί μου. Ταλαίπωρος ἐγὼ ἄνθρωπος· τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου; » πάλιν τε αὖ (κάμνει γὰρ οὐδ' ὅπως τις οὖν (45) ὠφελῶν·) οὐκ ὀκνεῖ ἐπιλέγειν· « Ὁ γὰρ νόμος τοῦ πνεύματος (46) ἠλευθέρωσέ με D ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου· » ἐπεὶ « διὰ τοῦ Υἱοῦ ὁ Θεὸς κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ, ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν, τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα. » Πρὸς τούτοις ἔτι ἐπισαφηνίζων τὰ

[a] II Cor. xi, 3. [b] I Petr. ii, 11, 12, 15, 16. [c] Rom. vi, 2, 6. [d] Ibid. 13. ✠ P. 545 ED. POTTER, 457, 458 ED. PARIS. [e] Rom. vii, 7. [f] Ibid. 18. [g] Ibid. 17. [h] Ibid. 20, 23, 24.

(39) *Καλὴν ἔχ.* Ἐν τοῖς ἔθνεσιν ἔχοντες καλήν, I Petr. ii.

(40) *Ἐργασίαν.* Ἀγνωσίαν I Petr. ii. Si Clementis lectionem sequamur, « sensus » Apostoli « erit, » inquit Estius, « Ut dum benefacitis, adversariæ linguæ non habeant quod dicant, et in quo occupentur. »

(41) *Τί ἐρ.* Τί οὖν ἐρ. Rom. vii.

(42) *Ὁ νόμος ἁμαρτίᾳ.* Rectius, ὁ νόμος ἁμαρτία, utrobique nominat. casu, ut in Vulg. Bib. Rom. vii. Sylburg.

(43) *Τοῦτο ἐγώ.* Ἐγὼ τοῦτο, Rom.

(44) *Ἥτις, ἀντιστρ.* Βλέπω δὲ ἕτερον νόμον ἐν τοῖς μέλεσί μου ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός μου, καὶ αἰχμαλωτίζοντά με τῷ νόμ. Rom. vii.

(45) *Οὐδ' ὅπως τις οὖν.* Si legamus, οὐδ' ὅπως τι οὖν, restringemus ad Paulum, alioqui generaliter dictum extendetur ad quemcunque. Sylburg.

(46) *Πνεύματος.* Πνεύματος τῆς ζωῆς ἐν Χριστῷ Ἰησοῦ, Rom.

προειρημένα, ἐπιβοᾷ· «Τὸ μὲν σῶμα νεκρὸν δι' ἁμαρτίαν·» δηλῶν, ὡς ὅτι μὴ νεὼς, τάφος δ' ἐστὶν ἔτι τῆς ψυχῆς (47)· ὁπηνίκα γὰρ ἁγιασθῇ τῷ Θεῷ, «Τὸ Πνεῦμα (48),» ἐποίσει, «τοῦ ἐγείραντος ἐκ νεκρῶν Ἰησοῦν οἰκεῖ ἐν ὑμῖν· ὃς ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ Πνεύματος ἐν ὑμῖν.» Αὖθις οὖν, τοῖς φιληδόνοις ἐπιπλήττων, ἐκεῖνα προστίθησι· «Τὸ γὰρ φρόνημα τῆς σαρκὸς, θάνατος. Ὅτι οἱ κατὰ σάρκα ζῶντες τὰ τῆς σαρκὸς φρονοῦσιν· καὶ τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς Θεόν· τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται. Οἱ δὲ ἐν σαρκὶ ὄντες» οὐχ, ὥς τινες δογματίζουσι, «Θεῷ ἀρέσαι οὐ δύνανται,» ἀλλ' ὡς προειρήκαμεν. Εἶτα πρὸς ἀντιδιαστολὴν τούτων τῇ Ἐκκλησίᾳ φησίν· «Ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι, εἴπερ πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν. Εἰ δέ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. Εἰ δὲ Χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα νεκρὸν δι' ἁμαρτίαν, τὸ δὲ πνεῦμα ζωὴ διὰ δικαιοσύνην. Ἄρα οὖν, ἀδελφοὶ, ὀφειλέται ἐσμὲν οὐ τῇ σαρκὶ τοῦ κατὰ σάρκα ζῆν· εἰ γὰρ κατὰ σάρκα ζῆτε, μέλλετε ἀποθνήσκειν· εἰ δὲ πνεύματι τὰς πράξεις τοῦ σώματος θανατοῦτε, ζήσεσθε. Ὅσοι γὰρ πνεύματι Θεοῦ ἄγονται, οὗτοί εἰσιν υἱοὶ Θεοῦ.» Καὶ πρὸς τὴν εὐγένειαν καὶ πρὸς τὴν ἐλευθερίαν τὴν καταπτύστως ὑπὸ τῶν ἑτεροδόξων εἰσαγομένην, ἐπ' ἀσελγείᾳ καυχωμένων, ἐπιφέρει λέγων· «Οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν, Ἀββᾶ ὁ Πατήρ·» τουτέστιν, εἰς τοῦτο ἐλάβομεν, ἵνα γινώσκωμεν τοῦτον, ᾧ προσευχόμεθα, τὸν τῷ ὄντι πατέρα, τὸν τῶν ὄντων μόνον Πατέρα, τὸν εἰς σωτηρίαν παιδεύοντα ὡς πατέρα, καὶ τὸν φόβον ἀπειλεῖ (49).

A carnem ambulamus, sed secundum spiritum [a].» Præter hæc adhuc declarans ea, quæ prius dicta sunt, exclamat: «Corpus quidem mortuum propter peccatum:» significans id non esse templum, sed sepulcrum animæ. Quando enim sanctificatum fuerit Deo, «Spiritus ejus,» infert, «qui suscitavit Jesum a mortuis, habitat in vobis: qui vivificabit etiam mortalia vestra corpora, per ejus Spiritum, qui habitat in vobis [b].» Rursus itaque voluptarios increpans, illa adjicit: «Prudentia enim carnis, mors; quoniam qui ex carne vivunt, ea, quæ sunt carnis, cogitant; et prudentia carnis est cum Deo gerere inimicitias; legi enim Dei non subjicitur. Qui autem sunt in carne,» non ut quidam decernunt, «Deo placere non possunt,» sed ut B prius diximus. Deinde ut eos distinguat, dicit Ecclesiæ: «Vos autem non estis **197** in carne, sed in spiritu, si quidem spiritus Dei habitat in vobis. Si quis autem spiritum Christi non habet, is non est ejus. Si autem Christus in vobis, corpus quidem est mortuum per peccatum, spiritus autem vivus per justitiam. Debitores itaque sumus, fratres, non carni, ut secundum carnem vivamus. Si enim secundum carnem vivitis, estis morituri: si vero spiritu facta carnis mortificaveritis, vivetis. Quicunque enim spiritu Dei aguntur, ✠ ii sunt filii Dei.» Et adversus nobilitatem et adversus libertatem, quæ exsecrabiliter ab iis, qui sunt diversæ sententiæ, introducitur, qui de libidine gloriantur, subjungit di- C cens: «Non enim accepistis spiritum servitutis rursus in timorem, sed accepistis spiritum adoptionis filiorum, in quo clamamus, Abba Pater [c];» hoc est, ad hoc accepimus, ut cognoscamus eum, quem oramus, qui est vere Pater, qui rerum omnium solus est Pater, qui ad salutem erudit et castigat ut pater, et timorem minatur.

CAPUT XII.

Verba Apostoli I Cor. VII, 5, 39, 40, aliaque S. Scripturæ loca eodem spectantia explicat.

Ἡ δὲ ἐκ συμφώνου (50) πρὸς καιρὸν σχολάζουσα τῇ προσευχῇ συζυγία ἐγκρατείας ἐστὶ διδασκαλία· προσέθηκε γὰρ τὸ μὲν «ἐκ συμφώνου,» ἵνα μή τις διαλύσῃ τὸν γάμον, «πρὸς καιρὸν δὲ,» ὡς μὴ, κατὰ ἀνάγκην ἐπιτηδεύων τὴν ἐγκράτειαν ὁ γήμας, ὀλισθήσῃ ποτὲ εἰς ἁμαρτίαν, φειδοῖ μὲν τῆς ἑαυτοῦ συζυγίας, ἐπιθυμίᾳ δὲ ἀλλοτρίᾳ περιπεσών. Ὧ λόγῳ καὶ τὸν ἀσχημονεῖν (51) ἑαυτὸν ἐπὶ τῇ παρθενοτροφίᾳ ὑπολαμβάνοντα καλῶς εἰς γάμον ἐκδώσειν τὴν θυγατέρα ἔλεγεν. Ἡ πρόθεσίς τε ἑκάστου, τοῦ τε ἑαυτὸν εὐνουχίσαντος τοῦ τε αὖ γάμῳ διὰ παιδοποιίαν συζεύξαντος, ἀνένδοτος πρὸς τὸ ἧττον διαμέ-

Quod autem «ex consensu ad tempus orationi vacat» conjugium, doctrina est continentiæ. Adjecit enim illud quidem, «ex consensu,» ne quis dissolveret matrimonium; «ad tempus autem [d],» ne, dum ex necessitate exercet continentiam is, qui uxorem duxerit, labatur in peccatum, et dum suo conjugio parcit, alienum concupiscat. Qua ratione eum, qui se indecore gerere existimat, quod virgi- D nem alat, recte eam dicit esse nuptum daturum. Verum unusquisque, tam is qui castitatem delegit, quam is qui propter liberorum procreationem seipsum conjunxit matrimonio, in suo proposito

[a] Rom. VIII, 2, 3, 4. [b] Ibid., 10, 11. [c] Ibid. 5, 6, 7, 8, 9, 10, 12, 13, 14, 15. ✠ P. 546 ED. POTTER, 458, 459 ED. PARIS. [d] I Cor. VII, 5.

(47) *Τάφος ... τῆς ψυχῆς.* Plato in *Cratylo* pag. 275: Καὶ γὰρ σῆμά τινές φασιν αὐτὸ (σῶμα) εἶναι τῆς ψυχῆς, ὡς τεθαμμένης ἐν τῷ νῦν παρόντι· «Corpus enim hoc animæ sepulcrum quidam esse tradunt: quasi ipsa præsenti in tempore sit sepulta.»

(48) *Τὸ Πνεῦμα.* Quæ sequuntur, imperfecte et tanquam διὰ μνήμης recitat auctor ex Rom. VIII, 5, 6, 7, 8.

(49) *Ἐὰν τὸν φόβον ἀπειλεῖ.* Exponi potest, «idemque timorem abigit:» ut non ad Patrem spectet, quemadmodum existimavit interpres, sed ad spiritum adoptionis, quem opponit spiritui servitutis ac timoris.

(50) *Ἐκ συμφώνου.* Respicit I Cor. VII, 5: Μὴ ἀποστερεῖτε ἀλλήλους, εἰ μή τι ἂν ἐκ συμφώνου πρὸς καιρὸν, ἵνα σχολάζητε τῇ νηστείᾳ καὶ τῇ προσευχῇ.

(51) *Ἀσχημονεῖν.* Respicit I Cor. VII, 36.

firmiter debet perseverare, nec in deterius deflectere. Si enim vitæ suæ institutum augere ac intendere poterit, majorem sibi apud Deum acquirit dignitatem, propter puram et ex ratione profectam continentiam. Si autem eam, quam elegit, regulam superaverit, in majorem deinde ad spem gloriam recidet. Habet enim sicut castitas, ita etiam matrimonium propria munera et ministeria, quæ ad Dominum pertinent, filiorum, inquam, curam gerere et uxoris. Quod enim honeste causatur is, qui est in matrimonio perfectus, est conjugii necessitudo, ut qui omnium curam ac providentiam in domo communi ostenderit. Ac proinde, « episcopos, » inquit, oportet constitui, qui ex domo propria toti quoque Ecclesiæ præesse sint meditati. « Unusquisque » ergo, « in quo vocatus est [a] » opere ministerium peragat, ut liber in Christo fiat, et debitam ministerio suo mercedem accipiat. Et rursus de lege disserens, utens allegoria : « Nam quæ sub viro est mulier, » inquit, « viventi viro alligata est lege [b], » et quæ sequuntur. Et rursus : « Mulier est alligata, quandiu vivit ✠ vir ejus; sin autem mortuus fuerit, libera est ut nubat, modo in Domino. Beata est autem si sic permanserit, mea quidem sententia [c]. » Sed in priore quidem particula, « mortificati estis, » inquit, « legi, » non matrimonio, « ut efficiamini vos alteri, qui excitatus est ex mortuis [d], » sponsa et Ecclesia; quam castam esse oportet, et ab iis quæ sunt intus, cogitationibus, quæ sunt contrariæ veritati; et ab iis, qui tentant extrinsecus, hoc est ab iis, qui sectantur hæreses, et persuadent vobis fornicari ab uno viro, nempe omnipotenti Deo : « Ne sicut

A νειν ὀφείλει. Εἰ μὲν γὰρ ἐπιτεῖναι οἷός τε ἔσται τὸν βίον, μείζονα ἀξίαν ἐν Θεῷ αὐτὸς ἑαυτῷ περιποιήσεται, καθαρῶς ἅμα καὶ λελογισμένως ἐγκρατευσάμενος· εἰ δὲ ὑπερβὰς (52) ὃν εἵλετο κανόνα εἰς μείζονα δόξαν, ἔπειτα ἀποπέσῃ πρὸς τὴν ἐλπίδα· ἔχει γὰρ ὥσπερ ἡ εὐνουχία, οὕτω καὶ ὁ γάμος ἰδίας λειτουργίας καὶ διακονίας, τῷ Κυρίῳ διαφερούσας, τέκνων λέγω κήδεσθαι καὶ γυναικός· πρόφασις γὰρ, ὡς ἔοικεν, τῷ κατὰ γάμον τελείῳ ἡ τῆς συζυγίας οἰκειότης γίνεται, τὴν πρόνοιαν πάντων ἀναδεδειγμένῳ (53) κατὰ τὸν οἶκον τὸν κοινόν· αὐτίκα φησίν· « Ἐπισκόπους (54) » δεῖ καθίστασθαι τοὺς ἐκ τοῦ ἰδίου οἴκου καὶ τῆς Ἐκκλησίας ἁπάσης προΐστασθαι μελετήσαντας. « Ἕκαστος (55) » οὖν « ἐν ᾧ ἐκλήθη » ἔργῳ τὴν διακονίαν ἐκτελείτω, ἵνα ἐλεύθερος ἐν Χριστῷ B γένηται, τὸν οἰκεῖον τῆς διακονίας ἀπολαμβάνων μισθόν. Πάλιν τε αὖ, περὶ τοῦ νόμου διαλεγόμενος, ἀλληγορίᾳ χρώμενος· « Ἡ γὰρ ὕπανδρος γυνὴ, » φησὶ, « τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ, » καὶ τὰ ἑξῆς· αὖθίς τε· « Ἡ γυνὴ δέδεται ἐφ' ὅσον ζῇ χρόνον (56) ὁ ἀνὴρ αὐτῆς· ἐὰν δὲ ἀποθάνῃ, ἐλευθέρα ἐστὶν γαμηθῆναι, μόνον ἐν Κυρίῳ. Μακαρία δέ ἐστιν, ἐὰν οὕτως (57) μείνῃ, κατὰ τὴν ἐμὴν γνώμην. » Ἀλλ' ἐπὶ μὲν τῆς προτέρας περικοπῆς, « Ἐθανατώθητε, » φησὶ, « τῷ νόμῳ, » οὐ τῷ γάμῳ, « εἰς τὸ γενέσθαι ὑμᾶς ἑτέρῳ, τῷ ἐκ νεκρῶν ἐγερθέντι, » νύμφην καὶ Ἐκκλησίαν· ἣν ἁγνὴν εἶναι δεῖ τῶν τε ἔνδον ἐννοιῶν τῶν ἐναντίων τῇ ἀληθείᾳ, τῶν τε ἔξωθεν πειραζόντων, τουτέστι τῶν τὰς αἱρέσεις μετιόντων καὶ πορνεύειν C ἀπὸ τοῦ ἑνὸς ἀνδρὸς ἀναπειθόντων, τοῦ παντοκράτορος Θεοῦ· « Ἵνα μὴ (58), ὡς ὁ ὄφις ἐξηπάτησεν Εὔαν, » τὴν λεγομένην « ζωὴν (59), » καὶ ἡμεῖς ὑπὸ τῆς κατὰ τὰς αἱρέσεις λίχνου πανουργίας παραβῶ-

[a] I Cor. VII, 24. [b] Rom. VII, 2. ✠ P. 547 ED. POTTER, 459, 460 ED. PARIS. [c] I Cor. VII, 39, 40. [d] Rom. VII, 4.

(52) *Εἰ δὲ ὑπερβ.* Quid sibi voluit interpres hæc vertens, haud facile intelligi potest. Mihi videtur post τὴν ἐλπίδα aliquid hujusmodi excidisse, « ne despondeat animum; » ut sensus sit : « Quod si eam transgressus regulam, qua constituerat ad gloriam grassari, a tanta spe exciderit, » ne tamen animum despondeat : « nam quemadmodum castitati, sic etiam matrimonio sua sunt munera ac ministeria Domino pergrata, liberorum scilicet et uxoris cura. Nam ei, qui in matrimonio perfecte vivit, ipsa necessitudo conjugii videtur esse occasio ministrandi, dum omnium, quæ ad communem familiam pertinent, curam gerere se ostendit. — Doctissimus Oxoniensis editor existimat post τὴν ἐλπίδα aliquid hujusmodi excidisse, « ne tamen animum despondeat, » ita ut is, qui post susceptum continentiæ propositum cadit redeundo ad id quod reliquerat, is lapsum suum hac ratione consolari possit, quod ut castitas, ita etiam matrimonium suas habeat virtutes. Sed quod hic dicitur de matrimonii virtutibus, non eo spectat, ut illius usum repetere liceat his qui perfectiorem statum amplexi sunt. Nam lapsum vocat hanc agendi rationem S. Clemens, atque, ut perstantibus in suscepta continentia uberiorem mercedem promittit, ita cadentibus gravissimas minas intentat. Quare vulnus hujus loci sanabitur, si legamus, πῶς τὴν ἐλπίδα ἔχοι; illud ἔχοι facile excidere potuit ob similem vocem ἔχει, quæ proxime sequitur. Sic ergo totum hunc locum interpretor : « Quod si vitam ad perfectius intendere potuerit, majus meritum apud Deum sibi ipse comparabit ob servatam pure et rationi consentanee continentiam. Sed si postquam transcendit, majoris gloriæ causa, electum vitæ genus, ceciderit, quomodo spem habebit? Habet enim, ut castitas, ita et matrimonium proprias perfunctiones et ministeria, quæ Domino probantur. » Spem aufert cadentibus, quandiu scilicet ad promissam continentiam non redibunt; quod autem addit de laudabilibus matrimonii perfunctionibus, eo manifeste spectat, ut qui hunc statum elegerunt, non temere ad perfectiorem transcurrant. *Hæc D. Maranus in notis ad Athenagoræ Legationis num.* 33. *Vide Patr. Græcæ t. VI, col.* 965. EDIT.

D (53) *Ἀναδεδειγμένῳ*. Vel forte ἀναδεδεγμένῳ, ab ἀναδέχομαι. Sic infra p. 552, pro οὐκ ἦσαν ἀποδεδειγμέναι γυναῖκες κ., scribendum οὐκ ἦσαν ἀποδεδεγμέναι γ. κ.

(54) *Ἐπισκόπους*. Respicit 1 Tim. III, 4, 5. Similia dicit infra, pag. 472.

(55) *Ἕκαστος*. Respicit I Cor. VII, 24 : Ἕκαστος ἐν ᾧ ἐκλήθη, ἀδελφοί, ἐν τούτῳ μενέτω παρὰ τῷ Θεῷ· et v. 22 : Ὁ γὰρ ἐν Κυρίῳ κληθεὶς δοῦλος ἀπελεύθερος Κυρίου ἐστίν.

(56) *Ἡ γυνὴ δέδεται ἐφ' ὅσον ζῇ χρόνον*. Γυνὴ δέδεται νόμῳ ἐφ' ὅσον χρόνον ζῇ, I Cor. VII, ubi mox: Ἐὰν δὲ κοιμηθῇ ὁ ἀνὴρ αὐτῆς, ἐλευθέρα ἐστὶν ᾧ θέλει γαμηθῆναι.

(57) *Μακαρία... οὕτως*. Μακαριωτέρα... οὕτω, ibid.

(58) *Ἵνα μή*. Respicit II Cor. XI, 3 : Φοβοῦμαι δὲ μήπως, ὡς ὁ ὄφις Εὔαν ἐξηπάτησεν ἐν τῇ πανουργίᾳ αὐτοῦ, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς τὸν Χριστόν.

(59) *Ζωήν*. Conf. superius pag. 453 edit. Paris.

μεν τὰς ἐντολάς. Ἡ δευτέρα δὲ περικοπὴ μονογαμίαν ἵστησιν· οὐ γάρ, ὥς τινες ἐξηγήσαντο, δέσιν γυναικὸς πρὸς ἄνδρα τὴν σαρκὸς πρὸς τὴν φθορὰν ἐπιπλοκὴν μηνύεσθαι ὑποτοπητέον· τῶν γὰρ ἄντικρυς διαβόλῳ προσαπτόντων τὴν τοῦ γάμου εὕρεσιν ἀθέων ἀνθρώπων ἐπίνοιαν κατηγορεῖ καὶ (60) κινδυνεύει βλασφημεῖσθαι ὁ νομοθέτης. Τατιανὸν οἶμαι τὸν Σύρον τὰ τοιαῦτα τολμᾶν δογματίζειν. Γράφει γοῦν κατὰ λέξιν ἐν τῷ *Περὶ τοῦ κατὰ τὸν Σωτῆρα καταρτισμοῦ*· Συμφωνίαν (61) μὲν οὖν ἁρμόζει προσευχῇ· κοινωνία δὲ φθορᾶς λύει τὴν ἔντευξιν (62). Πάνυ γοῦν δυσωπητικῶς διὰ τῆς συγχωρήσεως εἴργει· πάλιν γὰρ « ἐπὶ ταὐτὸ » συγχωρήσας « γενέσθαι διὰ τὸν σατανᾶν καὶ τὴν ἀκρασίαν, » τὸν πεισθησόμενον « δυσὶ κυρίοις μέλλειν δουλεύειν » ἀπεφήνατο διὰ μὲν συμφωνίας Θεῷ, διὰ δὲ τῆς ἀσυμφωνίας ἀκρασίᾳ καὶ πορνείᾳ καὶ διαβόλῳ. » Ταῦτα δέ φησι, τὸν Ἀπόστολον ἐξηγούμενος. Σοφίζεται δὲ τὴν ἀλήθειαν, δι' ἀληθοῦς ψεῦδος κατασκευάζων· ἀκρασίαν μὲν γὰρ καὶ πορνείαν διαβολικὰ εἶναι πάθη καὶ ἡμεῖς ὁμολογοῦμεν· γάμου δὲ τοῦ σώφρονος μεσιτεύει συμφωνία, ἐπί τε τὴν εὐχὴν ἐγκρατῶς ἄγουσα, ἐπί τε τὴν παιδοποιίαν μετὰ σεμνότητος νυμφεύουσα. Γνῶσις γοῦν καὶ ὁ τῆς παιδοποιίας καιρὸς πρὸς τῆς Γραφῆς εἴρηται, ἐπειδὰν φῇ· « Ἔγνω δὲ Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ· καὶ συλλαβοῦσα ἔτεκεν υἱόν· καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σήθ· Ἐξανέστησε (63) γάρ μοι ὁ Θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ. » Ὁρᾷς, εἰς τίνα βλασφημοῦσιν οἱ μυσαττόμενοι τὴν σώφρονα σπορὰν, καὶ τῷ διαβόλῳ προσάπτεσθαι (64) γένεσιν· οὐ γὰρ Θεὸν ἁπλῶς προσεῖπεν ὁ τῇ τοῦ ἄρθρου προτάσει τὸν παντοκράτορα δηλώσας. Ἡ δὲ ἐπιφορὰ τοῦ Ἀποστόλου· « Καὶ πάλιν (65) ἐπὶ τὸ αὐτὸ γίνεσθε » διὰ τὸν Σατανᾶν, ἐκεῖνο προανακόπτει, μὴ εἰς ἐπιθυμίας ἑτέρας ἐκτραπῆναί ποτε· οὐ γὰρ ἀποκρούεται τέλεον, τὰς τῆς φύσεως ὀρέξεις δυσωποῦσα, ἡ πρόσκαιρος συμφωνία· δι' ἣν εἰσάγει πάλιν τὴν συζυγίαν τοῦ γάμου οὐκ εἰς ἀκρασίαν καὶ πορνείαν καὶ τὸ τοῦ διαβόλου ἔργον, ἀλλ' ὅπως μὴ ὑποπέσῃ ἀκρασίᾳ καὶ πορνείᾳ καὶ διαβόλῳ. Χωρίζει (66) δὲ καὶ τὸν παλαιὸν ἄνδρα καὶ τὸν καινὸν ὁ

A serpens decepit Evam [a], » quæ « vita » dicitur, nos quoque inducti callidis hæresium illecebris, transgrediamur mandata. Secunda autem particula statuit monogamiam : non enim, ut quidam existimarunt, mulieris cum viro alligationem, carnis cum interitu connexionem, significari putandum est; impiorum enim hominum, qui matrimonii inventionem diabolo aperte tribuunt, opinionem reprehendit, unde in periculum venit legislator ne incessatur maledictis. Tatianum arbitror Syrum talia audere dogmata tradere. His verbis quidem certe scribit in libro *De perfectione secundum Servatorem :* « Consensum quidem conjungit orationi : communio autem seu conjunctio, interitus solvit interpellationem. Admodum certe circumspecte arcet per concessionem. Nam cum rursus permisit B « simul convenire propter Satanam et intemperantiam [b], » pronuntiavit eum, qui est obtemperaturus, « serviturum duobus dominis [c] : » per consensum quidem, Deo; per dissensionem autem, intemperantiæ et fornicationi et diabolo. » Hæc autem dicit, Apostolum exponens. Sophistice autem eludit veritatem, per verum falsum confirmans : intemperantiam enim et fornicationem, diabolica vitia et affectiones nos quoque confitemur; intercedit autem moderati matrimonii consensio, quæ tum ad precationem continenter deducit, tum ad procreandos liberos cum honestate conciliat. « Cognitio » quidem certe a Scriptura dictum est tempus liberorum procreationis, cum dixit : « Cognovit autem Adam C Evam uxorem suam; ✠ et concepit, et peperit filium, et nominavit nomen ejus Seth : Suscitavit enim mihi Deus aliud semen pro Abel [d]. » Vides, quemnam maledictis incessant, qui honestam ac moderatam incessunt seminationem, et diabolo attribuunt generationem. Non enim simpliciter Deum dixit, qui articuli præmissione, nempe ὁ Θεός dicens, significavit eum, qui est omnipotens. Quod ab Apostolo autem subjungitur : « Et rursus simul convenite propter Satanam [e], » in eum finem dicitur, ut occasionem tollat ad alias declinandi cupiditates. Non

[a] II Cor. XI, 3. [b] I Cor. VII, 5. [c] Matth. VI, 24. [d] Gen. IV, 25. [e] I Cor. VII, 5.

✠ P. 548 ED. POTTER, 460, 461 ED. PARIS.

(60) *Καί.* Melius legeretur ᾧ, vel ὅθεν. LOWTH.

A κατάραν, ὥσπερ αἱ αἱρέσεις. Εὐνοῦχος τοίνυν, οὐχ ὁ κατηναγκασμένος τὰ μόρια, οὐδὲ μὴν ὁ ἄγαμος, εἴρηται, ἀλλ' ὁ ἄγονος ἀληθείας. Ξύλον οὗτος ξηρὸν ἦν πρότερον· ὑπακούσας δὲ τῷ Λόγῳ, καὶ φυλάξας τὰ σάββατα κατὰ ἀποχὴν ἁμαρτημάτων, καὶ ποιήσας τὰς ἐντολάς, ἐντιμότερος ἔσται τῶν ἄνευ πολιτείας ὀρθῆς λόγῳ μόνῳ παιδευομένων. « Τεκνία (29), » φησίν, « ὀλίγον ἔτι μεθ' ὑμῶν εἰμι, » ὁ Διδάσκαλος. Διὸ καὶ Παῦλος, Γαλάταις ἐπιστέλλων, φησί· « Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν. » Πάλιν τε αὖ Κορινθίοις γράφων, « Ἐὰν γὰρ μυρίους παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, » λέγει, « ἀλλ' οὐ πολλοὺς πατέρας· ἐν γὰρ Χριστῷ (30) διὰ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. » Διὰ τοῦτο « οὐκ εἰσελεύσεται εὐνοῦχος (31) εἰς Ἐκκλησίαν B Θεοῦ, » ὁ ἄγονος καὶ ἄκαρπος καὶ πολιτείᾳ καὶ λόγῳ· ἀλλ' « οἱ » μὲν « εὐνουχίσαντες ἑαυτοὺς » ἀπὸ πάσης ἁμαρτίας « διὰ τὴν βασιλείαν τῶν οὐρανῶν, » μακάριοι οὗτοί εἰσιν, οἱ τοῦ κόσμου νηστεύοντες.

CAPUT XVI.

Jerem. xx, 14; *Job.* xiv, 3; *Psal.* L, 5; *I Cor.* ix, 27, *exponit.*

« Exsecranda » autem « dies in qua natus sum, et ut non sit optanda [f], » inquit Jeremias: non absolute exsecrandam dicens generationem, sed populi peccata ægre ferens et inobedientiam. Subjungit itaque: « Cur enim natus sum ut viderem labores et dolores, et in perpetuo probro fuerunt dies mei [g]? » Quin etiam omnes, qui prædicabant veritatem, propter eorum, qui audiebant, inobedientiam, quærebantur ad pœnam, et veniebant in periculum. « Cur enim non fuit uterus matris meæ sepulcrum, ne viderem afflictionem Jacob et laborem generis Israel [h]? » ait Esdras propheta. « Nullus est a sorde mundus, » ait Job, « nec si sit quidem una dies vita ejus [i]. » Dicant ergo nobis, ubi fornicatus est

« Ἐπικατάρατος δὲ ἡ ἡμέρα ἐν ᾗ ἐτέχθην· καὶ μὴ ἔστω ἐπευκτέα (32), » ὁ Ἱερεμίας φησίν· οὐ τὴν γένεσιν ἁπλῶς ἐπικατάρατον λέγων, ἀλλ' ἀποδυσπετῶν ἐπὶ τοῖς ἁμαρτήμασι τοῦ λαοῦ καὶ τῇ ἀπειθείᾳ· ἐπιφέρει γοῦν· « Διὰ τί γὰρ ἐγεννήθην (33), τοῦ βλέπειν κόπους καὶ πόνους, καὶ διετέλεσαν ἐν αἰσχύνῃ αἱ ἡμέραι μου; » Αὐτίκα πάντες οἱ κηρύσσοντες τὴν ἀλήθειαν, διὰ τὴν ἀπείθειαν τῶν ἀκουόντων, C ἐδιώκοντό τε καὶ ἐκινδύνευον. « Διὰ τί γὰρ οὐκ ἐγένετο (34) ἡ μήτρα τῆς μητρός μου τάφος, ἵνα μὴ ἴδω τὸν μόχθον τοῦ Ἰακὼβ, καὶ τὸν κόπον τοῦ γένους Ἰσραήλ; » Ἔσδρας ὁ προφήτης λέγει. « Οὐδεὶς (35) καθαρὸς ἀπὸ ῥύπου, » Ἰὼβ φησιν, « οὐδ' εἰ μία ἡμέρα ἡ ζωὴ αὐτοῦ. » Λεγέτωσαν ἡμῖν, ποῦ ἐπόρνευσεν τὸ

[a] Joan. xiii, 33. [b] Galat. iv, 19. [c] I Cor. iv, 15. [d] Deut. xxiii, 1. [e] Matth. xix, 12. [f] Jer. xx, 14. [g] Ibid. 18. [h] IV Esdr. v, 35. [i] Job xiv, 4, 5.

(29) *Τεκνία.* A. mavult, simpliciori ordine, τεκνία, ἔτι μικρὸν μεθ' ὑμῶν εἰμι, φησὶν ὁ Διδάσκαλος· ex Joan. xiii. Sylburg.

(30) *Χριστῷ.* Χριστῷ Ἰησοῦ, I Cor. iv, 15.

(31) *Εὐνοῦχος.* Θλαδίας, οὐδὲ ἀποκεκομμένος, Deut.

(32) *Ἐπικατάρατος ... ἐπευκτέα.* Ἐπικατάρατος ἡ ἡμέρα ἐν ᾗ ἐτέχθην ἐν αὐτῇ· ἡ ἡμέρα ἐν ᾗ ἔτεκέν με ἡ μήτηρ μου, μὴ ἔστω ἐπευκτή. Jerem. xx, 14.

(33) *Διὰ τί γὰρ ἐγεννήθην.* Ἱνατί τοῦτο ἐξῆλθον ἐκ μήτρας; Ibid. 18.

(34) *Διὰ τί γὰρ οὐκ ἐγ.* Quoniam attulit paulo ante verba Jeremiæ ex cap. xx, v. 14 et 18, existimavit Hervetus hic citari ejusdem capitis septimum decimum: « Qui non me interfecit a vultu, ut fieret mihi mater mea sepulcrum; » ideoque nomen Esdræ cum Jeremia commutavit: at eadem verba reperiuntur lib. iv Esdr. cap. v, v. 35, in Latina editione, nam Græca non exstat. Sic ergo verte: « Quare non flebat matrix matris meæ mihi sepulcrum, ut non viderem laborem Jacob, et defatigationem generis Israel? inquit Esdras propheta. Nullus est, » etc. Collect.

(35) *Οὐδεὶς.* Ambrosius in i Lucæ: « Nemo mundus a sorde, nec si unius diei vitæ sit in terra, numerosi menses ejus ab ipso? » D. Augustinus in Psalm. L: « Dicit et alio loco Propheta: Nemo mundus in conspectu tuo, nec infans, cujus est unius diei vita super terram. » S. Bernardus serm. 70 in Canticum: « Nec infans certe unius diei sine sorde est super terram. » Vide lib. iv *Strom.* Quidam in margine adnotant caput xv Job, alii xxv. Sed absunt a Latina vulgata: hæc apud LXX reperiuntur cap. xiv Job, v. 2: Τίς γὰρ καθαρὸς ἔσται ἀπὸ ῥύπου; Ἀλλ' οὐδείς, ἐὰν καὶ μία ἡμέρα ὁ βίος D αὐτοῦ ἐπὶ τῆς γῆς· « Quis enim mundus erit a sorde? Sed nullus, si et unus dies vita ejus in terra. » Latina vulg.: « Quis potest facere mundum de immundo conceptum semine? nonne tu, qui solus es? » Ex Hebræo ad verbum: « Quis dabit mundum ex immundo? ne unus quidem. » Olympiodorus in *Expositione* a Niceta contexta, qua usi sumus manuscripta, sic explanat hunc locum: Αὐτὴ ἡ ἀνθρωπίνη γέννησις οὐκ ἄνευ ῥύπου καὶ ἁμαρτίας τυγχάνει, ὅθεν καὶ βαπτίζεται τὰ βρέφη τὸν διὰ τῆς παραβάσεως τοῦ Ἀδὰμ ῥύπον ἀποπλυνόμενα. Τοῦτο δὲ λέγει διὰ τὸ ἠσθενηκέναι τὴν φύσιν ἐκ τῆς ἐν Ἀδὰμ παραβάσεως καὶ εὐόλισθον γεγονέναι εἰς ἁμαρτίαν, καὶ μέντοι καὶ διὰ τὴν ἐκ φιληδονίας γέννησιν, οὐ μὴν ὡς συνουσιωμένης ἡμῖν τῆς ἁμαρτίας· μὴ γένοιτο! Collect. — Clemens Romanus *Epistolæ* prioris *ad Corinthios* cap. 17: Ἰὼβ ἦν δίκαιος καὶ ἄμεμπτος, ἀληθινός,

A γεννηθὲν παιδίον; ἢ πῶς ὑπὸ τὴν τοῦ Ἀδὰμ ὑποπέπτωκεν (36) ἀρὰν τὸ μηθὲν ἐνεργῆσαν (37); Ἀπολείπεται δὲ αὐτοῖς, ὡς ἔοικεν, ἀκολούθως λέγειν τὴν γένεσιν εἶναι κακὴν, οὐ τὴν τοῦ σώματος μόνην, ἀλλὰ καὶ τὴν τῆς ψυχῆς, δι' ἣν καὶ τὸ σῶμα. Καὶ ὅταν ὁ Δαβὶδ (38) εἴπῃ, « Ἐν ἁμαρτίαις (39) συνελήφθην, καὶ ἐν ἀνομίαις ἐκίσσησέ με ἡ μήτηρ μου· » λέγει μὲν προφητικῶς μητέρα τὴν Εὔαν (40), ἀλλὰ « ζώντων Εὔα μήτηρ » ἐγένετο· καὶ εἰ « ἐν ἁμαρτίαις συνελήφθη, » ἀλλ' οὐκ αὐτὸς ἐν ἁμαρτίᾳ, οὐδὲ μὴν ἁμαρτία αὐτός. Εἰ δὲ καὶ πᾶς ὁ ἐπιστρέφων ἐξ ἁμαρτίας ἐπὶ τὴν πίστιν ἀπὸ τῆς συνηθείας τῆς ἁμαρτωλοῦ οἷον μητρὸς ἐπὶ τὴν ζωὴν (41) ἐπιστρέφει, μαρτυρήσει μοι εἷς τῶν δώδεκα προφητῶν φήσας, B

✠ infans natus? vel quomodo sub Adæ cecidit exsecrationem, qui nihil est operatus? Restat ergo eis, ut videtur, consequenter, ut dicant malam esse generationem, non solum corporis, sed etiam animæ, per quam exsistit corpus. Et quando dixit David: « In peccatis conceptus sum, et in iniquitatibus concepit me mater mea [a]: » dicit prophetice quidem matrem Evam; sed Eva quidem fuit « mater viventium; » et si is « in peccatis fuit conceptus, » at non ipse in peccato, neque vero ipse peccatum. Utrum vero quicunque etiam a peccato ad fidem convertitur, a peccandi consuetudine tanquam a « matre » converti dicatur ad « vitam, » feret mihi testimonium unus ex duodecim prophetis, qui dixit: « Si dedero

✠ P. 557 ED. POTTER, 469 ED. PARIS. [a] Psal. L, 7.

Θεοσεβὴς, ἀπεχόμενος ἀπὸ παντὸς κακοῦ· ἀλλ' αὐτὸς ἑαυτοῦ κατηγορῶν, λέγει· Οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου, οὐδὲ εἰ μιᾶς ἡμέρας ἡ ζωὴ αὐτοῦ· « Jobus erat justus et sine crimine, verax, colens Deum, abstinens ab omni malo: sed ille seipsum accusans dicit: Nemo mundus a sorde, etsi unius diei sit vita ejus. » Ubi conf. quæ adnotavit Cotelerius: ut etiam Clemens noster hæc Clementis Romani verba recitans infra, *Strom.* IV, p. 516 edit. Paris.

(36) *Τὴν τοῦ Ἀδὰμ ὑπ.* Origenes tractat. 9 in Matth.: « Et forsitan quidem secundum hanc nativitatem: *Nemo est mundus a sorde, etsi unius diei sit vita ejus*, propter nativitatis nostræ carnalis mysterium: secundum quod ait David ex persona omnium nascentium ex carne et sanguine: *Quoniam in iniquitatibus conceptus sum et in delictis concepit me mater mea.* Idem Homil. 14 in Luc.: « Parvuli baptizantur in remissionem peccatorum. Quorum peccatorum? vel quo tempore peccaverunt? aut quomodo potest ulla lavacri in parvulis ratio subsistere, C nisi juxta illum sensum, de quo paulo ante diximus, « Nullus mundus a sorde, nec si unius diei quidem « fuerit vita ejus super terram? » Et quia per baptismi sacramentum, nativitatis sordes deponuntur, propterea baptizantur et parvuli. » Idem homil. 8 in Levit.: « Sed et ille ipse qui nascitur, sive virilis, sive feminei sexus sit, pronuntiat de eo Scriptura, quia « non sit mundus a sorde, etiamsi unius diei sit vita « ejus. » Et ut scias esse in hoc grande nescio quid, et tale, quod nulli sanctorum ex sententia venerit, nemo ex omnibus sanctis invenitur diem festum, vel convivium egisse in die natalis sui; nemo invenitur habuisse lætitiam in die natalis filii, vel filiæ suæ. » Et paulo post: « Quod si placet audire, quid etiam alii sancti de ista nativitate senserint, audi Davidem dicentem: « In iniquitatibus, « inquit, » conceptus « sum, et in peccatis peperit me mater mea: » ostendens, quod quæcunque anima in carne nascitur, iniquitatis et peccati sorde polluitur; et propterea dictum est illud, quod jam superius memoravimus: D « Quia nemo mundus a sorde, nec si unius diei sit « vita ejus. » Conf. ejusdem homil. 11 in Levit. et reliqua, quæ adnotavit G. Spencerus ad hæc Origenis verba, lib. IV *Contra Celsum* p. 191: Καθ' Ἑλλάδα (*l.* Ἑβραϊκὴν) φωνὴν ὁ Ἀδὰμ ἄνθρωπός ἐστι· καὶ ἐν τοῖς δοκοῦσι περὶ τοῦ Ἀδὰμ εἶναι φυσιολογεῖ ὁ Μωϋσῆς τὰ περὶ τῆς τοῦ ἀνθρώπου φύσεως. Καὶ γὰρ ἐν τῷ Ἀδὰμ, ὥς φησιν ὁ λόγος, πάντες ἀποθνήσκουσι, καὶ κατεδικάσθησαν ἐν τῷ ὁμοιώματι τῆς παραβάσεως Ἀδάμ· οὐχ οὕτως ὡς περὶ ἑνός τινος, ὡς περὶ ὅλου τοῦ γένους ταῦτα φάσκοντος τοῦ θείου λόγου· καὶ γὰρ ἐν τῇ τῶν λεγομένων ὡς περὶ ἑνὸς ἀκολουθίᾳ ἡ ἀρὰ τοῦ Ἀδὰμ κοινὴ πάντων ἐστί· καὶ τὰ κατὰ τῆς γυναικὸς, οὐκ ἔστι καθ' ἧς οὐ λέγεται. « Adam Hebræo vocabulo significat hominem; et in his, quæ de hoc Moyses prodidit, descripsit naturam hominis. Nam, ut ait Scriptura, « In Adamo omnes moriuntur, et damnati « sunt in similitudine prævaricationis Adami. » Nec tam de uno quopiam, quam de toto humano genere Scriptura divina loquitur: nam maledictio, quæ Adamo inflicta dicitur, communis est omnium; sicut quæ mulieri, ad nullam non pertinet. » Conf. testimonia Patrum, quæ collegit Ger. Vossius *Historiæ Pelag.* lib. II, par. 1, thes. 7.

(37) *Ἐνεργῆσαν.* Flor. edit. ἐνεργηθεῖσαν, errore manifesto. SYLBURG.

(38) *Ὅταν ὁ Δαβίδ.* S. Chrysostomus in Psal. L: Τοῦτο εἰπεῖν βούλεται, ὅτι τῶν ἡμετέρων προγόνων κρατήσασα ἡ ἁμαρτία, ὁδόν τινα καὶ τρίβον διὰ τοῦ γένους εἰργάσατο. Διδασκόμεθα δὲ διὰ τούτων ἁπάντων, οὐχ ὅτι φυσικὴ τῆς ἁμαρτίας ἡ ἐνέργεια (μὴ γὰρ ἂν ἦμεν ἐλεύθεροι τιμωρίας), ἀλλ' ὅτι ῥέπει ἡ φύσις πρὸς τὸ πταίειν, ὑπὸ τῶν παθημάτων ἐνοχλουμένη· νικᾷ δὲ ὅμως ἡ γνώμη, ποίοις συνέργοις κεχρημένη. Οὐ τοίνυν, ὥς τινες ἀνοήτως ὑπέλαβον, τοῦ γάμου κατηγορεῖ, οὕτω νενοηκότες τὸ *Ἐν ἀνομίαις συνελήφθην*, ἀλλὰ τὴν ἄνωθεν ὑπὸ τῶν προγόνων τολμηθεῖσαν παρανομίαν εἰς μέσον προφέρει, κἀκείνην λέγει γεγεννῆσθαι τῶν ῥευμάτων τούτων πηγήν. Quem locum ideo ascripsimus, quod videatur innuere hæreticos, qui matrimonium rejiciebant, illo freti loco, et quod a Joanne Fabro Viennensi episcopo in suspicionem sit adductus S. Chrysostomus, quod hunc versiculum de industria intactum reliquerit, ne in sermonem incideret peccati originalis, ut monet Sixtus Senen. adnotat. 178, lib. V *Bibliothecæ* suæ. Idem docet lib. VI, Adnotat. 236, peccatum agnovisse originis Chrysostomum, quamvis hoc loco, quem excripsit Theodoretus, videatur innuere transiisse ad posteros solum pœnam corporeæ corruptionis, quam consecutæ sunt cupiditates et perturbationes: neque enim necesse fuit Chrysostomo semper de peccato originali verba facere, quotiescunque eorum meminerat, quibus ob peccata primorum parentum obnoxii facti sumus. Idem de Clemente dici potest, præsertim cum adversus hæreticos disputaret, qui creationem admistam habere malum dicebant. COLLECT.

(39) *Ἐν ἁμαρτ.* Ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκισ. Psalm.

(40) *Μητέρα τὴν Εὔαν.* Tertullianus principio lib. I *De cultu feminarum*: « Ut non magis in sordibus ageret, et squalorem potius affectaret, ipsam se circumferens Evam lugentem et pœnitentem, quo plenius id, quod de Eva trahit (ignominiam dico primi delicti, et invidiam perditionis humanæ) omnis satisfactionis habitu expiaret: « In doloribus et anxietatibus paries, mulier, et ad virum conversio tua, et ille dominabitur tui: » et Evam te esse nescis? Vivit sententia Dei super sexum istum in hoc sæculo, vivat et reatus necesse est. Tu es diaboli janua, tu es arboris illius resignatrix, etc. »

(41) *Ζωήν.* Ludit in voce ζωῆς, quæ Evæ nomen est.

primogenita pro impietate fructum ventris mei, pro peccatis animæ meæ [a]. » Non accusat eum, qui dixit: « Crescite et multiplicamini [b]: » sed primos post generationem motus, quorum tempore Deum non cognoscimus, dicit « impietates. » Si quis autem ea ratione dicit malam generationem, idem eam dicat bonam, quatenus in ipso veritatem cognoscimus. « Abluamini juste, et ne peccetis. Ignorationem enim Dei quidam habent [c], » videlicet qui peccant. « Quoniam nobis est colluctatio non adversus carnem ✠ et sanguinem, sed adversus spiritalia [d]. » Potentes autem sunt ad tentandum « principes tenebrarum hujus mundi, » et ideo datur venia. Et ideo Paulus quoque: « Corpus meum, » inquit, « castigo, et in servitutem redigo; quoniam qui certat, omnia continet, » hoc est, in
B omnibus continet, non ab omnibus abstinens, sed continenter utens iis, quæ utenda judicavit; « illi quidem ut corruptibilem coronam accipiant; nos

A « Εἰδῶ (42) πρωτότοκα (43) ὑπὲρ ἀσεβείας καρπὸν κοιλίας μου, ὑπὲρ ἁμαρτίας ψυχῆς μου· » οὐ διαβάλλει τὸν εἰπόντα· « Αὐξάνεσθε καὶ πληθύνεσθε· » ἀλλὰ τὰς πρώτας ἐκ γενέσεως ὁρμὰς, καθ' ἃς Θεὸν οὐ γινώσκομεν, ἀσεβείας λέγει. Εἰ δέ τις κατὰ τοῦτο λέγει κακὴν γένεσιν, καὶ κατ' ἐκεῖνο εἰπάτω ἀγαθὴν, καθὸ ἐν αὐτῷ τὴν ἀλήθειαν γινώσκομεν· « Ἐκνίψατε (44) δικαίως, καὶ μὴ ἁμαρτάνετε· ἀγνωσίαν γὰρ Θεοῦ τινες ἔχουσι, » δηλαδὴ οἱ ἁμαρτάνοντες· « Ἐπειδὴ ἡ πάλη (45) ἡμῖν οὐ πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰ πνευματικά. » Δυνατοὶ δὲ ἐκπειράσαι « οἱ κοσμοκράτορες τοῦ σκότους· » διὰ τοῦτο αἱ συγγνῶμαι (46). Διὰ τοῦτο καὶ ὁ Παῦλος· « Αὐτό μου τὸ σῶμα ὑποπιέζω (47) καὶ δουλαγωγῶ, » φησίν· « ὅτι πᾶς (48) ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται· »
B ἀντὶ τοῦ, εἰς πάντα ἐγκρατεύεται· οὐ πάντων ἀπεχόμενος, ἀλλ' οἷς ἔκρινεν ἐγκρατῶς χρώμενος· « ἐκεῖνοι μὲν, ἵνα φθαρτὸν στέφανον λάβωσιν· ἡμεῖς δὲ, ἵνα ἄφθαρτον, » νικῶντες ἐν τῇ πάλῃ, οὐχὶ δὲ ἀκο-

✠ P. 558 ED. POTTER. [a] Mich. VI, 7. [b] Gen. I, 28. [c] I Cor. XV, 34. [d] Ephes. VI, 12.

(42) *Εἰδῶ*. Scribendum divise ex Mich. VI, 7, εἰ δῶ « si dedero. » Mox ibidem, πρωτότοκά μου.

(43) *Πρωτότοκα*. Mich. VI, 7: « Nunquid dabo primogenitum meum pro scelere meo, et fructum ventris mei pro peccato animæ meæ? » Aliter interpungitur ibi hic locus et apud LXX atque hic, et priore loco ponitur in edit. Antuerp. ὑπὲρ ἁμαρτίας μου, posteriore ὑπὲρ ἀσεβείας· at hic contra, et apud Theodoretum, qui hoc ita exponit: « Non infantes primigenii ad sacrificium Deo allati me de peccatorum multitudine absolvere possunt. COLLECT. »
C
(44) *Ἐκνίψατε*. Melius ἐκνήψατε, « evigilate, » I Cor. XV, 34.

(45) *Ἐπειδὴ ἡ πάλη*. In sequentibus auctor Scripturæ sensum, verbis paulum mutatis, exhibet.

(46) *Δυνατοί... συγγνῶμαι*. « Principes autem tenebrarum hujusce mundi valde potentes sunt ad inferendas tentationes, ideoque conceditur venia, » sive indulgentia, sc. ab Apostolo I Cor. VII, 6. LOWTH.

(47) *Ὑποπιέζω*. Vulg. Bibl. I Cor. IX, ὑπωπιάζω, nempe παρὰ τὰ ὑπώπια, sed ὑποπιέζω legitur etiam apud Basil. p. 82, et Greg. Naz. p. 196. Apud eumdem Greg. p. 131 legitur etiam καλὸν ὑπωπιασμὸς σώματος, a πιάζω, quod est « corripio et premo. » H. SYLB. — In Novo Testam. I Cor. IX legimus: Ἀλλ' ὑπωπιάζω μου τὸ σῶμα, καὶ δουλαγωγῶ. Et additur tertia varia lectio ὑποπιάζω. Chrysostomus secundam sequitur: Διὸ, φησὶν, ὑπωπιάζω καὶ δουλαγωγῶ· οὐκ εἶπεν ἀναιρῶ· οὐδὲ γὰρ ἐχθρὰ ἡ σάρξ· ἀλλ' ὑπωπιάζω καὶ δουλαγωγῶ, ὃ δεσπότου ἐστὶν οὐ πολεμίου,
D διδασκάλου οὐκ ἐχθροῦ, παιδοτρίβου οὐκ ἐναντίου. Glossarium: Ὑπώπιον, « suggella. » Ὑπωπιασμός, « suggillatio. » At Latino-Græc.: « Sugillatio, » ὑπωπιασμός. « Sugillatus, » ὑπωπιασθείς. Suidas: Ὑπὸ τοὺς ὦπας τῶν πληγῶν ἴχνη, « partes circa oculos percussionibus contusæ et lividæ. » Idem: Ὑπώπια, ἀφ' οἱασδηποτοῦν πληγῆς τραύματα. Aristophanes *Vespis*: Μὴ λάβῃς ὑπώπια. S. Irenæus lib. IV, cap. 27: « Sic pugno, non quasi aerem cædens, sed lividum facio corpus meum, et in servitutem redigo. » Sanctus Paulinus epist. ad Augustinum, quæ inter eas Augustini 58: « Qui carnem jejuniis domat, sicut Apostolus dicit: Lividum facio corpus meum, et in servitutem redigo. » Apud Suidam: Ὑπωπιάζω, τοῦτ' ἔστι πρὸς ἄσκησιν αὐτὸ μετ' ἐπιστήμης καὶ φρονήσεως γυμνάζω, καὶ πρὸς τὴν τῶν κρειττόνων συνέργειαν, οὐ πρὸς ἀσέλγειαν προνοοῦμαι. Sic enim lego in manusc., non ὑπονοοῦμαι, ut in Aldi edit. sic paulo post, πρόνοιαν μὴ ποιεῖσθαι. Rursus paulo post adjiciendum est illis verbis, τοῦ ὁ μικροῦ, ὑπωπιασμέναι. Idem etiam in voce ἄσκος ex manuscripto ita legendus: ὑποπιέζω τὸ σῶμα. Ait enim, τῇ ἀσκητικῇ ἀγωγῇ ταπεινοῦται καὶ πιέζεται ἡ τοῦ σώματος φύσις. In epistolis S. Antonii, quæ sunt in Bibl. S. Patrum, Serasius interpres, dum vertit, « Obculco corpus meum, » legisse videtur ὑποπιέζω. At Theophylactus in hunc locum ait: « Ὑπωπιάζω, i. e. « pugno. » Ὑπώπια enim dicuntur vulnera, quæ sub oculos infliguntur, dum pugnis contenditur. Non-
C nulli verbum ὑπωπιάζω magis proprie dictum putant pro eo, quod est, fami trado corpus meum, inediaque ipsum affligo: verum ea interpretatio nullius est momenti, oporteret enim esse ὑποπιέζω. Itaque videtur Theophylactus ὑποπιέζω non admittere, neque velle ὑποπιάζειν *affligere* significare. Cyprianus vertit, « affligo corpus meum, » et Vulgata cum Ambrosio et Augustino, « castigo; » et Hesychius ait: Ὑπωπιάζομεν, ταπεινοῦμεν, μαραίνομεν. Et videretur legendum ὑποπιέζομεν, cum sit inter ea, quæ per o scribuntur in 2 syllaba, sed et sequitur: Ὑπωπιασμὸς καὶ ταπείνωσίς ἐστι σώματος. Tertia lectio, ὑποπιάζω, ab eadem mente, qua ὑποπιέζω. Nam πιάζω Dorice dici πιέζω, auctor Eustath. in *Odyss.* H, ut τράχω pro τρέχω. Hesych., πιέσαι, πιάσαι· πιασθεὶς, δαμασθείς. COLLECT.

(48) *Ὅτι πᾶς*. Tertull. *ad Martyres*, cap. 3, eleganter hoc exponit: « Itaque epistates vester, Christus Jesus, qui vos Spiritu unxit, et ad hoc scamma produxit, voluit vos ante diem agonis ad duriorem
D tractationem a liberiore conditione seponere, ut vires corroborarentur in vobis. Nempe enim et athletæ segregantur ad strictiorem disciplinam, ut robori ædificando vacent; continentur a luxuria, a cibis lætioribus, a potu jucundiore; coguntur, cruciantur, fatigantur: quanto plus in exercitationibus laboraverint, tanto plus de victoria sperant. » Sanctus Chrysostomus in hunc locum: Τί ἐστι Πάντα; οὐχὶ τοῦδε μὲν ἀπέχεται, ἐν ἑτέρῳ δὲ διαμαρτάνει, ἀλλὰ καὶ γαστριμαργίας καὶ λαγνείας καὶ μέθης, καὶ πάντων ἁπλῶς κρατεῖ τῶν παθῶν. Τοῦτο γὰρ, φησὶ, καὶ ἐπὶ τῶν ἔξωθεν ἀγώνων γίνεται· οὐδὲ γὰρ μεθύειν ἔξεστι τοῖς ἀγωνιζομένοις μετὰ τὸν καιρὸν τῆς ἀγωνίας, οὐδὲ πορνεύειν, ἵνα μὴ τὴν δύναμιν ἐκλύσωσιν. Illud autem Pauli πάντα ἐγκρατεύεται, sic vertit cum Irenæi interprete lib. IV, cap. 2, Cyprianus *De exhortatione martyrum*, cap. 8, et epist. ad martyres de Mappalico: « Omnis qui agonizat, in omnibus continens est; » ut hic Clemens ait, εἰς

νητὶ (49) στεφανούμενοι. Ἡ δή τινες (50) καὶ τῆς A παρθένου τὴν χήραν εἰς ἐγκράτειαν προτείνουσι, καταμεγαλοφρονήσασαν ἧς πεπείραται ἡδονῆς.

autem ut incorruptibilem [a], » in lucta vincentes, non autem sine pulvere coronam accipientes. Jam nonnulli quoque præferunt viduam virgini, ut quæ, quam experta est, voluptatem magno animo contempserit.

CAPUT XVII.

Qui nuptias et generationem malas asserunt, ii et Dei creationem et ipsam Evangelii dispensationem vituperant.

Εἰ δὲ ἡ γένεσις κακὸν, ἐν κακῷ λεγόντων οἱ βλάσφημοι τὸν γενέσεως μετειληφότα Κύριον, ἐν κακῷ τὴν γεννήσασαν Παρθένον. Οἴμοι τῶν κακῶν! βλασφημοῦσι τὸ βούλημα τοῦ Θεοῦ, καὶ τὸ μυστήριον τῆς κτίσεως, τὴν γένεσιν διαβάλλοντες. Διὰ ταῦτα ἡ «δόκησις» Κασσιανῷ (51)· διὰ ταῦτα καὶ Μαρκίωνι, ναὶ μὴν καὶ Οὐαλεντίνῳ τὸ σῶμα τὸ ψυχικόν· ὅτι, φασὶν, ὁ ἄνθρωπος « παρωμοιώθη τοῖς κτήνεσιν, » εἰς συνδυασμὸν ἀφικνούμενος. Ἀλλ' ὅταν ἐπιβαίνειν B ἀλλοτρίᾳ κοίτῃ, ὀργήσας ὡς ἀληθῶς, θελήσῃ, τότε τῷ ὄντι ὁ τοιοῦτος ἐκθηριοῦται· « Ἵπποι θηλυμανεῖς ἐγενήθησαν, ἕκαστος ἐπὶ τὴν γυναῖκα τοῦ πλησίον (52) ἐχρεμέτιζον. » Κἂν ἀπὸ τῶν ἀλόγων ζώων τὴν ἐπιτήδευσιν τῆς συμβουλίας ὁ ὄφις εἰληφὼς, καὶ παραπείσας τῇ κοινωνίᾳ τῆς Εὔας συγκαταθέσθαι τὸν Ἀδὰμ, λέγῃ, ὡς ἂν μὴ φύσει ταύτῃ κεχρημένων τῶν πρωτοπλάστων, ὡς ἀξιοῦσί τινες· ἡ κτίσις πάλιν βλασφημεῖται, ἀσθενεστέρους τοὺς ἀνθρώπους τῆς τῶν ἀλόγων φύσεως πεποιηκυῖα, οἷς κατηκολούθησαν οἱ πρωτόπλαστοι τοῦ Θεοῦ. Εἰ δὲ ἡ μὲν φύσις ἦγεν αὐτοὺς, ὡς καὶ τὰ ἄλογα, πρὸς παιδοποιίαν, ἐκινήθησαν δὲ θᾶττον ἢ προσῆκον ἦν, ἔτι νέοι πεφυκότες, ἀπάτῃ παραχθέντες· C δικαία μὲν ἡ κρίσις τοῦ Θεοῦ ἐπὶ τοὺς οὐκ ἀναμείναντας τὸ βούλημα· ἁγία δὲ ἡ γένεσις, δι' ἣν ὁ κόσμος συνέστηκεν, δι' ἣν αἱ οὐσίαι, δι' ἣν αἱ φύσεις, δι' ἣν ἄγγελοι, δι' ἣν δυνάμεις, δι' ἣν ψυχαὶ, δι' ἣν ἐντολαὶ, δι' ἣν νόμος, δι' ἣν τὸ Εὐαγγέλιον, δι' ἣν ἡ γνῶσις τοῦ Θεοῦ. « Καὶ πᾶσα σὰρξ χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου· καὶ ὁ μὲν (53) χόρτος ξηραίνεται, τὸ δὲ ἄνθος καταπίπτει·

Sin autem malum est generatio, in malo blasphemi dicant fuisse Dominum qui fuit particeps generationis, in malo Virginem quæ genuit. Hei mihi! quot et quanta mala! Dei voluntatem maledictis incessunt, et mysterium creationis, dum invehuntur in generationem. Et hinc «Docesin» fingit Cassianus; hinc etiam Marcioni, et Valentino quoque est corpus animale; quoniam homo, inquiunt, operam dans veneri, « assimilatus est jumentis [b]. » Atqui profecto, cum libidine vere insaniens, aliena inire voluerit, ✠ tunc revera, qui talis est, efferatur : « Equi in feminas furentes facti sunt, unusquisque hinniebat ad uxorem proximi sui [c]. » Quod si dicat serpentem, a brutis animantibus accepta consilii sui ratione, Adamo persuasisse **202** ut cum Eva coire consentiret, tanquam alioqui, ut quidam existimant, protoplasti hac natura usuri non fuissent : rursus vituperatur creatio, ut quæ rationis expertium animantium natura homines fecerit imbecilliores, quorum exempla consecuti sunt, qui a Deo primi formati fuere. Sin autem natura quidem eos sicut bruta deduxit ad filiorum procreationem; moti autem sunt citius quam oportuit, fraude inducti, cum adhuc essent juvenes; justum quidem est Dei judicium in eos qui non exspectarunt ejus voluntatem : sancta est autem generatio, per quam mundus consistit, per quam essentiæ, per quam naturæ, per quam angeli, per quam potestates, per quam animæ, per quam præcepta, per quam lex, per quam Evangelium, per quam Dei cognitio. « Et omnis caro fenum, et omnis gloria ejus quasi flos

✠ P. 559 ED. POTTER, 470 ED. PARIS. [a] I Cor. IX, 27, 25. [b] Psal. XLVIII, 13 21. [c] Jerem. V, 8.

πάντα ἐγκρατεύεται, οὐ πάντων ἀπεχόμενος. Neque tamen rejicienda est vulgata versio, « ab omnibus se abstinet; » quam vides Chrysostomum exprimere; et advertendum est, hæreticos, quibuscum disputat Clemens, abstinere a cibis, quos Deus creavit; ipsum D autem velle, ut non penitus abstineamus, sed continenter utamur, id est, cum moderatione utamur, cum opus erit; et abstineamus, cum opus non erit. COLLECT.

(49) Ἀκονητί. Scribendum potius ἀκονιτί, a κόνις.

(50) Ἡ δή τινες. Flor. edit., ἤδη τινές, « jam quidam, » minus apte. SYLBURG.—Vult auctor nonnullos viduam virgini præferre, eo quod difficilius sit a voluptatibus temperare, quas experti fuimus, quam ab illis, quas nunquam sensimus. Clemens infra, *Strom.* VII, pag. 744 edit. Paris.: Μέγιστον γὰρ ἐν πείρᾳ γενόμενον, εἶτα ἀποσχέσθαι· τί γὰρ μέγα, εἰ ἃ μὴ οἶδέν τις, ἐγκρατεύοιτο; « Est enim res maxima cum quis voluptatem expertus fuerit, deinceps abstinere. Quid enim magnum, si quis se contineat ab iis quæ non novit? » Paulo ante, p. 742 : Ὁ γὰρ ἐπιθυμήσας, καὶ κατασχὼν ἑαυτοῦ, καθάπερ ἡ χήρα διὰ σωφροσύνης αὖθις παρθένος· « Qui enim concupivit et postea se continuit, instar est viduæ, quæ per temperantiam rursus virgo sit. » Tertullianus sub finem lib. I *Ad uxorem* : « Non tantum virginibus datum opinor. Licet in illis integritas solida, et tota sanctitas de proximo visura sit faciem Dei, tamen vidua habet aliquid operosius; quia facile est non appetere quod nescias, et aversari quod desideraveris nunquam. Gloriosior continentia, quæ jus suum sentit, quæ quod viderit novit. Poterit virgo felicior haberi; at vidua laboriosior; illa quod bonum semper habuit, ista quod bonum sibi invenit. » Cyprianus *De bono patientiæ* : « Tuetur in virginibus beatam integritatem, in viduis laboriosam castitatem. » Hieronymus epist. ad Gerontiam : « Virginitas in eo facilior est, quod carnis incentiva non novit; et viduitas in eo sollicitior, quod præteritas animo recolit voluptates. »

(51) Κασσιανῷ. Ille superius dicitur τῆς Δοκήσεως ἄρχων, « sectæ Docetarum princeps, » pag. 465 edit. Paris.

(52) Πλησίον. Πλησίον αὐτοῦ, Jerem.

(53) Καὶ ὁ μ. Isa. XL : Ἐξηράνθη ὁ χόρτος, καὶ

feni; et fenum quidem exsiccatur, flos autem decidit, sed verbum Domini manet [a], » quod unxit animam et uniit spiritui. Quomodo autem, quæ est in Ecclesia nostra, œconomia ad finem perduci potuisset absque corpore, cum etiam ipse, qui est caput Ecclesiæ, in carne quidem informis et specie carens vitam transiit, ut doceret nos respicere ad naturam divinæ causæ informem et incorpoream? « Arbor enim vitæ, » inquit propheta, « est in bono desiderio [b], » docens bona et munda desideria, quæ sunt in Domino vivente. Jam vero volunt viri cum uxore in matrimonio consuetudinem, quæ dicta est « cognitio, » esse peccatum : eam quippe indicari ex esu « ligni boni et mali [c], » per significationem hujus vocabuli « cognovit [d], » quæ mandati transgressionem notat. Si autem hoc ita est, veritatis quoque cognitio, est esus ligni vitæ. Potest ergo honestum ac moderatum matrimonium illius quoque ligni esse particeps. Nobis autem prius dictum est, quod licet bene et male uti matrimonio; et hoc est lignum « cognitionis, » si non transgrediamur leges matrimonii. Quid vero? annon Servator noster, sicut animam, ita etiam corpus curavit ab affectionibus? Neque vero si esset caro inimica animæ, inimicam per sanitatis restitutionem adversus ipsam muniisset. « Hoc autem dico, fratres, quod ✠ caro et sanguis regnum Dei non possunt possidere, neque corruptio possidet incorruptionem [e]. » Peccatum enim, cum sit « corruptio, » non potest habere societatem cum « incorruptione, » quæ est justitia. « Adeo stulti, » inquit, « estis? cum spiritu cœperitis, nunc carne consummamini [f] ? »

A ἀλλὰ τὸ ῥῆμα τοῦ Κυρίου μένει, » τὸ χρῖσαν τὴν ψυχὴν καὶ ἑνῶσαν τῷ πνεύματι. Πῶς δ' ἄνευ τοῦ σώματος ἡ κατὰ τὴν Ἐκκλησίαν καθ' ἡμᾶς οἰκονομία τέλος ἐλάμβανεν, ὅπου γε καὶ αὐτὸς ἡ κεφαλὴ τῆς Ἐκκλησίας ἐν σαρκὶ μὲν ἀηδὴς (54) διελήλυθεν καὶ ἄμορφος, εἰς τὸ ἀειδὲς καὶ ἀσώματον τῆς θείας αἰτίας ἀποβλέπειν ἡμᾶς διδάσκων; « Δένδρον γὰρ ζωῆς, » φησὶν ὁ προφήτης (55), « ἐν ἐπιθυμίᾳ ἀγαθῇ γίνεται, » διδάσκων ἐπιθυμίας ἀστείους καὶ καθαρὰς τὰς ἐν τῷ ζῶντι Κυρίῳ. Ἤδη δὲ ἐθέλουσι τὴν ἀνδρὸς κατὰ γάμον πρὸς γυναῖκα ὁμιλίαν, « γνῶσιν » εἰρημένην, ἁμαρτίαν εἶναι· ταύτην γὰρ ὑπὸ τῆς βρώσεως μηνύεσθαι « τοῦ ξύλου τοῦ καλοῦ καὶ πονηροῦ, » διὰ τῆς τοῦ « ἔγνω » σημασίας παράβασιν ἐντολῆς διδάσκουσαν. Εἰ δὲ τοῦτο, καὶ ἡ τῆς B ἀληθείας γνῶσις βρῶσίς ἐστι τοῦ ξύλου τῆς ζωῆς. Ἔστιν οὖν κἀκείνου τοῦ ξύλου μεταλαβεῖν τὸν σώφρονα γάμον. Προείρηται δὲ ἡμῖν ὡς καὶ καλῶς καὶ κακῶς ἔστι χρήσασθαι τῷ γάμῳ· καὶ τοῦτ' ἔστι τὸ ξύλον « τῆς γνώσεως, » ἐὰν μὴ παρανομῶμεν τὸν γάμον. Τί δέ; οὐχὶ ὁ Σωτὴρ, ὥσπερ τὴν ψυχὴν, οὕτω δὲ καὶ τὸ σῶμα ἰᾶτο τῶν παθῶν; Οὐκ ἂν δὲ, εἰ ἐχθρὰ ἡ σὰρξ ἦν τῆς ψυχῆς, ἐπετείχιζεν αὐτῇ τὴν ἐχθρὰν δι' ὑγιείας ἐπισκιάζων (56). « Τοῦτο δέ φημι, ἀδελφοὶ, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν Θεοῦ κληρονομῆσαι οὐ δύναται (57)· οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ· » ἡ γὰρ ἁμαρτία, « φθορὰ » οὖσα, οὐ δύναται κοινωνίαν ἔχειν μετὰ τῆς « ἀφθαρσίας, » ἥτις ἐστὶ δικαιοσύνη. « Οὕτως ἀνόητοι, » φησὶν, « ἐστέ; C ἐναρξάμενοι πνεύματι, νῦν σαρκὶ ἐπιτελεῖτε (58); »

CAPUT XVIII.

Duas extremas opiniones esse vitandas : primam illorum qui Creatoris odio a nuptiis abstinent ; alteram illorum qui hinc occasionem arripiunt nefariis libidinibus indulgendi.

Justitiam ergo et salutis harmoniam, quæ est veneranda firmaque, alii quidem, ut ostendimus, nimium intenderunt, blaspheme ac maledice cum quavis impietate suscipientes continentiam; cum pie liceret castitatem, quæ secundum sanam regulam instituitur, eligere; gratias quidem agendo propter datam ipsis gratiam, non habendo autem odio creaturam, neque eos aspernando, qui juncti sunt matrimonio; est enim creatus mundus, creata est

Τὴν δικαιοσύνην τοίνυν καὶ τὴν ἁρμονίαν τοῦ σωτηρίου, σεμνὴν οὖσαν καὶ βεβαίαν, οἱ μὲν ἐπέτειναν, ὡς ἐπεδείξαμεν (59), βλασφήμως ἐκδεχόμενοι μετὰ πάσης ἀθεότητος τὴν ἐγκράτειαν· ἐξὸν ἑλέσθαι τὴν εὐνουχίαν κατὰ τὸν ὑγιῆ κανόνα μετ' εὐσεβείας· εὐχαριστοῦντα (60) μὲν ἐπὶ τῇ δοθείσῃ χάριτι, οὐ μισοῦντα δὲ τὴν κτίσιν, οὐδὲ ἐξουθενοῦντα τοὺς γεγαμηκότας· κτιστὸς γὰρ ὁ κόσμος, κτιστὴ καὶ ἡ εὐνουχία· ἄμφω δὲ εὐχαριστούντων ἐν οἷς ἐτάχθη-

✠ P. 560 ED. POTTER, 471 ED. PARIS. [a] Isa. XL, 6, 7, 8. [b] Prov. XIII, 12. [c] Gen. III, 5. [d] Gen. IV, 1. [e] I Cor. XV, 50, 1. [f] Galat. III, 3.

τὸ ἄνθος ἐξέπεσε, τὸ δὲ ῥῆμα τοῦ Θεοῦ ἡμῶν μένει εἰς τὸν αἰῶνα.

(54) Ἀηδής. Haud scio, an verius ἀειδής, ut mox sequitur, τὸ ἀειδές. SYLBURG. — Recte, nam respicit auctor Isa. LIII, 3: Τὸ εἶδος αὐτοῦ ἄτιμον καὶ ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. Quæ verba de Christo explicat, cum aliis Patribus, Clemens etiam noster *Pædag.* lib. III, sub finem cap. 1, *Strom.* II, p. 368 edit. Paris.

(55) *Προφήτης*. Salomonem designat, cujus verba sunt Prov. XIII, 12. Eumdem prophetam vocat pag. 471 et p. 674 edit. Paris. LOWTH.

(56) *Ἐπισκιάζων*. Scribendum ἐπισκευάζων, D quod Hervetus etiam in versionis suæ margine adnotavit. Sensus est : « Christum noluisse carnem, restituta ei sanitate, validiorem fecisse, si ea animæ hostis esset. »

(57) *Δύναται*. Δύνανται, I Cor. XV, 50, quod A. mavult. SYLB.

(58) *Ἐπιτελεῖτε*. Vulg. Bibl. Gal. III, ἐπιτελεῖσθε, forma deponenti. SYLBURG.

(59) *Ὡς ἐπεδείξαμεν*. Respicit hujusce libri p. 442 edit. Paris.

(60) *Εὐχαριστοῦντα*. Respicit illud Apostoli : Πᾶν κτίσμα καλὸν. . . . μετ' εὐχαριστίας λαμβανόμενον.

A σαν, εἰ γινώσκουσι καὶ ἐφ' οἷς ἐτάχθησαν. Οἱ δὲ, ἀφηνιάσαντες, ἐξύβρισαν, «ἵπποι θηλυμανεῖς» τῷ ὄντι «γενόμενοι, καὶ ἐπὶ τὰς τῶν πλησίον χρεμετίζοντες·» αὐτοί τε ἀκατασχέτως ἐχόμενοι, καὶ τοὺς πλησίον ἀναπείθοντες φιληδονεῖν· ἀθλίως ἐπαΐοντες ἐκείνων τῶν Γραφῶν· «Τὸν σὸν κλῆρον βάλε ἐν ἡμῖν· κοινὸν δὲ βαλάντιον κτησώμεθα πάντες, καὶ μαρσίππιον ἓν γενηθήτω ἡμῖν.» Διὰ τούτους ὁ αὐτὸς προφήτης, συμβουλεύων ἡμῖν, λέγει· «Μὴ πορευθῇς ἐν ὁδῷ μετ' αὐτῶν· ἔκκλινον (61) τὸν πόδα σου ἐκ τῶν τρίβων αὐτῶν. Οὐ γὰρ ἀδίκως ἐκτείνεται δίκτυα πτερωτοῖς· αὐτοὶ γὰρ αἱμάτων μετέχοντες, θησαυρίζουσιν ἑαυτοῖς κακά·» τουτέστι, τῆς ἀκαθαρσίας ἀντιποιούμενοι, καὶ τοὺς πλησίον τὰ ὅμοια ἐκδιδάσκοντες, «πολεμισταὶ, πλῆκται ταῖς οὐραῖς αὐτῶν,» κατὰ τὸν προφήτην (62), ἃς κέρκους Ἕλληνες καλοῦσιν. B Εἶεν δ' ἂν, οὓς αἰνίσσεται ἡ προφητεία, καταφερεῖς, ἀκρατεῖς, οἱ ταῖς οὐραῖς αὐτῶν πολεμισταὶ, σκότους καὶ «ὀργῆς τέκνα·» μιαιφόνοι, αὐτῶν (63) τε αὐθένται, καὶ τῶν πλησίον ἀνδροφόνοι. «Ἐκκαθάρατε τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέον φύραμα,» ὁ Ἀπόστολος ἡμῖν ἐμβοᾷ. Καὶ πάλιν, ἀσχάλλων ἐπὶ τοιούτοις τισὶ, διατάττεται, «Μὴ συναναμίγνυσθαι, ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ᾖ πόρνος (64), ἢ πλεονέκτης, ἢ εἰδωλολάτρης, ἢ λοίδορος, ἢ μέθυσος, ἢ ἅρπαξ, τῷ τοιούτῳ μηδὲ συνεσθίειν. Ἐγὼ γὰρ διὰ νόμου νόμῳ ἀπέθανον,» λέγει· «ἵνα Θεῷ ζήσω. Χριστῷ συνεσταύρωμαι, ζῶ δὲ οὐκ ἔτι ἐγὼ,» ὡς ἔζων κατὰ τὰς ἐπιθυμίας· «ζῇ δὲ ἐν ἐμοὶ Χριστὸς» διὰ τῆς τῶν ἐντολῶν ὑπακοῆς ἁγνῶς καὶ μακαρίως. C Ὥστε τότε μὲν ἔζων ἐν σαρκὶ σαρκικῶς· «ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ, ἐν πίστει ζῶ τῇ τοῦ Υἱοῦ τοῦ Θεοῦ.» — «Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε·» τῆς ἐναντίας πολιτείας ἀποτρέπων ἡμᾶς, ὁ Κύριος λέγει· ἐπεὶ «ἡ καταστροφὴ ἀνδρῶν παρανόμων κακή· καὶ αὗταί εἰσιν αἱ ὁδοὶ (65) πάντων τῶν συντελούντων τὰ ἄνομα.» — «Οὐαὶ (66) τῷ ἀνθρώπῳ ἐκείνῳ,» φησὶν ὁ Κύριος· «καλὸν ἦν αὐτῷ εἰ μὴ ἐγεννήθη, ἢ ἕνα τῶν ἐκλεκτῶν μου σκανδαλίσαι· κρεῖττον ἦν αὐτῷ περιτεθῆναι μύλον, καὶ καταποντισθῆναι εἰς θάλασσαν, ἢ ἕνα τῶν ἐκλεκτῶν μου διαστρέψαι (67).» «Τὸ γὰρ ὄνομα τοῦ Θεοῦ βλασφημεῖται δι' αὐτούς (68).»

etiam castitas; ambo autem agant gratias in iis, in quibus sunt collocati, si modo ea quoque norunt, in quibus sunt collocati. Alii autem effrenati se petulanter et insolenter gesserunt, revera «effecti equi in feminas insanientes, et ad proximorum suorum uxores hinnientes [a];» ut, qui et ipsi contineri non possint, et proximis suis persuadeant ut dent operam voluptati; infeliciter illas audientes Scripturas: «Quæ tibi obtigit, partem pone nobiscum, crumenam autem unam possideamus communem, et unum fiat nobis marsupium [b].» Propter eos idem propheta dicit, nobis consulens: «Ne ambulaveris in via cum ipsis, declina pedem tuum a semitis eorum. Non enim injuste tenduntur retia pennatis. Ipsi enim, cum sint sanguinum participes, thesauros malorum sibi recondunt [c];» hoc est, sibi affectantes immunditiam, et proximos similia docentes, bellatores, percussores caudis suis [d], ut ait propheta, quas quidem Græci κέρκους appellant. Fuerint autem ii, quos significat prophetia, libidinosi, intemperantes, qui sunt caudis suis pugnaces, tenebrarum «iræque filii [e],» cæde polluti, manus sibi afferentes, et homicidæ propinquorum. «Expurgate ergo vetus fermentum, ut sitis nova conspersio [f],» nobis exclamat Apostolus. Et rursus, propter quosdam ejusmodi homines indignans, præcipit, «Ne conversari quidem, si quis frater nominetur vel fornicator, vel avarus, vel idololatra, vel maledicus, vel ebriosus, vel raptor; cum eo, qui est talis, ne una quidem comedere. Ego enim per legem legi mortuus sum,» inquit; «ut Deo vivam, cum Christo sum crucifixus; vivo autem non amplius ego,» ut vivebam per cupiditates; «vivit autem in me Christus,» caste ✠ et beate per obedientiam præceptorum. Quare tunc quidem in carne vivebam carnaliter: «quod autem nunc vivo in carne, in fide vivo Filii Dei [g].» — «In viam gentium ne abieritis, et ne ingrediamini in urbem Samaritanorum [h],» a contraria vitæ institutione nos dehortans dicit Dominus; quoniam «Iniquorum virorum mala est conversatio; et hæ sunt viæ omnium, qui ea, quæ sunt iniqua, effi-

✠ P. 561 ED. POTTER, 472 ED. PARIS. [a] Jerem. v, 8. [b] Prov. I, 14. [c] Ibid. 15, 16, 17. [d] Apoc. IX, 10. [e] Ephes. II, 3. [f] I Cor. v, 7. [g] Galat. II, 19, 20. [h] Matth. x, 5.

(61) *Ἔκκλινον*. Ἔκκλινον δὲ, Proverb., ubi mox, αὐτοὶ γὰρ οἱ φόνου μετέχοντες θησ.

(62) *Προφήτην*. Apocalypseos auctorem designat; alludit siquidem ad Apoc. IX, 10. LOWTH.

(63) *Αὐτῶν*. Sic scribendum pro Vulg. αὐτῶν.

(64) *Ὀνομ. ᾖ π.* Ὀνομ. ᾖ π. I Cor. VII.

(65) *Καὶ αὗταί εἰσιν αἱ ὁδοί*. Αὗται αἱ ὁδοί εἰσι, Proverb.

(66) *Οὐαί*. Christi de Juda proditore verba applicat ad eos omnes, qui electis scandala objiciunt. Porro hæc sumpsisse videtur e Clementis Romani priore ad Corinthios Epistola, cap. XLVI: Εἶπε γάρ· Οὐαὶ τῷ ἀνθρώπῳ ἐκείνῳ· καλὸν ἦν αὐτῷ εἰ οὐκ ἐγεννήθη, ἢ ἕνα τῶν ἐκλεκτῶν μου σκανδαλίσαι· κρεῖττον ἦν αὐτῷ περιτεθῆναι μύλον, καὶ καταποντισθῆναι εἰς τὴν θάλασσαν, ἢ ἕνα τῶν μικρῶν μου σκανδαλίσαι· «Dixit enim: Væ homini illi: bonum erat ei si natus non fuisset, quam ut unum ex electis meis scandalizaret; melius erat, ut ei mola circumponeretur, et in mare demergeretur, quam D ut unum de pusillis meis scandalizaret.» Ubi hæc adnotat Cotelerius: «Quod antiquis non insolens fuit, multa testimonia in unum conjungit: nempe Matth. XXVI, 24; Luc. XVII, 2; Matth. XVIII, 6, et Marc. IX, 42. Ac in Marco, aut in Luca, aut in utroque reperisse videtur περιτεθῇ pro hodierno περίκειται· sicque in Luca exhibet codex Evangeliorum ms. qui est Bibliothecæ Regiæ 2247. Vulgata, «imponatur.» Verbo etiam περιτεθῆναι utitur Theophylactus eum evangelistam enarrans, nec non Origenes ad Matthæi cap. XVIII. Et vero eadem divinorum Eloquiorum compages struitur a Clemente Alexandrino ad finem centonis 3, ubi cognominis sui Romani verba mutuatur; etc.»

(67) *Ἕνα τῶν ἐκλεκτῶν μου διαστρέψαι*. Clemens Rom., ἕνα τῶν μικρῶν μου σκανδαλίσαι. Dein addit, τὸ σχίσμα ὑμῶν πολλοὺς διέστρεψεν, «schisma vestrum multos pervertit.» Unde Alexandrinus noster διαστρέψαι sumpsisse videtur.

(68) *Αὐτούς*. Ὑμᾶς, Rom. II, 24.

ciunt [a]. » — « Væ homini illi, » inquit Dominus; « bonum esset ei, si non natus esset, quam ut unum ex electis meis scandalizaret [b]. Melius esset, ut ei mola circumponeretur, et in mari demergeretur, quam ut unum ex meis perverteret [c]. Nomen enim Dei blasphematur propter ipsos [d]. » Unde præclare Apostolus : « Scripsi, » inquit, « vobis in epistola, non conversari cum fornicatoribus [e], » usque ad illud : « Corpus autem non fornicationi, sed Domino, et Dominus corpori [f]. » Et quod matrimonium non dicat **203** fornicationem, ostendit eo, quod subjungit : « An nescitis, quod qui adhæret meretrici, unum est corpus [g]? » An meretricem quis dicet virginem, priusquam nubat? « Et ne fraudetis, » inquit, « vos invicem, nisi ex consensu ad tempus [h]: » per dictionem, « fraudetis, » ostendens matrimonii debitum esse liberorum procreationem : quod quidem in iis, quæ præcedunt, ostendit, dicens : « Mulieri vir debitum reddat; similiter autem mulier quoque viro [i]; » post quam exsolutionem, in domo custodienda, et in ea quæ est in Christo fide, adjutrix est. Et adhuc apertius, dicens : « Iis, qui sunt juncti matrimonio, præcipio, inquit, non ego, sed Dominus, uxorem a viro non separari; sin autem separata fuerit, maneat innupta, vel viro reconcilietur; et virum uxorem non dimittere. Reliquis autem dico ego, non Dominus: Si quis frater [k], » usque ad illud : « Nunc autem sancta est [l]. » Quid autem ad hæc dicunt, qui in legem invehuntur, et in matrimonium, quasi sit solum a lege concessum, non autem etiam in Novo Testamento? Quid ad has leges latas possunt dicere, qui sationem abhorrent et generationem? cum « episcopum » quoque, « qui domui recte præsit [m], » Ecclesiæ ducem constituat; ✠ domum autem Dominicam « unius mulieris » constituat conjugium. « Omnia » ergo dicit esse « munda mundis; pollutis autem et infidelibus nihil est mundum, sed polluta est eorum et mens, et conscientia [n]. » De ea autem voluptate, quæ est præter regulam : « Ne erretis, » inquit; « nec fornicatores, nec idololatræ, nec adulteri, nec molles, nec masculorum concubitores, neque avari, neque fures, neque ebriosi, neque maledici, nec raptores, regnum Dei possidebunt; et nos quidem abluti sumus [o], » qui in his eramus; qui autem in hanc tingunt intemperantiam, ex temperantia in fornica-

A Ὅθεν γενναίως ὁ Ἀπόστολος, « Ἔγραψα ὑμῖν, » φησὶν, « ἐν τῇ ἐπιστολῇ, μὴ συναναμίγνυσθαι πόρνοις, » ἕως « Τὸ δὲ σῶμα, οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ Κυρίῳ, καὶ ὁ Κύριος τῷ σώματι. » Καὶ ὅτι οὐ τὸν γάμον πορνείαν λέγει, ἐπιφέρει· « Ἢ οὐκ οἴδατε, ὅτι ὁ κολλώμενος τῇ πόρνῃ ἓν σῶμά ἐστιν; » Ἢ πόρνην τις ἐρεῖ τὴν παρθένον, πρὶν ἢ γῆμαι; « Καὶ μὴ ἀποστερεῖτε, » φησὶν, « ἀλλήλους, εἰ μὴ ἐκ (69) συμφώνου πρὸς καιρόν· » διὰ τῆς « ἀποστερεῖτε » λέξεως τὸ ὀφείλημα τοῦ γάμου τὴν παιδοποιίαν ἐμφαίνων· ὅπερ ἐν τοῖς ἔμπροσθεν ἐδήλωσεν, εἰπών· « Τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλὴν (70) ἀποδιδότω· ὁμοίως δὲ καὶ ἡ γυνὴ τῷ ἀνδρί· » μεθ' ἣν ἔκτισιν κατὰ τὴν οἰκουρίαν καὶ τὴν ἐν Χριστῷ πίστιν βοηθός. Καὶ ἔτι σαφέστερον εἰπών· « Τοῖς γεγαμηκόσι παραγγέλλω, οὐκ ἐγὼ, ἀλλ' ὁ Κύ-
B ριος, γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρισθῆναι· ἐὰν δὲ καὶ χωρισθῇ, μενέτω ἄγαμος, ἢ τῷ ἀνδρὶ καταλλαγήτω· καὶ ἄνδρα γυναῖκα μὴ ἀφιέναι. Τοῖς δὲ λοιποῖς λέγω ἐγὼ (71), οὐχ ὁ Κύριος· Εἴ τις ἀδελφὸς, » ἕως· « νῦν δὲ ἁγία (72) ἐστί. » Τί δὲ λέγουσι πρὸς ταῦτα οἱ τοῦ νόμου κατατρέχοντες καὶ τοῦ γάμου, ὡς κατὰ νόμον συγκεχωρημένου, μονονουχὶ δὲ καὶ (73) κατὰ τὴν Διαθήκην τὴν Καινήν; Τί πρὸς ταύτας εἰπεῖν ἔχουσι τὰς νομοθεσίας οἱ τὴν σπορὰν καὶ τὴν γένεσιν μυσαττόμενοι; Ἐπεὶ καὶ τὸν « ἐπίσκοπον (74) τοῦ οἴκου καλῶς προϊστάμενον » νομοθετεῖ τῆς Ἐκκλησίας ἀφηγεῖσθαι· οἶκον δὲ Κυριακὸν (75) μιᾶς γυναικὸς συνίστησι συζυγία. « Πάντα οὖν καθαρὰ τοῖς καθαροῖς » λέγει· « τοῖς δὲ μεμιασμένοις καὶ ἀπίστοις οὐδὲν καθαρὸν, ἀλλὰ μεμίανται αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συν-
C είδησις. » Ἐπὶ δὲ τῆς παρὰ τὸν κανόνα ἡδονῆς· « Μὴ πλανᾶσθε, » φησίν· « οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι, οὔτε μοιχοὶ, οὔτε μαλακοὶ, οὔτε ἀρσενοκοῖται, οὔτε πλεονέκται, οὔτε κλέπται, οὐ μέθυσοι (76), οὐ λοίδοροι, οὐχ ἅρπαγες βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν· καὶ ἡμεῖς μὲν ἀπελουσάμεθα, » οἱ ἐν τούτοις γενόμενοι· οἱ δὲ εἰς ταύτην ἀπολούοντες τὴν ἀσέλγειαν ἐκ σωφροσύνης εἰς πορνείαν βαπτίζουσι, ταῖς ἡδοναῖς καὶ τοῖς πάθεσι χαρίζεσθαι δογματίζοντες, ἀκρατεῖς ἐκ σωφρόνων εἶναι διδάσκοντες, καὶ τὴν ἐλπίδα τὴν σφῶν ταῖς τῶν μορίων ἀναισχυντίαις προσανέχοντες· ἀποκηρύκτους εἶναι τῆς βασιλείας τοῦ Θεοῦ, ἀλλ' οὐκ ἐγγράφους, τοὺς φοιτητὰς παρασκευάζοντες· ψευδωνύμου γνώσεως προσηγορίᾳ, τὴν εἰς τὸ
D ἐξώτερον σκότος ὁδοιπορίαν ἐπανῃρημένοι. « Τὸ λοιπὸν, ἀδελφοὶ, ὅσα ἀληθῆ (77), ὅσα σεμνὰ, ὅσα δίκαια,

✠ P. 562 ED. POTTER, 473 ED. PARIS. [a] Prov. I, 18, 19. [b] Matth. XXVI, 24. [c] Matth. XVIII, 6, seqq. [d] Rom. II, 24. [e] I Cor. V, 11. [f] I Cor. VI, 13. [g] Ibid. 16. [h] I Cor. VII, 5. [i] Ibid. 3. [k] Ibid. 10, 11, 12. [l] Ibid. 14. [m] I Tim. III, 2, 4; Tit. I, 6. [n] Tit. I, 15. [o] I Cor. VI, 9, 10, 11.

(69) *Εἰ μὴ ἐκ.* Εἰ μή τι ἂν ἐκ, I Cor. VII.

(70) *Ὀφειλήν.* Ὀφειλομένην εὔνοιαν, Ibid.

(71) *Λέγω ἐγώ.* Ἐγὼ λέγω, Ibid.

(72) *Ἁγία.* Scribendum ἅγια in plur. numero, ex I Cor. VII, 14, ubi ad præcedens τέκνα refertur.

(73) *Ὡς κατὰ νόμον συγκεχωρημένου, μονονουχὶ δὲ κ.* Scribendum, ὡς κατὰ νόμον συγκεχωρημένου μόνον, οὐχὶ δὲ καὶ κατὰ τὴν Διαθήκην τὴν καινήν; Quod Latine versum est.

(74) *Ἐπίσκ.* Cf. sup. p. 459 et 464 edit. Paris.

(75) *Οἶκον . . . Κυριακόν.* Sic templa, seu ecclesiæ, Christianorum appellari solebant : verumtamen, ut Balsamonis verbis ad can. 74 concilii in Trullo habiti utar : Πᾶς τόπος Κυρίῳ ἀνατεθειμένος Κυριακὸς λέγεται, κἂν μὴ ἐκκλησία ἐστίν· « Omnis locus Domino consecratus Dominicus dicitur, etiamsi non sit ecclesia : » ac proinde domus cujusvis Christiani, præcipue vero clerici, atque imprimis episcopi, οἶκος Κυριακός, « domus Dominica, » merito vocabitur.

(76) *Οὔτε πλ. . . . μέθυσοι.* Οὔτε κλέπται, οὔτε πλεονέκται, οὔτε μέθυσοι, I Cor. VI, ubi mox, ... οὐ κληρονομήσουσιν· καὶ ταῦτά τινες ἦτε· ἀλλὰ ἀπελούσασθε, etc.

(77) *Ὅσα ἀλ.* Ὅσα ἐστὶν ἀλ. Philip. IV, ubi mox, ἃ καὶ ἐμάθετε, καὶ παρελάβετε καὶ ἠκ. καὶ εἴδετε

A ὅσα ἁγνὰ, ὅσα προσφιλῆ, ὅσα εὔφημα· εἴ τις ἀρετὴ, καὶ εἴ τις ἔπαινος, ταῦτα λογίζεσθε, ὅσα καὶ ἐμάθετε· ἃ καὶ παρελάβετε καὶ ἠκούσατε καὶ ἴδετε ἐν ἐμοὶ, ταῦτα πράσσετε· καὶ ὁ Θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν. » Καὶ ὁ Πέτρος ἐν τῇ Ἐπιστολῇ τὰ ὅμοια λέγει· « Ὥστε τὴν πίστιν ὑμῶν καὶ ἐλπίδα εἶναι εἰς Θεόν· τὰς ψυχὰς ὑμῶν ἡγνικότες ἐν τῇ ὑπακοῇ τῆς ἀληθείας· ὡς τέκνα ὑπακοῆς, μὴ συσχηματιζόμενοι ταῖς πρότερον ἐν τῇ ἀγνοίᾳ ὑμῶν ἐπιθυμίαις· ἀλλὰ κατὰ τὸν καλέσαντα ὑμᾶς ἅγιον καὶ αὐτοὶ ἅγιοι ἐν πάσῃ ἀναστροφῇ γενήθητε· διότι γέγραπται· *Ἅγιοι ἔσεσθε* (78), *διότι ἐγὼ ἅγιος*.» Ἀλλὰ γὰρ πέρα τοῦ δέοντος ἡ πρὸς τοὺς ψευδωνύμους τῆς γνώσεως ὑποκριτὰς ἀναγκαία λεγομένη ἀντιλογία εἰς μακρὸν ἀπήγαγεν ἡμᾶς, καὶ ἐξέτεινε τὸν λόγον· ὅθεν B καὶ ὁ τρίτος ἡμῖν τῶν κατὰ τὴν ἀληθῆ φιλοσοφίαν γνωστικῶν ὑπομνημάτων Στρωματεὺς τοῦτο ἔχει τὸ πέρας.

tionem baptizant, voluptatibus et affectibus esse indulgendum decernentes, incontinentes ex moderatis fieri docentes, et in spe sua membrorum suorum impudentiæ affixi; ut a regno Dei abdicentur, non autem ut inscribantur, qui ad eos ventitant, efficientes; sub falso nominatæ cognitionis titulo, eam, quæ ad exteriores ducit tenebras, viam ingredientes. « Quod reliquum est, fratres, quæcunque vera, quæcunque honesta, quæcunque justa, quæcunque casta, quæcunque amabilia, quæcunque bonæ famæ; si qua virtus, et si qua laus, ea considerate; quæ et didicistis; quæ etiam accepistis et audiistis et vidistis in me, ea facite; et Deus pacis erit vobiscum [a]. » Et Petrus similia dicit in Epistola: « Ut fides vestra et spes sit in Deum, cum animas vestras castas effeceritis in obedientia veritatis [b]; quasi filii obedientiæ, non configurati prioribus desideriis, quæ fuerunt in ignorantia; sed secundum eum, qui vocavit vos, sanctum, et ipsi sancti sitis in omni conversatione. Quoniam scriptum est: « Sancti eritis, quoniam ego sanctus sum [c]. » Verumtamen quæ adversus eos, qui cognitionem falso nomine simulant, necessario suscepta est a nobis disputatio, nos longius, quam par sit, abduxit, et orationem effecit prolixiorem. Unde tertius quoque liber Stromateus eorum, quæ sunt de vera philosophia, commentariorum, hunc finem habeat.

[a] Phil. IV, 8, 9. [b] I Petr. I, 21, 22. [c] Ibid. 14, 15, 16.

(78) *Ἅγιοι ἔσ.* I Petr. I, 16: Ἅγιοι γένεσθε, ὅτι ἐγὼ ἅγιός εἰμι.

ΚΛΗΜΕΝΤΟΣ
ΤΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ
ΣΤΡΩΜΑΤΕΩΝ
ΤΩΝ ΕΙΣ ΟΚΤΩ ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ.

CLEMENTIS ALEXANDRINI
STROMATUM
LIBER QUARTUS.

CAPUT PRIMUM.

Ordo dicendorum.

C Ἀκόλουθον δ' ἂν, οἶμαι, περί τε μαρτυρίου διαλαβεῖν, καὶ τίς ὁ τέλειος· οἷς ἐμπεριληφθήσεται κατὰ τὴν ἀπαίτησιν τῶν λεχθησομένων τὰ παρεπόμενα, καὶ ὡς ὁμοίως τε φιλοσοφητέον δούλῳ τε καὶ ἐλευθέρῳ, κἂν ἀνὴρ ἢ γυνὴ τὸ γένος τυγχάνῃ· τά τε ἑξῆς, περὶ

Consequens autem deinceps esse existimo, ut de martyrio tractemus, et quisnam sit perfectus. Una autem cum his comprehendentur quæcunque natura dicendorum exigit; ut etiam quod æque sit philosophandum et servo et libero, sive sit vir sexu sive

femina. Et cum quæ deinceps sequuntur, et de fide et de inquisitione, absolverimus, genus symbolicum adducemus; ut cum orationem, quæ ad mores pertinet, cursim concluserimus, summatim ostendamus, quanta utilitas allata sit Græcis a barbara philosophia. Quam quidem postquam oculis subjecero, et adversus Græcos et adversus Judæos tradetur compendiosa Scripturarum expositio, et quæcunque in libris præcedentibus, quæ quidem in procemii ingressu uno commentario statuissemus absolvere, sed propter rerum multitudinem, cui necessario serviendum fuit, non licuit comprehendere. Post hæc a nobis, quoad fieri potest, rerum propositarum impleta declaratione, quæ de naturalibus principiis et a Græcis et ab aliis barbaris, prout ad nos pervenerunt opiniones, tradita sunt, oportet recensere; et adversus præcipua eorum, quæ sunt excogitata a philosophis, argumentari. Quibus fuerit consequens, ut postquam theologiam cursim percurrerimus, ea, quæ de prophetia tradita sunt, tractemus; ut cum etiam Scripturas, quibus credidimus, validas ac ratas esse omnipotenti auctoritate ostenderimus, serie possimus per ipsas progredi, et hinc omnibus hæresibus unum Deum ostendere, et Dominum **204** omnipotentem, qui per legem et prophetas et beatum etiam Evangelium fuit sincere prædicatus. Multa autem sequuntur nobis dicenda adversus eos, qui sunt diversæ opinionis, conantibus ea in scriptis dissolvere, quæ ab ipsis afferuntur, et vel invitis persuadere, per ipsas convincendo Scripturas. Perfecto itaque nobis universo proposito, cum jam commentarios, quales voluerit Spiritus, ad usum instantem ministraverimus (quædam enim ante veritatem omnino præfari necesse est), tunc vere gnosticam naturæ aggrediemur contemplationem, parvis ante magna initiati mysteria, ut vere divinæ sacrorum interpretationi nihil sit impedimento, prius expurgatis atque informatis iis, quæ oportet ante sciri et tradi. Ac naturæ quidem secundum veritatis regulam disciplina, seu inspectio potius, quæ per gnosticam traditionem acquiritur, facto ab ortu mundi initio, inde ad rerum divinarum contemplationem ascendit. Unde eorum, quæ tradentur, principium a creatione, quæ a prophetis descripta est, ducemus, intermiscentes nonnunquam quæ ab iis, qui diversa sentiunt, dicuntur, et, quoad a nobis fieri poterit, dissolventes. Sed hæc quidem mox scribentur, si Deus velit, et quemadmodum ille inspiraverit: nunc autem aggrediendum est id, quod fuit propositum, et absolvenda ea, quæ ad mores pertinet, oratio.

A τε πίστεως (79) καὶ περὶ τοῦ ζητεῖν, προσαποπληρώσαντες, τὸ συμβολικὸν εἶδος (80) παραθησόμεθα· ἵν', ὡς ἐν ἐπιδρομῇ τὸν ἠθικὸν συμπερανάμενοι λόγον, κεφαλαιωδῶς παραστήσωμεν τὴν εἰς Ἕλληνας ἐκ τῆς βαρβάρου φιλοσοφίας διαδοθεῖσαν ὠφέλειαν. Μεθ' ἣν ὑποτύπωσιν ἥ τε πρὸς τοὺς Ἕλληνας καὶ ἡ πρὸς τοὺς Ἰουδαίους κατ' ἐπιτομὴν τῶν Γραφῶν ἔκθεσις παραδοθήσεται, καὶ ὅσα ἐν τοῖς πρὸ τούτου Στρωματεῦσι κατὰ τὴν τοῦ προοιμίου εἰσβολὴν ἐν ἑνὶ προθεμένους (81) τελειώσειν ὑπομνήματι, τῷ πλήθει τῶν πραγμάτων ἀναγκαίως δουλεύσασι, περιλαβεῖν οὐκ ἐξεγένετο. Ἐπὶ τούτοις ὕστερον, πληρωθείσης ὡς ἔνι μάλιστα τῆς κατὰ τὰ προκείμενα ἡμῖν ὑποτυπώσεως, τὰ περὶ ἀρχῶν φυσιολογηθέντα τοῖς τε Ἕλλησι τοῖς τε ἄλλοις βαρβάροις, ὅσον ἧκον εἰς ἡμᾶς αἱ δόξαι, B ἐξιστορητέον, καὶ πρὸς τὰ κυριώτατα τῶν τοῖς φιλοσόφοις ἐπινενοημένων ἐγχειρητέον. Οἷς ἑπόμενον ἂν εἴη, μετὰ τὴν ἐπιδρομὴν τῆς θεολογίας, τὰ περὶ προφητείας παραδεδομένα διαλαβεῖν (82)· ὡς καὶ τὰς Γραφὰς, αἷς πεπιστεύκαμεν, κυρίας οὔσας ἐξ αὐθεντίας παντοκρατορικῆς ἐπιδείξαντας, προϊέναι δι' αὐτῶν εἱρμῷ δύνασθαι, καὶ ἁπάσαις ἐντεῦθεν ταῖς αἱρέσεσιν, ἕνα δεικνύναι Θεὸν, καὶ Κύριον παντοκράτορα, τὸν διὰ νόμου καὶ προφητῶν, πρὸς δὲ καὶ τοῦ μακαρίου Εὐαγγελίου γνησίως κεκηρυγμένον. Πολλαὶ δὲ ἡμᾶς αἱ πρὸς τοὺς ἑτεροδόξους ἀντιῤῥήσεις ἐκδέχονται, πειρωμένους τά τε ὑπ' αὐτῶν προκομιζόμενα ἐγγράφως διαλύεσθαι, πείθειν τε αὐτοὺς καὶ ἄκοντας, δι' αὐτῶν ἐλέγχοντας τῶν Γραφῶν. Τελειωθείσης τοί- C νυν τῆς προθέσεως ἡμῖν ἁπάσης, ἐν οἷς ἐὰν θελήσῃ τὸ Πνεῦμα ὑπομνήμασι πρὸς τὴν κατεπείγουσαν ἐξυπηρετούμενοι χρείαν (πολλὴ γὰρ ἡ τῶν προλεγομένων ὀφείλεσθαι τῆς ἀληθείας (83) ἀνάγκη), τότε δὴ τὴν τῷ ὄντι γνωστικὴν φυσιολογίαν μέτειμεν (84), τὰ μικρὰ πρὸ τῶν μεγάλων (85) μυηθέντες μυστηρίων, ὡς μηδὲν ἐμποδὼν τῇ θείᾳ ὄντως ἱεροφαντίᾳ γίνεσθαι, προκεκαθαρμένων καὶ προδιατετυπωμένων τῶν προϊστορηθῆναι καὶ προπαραδοθῆναι δεόντων. Ἡ γοῦν κατὰ τὸν τῆς ἀληθείας κανόνα γνωστικῆς παραδόσεως φυσιολογία, μᾶλλον δὲ ἐποπτεία, ἐκ τοῦ περὶ κοσμογονίας ἤρτηται λόγου, ἐνθένδε ἀναβαίνουσα ἐπὶ τὸ θεολογικὸν εἶδος. Ὅθεν εἰκότως τὴν ἀρχὴν τῆς παραδόσεως, ἀπὸ τῆς προφητευθείσης ποιησόμεθα γενέσεως, ἐν μέρει καὶ τὰ τῶν ἑτεροδό- D ξων παρατιθέμενοι, καὶ ὡς οἷόν τε ἡμῖν διαλύεσθαι πειρώμενοι. Ἀλλὰ γὰρ τὸ μὲν γεγράψεται, ἢν Θεός γε ἐθέλῃ, καὶ ὅπως ἂν ἐμπνέῃ· νυνὶ δὲ ἐπὶ τὸ προκείμενον μετιτέον, καὶ τὸν ἠθικὸν ἀποπληρωτέον λόγον.

✠ P. 563-564 ED. POTTER, 474-475 ED. PARIS.

(79) *Περί τε πίστεως*. Conf. p. 497, 500, 521 et 525, 527, edit. Paris. GRABIUS.

(80) *Τὸ συμβολικὸν εἶδος*. Lib. v. GRAB.

« Ἐνδύσασθε οὖν, ὡς ἐκλεκτοὶ τοῦ Θεοῦ, ἅγιοι καὶ ἠγαπημένοι, σπλάγχνα οἰκτιρμῶν, χρηστότητα, ταπεινοφροσύνην, πραότητα, μακροθυμίαν· ἐπὶ πᾶσι δὲ B τούτοις, τὴν ἀγάπην· ὅ ἐστι (78) σύνδεσμος τῆς τελειότητος· καὶ ἡ εἰρήνη τοῦ Χριστοῦ βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν, εἰς ἣν καὶ ἐκλήθητε ἐν ἑνὶ σώματι· καὶ εὐχάριστοι γίνεσθε, » οἱ ἐν σώματι ἔτι ὄντες, καθάπερ οἱ παλαιοὶ δίκαιοι, ἀπάθειαν ψυχῆς καὶ ἀταραξίαν καρπούμενοι.

CAPUT VIII.

In ecclesia feminas non minus quam viros, et servos pariter cum liberis, martyrii esse candidatos.

✠ Nam non solum Æsopii, et Macedones, et Lacones, dum torquentur, fortiter tolerant, ut ait Eratosthenes in libro *De bonis et malis;* sed Zeno quoque Eleates, dum cogeretur arcanum quoddam enuntiare, restitit tormentis, nihil confitens; qui

Ἐπεὶ οὐ μόνον Αἰσώπιοι (79), καὶ Μακεδόνες (80) καὶ Λάκωνες (81) στρεβλούμενοι ἐκαρτέρουν, ὥς φησιν Ἐρατοσθένης (82) ἐν τοῖς « Περὶ ἀγαθῶν καὶ κακῶν· » ἀλλὰ καὶ Ζήνων (83) ὁ Ἐλεάτης, ἀναγκα- C ζόμενος κατειπεῖν τι τῶν ἀποῤῥήτων (84), ἀντέσχε

✠ P. 589 ED. POTTER, 497 ED. PARIS.

[a] II Cor. x, 3, 4, 5. [b] Coloss. III, 12, 14, 15.

(76) *Κυρίου*. Θεοῦ, II Cor. x.

(77) *Ἐκ θυραίων*. Flor., ἐκ θυρεῶν, « e scutis : » repugnante sententia pariter et metro. Congruit autem cum ista Sophoclis gnome, hæc Senecæ, initio lib. *De clementia :* « Recte factorum verus fructus sit, fecisse; nec ullum virtutum pretium dignum illis, extra ipsas sit. » SYLBURG.

(78) *Ὅ ἐστι*. Ἥτις ἐστὶ, Coloss., ubi mox, ἡ εἰρήνη τοῦ Χριστοῦ βρ.

(79) *Αἰσώπιοι*. Malet forte aliquis Αἰσάπιοι, vel Ἀσώπιοι· ut Æsapi, vel Asopi fl. accolæ intelligantur. Sed Αἰσώπιοι rectius cum Fr. Junio intelligentur, qui Æsopi tolerantiam imitantur, vel veteris illius, vel recentioris, de quo Macrobius, lib. I, c. 11: « Æsopus, libertus Demosthenis, conscius adulterii, quod cum Julia patronus admiserat, tortus diutissime, perseveravit non prodere patronum, donec aliis coarguentibus consciis, Demosthenes ipse fateretur. SYLBURG.

(80) *Μακεδόνες*. E multis Macedonicæ patientiæ exemplis haud abs re fuerit unum attulisse, quod memorat Valerius Maximus lib. III, cap. 3 : « Vetusto Macedoniæ more, regi Alexandro nobilissimi pueri præsto erant sacrificanti. E quibus unus, thuribulo arrepto, ante ipsum astitit, in cujus brachio carbo ardens delapsus est; quo etsi ita urebatur, ut adusti corporis ejus odor ad circumstantium nares perveniret, tamen et dolorem silentio pressit, et brachium immobile tenuit, ne sacrificium Alexandri, aut concusso thuribulo impediret, aut edito gemitu regias aures aspergeret. Rex quoque patientia pueri magis delectatus, hoc certius perseverantiæ experimentum sumere voluit : consueto enim sacrificavit diutius, nec hac re eum a proposito repulit. Si huic miraculo Darius inseruisset oculos, scisset ejus stirpis milites vinci non posse, cujus infirmam ætatem tanto robore præditam animadvertisset. »

(81) *Λάκωνες*. Lacedæmoniorum pueri ad aram Dianæ Orthiæ flagris cæsi, μέχρι θανάτου πολλάκις διακαρτεροῦσιν ἱλαροὶ καὶ γαῦροι, « sæpe ad mortem usque hilares et gestientes perseverabant; » ut refert Plutarchus in *Institutis Laconicis*. Eorum tolerantiæ exempla satis ubique nota sunt. Conf. Nic. Cragius,, *De repub. Lacedæmon.* lib. III, inst. 8.

(82) *Ἐρατοσθένης*. Theodoretus serm. 8, p. 604. Eratosthenis testimonium ad ea, quæ sequuntur, refert : Οὐδὲ Ζήνων ὁ Ἐλεάτης, ὃς, ἀναγκαζόμενος κατειπεῖν τι τῶν ἀποῤῥήτων, ἀντέσχε πρὸς τὰς βασάνους, οὐδὲν ἐξομολογούμενος· ὡς δέ φησιν Ἐρατοσθένης ἐν τῷ *Περὶ ἀγαθῶν καὶ κακῶν*, δείσας οὕτως μὴ τῇ τῶν παθῶν ὑπερβολῇ βιασθεὶς ἐξείπῃ τι τῶν συγκειμένων, καὶ τοὺς στασιώτας μηνύσῃ, τὴν γλῶτταν τοῖς ὀδοῦσι τεμὼν, προσέπτυσε τῷ τυράννῳ. Ταὐτὸ δὲ τοῦτο καὶ Θεόδοτόν φασι ποιῆσαι τὸν Πυθα- D γόρειον, καὶ Παῦλον τὸν Λακύδου γνώριμον, ὡς Περγαμηνὸς Τιμόθεος ἐν τῷ *Περὶ τῆς τῶν φιλοσόφων ἀνδρείας* ξυνέγραψε· ξυμμαρτυρεῖ δὲ τούτῳ καὶ Ἀχαϊκὸς ἐν τοῖς *Ἠθικοῖς*. « Nec Zeno Eleates, qui cum arcana quædam prodere cogeretur, constantissime tormentis omnibus restitit, nihilque est effatus : atque, ut Eratosthenes in libro De bonis malisque scripsit, timens ne excessu tormentorum victus efferret aliquid ex iis de quibus condixerant, consciosque conjurationis proderet, linguam dentibus abscissam in tyranni faciem conspuit. Quod ipsum et Theodotum Pythagoreum fecisse aiunt, et Paulum Lacydæ discipulum, ut testis est Timotheus Pergamenus in libro De philosophorum fortitudine : idemque Achaicus in *Ethicis* affirmat. »

(83) *Ζήνων*. Zenonis exemplum memorat Philo Judæus lib. *Quod omnis probus sit liber*, pag. 881: Diogenes Laertius lib. IX, segm. 27, aliique plurimi

(84) *Τὶ τῶν ἀποῤῥήτων*. Quid illud ἀπόῤῥητον fuerit, indicat Cicero *Tusculan. quæst.* l. II. « Zeno

πρὸς τὰς βασάνους, οὐδὲν ἐξομολογούμενος· ὅς γε καὶ τελευτῶν, τὴν γλῶσσαν ἐκτρώγων, προσέπτυσε τῷ τυράννῳ ὃν οἱ μὲν Νέαρχον (85), οἱ δὲ Δήμυλον προσαγορεύουσιν. Ὁμοίως δὲ καὶ Θεόδοτος (86) ὁ Πυθαγόρειος ἐποίησε, καὶ Παῦλος ὁ Λακύδου γνώριμος, ὥς φησι Τιμόθεος ὁ Περγαμηνὸς ἐν τῷ « Περὶ τῆς τῶν φιλοσόφων ἀνδρείας, » καὶ Ἀχαϊκὸς ἐν τοῖς « Ἠθικοῖς. » Ἀλλὰ καὶ Πόστουμος (87) ὁ Ῥωμαῖος, ληφθεὶς ὑπὸ Πευκετίωνος, οὐχ ὅπως τι τῶν κεχρυμμένων οὐκ ἐδήλωσεν, ἀλλὰ καὶ τὴν χεῖρα ἐπὶ τοῦ πυρὸς θείς, καθάπερ εἰς χαλκὸν κατέθηκεν, ἀτρέπτῳ πάνυ τῷ παραστήματι. Τὰ γὰρ Ἀναξάρχου (88) σιωπῶ, « Πτίσσε, « ἐκβοῶντος, » τὸν Ἀναξάρχου θύλακον· Ἀνάξαρχον γὰρ οὐ πτίσσεις· » ὁπηνίκα πρὸς τοῦ τυράννου ὑπέροις σιδηροῖς ἐπτίσσετο. Οὔτ' οὖν ἡ τῆς εὐδαιμονίας ἐλπίς, οὔθ' ἡ πρὸς τὸν Θεὸν ἀγάπη, δυσανασχετεῖ πρὸς τὰ ὑποπίπτοντα, μένει δὲ ἐλευθέρα· κἂν θηρίοις (89) τοῖς ἀγριωτάτοις, κἂν τῷ παμφάγῳ ὑποπέσῃ πυρί, κἂν καταχτείνηται βασάνοις τυραννικαῖς, ταῖς θείαις ἀπαρτωμένη φιλίαις (90), ἀδούλωτος ἄνω περιπολεῖ, τὸ σῶμα παραδοῦσα τοῖς τούτου μόνου ἔχεσθαι δυναμένοις. Λέγεται δὲ ἔθνος βάρβαρον (91), οὐκ ἄγευστον φιλοσοφίας (92)· πρεσβύτην (93) αἱροῦνται (94) πρὸς Ζάμολξιν ἥρωα κατ' ἔτος. Ὁ δὲ Ζάμολξις ἦν τῶν Πυθαγόρου γνωρίμων (95). Ἀποσφάττεται οὖν ὁ δοκιμώτατος κριθείς, ἀνιωμένων τῶν φιλοσοφησάντων (96) μέν, οὐχ αἱρεθέντων δέ, ὡς ἀποδεδοκιμασμένων εὐδαίμονος ὑπηρε-

A etiam inter moriendum linguam erosam exspuit in tyrannum, quem alii quidem Nearchum, alii vero Demylum appellant. Similiter autem fecit etiam Theodotus Pythagoreus, et Paulus Lacydis discipulus, ut dicit Timotheus Pergamenus in libro *De fortitudine philosophorum*, et Achaicus in *Moralibus*. Quinetiam Posthumus Romanus captus a Peucetione, non modo nihil ex iis, quæ erant occulta, aperuit, sed cum etiam manum in ignem, tanquam in æs, immisisset, constitit vultu firmo et plane immutabili. Taceo Anaxarchum exclamantem : « Tunde Anaxarchi capsam, Anaxarchum enim non tundis ; » cum pistillis ferreis tunderetur a tyranno. Neque ergo spes felicitatis, neque in Deum charitas, ægre fert ea, quæ accidunt; manet autem B libera ; et licet in bestias incidat immanissimas, licet in ignem voracissimum, licet tyrannicis conficiatur tormentis, a divina pendens amicitia, minime redacta in servitutem, superas obit regiones, corpore iis tradito, qui id solum ✠ possunt tenere. Dicitur autem gens barbara non aliena a gustu philosophiæ, quotannis eligere legatum ad Zamolxin heroem : erat autem Zamolxis unus ex familiaribus Pythagoræ. Mactatur ergo is, qui fuerit judicatus probatissimus : iis, qui sunt philosophati quidem, sed non electi, mœrentibus, ut qui sint repulsi a beato ministerio. Plena est ergo tota Ecclesia iis, qui per omnem vitam sunt meditati mor-

✠ P. 590 ED. POTTER.

proponatur Eleates, qui perpessus est omnia potius, quam conscios delendæ tyrannidis indicaret. »

(85) *Νέαρχον*. Diogenes Laert. in ejus Vita : « Is, cum Nearchum tyrannum, seu, ut alii volunt, Diomedontem, dejicere ac profligare voluisset, comprehensus est. » Theodoretus lib. VIII : *De curat.* postquam exemplum Zenonis attulit, hæc subjicit : « Quod ipsum et Theodotum Pythagoricum fecisse aiunt, Paulumque præterea Lacydæ familiarem, ut testis est Pergamenus Timotheus in lib. *De philosophorum fortitudine*, itemque Achaicus in *Ethicis* libris affirmat. » In iis, quæ de Zamolxide subjicit, est in Græco, πρεσβύτην αἱρεῖσθαι, « senem eligere. » Hervetus correxit, πρεσβέα. Collect. — Tertullianus sub finem *Apologetici*, a Dionysio cæsum Zenonem refert; a Demylo Plutarchus *De Stoicis contrad.* et rursus *Adv. Coloten;* a Nearcho, Diodorus Siculus in *Excerptis*, a Valesio editis. Philostratus *De vita Apollon.* lib. VII, et Valerius Maximus lib. III, cap. 3.

(86) *Θεόδοτος*. Similia de Theodoto refert Valerius Maximus, loco jam dicto.

(87) *Πόστουμος*. De manu in ignem immissa quod narratur, potius est Mucii Scævolæ, quam Posthumi, ut ex Livio, Seneca, Plutarcho et aliis manifestum est. De Zenone Eleate meminit, præter Diogenem Laertium, etiam Plutarchus pag. 335, et Philo p. 604. De Anaxarcho idem Laertius pag. 364; Philo p. 604, Plutarchus p. 376, ubi etiam tyranni nomen exprimitur, Nicocreon. H. Sylburg. — Sed Lucas Holstenius ad Stephanum Byzant. p. 352 hæc adnotat : « Posthumus, Romanus dux, captus dicitur ὑπὸ Πευκετίωνος, pro ὑπὸ Πευκετίων. Regio ipsa Peucetia dicitur. Πευκέτιοι, ἔθνος περὶ τὸ Ἰόνιον πέλαγος, inquit Stephanus. »

(88) *Ἀναξάρχου*. De Anaxarcho, præter auctores a Sylburgio memoratos, conf. etiam Ovidius *In Ibin*, Tertullianus sub finem *Apologetici;* Origenes *Contra Celsum* lib. VII, pag. 367, 368; Gregorius Nazianz.

C epist. 58; Dio Chrysostomus orat. 37; denique, ut alios taceam, Theodoretus, loco superius dicto, quo fere ipsa Clementis verba recitat : Οὐδέ γε Ἀνάξαρχος ἐκεῖνος, ὅς, ὑπέροις πτισσόμενος σιδηροῖς, ἔλεγεν, ὥς φασι· Πτίσσε, πτίσσε τὸν Ἀναξάρχου θύλακον· Ἀνάξαρχον γὰρ οὐ πτίσσεις.

(89) *Κἂν θηρίοις*. Flor. conjuncte κανθηρίοις, errore manifesto. Sylburg.

(90) *Ταῖς θείαις ἀπαρτωμένη φιλίαις* Rectius forte τῆς θείας ἀπαρτωμένη φιλίας. Sylburg.

(91) *Ἔθνος βάρβαρον*. Getas intelligit, quos Zamolxin præcipue coluisse, referunt Herodotus in *Melpomene*, Laertius initio *Pythagoræ*, Porphyrius in *Vita Pythagoræ* extrema, Jamblichus in *Vita Pythagoræ*, c. 30, Suidas, *Etymologici* auctor, etc.

(92) *Οὐκ ἄγευστον φιλοσοφίας*. Scribit Herodotus, loco jam dicto, Getas Thracum omnium fortissimos et justissimos esse. Etenim, ut refert in loco etiam dicto Jamblichus, Ζάμολξις, παραγενόμενος πρὸς τοὺς Γέτας, τούς τε νόμους αὐτοῖς ἔθηκε . . .
D καὶ πρὸς τὴν ἀνδρείαν τοὺς πολίτας παρεκάλεσε, τὴν ψυχὴν ἀθάνατον εἶναι πεῖσαι (scr. πείσας). « Zamolxis ad Getas profectus, illis leges dedit, et ad fortitudinem cives est hortatus, animam immortalem esse persuadendo. » Unde μέγιστος τῶν θεῶν ἐστι παρ' αὐτοῖς, « deorum apud illos habitus est maximus : » ut ibi sequitur.

(93) *Πρεσβύτην*. Recte forte πρεσβευτήν, legatum. Sylburg.

(94) *Αἱροῦνται*. L. αἱροῦν. Lowth. — Sed recepta lectio ferri etiam potest.

(95) *Τῶν Πυθαγόρου γνωρίμων*. Sic plerique tradunt. Origenes etiam Pythagoræ servum fuisse memorat in lib. III *Contra Celsum*, pag. 144. Alii Zamolxin Pythagora antiquiorem fuisse asserunt : quod ex Herodoto, Suida et *Etymologici* auctore modo laudatis apparet.

(96) *Φιλοσοφησάντων*. Rectius forte φιλοτιμησάντων. Sylburg.

tem, quæ excitat ad Christum, sicut virorum, ita etiam mulierum temperantium. Licet ei, qui ex more nostro vitam instituit, etiam absque litteris philosophari, seu sit barbarus, seu Græcus, seu servus, seu senex, seu puellus, seu mulier. Est enim temperantia communis omnium hominum, qui eam delegerint. Est autem apud nos extra controversiam, eamdem naturam in unoquoque genere, eamdem etiam habere virtutem. Non aliam ergo habere naturam mulier, quod attinet ad humanitatem, aliam vero videtur vir habere, sed eamdem : quare etiam virtutem. Quod si viri utique virtus est temperantia, et justitia, et quæcunque has consequi existimantur, tum soli viro convenit esse virtute præditum; mulieri vero, esse intemperantem et injustam. Atqui turpe est hoc vel dicere : temperantiæ ergo et justitiæ, et cæteris virtutibus similiter quidem virum et mulierem, liberum et servum, operam oportet dare; quandoquidem ejusdem virtutis capaces sunt, cum ejusdem naturæ sint. Atqui, quod sit quidem eadem natura feminæ quæ viri, quatenus est femina, non dicimus; omnino enim convenit utrique eorum ut aliena inter eos differentia sit per quam unum quidem eorum femineum, alterum vero masculum dicatur. Uterum ergo gestare et parere, feminæ adesse dicimus, quatenus est femina, non quatenus est homo. Si autem viri et feminæ nulla esset differentia, uterque eorum eadem ageret et pateretur. Quatenus ergo est eadem eo quod habeat eamdem animam, veniet ad eamdem virtutem; quatenus autem diversa per proprietatem corporis, ad utero gestandos ✠ fetus, et servandam domum. « Volo » enim, inquit Apostolus, « vos scire, quod cujusvis viri caput est Christus, caput autem mulieris vir. Non est enim vir ex muliere, sed mulier ex viro. Sed neque mulier est separata a viro, neque vir separatus a muliere in Domino [a]. » Sicut enim virum esse temperantem et vincere voluptates oportere dicimus, ita etiam censemus mulierem esse oportere temperantem, et in pugna adversus voluptates exercitatam. « Dico autem, spiritu ambulate, et desiderium carnis non feceritis, » præceptum consulit apostolicum : « Caro enim concupiscit adversus spiritum, spiritus autem adversus carnem. Hæc ergo opponuntur, » non ut malum bono, sed ut quæ pugnant utiliter. Subjungit itaque : « Ut non quæ volueritis, ea faciatis. Manifesta autem sunt opera carnis, quæ sunt for-

A σίας. Μεστὴ μὲν οὖν πᾶσα ἡ Ἐκκλησία τῶν μελετησάντων τὸν ζώπυρον θάνατον εἰς Χριστὸν παρ' ὅλον τὸν βίον, καθάπερ ἀνδρῶν, οὕτω δὲ καὶ γυναικῶν σωφρόνων (97). Ἔξεστι γὰρ τῷ καθ' ἡμᾶς πολιτευομένῳ καὶ ἄνευ γραμμάτων φιλοσοφεῖν, κἂν βάρβαρος (98) ᾖ, κἂν Ἕλλην, κἂν δοῦλος, κἂν γέρων, κἂν παιδίον, κἂν γυνή· κοινὴ γὰρ ἁπάντων τῶν ἀνθρώπων, τῶν γε ἑλομένων, ἡ σωφροσύνη. Ὡμολόγηται δ' ἡμῖν τὴν αὐτὴν φύσιν κατὰ γένος ἕκαστον, τὴν αὐτὴν καὶ ἴσχειν ἀρετήν. Οὐκ ἄλλην τοίνυν πρὸς τὴν ἀνθρωπότητα φύσιν ἔχει (99) ἡ γυνή, ἄλλην δὲ ὁ ἀνὴρ φαίνεται, ἀλλ' ἢ τὴν αὐτήν· ὥστε καὶ τὴν ἀρετήν. Εἰ δὲ ἀνδρὸς ἀρετὴ σωφροσύνη δήπουθεν, καὶ δικαιοσύνη, καὶ ὅσαι ταύταις ἀκόλουθοι νομίζονται, ἀνδρὶ μόνῳ ἐναρέτῳ εἶναι προσήκει, γυναικὶ δὲ ἀκολάστῳ B καὶ ἀδίκῳ. Ἀλλὰ ἀπρεπὲς τοῦτο καὶ λέγειν· σωφροσύνης οὖν ἐπιμελητέον καὶ δικαιοσύνης, καὶ τῆς ἄλλης ἀρετῆς ἁπάσης, ὁμοίως μὲν γυναικὶ, ὁμοίως δὲ ἀνδρὶ, ἐλευθέρῳ τε καὶ δούλῳ· ἐπειδὴ μίαν, καὶ τὴν αὐτὴν ἀρετὴν εἶναι τῆς αὐτῆς φύσεως συμβέβηκεν. Τὸ μὲν τοίνυν τὴν αὐτὴν εἶναι φύσιν τοῦ θήλεος πρὸς τὸ ἄῤῥεν, καθὸ θῆλύ ἐστιν, οὔ φαμεν· πάντως γάρ τινα καὶ διαφορὰν ὑπάρχειν προσῆκεν ἑκατέρῳ τούτων, δι' ἣν τὸ μὲν θῆλυ αὐτῶν, τὸ δὲ ἄῤῥεν γέγονεν· τὸ γοῦν κυοφορεῖν καὶ τὸ τίκτειν τῇ γυναικὶ προσεῖναί φαμεν, καθὸ θήλεια τυγχάνει, οὐ καθὸ ἄνθρωπος. Εἰ δὲ μηδὲν ἦν τὸ διάφορον ἀνδρὸς καὶ γυναικὸς, τὰ αὐτὰ ἂν ἑκάτερον αὐτῶν (1) ἔδρα τε καὶ ἔπασχεν. Ἧ μὲν τοίνυν ταυτόν ἐστι καθὸ ψυχὴ, ταύτῃ ἐπὶ τὴν αὐτὴν ἀφίξεται ἀρετήν· ᾗ δὲ διά-C φορον, κατὰ τὴν τοῦ σώματος ἰδιότητα, ἐπὶ τὰς κυήσεις, καὶ τὴν οἰκουρίαν. « Θέλω » γὰρ (2) « ὑμᾶς, » φησὶν ὁ Ἀπόστολος, « εἰδέναι ὅτι παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριστός· κεφαλὴ δὲ γυναικὸς ὁ ἀνήρ· οὐ γάρ ἐστιν ἐκ γυναικὸς ἀνὴρ, ἀλλὰ γυνὴ ἐξ ἀνδρός. Πλὴν οὔτε γυνὴ χωρὶς ἀνδρὸς, οὔτε ἀνὴρ χωρὶς γυναικὸς ἐν Κυρίῳ. » Ὡς γὰρ σώφρονα τὸν ἄνδρα, καὶ τῶν ἡδονῶν κρείττονα δεῖν εἶναι φαμὲν, οὕτω καὶ τὴν γυναῖκα σώφρονά τε ὁμοίως ἀξιώσαιμεν εἶναι, καὶ πρὸς τὰς ἡδονὰς διαμάχεσθαι μεμελετηκυῖαν. « Λέγω δὲ, πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε, » ἡ Ἀποστολικὴ συμβουλεύει ἐντολή· « Ἡ γὰρ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός. Ταῦτα οὖν ἀντίκειται, D » οὐχ ὡς κακὸν ἀγαθῷ, ἀλλ' ὡς συμφερόντως μαχόμενα. Ἐπιφέρει γοῦν· « Ἵνα μὴ ἃ ἂν θέλητε, ταῦτα ποιῆτε. Φανερὰ δέ ἐστι τὰ ἔργα τῆς σαρκὸς, ἅτινά ἐστι, πορνεία (3), ἀκαθαρσία, ἀσέλγεια, εἰδω-

✠ P. 591 ED. POTTER, 498 ED. PARIS. [a] I Cor. XI, 3, 8, 11.

(97) *Γυναικῶν σωφ.* Tertullianus lib. *Ad martyres*, cap. 4 : « Sed spiritus contraponat sibi et carni, acerba licet ista, a multis tamen æquo animo excepta, imo et ultro appetita, famæ et gloriæ causa; nec a viris tantum, sed etiam a feminis, ut vos quoque, benedictæ, sexui vestro respondeatis, » etc. Conf. *Pædag.* lib. I, c. 4.

(98) *Κἂν βάρβαρος.* Galat. III, 28 : Οὐκ ἔνι Ἰουδαῖος, οὐδὲ Ἕλλην· οὐκ ἔνι δοῦλος, οὐδὲ ἐλεύθερος· οὐκ ἔνι ἄρσεν, καὶ θῆλυ. Conf. Rom. X, 12; I Cor. XII, 13.

(99) *Ἔχει.* Rectius forte ἔχειν infin. modo, ut regatur a verbo φαίνεται. SYLBURG.

(1) *Ἑκάτερον αὐτῶν.* Forte rectius ἑκάτερος αὐτῶν. SYLBURG.

(2) *Γάρ.* Δέ I Cor. XI, ubi mox, ἀνδρὸς ἡ κεφ. Χριστός ἐστι· dein, οὐ γὰρ ἀνὴρ ἐκ γυναικός· paulo post, πλὴν οὔτε ἀνὴρ χωρὶς γυναικὸς, οὔτε γυνὴ χωρὶς ἀνδρός.

(3) *Ἅτινά ἐστι, π.* Ἅτινά ἐστι, μοιχεία, π., Galat., ubi mox, φαρμακεία pro φαρμακεῖαι· dein, φθόνοι, φόνοι, μέθ. paulo post, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια. Mox, παραθεῖναι forte leg. pro παρακαταθῆναι.

λολατρεία, φαρμακεῖαι, ἔχθραι, ἔρεις, ζῆλοι, θυμοὶ, ἐριθεῖαι, διχοστασίαι, αἱρέσεις, φθόνοι, μέθαι, κῶμοι, καὶ τὰ ὅμοια τούτοις· ἃ προλέγω ὑμῖν, καθὼς καὶ προεῖπον, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες, βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι. Ὁ δὲ καρπὸς τοῦ πνεύματός ἐστιν ἀγάπη, χαρὰ, εἰρήνη, μακροθυμία, χρηστότης, ἐγκράτεια, ἀγαθωσύνη, πίστις, πραότης. » « Σάρκα, » οἶμαι, τοὺς ἁμαρτωλοὺς, ὡς « πνεῦμα » τοὺς δικαίους εἴρηκεν. Ναὶ μὴν τὸ τῆς ἀνδρείας πρὸς τὸ εὔθαρσὲς καὶ ὑπομονητικὸν παραληπτέον, ὡς τῷ « τύπτοντι τὴν σιαγόνα παραταθῆναι τὴν ἑτέραν, καὶ τῷ τὸ ἱμάτιον αἴροντι καὶ τοῦ χιτῶνος παραχωρεῖν, » θυμοῦ κρατοῦντας ἐῤῥωμένως. Οὐ γάρ τινας Ἀμαζόνας τὰ πολεμικὰ ἀνδρείας ἀσκοῦμεν τὰς γυναῖκας· ὅπου γε καὶ τοὺς ἄνδρας εἰρηνικοὺς εἶναι βουλόμεθα. Ἀκούω δ' ἔγωγε καὶ Σαυρομάτιδας (4) γυναῖκας πολέμῳ χρωμένας ἀνδρῶν οὐκ ἔλαττον· καὶ Σακίδας ἄλλας, αἳ τοξεύουσιν εἰς τοὐπίσω, φεύγειν προσποιούμεναι, τοῖς ἀνδράσιν ἐπίσης. Οἶδα (5) καὶ τὰς πλησίον τῆς Ἰβηρίας (6) γυναῖκας ἔργῳ καὶ πόνῳ χρωμένας ἀνδρικῷ· κἂν πρὸς τὸ ἀποκύειν (7) γένωνται, οὐδὲν ἀνιείσας τῶν πρακτέων·

A nicatio, immunditia, impudicitia, idolorum cultus, veneficia, inimicitiæ, contentiones, æmulationes, iræ, rixæ, dissensiones, sectæ, invidiæ, ebrietates, comessationes, et his similia, quæ prædico vobis, sicut et prædixi, quod qui talia agunt, regnum Dei non possidebunt. Fructus autem spiritus est charitas, gaudium, pax, patientia, benignitas, continentia, bonitas, fides, mansuetudo [a]. » Carnem, » ut existimo, peccatores, sicut « spiritum » justos dixit. Jam vero assumenda est fortitudo ad ingenerandam nobis fiduciam et tolerantiam, ut ei, qui « pulsat maxillam, porrigamus alteram; et ei, qui aufert pallium, cedamus etiam tunicam [b], » iram coercentes fortiter. Non enim tanquam Amazones aliquas ad bellicam virtutem exercemus fe- B minas, cum etiam viros velimus esse pacificos. Audio autem mulieres quoque Sauromatidas non minus belligerare, quam viros; et alias Sacidas, quæ a tergo sagittant, simulantes fugere, æque atque viri. Scio etiam feminas Iberiæ propinquas, et factis et **214** ✠ laboribus virilibus utentes, etiamsi uterum gestent et jam parturiant, nihil

✠ P. 592 ED. POTTER, 499 ED. PARIS. [a] Galat. v, 16, 17, 19, 20, 21, 22. [b] Luc. vi, 29.

(4) *Σαυρομάτιδας*. Sauromatæ, vel Sarmatæ, ac Sacæ, Scythiæ gentes erant; inter quas fere omnes more receptum fuit, ut feminæ, perinde ac viri, arma gestarent et bella gererent. Nicolaus Damascenus apud Stobæum serm. 5, cui tit. *De temperantia*. de Scythis Γαλακτοφάγοις, quos nonnulli Sarmatis annumerant, ait: Μάχιμοι δ' οὐχ ἧττον αὐτῶν αἱ γυναῖκες ἢ οἱ ἄνδρες· καὶ συμπολεμοῦσιν αὐτοῖς, ὅταν δέῃ. «Pugnaces vero non minus ipsorum mulieres, quam viri sunt: et si opus sit, in bello se gerunt socias. » Idem apud Stobæum, serm. 42, *De leg. et consuet.*, refert, Σαυρομάτας παρθένον οὐ πρότερον συνοικίζειν πρὸς γάμον, πρὶν ἂν πολέμιον ἄνδρα κτείνῃ. « Sauromatas non prius virginem tradere ad nuptias, quam hostem occiderit. » Quod tradit etiam Herodotus lib. iv, cap. 117. De Sacarum virginibus memorat Ælianus *Var. hist.* lib. xii, cap. 38, quod si quis eorum aliquam in uxorem ducere cupit, μονομαχεῖ τῇ παιδὶ, καὶ κρατήσασα μὲν, αἰχμάλωτον ἄγαγεται, καὶ κρατεῖ αὐτοῦ, καὶ ἄρχει· ἐὰν δὲ κρατηθῇ, ἄρχεται· « pugnam cum puella suscipit, et si illa superior evadat, captivum abducit, eique dominatur, et imperat; sin inferior, regitur ab illo.

(5) *Οἶδα*. P. Victorius hunc Clementis locum citat, illustrans illum Varronis *De re rustica*: « Nam in Illyrico hoc amplius prægnantem sæpe, cum venit pariendi tempus, non longe ab opere discedere, ibique enixam puerum referre, quem non peperis e, sed invenisse putes. » Paulo post citantur Euripidis sententiæ duæ, quarum altera legitur apud Stobæum lib. LXXI in *Vituper. mulierum* ex Euripidis *Œdipode*, κἂν ὁ κάκιστος γήμῃ τὴν εὐδοκιμοῦσαν, non, ut habet Clementis editio Florentina, κἂν ὁ κράτιστος γήμῃ. Scribe ergo: « Etsi pessimus vir ducat optimæ existimationis mulierem; » altera vero lib. LXVII, ex eodem poemate, sed extrema quoque leguntur aliter, ἀνοίᾳ τὸν ξυνόνθ' ὑπερφρονεῖ, non ὑπερφέρει. « Per vecordiam contemnit virum: » non autem: « Eum, qui una versatur, superat amentia. » Versus, qui consequuntur, verba sunt Ulyssis Nausicaam alloquentis, *Odyss.* Z', vers. 182. Quod vero dixit, « pudicam esse viri servam, convenit cum eo, quod dicebat S. Monica, ut scribit D. Augustinus lib. ix *Confess.* cap. 9: «Matronas per jocum admonens, ex quo illas tabulas, quæ matrimoniales vocantur, recitari audissent, tanquam instrumenta, quibus ancillæ factæ essent, deputare debuisse, proinde memores conditionis superbire adversus dominos non oportere. C COLLECT.

(6) *Τῆς Ἰβηρίας*. Strabo *Geograph.* lib. iii: Κοινὰ δὲ ταῦτα πρὸς τὰ Κελτικὰ ἔθνη, καὶ τὰ Θρᾴκια, καὶ Σκυθικά· κοινὰ δὲ καὶ πρὸς ἀνδρείαν, τήν τε τῶν ἀνδρῶν καὶ τὴν τῶν γυναικῶν· γεωργοῦσι γὰρ αὗται, τεκοῦσαι διακονοῦσι τοῖς ἀνδράσιν, ἐκείνους ἀνθ' ἑαυτῶν κατακλίνασαι· ἔν τε τοῖς ἔργοις πολλάκις αὗται καὶ λούουσι, καὶ σπαργανοῦσιν, ἀποκλίνασαι πρός τι ῥεῖθρον. Ἐν δὲ τῇ Λιγυστικῇ φησιν ὁ Ποσειδώνιος διηγήσασθαι τὸν ξένον ἑαυτῷ Χαρμόλεων, Μασσαλιώτην ἄνδρα, ὅτι μισθώσαιτο ἄνδρας ὁμοῦ καὶ γυναῖκας ἐπὶ σκαφητόν· ὠδίνασα δὲ μία τῶν γυναικῶν ἀπέλθοι ἀπὸ τοῦ ἔργου πλησίον, τεκοῦσα δ' ἐπανέλθοι ἐπὶ τὸ ἔργον αὐτίκα, ὅπως μὴ ἀπολέσειε τὸν μισθόν· καὐτὸς ἐπιπόνως ἰδὼν ἐργαζομένην, οὐκ εἰδὼς τὴν αἰτίαν πρότερον, ὀψὲ μάθοι, καὶ ἀφίησι, δοὺς τὸν μισθόν. Ἡ δ' ἐκκομίσασα τὸν παῖδα πρός τι κρήνιον, λούσασα, καὶ σπαργανώσασα οἷς εἶχε, διασώσειεν οἴκαδε. « Hæc illis (Hispanis) communia sunt cum Celtis, Thracibus et Scythis; sicut et fortitudo, non virorum modo, sed etiam D mulierum. Mulieres enim agros colunt, et cum pepererunt, suo loco viros decumbere jubent, iisque ministrant: interque operandum ipsæ sæpenumero infantes lavant et involvunt, ad alveum cujuspiam amnis acclinantes. Posidonius scriptum reliquit, sibi in Liguria hospitem suum Charmolaum Massiliensem narrasse, fuisse a se ad fossionem quamdam conductos viros et mulieres; inter has quamdam doloribus partus correptam, non longe ab opere digressam, edito fetu ad opus rediisse, ne mercedem amitteret; quam ipse cum videret ægre opus facere, primoque causam ignoraret, tandem, re cognita, mercede data dimiserit; mulierem ad fonticulum quemdam extulisse infantem, lotumque et quibus habebat pannis involutum, incolumem domum pertulisse. » Similia refert Diodorus Sic. lib. iv.

(7) *Πρὸς τὸ ἀπ.* H. πρὸς τῷ ἀποκύειν, dativo casu. SYLBURG.

de iis, quæ sunt agenda, remittere; sed sæpe in ipsa laborum contentione, mulier, quæ peperit, infantem sublatum domum portat. Quinetiam mulieres, non minus quam masculi, et domum custodiunt, et venantur, et greges pascunt:

Acriter et cervi vestigia Cressa secuta est.

Est ergo philosophandum mulieribus similiter ac viris, etiamsi præstantiores masculi primas in omnibus partes ferant, nisi evaserint molles et effeminati. Universo ergo hominum generi necessaria est disciplina et virtus, si quidem tendant ad felicitatem. Quidni enim temere scribit Euripides nunc hoc, nunc illud? Aliquando quidem: « Est quævis viro conjux deterior, etiamsi optimus ducat probatissimam. » Aliquando autem: « Quævis pudica mulier est viri serva: quæ autem non est pudica, eum, qui una versatur, superat amentia.

...Nam nil melius, nil est præstantius usquam,
Concordes quam cum in tecto versantur eodem
Vir simul et mulier...

Caput ergo est id quod principatum obtinet: si est autem « Dominus viri caput, mulieris autem vir, » vir est dominus uxoris, ut qui sit « imago et gloria Dei [a]. » Quocirca dicit etiam in epistola ad Ephesios, « Subjecti invicem in timore Dei. Mulieres suis viris subjectæ sint, sicut Domino; quoniam vir est caput mulieris, ut etiam Christus caput Ecclesiæ; ipse salvator corporis: sed sicut Ecclesia subjecta est Christo, ita etiam mulieres propriis viris in omnibus. Viri, diligite uxores vestras, sicut Christus dilexit Ecclesiam. ✠ Ita etiam viri debent diligere suas uxores, ut sua corpora. Qui suam uxorem diligit, seipsum diligit. Nemo enim carnem suam unquam odio habuit [b]. » Jam vero in Epistola quoque ad Colossenses inquit: « Mulieres, subditæ estote viris, sicut oportet, in Domino. Viri, diligite uxores, et nolite

A ἀλλ' ἐν αὐτῇ πολλάκις τῇ ἁμίλλῃ τῶν πόνων, ἡ γυνὴ ἀποκυήσασα, τὸ βρέφος ἀνελομένη, οἴκαδε φέρει. Ἤδη γοῦν αἱ γυναῖκες οὐδὲν ἔλαττον τῶν ἀῤῥένων καὶ οἰκουροῦσι, καὶ θηρεύουσι, καὶ τὰς ποίμνας (8) φυλάττουσι.

Κρῆσσα κύων ἐλάφοιο κατ' ἴχνιον (9) *ἔδραμε τορ-*
[γῶς.

Φιλοσοφητέον οὖν καὶ ταῖς γυναιξὶν ἐμφερῶς τοῖς ἀνδράσι, κἂν βελτίους οἱ ἄῤῥενες τὰ πρῶτα ἐν πᾶσι φερόμενοι τυγχάνωσιν, ἐκτὸς εἰ μὴ καταμαλακισθεῖεν. Ἀναγκαῖον οὖν σύμπαντι τῷ τῶν ἀνθρώπων γένει παιδεία τε καὶ ἀρετὴ, εἴ γε ἐπὶ τὴν εὐδαιμονίαν σπεύδοιεν. Καὶ πῶς οὐ μάτην Εὐριπίδης ποικίλως γράφει; ποτὲ μὲν, « Πᾶσα γὰρ ἀνδρὸς (10) κακίων ἄλοχος, κἂν ὁ κράτιστος γήμῃ τὴν εὐδοκιμοῦσαν. » Ποτὲ δέ·
B « Πᾶσα γὰρ δούλη (11) ἐστὶν ἀνδρὸς ἡ σώφρων γυνή· ἡ δὲ μὴ σώφρων ἀνοίᾳ τὸν ξυνόντα ὑπερφέρει.

. . . . Οὐ μὲν γὰρ κρεῖσσον (12) *καὶ ἄρειον,*
Ἢ ὅθ' ὁμοφρονέοντε νοήμασιν οἶκον ἔχητον
Ἀνὴρ ἠδὲ γυνή. . . .

Κεφαλὴ τοίνυν τὸ ἡγεμονικόν. Εἰ « δὲ Κύριος (13) κεφαλὴ τοῦ ἀνδρὸς, κεφαλὴ δὲ γυναικὸς ὁ ἀνήρ· » κύριος ὁ ἀνὴρ τῆς γυναικὸς, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων. Διὸ καὶ ἐν τῇ πρὸς Ἐφεσίους γράφει· « Ὑποτασσόμενοι ἀλλήλοις ἐν φόβῳ Θεοῦ· αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ὡς (14) τῷ Κυρίῳ· ὅτι ὁ ἀνήρ ἐστι κεφαλὴ τῆς γυναικὸς, ὡς καὶ ὁ Χριστὸς κεφαλὴ τῆς Ἐκκλησίας· αὐτὸς ὁ σωτὴρ τοῦ σώματος·
C ἀλλ' ὡς ἡ Ἐκκλησία ὑποτάσσεται τῷ Χριστῷ, οὕτως καὶ αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντί. Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας (15), καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν Ἐκκλησίαν· οὕτω καὶ οἱ ἄνδρες ὀφείλουσιν ἀγαπᾷν τὰς ἑαυτῶν γυναῖκας, ὡς τὰ ἑαυτῶν σώματα· ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα ἑαυτὸν ἀγαπᾷ· οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίσησεν. » Κἂν τῇ πρὸς Κολοσσαεῖς,

✠ P. 593 ED. POTTER, 500 ED. PARIS. [a] I Cor. xi, 3, 7. [b] Ephes. v, 21, 22, 23, 24, 25, 26, 27, 28, 29.

(8) *Τὰς ποίμνας.* Conf. *Archæologiæ* nostræ *Græcæ* lib. iv, cap. 13.

(9) *Κατ' ἴχνιον.* Malet fortasse aliquis μετ' ἴχνιον, ut alibi quoque usurpari commonstrabit *Index*. SYLBURG.

D (10) *Πᾶσα γὰρ ἀν.* Hoc dictum recitat Stobæus, serm. 71, *De vituper. mulierum*, ex *Œdipode* Euripidis, cujus in fragmentis exstat v. 33. Verum in utroque loco desunt prima verba, πᾶσα γὰρ ἀνδρός, quæ proinde ex Clemente supplenda sunt. Dein pro Clementino κακίων, apud illum κάκιον neutrum exstat. Postremo, pro κράτιστος, quod sententiam plane pervertit, Stobæus melius κάκιστος exhibet. Tota igitur sententia hoc modo scribenda et explicanda videtur:

..... Πᾶσα γὰρ ἀνδρὸς
Κακίων ἄλοχος, κἂν ὁ κάκιστος
Γήμῃ τὴν εὐδοκιμοῦσαν.

..... Nam quævis viro
Minor est uxor, vili quamvis
Clarissima nupta marito.

(11) *Πᾶσα γὰρ δ.* Metri lex talem quampiam requirit lectionem:

Δούλη γὰρ ἐστιν ἀνδρὸς ἡ σώφρων γυνή·
Ἄφρων δ' ἀνοίᾳ τὸν ξυνόνθ' ὑπερφρονεῖ.

SYLBURG. — Sed veram horum versuum structuram indicat Stobæus serm. 65 et 67, ubi eos ex Euripidis *Œdipode* recitat, cujus etiam in fragmentis hoc modo exstant, v. 29:

Πᾶσα γὰρ δούλη πέφυκεν ἀνδρὸς ἡ σώφρων
[γυνή:
Ἡ δὲ μὴ σώφρων ἀνοίᾳ τὸν ξυνόνθ' ὑπερ-
[φρονεῖ.

Casta se matrona totam mancipat servam viro:
Quæ mala est, spernit feroce conjugem vecordia.

Hinc apud Clementem pro ὑπερφέρει substituendum ὑπερφρονεῖ.

(12) *Οὐ μὲν γὰρ κρ.* Οὐ μὲν γὰρ τοῦ γε κρ. Homer. *Odyss.* Z, v. 182.

(13) *Κύριος.* Respicit I Cor. xi, 3: Θέλω δὲ ὑμᾶς εἰδέναι, ὅτι παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριστός ἐστι· κεφαλὴ δὲ γυναικὸς ὁ ἀνήρ· et v. 7: Ἀνὴρ μὲν γὰρ οὐκ ὀφείλει καλύπτεσθαι τὴν κεφαλὴν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων.

(14) *Ἀνδράσιν, ὡς.* Ἀνδράσιν ὑποτάσσεσθαι ὡς. Ephes., ubi mox, καὶ αὐτός ἐστι σωτὴρ τ. σ. ἀλλ' ὥσπερ ἡ Ἐκ..... οὕτω καὶ αἱ γ.

(15) *Γυναῖκας.* Γυναῖκας ἑαυτῶν, Ephes, ubi mox, οὕτως ὀφείλουσιν οἱ ἄνδρες τὰς ἑ. γ.

« Αἱ γυναῖκες, φησὶν, ὑποτάσσεσθε τοῖς ἀνδράσιν, ὡς ἀνῆκει (16) ἐν Κυρίῳ. Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας, καὶ μὴ πικραίνεσθε πρὸς αὐτάς. Τὰ τέκνα, ὑπακούετε τοῖς γονεῦσι κατὰ πάντα· τοῦτο γὰρ εὐάρεστον τῷ Κυρίῳ. Οἱ πατέρες, μὴ ἐρεθίζετε τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυμῶσιν. Οἱ δοῦλοι, ὑπακούετε κατὰ πάντα τοῖς κατὰ σάρκα κυρίοις, μὴ ἐν ὀφθαλμοδουλείαις ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ἐν ἁπλότητι καρδίας, φοβούμενοι τὸν Κύριον· καὶ πᾶν ὃ ἐὰν ποιῆτε (17), ἐκ ψυχῆς ἐργάζεσθε, ὡς τῷ Κυρίῳ δουλεύοντες, καὶ οὐκ ἀνθρώποις, εἰδότες ὅτι ἀπὸ Κυρίου ἀπολήψεσθε τὴν ἀνταπόδοσιν τῆς κληρονομίας· τῷ γὰρ Κυρίῳ Χριστῷ δουλεύετε· ὁ γὰρ ἄδικος κομίσεται ὃ ἠδίκησεν· καὶ οὐκ ἔστι προσωποληψία. Οἱ κύριοι, τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δούλοις παρέχετε, εἰδότες ὅτι καὶ ὑμεῖς ἔχετε κύριον ἐν οὐρανῷ, ὅπου οὐκ ἔνι Ἕλλην καὶ Ἰουδαῖος, περιτομὴ καὶ ἀκροβυστία, βάρβαρος, Σκύθης (18), δοῦλος, ἐλεύθερος, ἀλλὰ πάντα καὶ ἐν πᾶσι Χριστός. » Εἰκὼν δὲ τῆς οὐρανίου (19) Ἐκκλησίας ἡ ἐπίγειος· ὅπερ (20) εὐχόμεθα καὶ « ἐπὶ γῆς γενέσθαι τὸ θέλημα τοῦ Θεοῦ, ὡς ἐν οὐρανῷ. Ἐνδυσάμενοι (21) σπλάγχνα οἰκτιρμοῦ, χρηστότητα, ταπεινοφροσύνην, πραότητα, μακροθυμίαν· ἀνεχόμενοι ἀλλήλων, καὶ χαριζόμενοι ἑαυτοῖς, ἐάν τις πρός τινα ἔχῃ μομφήν· καθὼς καὶ ὁ Χριστὸς ἐχαρίσατο ἡμῖν, οὕτως καὶ ἡμεῖς (22). Ἐπὶ πᾶσι δὲ τούτοις ἡ ἀγάπη, ὅ ἐστι σύνδεσμος τῆς τελειότητος· καὶ ἡ εἰρήνη τοῦ Χριστοῦ βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν, εἰς ἣν καὶ ἐκλήθητε ἐν ἑνὶ σώματι· καὶ εὐχάριστοι γίνεσθε. » Οὐδὲν γὰρ κωλύει πολλάκις τὴν αὐτὴν παρατίθεσθαι Γραφὴν εἰς ἐντροπὴν Μαρκίωνος, ἣν πως μεταβάληται πεισθείς· εὐχάριστον δεῖν μαθὼν τὸν πιστὸν εἶναι τῷ δημιουργῷ Θεῷ, τῷ καλέσαντι ἡμᾶς, καὶ εὐαγγελισαμένῳ ἐν σώματι. Σαφὴς ἡμῖν ἐκ τούτων ἡ ἐκ πίστεως ἑνότης· καὶ τίς ὁ τέλειος, δέδεικται· ὥστε καὶ ἀκόντων τινῶν καὶ τὰ πλεῖστα ἐνισταμένων, κἂν κολάσεις ἐπαρτῶνται πρὸς τοῦ ἀνδρὸς, ἢ πρὸς τοῦ δεσπότου, φιλοσοφήσει ὅ τε οἰκέτης ἥ τε γυνή. Ναὶ μὴν καὶ ἐλεύθερος, κἂν τυράννου (23) θάνατος ἀπειλῆται τούτῳ, κἂν ἐπὶ δικαστήρια ἄγηται, καὶ εἰς κινδύνους ἐσχάτους περιέλκηται, περί τε τῆς κτήσεως ἁπάσης κινδυνεύσῃ, οὐκ ἀφέξεται τῆς θεοσεβείας οὐδ' ὁπωστιοῦν· οὐδὲ ἀπαυδήσει ποτὲ, ἡ μὲν γυνὴ φαύλῳ συνοικοῦσα ἀνδρὶ, ὁ δὲ υἱὸς, ἐὰν φαῦλον ἔχῃ πατέρα, ἢ πονηρὸν δεσπότην ὁ οἰκέτης, τῆς ἀρετῆς ἐχόμενοι γενναίως· ἀλλ' ὡς ἀνδρὶ ἀποθνήσκειν καλὸν ὑπέρ τε ἀρετῆς, ὑπὲρ

A esse amari in illas. Filii, obedite parentibus per omnia; hoc enim beneplacitum est Domino. Patres, nolite ad indignationem provocare filios vestros, ut non pusillo animo fiant. Servi, obedite per omnia dominis carnalibus, non ad oculum servientes, tanquam hominibus placentes, sed in simplicitate cordis, timentes Dominum. Et quodcunque facitis, ex animo operamini, sicut Domino servientes, et non hominibus, scientes quod a Domino accipietis retributionem hæreditatis; domino enim Christo servitis. Qui enim injuriam facit, recipiet id, quod inique gessit; et non est personarum acceptio apud Deum. Domini, quod justum est et æquum, servis præstate, scientes quod et vos dominum habetis in cœlo [a]; B ubi non est Græcus nec Judæus, circumcisio et præputium, nec barbarus, nec Scytha, nec servus, nec liber, sed omnia et in omnibus Christus [b]. » Cœlestis autem Ecclesiæ imago est terrestris. Quocirca precamur etiam « in terra fieri voluntatem Dei sicut in cœlo [c] : Induentes viscera miserationis, benignitatem, humilitatem, mansuetudinem, lenitatem, sustinentes nos invicem, et condonantes nobis invicem, si quis adversus aliquem habeat de quo queratur; sicut Christus condonavit nobis, ita et nos. Super hæc autem omnia charitas, quod est vinculum perfectionis; et pax Christi regnet in cordibus vestris, ad quam etiam vocati estis in uno corpore; et grati estote [d]. » Nihil enim vetat quominus sæpe eadem adducatur C Scriptura, si qua ratione Marcion pudefactus, mutata sententia, tandem agnoscat oportere fidelem esse gratum in Deum opificem, qui nos vocavit et nobis Evangelium annuntiavit in corpore. Ex his ergo nobis est aperta, quæ est ex fide, unitas; et ostensum est, quis sit perfectus. Quare vel invitis aliquibus et pro virili resistentibus, etiamsi a marito vel a domino impendeant supplicia, philosophabitur servus et mulier. Quinetiam liber quoque, etiamsi tyrannus ei mortem minitetur, etiamsi ducatur ad judicia et trahatur ad ultima supplicia, et de facultatibus ac fortunis suis omnibus veniat in periculum, nullo modo ✠ abstinebit a vero Dei cultu. Neque unquam deficiet, mulier quidem, quæ cum malo marito habitat, aut filius, si malum ha- D beat patrem, vel improbum dominum servus, forti ac generoso animo virtutem persequentes. Sed ut viro pulchrum et honestum, et pro virtute, et pro

✠ P. 594 ED. POTTER, 501 ED. PARIS. [a] Coloss. III, 18, 19, 20, 21, 22, 23, 24, 25; IV, 1. [b] Coloss. III, 11. [c] Matth. VI, 10; Luc. XI, 2. [d] Coloss. III, 12, 13, 14, 15.

(16) *Τοῖς ἀνδράσιν ὡς ἀνῆκει.* Τοῖς ἰδίοις ἀνδράσιν, ὡς ἀνῆκεν. Coloss., ubi mox, τοῦτο γάρ ἐστιν εὐάρεστ.

(17) *Τὸν Κύριον· καὶ πᾶν ὃ ἐὰν π.* Τὸν Θεόν· καὶ πᾶν ὅ τι ἐὰν π., Coloss., ubi mox participium δουλεύοντες desideratur : dein, ὁ δὲ ἀδικῶν κομιεῖται ὃ ἠδ. et rursum, δούλοις παρέχεσθε· mox, Κύριον ἐν οὐρανοῖς.

(18) *Βάρβαρος Σκ.* Βάρβαρος καὶ Σκύθης, δοῦλος καὶ ἐλευθ. Coloss., ubi mox ἀλλὰ τὰ πάντα.

(19) *Εἰκὼν δὲ τῆς οὐρ.* Sic Hebr. IX, 23 : Τὰ ὑποδείγματα τῶν ἐν τοῖς οὐρανοῖς.

(20) *Ὅπερ.* Rectius forte διόπερ, « quapropter : » inquit Sylb. Scribe, διόπερ εὐχόμεθα καὶ ἐπὶ γῆς γενέσθαι τὸ θέλημα τοῦ Θεοῦ, ὡς ἐν οὐρανοῖς. HEINSIUS.

(21) *Ἐνδυσάμενοι.* Post aliquot interjecta, redit ad Coloss. III, 12 : Ἐνδύσασθε οὖν, ὡς ἐκλεκτοὶ τοῦ Θεοῦ ἅγιοι καὶ ἠγαπημένοι, σπλάγχνα οἰκτιρμῶν, χρ.

(22) *Ἡμῖν, οὕτως καὶ ἡμεῖς.* Ὑμῖν, οὕτως καὶ ὑμεῖς, Coloss., ubi mox, τὴν ἀγάπην, ἥτις ἐστὶ συνδ. dein, εἰρήνη τοῦ Θεοῦ βασιλευέτω.

(23) *Τυράννου.* Cum præpositione legendum ἐκ τυράννου, seu πρὸς τυράννου. SYLBURG.

libertate, et pro seipso mori, ita etiam mulieri. Non est enim hoc proprium masculorum naturæ, sed bonorum. Et senex ergo et juvenis, et mulier et servus, mandatis obediens fideliter vivet, et, si opus fuerit, morietur; quod quidem fuerit per mortem vivificari. Scimus quidem certe et pueros et mulieres et servos sæpe, invitis parentibus et maritis et dominis, evasisse optimos. Non minus ergo prompto et alacri animo eos esse oportet, qui pie vitam sunt acturi, cum visi fuerint aliqui eos arcere; sed multo magis convenit contendere et egregie decertare, ne victi excidant ab optimis et maxime necessariis consiliis. Neque enim existimo ullam admittere comparationem, utrum sit melius ascribi in consortium Omnipotentis, an dæmonum tenebras eligere. Nam quæ a nobis aliorum gratia fiunt, ea semper facimus, habito ad illos respectu, quorum gratia suscepta sunt, eam nobis normam proponentes, ut illis gratificemur. Quæ autem propter nos ipsos potius quam propter alios aguntur, æquali studio a nobis agi debent, sive videantur **215** aliquibus placere, sive non videantur. Quod si nonnulla ex iis, quæ sunt indifferentia, tantum honorem sunt assecuta, ut etiam aliquibus invitis videantur esse expetenda ac eligenda; multo magis existimandum est esse pro virtute decertandum, nihil aliud respicientes quam id, quod recte honesteque geri potest, sive id aliquibus aliis videatur, sive non. Pulchre ergo Epicurus quoque dicit, scribens ad Menœceum : « Nec si sit aliquis juvenis, differat philosophari ; neque si sit senex, defatigetur philosophando ; nam nec est aliquis immaturus, neque nimis provectæ et exhaustæ ætatis, ad adipiscendam animi sanitatem. Qui autem dicit nondum esse vel præteriisse tempus philosophandi, similis est ei qui dicit ad beatitudinem vel nondum adesse tempus, vel tempus præteriisse. Quare et juniori philosophandum ✠ est, et seni : huic quidem, ut senescens juvenescat bonis, per gratiam eorum quæ facta fuerint ; illi autem, ut sit simul juvenis et senex, per futurorum metus vacuitatem. »

A τε ἐλευθερίας, ὑπέρ τε ἑαυτοῦ, ὡς αὔτως (24) καὶ γυναικί· οὐ γὰρ τῆς τῶν ἀῤῥένων φύσεως τοῦτο ἴδιον, ἀλλὰ τῆς τῶν ἀγαθῶν. Πιστῶς οὖν καὶ ὁ πρεσβύτης, καὶ ὁ νέος, καὶ ὁ οἰκέτης, ὑπακούων ταῖς ἐντολαῖς, βιώσεταί τε καὶ, ἐὰν δέῃ, τεθνήξεται· ὅπερ ἂν εἴη διὰ θανάτου ζωοποιηθῆναι. Ἴσμεν γοῦν καὶ παῖδας, καὶ γυναῖκας, καὶ οἰκέτας πολλάκις, ἀκόντων πατέρων, καὶ δεσποτῶν, καὶ ἀνδρῶν, βελτίστους γεγονέναι. Οὔκουν ἔλαττον προθυμεῖσθαι χρὴ τοὺς μέλλοντας θεοσεβῶς ζήσειν, ἐπειδὰν εἴργειν αὐτούς τινες δοκῶσιν· ἀλλὰ πολὺ πλέον οἶμαι προσήκειν σπεύδειν τε καὶ ἀγωνίζεσθαι διαφερόντως, ὅπως ἂν, μὴ ἡττηθέντες, ἀποπέσωσι (25) τῶν ἀρίστων καὶ ἀναγκαιοτάτων βουλευμάτων. Οὐ γὰρ οἶμαι σύγκρισιν ἐπιδέχεσθαι, πότερον ἄμεινον, θιασώτην γενέσθαι τοῦ B Παντοκράτορος, ἢ τὸ τῶν δαιμόνων ἑλέσθαι σκότος. Τὰ μὲν γὰρ ἄλλων ἕνεκα πραττόμενα ἡμῖν ἑκάστοτε πράξαιμεν ἂν, εἰς ἐκείνους ἀποβλέπειν πειρώμενοι, ὧν ἕνεκα γίνεσθαι δοκεῖ, μέτρον ἡγούμενοι τοῦτο τὸ ἐν ἐκείνοις κεχαρισμένον· ἃ δὲ αὑτῶν (26) μᾶλλον ἢ τινῶν ἑτέρων, ταῦτα ἂν ἡμῖν γίγνοιτο μετὰ τῆς ἴσης σπουδῆς, ἐάν τε ἀρέσκειν τισὶ δοκῇ, ἐάν τε καὶ μή. Εἰ δὴ τῶν ἀδιαφόρων ἔνια τοιαύτην εἴληχε τιμὴν, ὥστε καὶ ἀκόντων τινῶν αἱρετὰ εἶναι δοκεῖν, πολὺ δὲ πλέον τὴν ἀρετὴν περιμάχητον νομιστέον· μὴ εἰς ἄλλο τι ἀφορῶντας, ἀλλὰ εἰς αὐτὸ τὸ καλῶς πραχθῆναι δυνάμενον, ἐάν τε ἑτέροις δοκῇ τισιν, ἐάν τε καὶ μή. Καλῶς οὖν καὶ Ἐπίκουρος Μενοικεῖ (27) γράφων· « Μήτε νέος (28) τις ὢν μελλέτω φιλοσοφεῖν, μήτε γέρων ὑπάρχων κοπιάτω φιλοσοφῶν· οὔτε γὰρ ἄωρος C οὐδείς ἐστιν, οὔτε πάρωρος πρὸς τὸ κατὰ ψυχὴν ὑγιαίνειν (29). Ὁ δὲ λέγων, μήπω (30) τοῦ φιλοσοφεῖν ὑπάρχειν ὥραν, ἢ παρεληλυθέναι τὴν ὥραν, ὅμοιός ἐστι τῷ λέγοντι, πρὸς εὐδαιμονίαν ἢ μήπω παρεῖναι (31) τὴν ὥραν, ἢ μηκέτ' εἶναι τὴν ὥραν (32). Ὥστε φιλοσοφητέον καὶ νεωτέρῳ καὶ γέροντι (33)· τῷ μὲν, ὅπως γηράσκων νεάζῃ τοῖς ἀγαθοῖς διὰ τὴν χάριν τῶν γεγονότων, τῷ δὲ, ὅπως νέος ἅμα καὶ παλαιὸς ᾖ διὰ τὴν ἀφοβίαν τῶν μελλόντων. »

CAPUT IX.

Quæ Christus de martyrii beneficiis dixit, colligit in unum atque illustrat.

De martyrio autem aperte dixit Dominus (ea autem simul conjungemus, quæ diversis in locis scripta

D Περὶ δὲ τοῦ μαρτυρίου διαῤῥήδην ὁ Κύριος εἴρηκεν (καὶ τὰ διαφόρως γεγραμμένα συντάξομεν)·

✠ P. 595 ED. POTTER, 502 ED. PARIS.

(24) *Ὡς αὔτως*. Vel conjuncte ὡσαύτως.

(25) *Ἀποπέσωσι*. Duplex est lectio, ἀποπέσωσι et ἀποπταίσωσι. SYLBURG.

(26) *Αὐτῶν*. Vel αὑτῶν asper.

(27) *Ἐπίκουρος Μεν*. Exstat hæc epistola in *Epicuro* Diogenis Laertii lib. x, segm. 122 et seq.

(28) *Μήτε νέος*. Hæc forte respicit Horatius, Epicuri scilicet discipulus, epist. 1, v. 23 :

Sic mihi tarda fluunt, ingrataque tempora, quæ spem
Consiliumque morantur agendi gnaviter id, quod
Æque pauperibus prodest, locupletibus æque :
Æque neglectum pueris, senibusque nocebit.

(29) *Ὑγιαίνειν*. Ὑγιαῖνον, Laert. Utraque lectio proba est, inquit in *Not.* ad Laert. Menagius. Lego ὑγιαίνειν, quia videtur utcunque melius; inquit in *Vita Epicuri* Gassendus.

(30) *Μήπω*. Laertius ἢ μήπω scribit. Quinetiam Gassendo apud Clementem desiderari videtur particula ἢ ob consequens membrum, ubi occurrit ἢ μήπω, ἢ μηκέτι.

(31) *Μήπω παρεῖναι*. Μὴ παρεῖναι Laert. Clementis lectio Menagio magis placet, itemque Gassendo, eo quod μήπω, ut ait, opponatur voci μηκέτι.

(32) *Μήκετ' εἶναι τὴν ὥραν*. Μηκέτι εἶναι, Laert., sed τὴν ὥραν non agnoscit : quod tamen Gassendo non incongrue repeti videtur, quatenus repetita quoque in superiore contraque posito membro fuit.

(33) *Καὶ νεωτέρῳ, καὶ γέροντι*: Καὶ γέροντι καὶ νέῳ, Laert. Porro Menagio placet lectio Laertiana,

« Λέγω δὲ ὑμῖν· Πᾶς ὃς ἐὰν (34) ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν ἀγγέλων τοῦ Θεοῦ. Τὸν δὲ ἀρνησάμενόν με ἐνώπιον τῶν ἀνθρώπων, ἀπαρνήσομαι αὐτὸν ἔμπροσθεν τῶν ἀγγέλων (35). Ὃς γὰρ ἂν ἐπαισχυνθῇ με, ἢ τοὺς (36) ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτὸν, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ Πατρὸς αὐτοῦ, μετὰ τῶν ἀγγέλων αὐτοῦ. Πᾶς οὖν ὅστις ἐὰν ὁμολογήσῃ (37) ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. Ὅταν δὲ φέρωσιν ὑμᾶς εἰς τὰς (38) συναγωγὰς, καὶ τὰς ἀρχὰς, καὶ τὰς ἐξουσίας, μὴ προμεριμνᾶτε πῶς ἀπολογηθῆτε, ἢ τί εἴπητε· τὸ γὰρ ἅγιον Πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ, τί δεῖ εἰπεῖν. » Τοῦτον ἐξηγούμενος τὸν τόπον Ἡρακλέων (39), ὁ τῆς Οὐαλεντίνου σχολῆς δοκιμώτατος, κατὰ λέξιν φησὶν, « ὁμολογίαν εἶναι τὴν μὲν ἐν τῇ πίστει καὶ πολιτείᾳ, τὴν δὲ ἐν φωνῇ. Ἡ μὲν οὖν ἐν φωνῇ ὁμολογία καὶ ἐπὶ τῶν ἐξουσιῶν γίνεται, ἣν μόνην, φησὶν, ὁμολογίαν ἡγοῦνται εἶναι οἱ πολλοί· οὐχ ὑγιῶς· δύνανται δὲ ταύτην τὴν ὁμολογίαν καὶ οἱ ὑποκριταὶ ὁμολογεῖν. Ἀλλ' οὐδ' εὑρεθήσεται οὗτος ὁ λόγος καθολικῶς εἰρημένος· οὐ γὰρ πάντες οἱ σωζόμενοι ὡμολόγησαν τὴν διὰ τῆς φωνῆς ὁμολογίαν, καὶ ἐξῆλθον. Ἐξ ὧν Ματθαῖος, Φίλιππος, Θωμᾶς, Λευῒς (40), καὶ ἄλλοι πολλοί. Καὶ ἔστιν ἡ διὰ τῆς φωνῆς ὁμολογία οὐ καθολικὴ, ἀλλὰ μερική. Καθολικὴ δὲ, ἣν νῦν λέγει, τὴν ἐν ἔργοις καὶ πράξεσι καταλλήλοις τῆς εἰς αὐτὸν πίστεως. Ἕπεται δὲ ταύτῃ τῇ ὁμολογίᾳ καὶ ἡ μερικὴ, ἡ ἐπὶ τῶν ἐξουσιῶν, ἐὰν δέῃ, καὶ ὁ λόγος αἱρῇ (41)· ὁμολογήσει γὰρ οὗτος καὶ τῇ φωνῇ ὀρθῶς, προομολογήσας πρότερον τῇ διαθέσει. Καὶ καλῶς ἐπὶ μὲν τῶν ὁμολογούντων, « ἐν ἐμοὶ, » εἶπεν· ἐπὶ δὲ τῶν ἀρνουμένων τὸ « ἐμὲ » προσέθηκεν. Οὗτοι γὰρ, κἂν τῇ φωνῇ ὁμολογήσωσιν αὐτὸν, ἀρνοῦνται αὐτὸν, τῇ πράξει μὴ ὁμολογοῦντες· μόνοι δ' ἐν αὐτῷ ὁμολογοῦσιν οἱ ἐν τῇ κατ' αὐτὸν ὁμολογίᾳ καὶ πράξει βιοῦντες, ἐν οἷς καὶ αὐτὸς ὁμολογεῖ, ἐνειλημμένος αὐτοὺς (42), καὶ ἐχόμενος ὑπὸ τούτων. Διόπερ

✠ P. 596 ED. POTTER, 502, 503 ED. PARIS.

A sunt) : « Dico autem vobis : Quicunque in me confessus fuerit coram hominibus, Filius etiam hominis confitebitur in eo coram angelis Dei. Qui autem me negaverit coram hominibus, negabo ipsum coram angelis [a]. Quem enim mei, vel meorum verborum puduerit in hac generatione adultera et peccatrice, Filium quoque hominis ejus pudebit, quando venerit in gloriam Patris sui cum angelis suis [b]. Quicunque ergo in me confessus fuerit coram hominibus, ego quoque in eo confitebor coram Patre meo, qui est in cœlis [c]. Cum autem induxerint vos in synagogas et ad magistratus et potestates, ne prius solliciti sitis quomodo respondeatis, aut quid loquamini : Spiritus enim sanctus docebit vos in ipsa hora quid loquamini [d]. » Hunc locum exponens
B Heracleon, cujus in schola Valentini fuit maxima existimatio, his verbis dicit : « Confessionem quidem unam esse fide et vitæ institutione, alteram vero voce. Atque quæ fit quidem voce confessio, fit etiam apud potestates, quam solam, inquit, plerique non recte confessionem esse existimant. Possunt autem hac confessione uti etiam hypocritæ. Sed nec hæc res universe prolata, ita se habere deprehendetur. Non enim omnes qui salvi fiunt, ea confessione, quæ voce fit, usi sunt, et excessere. Ex quibus est Matthæus, Philippus, Thomas, Levis, et alii multi. Accedit quod ea, quæ voce fit, confessio non universa complectatur, sed ad partem solum spectet. Universalis autem est, quam nunc dicit,
C quæ fit factis et operibus ei, quæ est in ipsum, fidei congruentibus. Hanc autem confessionem sequitur etiam particularis, quæ fit apud potestates, si opus fuerit, et ratio impulerit. Nam is voce quoque recte confitebitur, cum affectione prius recte fuerit confessus. Pulchre autem de iis qui ✠ confitentur quidem, « in me, » dixit : de iis autem qui negant, « me » simpliciter apposuit. Nam ii, etsi ipsum voce confessi fuerint, ipsum negant, actione minime confitentes. Ii autem soli in ipso confitentur, qui in ea, quæ est in ipsum, confessione et actione vivunt, in quibus ipse confitetur ;

[a] Luc. XII, 8. [b] Marc. VIII, 38. [c] Matth. X, 32. [d] Luc. XII, 11, 12.

ut etiam Gassendo ; cum neque pro γέροντι legitur γεραιτέρῳ, neque initio epistolæ cui hoc membrum respondet, legitur νεώτερος, sed νέος.

(34) Ἐάν. Luc., ἄν.

(35) *Τὸν δὲ ἀρνησάμενον ... ἀπαρνήσομαι αὐτὸν ἔμπροσθεν τῶν ἀγγέλων*. Ὁ δὲ ἀρνησάμενος... ἀπαρνηθήσεται ἐνώπιον τῶν ἀγγέλων τοῦ Θεοῦ· Luc.

(36) *Ἢ τούς*. Marc., καὶ τούς. Mox ibidem, μετὰ τῶν ἀγγέλων τῶν ἁγίων.

(37) *Πᾶς οὖν ὅστις ἐὰν ὁμολογήσῃ*. Πᾶς οὖν ὅστις ὁμολογήσει, Matth.

(38) *Ὅταν δὲ φέρωσιν ὑμᾶς εἰς τ.* Ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τ. Luc., ubi mox, μεριμνᾶτε, πῶς ἢ τί ἀπολογίσεσθε· sed προμεριμνᾶτε habet Marc. XIII, 11. Paulo post, ἃ δεῖ εἰπεῖν, Luc.

(39) *Ἡρακλέων*. Ejus meminit etiam Tertullianus lib. *Adversus Valentinianos*, cap. 4 : Origenes *Comment. in Joan.* p. 60, dicit Heracleonem Οὐαλεντίνου λεγόμενον εἶναι γνώριμον, « Valentini discipulum habitum fuisse. Conf. Cl. Grabius *Spicilegii* sæc. II, p. 80.

D (40) *Ματθαῖος ... Λευῒς*. Aliis iidem sunt Matthæus et Levis publicanus. Unde *Constitut. apost.* lib. VIII, cap. 22 : Ἐγὼ Ματθαῖος, ὁ καὶ Λευῒς, ὁ ποτὲ τελώνης, διατάσσομαι. « Ego Matthæus, qui et Levis, olim publicanus, constituo. » Conf. quæ ibi adnotat Cl. Cotelerius, qui ab Heracleone non vult intelligi Levi publicanum Marc. II, 14, Luc. V, 27, memoratum, sed Levi Lebbæum.

(41) *Ὁ λόγος αἱρῇ*. Legendum videtur ὁ λόγος αἰτῇ, « ratio postulat : » inquit Sylburg. Sed Cl. Grabius *Spicileg.* sæc. II, pag. 84 ait : « Αἰτῇ legendum frustra monet Sylburgius in margine et notis. Ego, spiritum et accentum solum mutans, αἱρῇ reponerem. Usitata enim est phrasis, ὁ λόγος αἱρεῖ. Velut apud Plutarchum in *Consolatione* ad Apollonium : Ὅπη λόγος αἱρεῖ βέλτιστ' ἔχειν. « Prout ratio dictaverit, optime se habere » Et apud Herodotum *Euterpe*, sive lib. II : Καὶ δὴ καὶ ὁ λόγος οὕτως αἱρέει. « Et sane ipsa ratio ita exigit. »

(42) Αὐτούς. Lege αὐτοῖς, GRAB.

utpote qui in illis habitat, et ab illis tenetur. Quocirca « nunquam potest seipsum negare [a]. » Eum autem negant, qui non sunt in ipso. Non enim dixit: « Qui negaverit in me, » sed « me. » Nullus enim unquam, qui est in ipso, ipsum negat. Illud autem « coram hominibus, » et iis qui salvi fiunt, et etiam gentilibus similiter, apud alios quidem vitæ institutione, apud alios vero etiam voce. Quamobrem nunquam possunt ipsi negare: eum autem negant, qui non sunt in ipso. » Hæc quidem Heracleon; et in aliis quidem videtur nobiscum sentire in hac pericope; illud autem non advertit, quod etsi non actione aliqua et vita, « confessi sunt Christum coram hominibus, » eo tamen, quod voce confiteantur in judiciis, et usque ad mortem cruciati non negent, ex animi proposito credidisse cernuntur. Propositum autem quod confitetur, præcipue si ne morte quidem mutetur, omnia simul vitia, quæ gignebantur per cupiditatem corporis, omnino rescindit. Est enim, ut ita dicam, in fine vitæ tota simul per actionem pœnitentia, et vera in Christum confessio, voce testificante. Si autem « Spiritus Patris » in nobis testificatur, quomodo sumus adhuc hypocritæ, quos dixit sola voce testari? Dabitur autem aliquibus, si expediat, religionis causam dicere, ut et per martyrium seu testimonium et confessionem omnes juventur, dum confirmantur quidem, qui sunt in Ecclesia; admirantur autem, et ad fidem deducuntur, qui ex gentibus salutem curiose quæsierint; reliqui autem stupore afficiuntur. Quamobrem oportet omnino confiteri; id enim situm est in nostra potestate: causam vero religionis dicere, non omnino semper; non est enim hoc quoque situm in nostra potestate. « Qui autem sustinuerit in finem, is salvus erit [b]. » Nam quis ex iis, qui sapiunt, non elegerit in Deo regnare, aut etiam servire? « Deum ergo confitentur » quidam « nosse, » ut dicit Apostolus, « factis autem negant: cum sint abominandi, increduli, et ad omne opus **216** bonum reprobi [c]. » Illi autem, licet nil aliud quam confessi fuerint, unum saltem in fine vitæ bonum effecerint. Videtur ergo martyrium esse expurgatio peccatorum cum gloria. Jam vero dicit Pastor: « Effugietis operationem feræ agrestis, si cor vestrum fuerit mundum et ab omni reprehensione alienum. » Quin etiam ipse Dominus: « Expetivit, inquit, vos Satanas ut cribraret; ego autem rogavi [d]. » Solus ergo Dominus propter eorum, qui ei insidiabantur, hominum, et infidelium expurgationem, « bibit calicem [e]. » Quem imitantes apostoli, ut qui revera es-

A « ἀρνήσασθαι ἑαυτὸν οὐδέποτε δύναται· » Ἀρνοῦνται δὲ αὐτὸν οἱ μὴ ὄντες ἐν αὐτῷ· οὐ γὰρ εἶπεν· « Ὅς ἀρνήσηται ἐν ἐμοὶ, » ἀλλ', « ἐμέ. » Οὐδεὶς γάρ ποτε, ὢν ἐν αὐτῷ, ἀρνεῖται αὐτόν. Τὸ δὲ « ἔμπροσθεν τῶν ἀνθρώπων, » καὶ τῶν σωζομένων, καὶ τῶν ἐθνικῶν δὲ ὁμοίως, παρ' οἷς μὲν καὶ τῇ πολιτείᾳ, παρ' οἷς δὲ καὶ τῇ φωνῇ· διόπερ ἀρνήσασθαι αὐτὸν οὐδέποτε δύνανται· ἀρνοῦνται δὲ αὐτὸν οἱ μὴ ὄντες ἐν αὐτῷ. » Ταῦτα μὲν ὁ Ἡρακλέων· καὶ τὰ μὲν ἄλλα φαίνεται ὁμοδοξεῖν ἡμῖν κατὰ τὴν περικοπὴν ταύτην· ἐκεῖνο δὲ οὐκ ἐπέστησεν, ὅτι εἰ καὶ μὴ πράξει τινὲς καὶ τῷ βίῳ « ὡμολόγησαν τὸν Χριστὸν ἔμπροσθεν τῶν ἀνθρώπων, » τὸ μέντοι (43) κατὰ φωνὴν ὁμολογεῖν ἐν δικαστηρίοις, καὶ μέχρι θανάτου βασανιζομένους μὴ ἀρνεῖσθαι, ἀπὸ διαθέσεως πεπιστευκέναι **B** φαίνονται. Διάθεσις δὲ ὁμολογουμένη, καὶ μάλιστα ἡ μηδὲ θανάτῳ τρεπομένη, ὑφ' ἕνα (44) πάντων τῶν παθῶν, ἃ δὴ διὰ τῆς σωματικῆς ἐπιθυμίας ἐγεννᾶτο, ἀποκοπὴν ποιεῖται· ἔστι γὰρ, ὡς ἔπος εἰπεῖν, ἐπὶ τέλει τοῦ βίου ἀθρόα κατὰ τὴν πρᾶξιν μετάνοια, καὶ ἀληθὴς εἰς Χριστὸν ὁμολογία, ἐπιμαρτυρούσης τῆς φωνῆς. Εἰ δὲ τὸ « Πνεῦμα τοῦ Πατρὸς » ἐν ἡμῖν μαρτυρεῖ, πῶς ἔτι ὑποκριταὶ, οὓς φωνῇ μόνῃ μαρτυρεῖν εἴρηκεν (45); Δοθήσεται δέ τισιν, ἐὰν συμφέρῃ, ἀπολογήσασθαι, ἵνα διά τε τῆς μαρτυρίας διά τε τῆς ὁμολογίας ὠφελῶνται οἱ πάντες, ἰσχυροποιούμενοι μὲν οἱ κατ' Ἐκκλησίαν, θαυμάζοντες δὲ καὶ εἰς πίστιν ὑπαγόμενοι οἱ ἐξ ἐθνῶν τὴν σωτηρίαν πολυπραγμονήσαντες· οἱ λοιποὶ δὲ, ὑπ' ἐκπλήξεως κατεχόμενοι. Ὥστε τὸ ὁμολογεῖν ἐκ παντὸς δεῖ· ἐφ' **C** ἡμῖν γάρ· ἀπολογεῖσθαι δὲ οὐκ ἐκ παντός· οὐ γὰρ καὶ τοῦτο ἐφ' ἡμῖν. « Ὁ δὲ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται· » ἐπεὶ τίς οὐκ ἂν τῶν εὖ φρονούντων βασιλεύειν ἐν Θεῷ, ἀλλ' οὐ δουλεύειν ἕλοιτο; « Θεὸν οὖν ὁμολογοῦσί » τινες « εἰδέναι, » κατὰ τὸν Ἀπόστολον, « τοῖς δὲ ἔργοις ἀρνοῦνται· βδελυκτοὶ ὄντες καὶ ἀπειθεῖς, καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι. » Οἱ δὲ, κἂν τοῦτο μόνον ὁμολογήσωσιν, ἕν τι κατεπράξαντο ἐπὶ τέλει ἔργον ἀγαθόν. Ἔοικεν οὖν τὸ μαρτύριον ἀποκάθαρσις εἶναι ἁμαρτιῶν μετὰ δόξης. Αὐτίκα ὁ Ποιμὴν (46) φησίν· Ἐκφεύξεσθε τὴν ἐνέργειαν τοῦ ἀγρίου θηρίου, ἐὰν ἡ καρδία ὑμῶν γένηται καθαρὰ καὶ ἄμωμος. » Ἀλλὰ καὶ αὐτὸς ὁ Κύριος· « Ἐξῃτήσατο (47) ὑμᾶς ὁ Σατανᾶς, » λέγει, « σινιάσαι· ἐγὼ δὲ παρῃτησάμην. » **D** Μόνος τοίνυν ὁ Κύριος διὰ τὴν τῶν ἐπιβουλευόντων αὐτῷ ἀνθρώπων καὶ τὴν τῶν ἀπίστων ἀποκάθαρσιν, « ἔπιε τὸ ποτήριον· » ὃν μιμούμενοι οἱ ἀπόστολοι, ὡς ἂν τῷ ὄντι γνωστικοὶ καὶ τέλειοι, ὑπὲρ τῶν Ἐκκλησιῶν, ἃς ἔπηξαν, ἔπαθον. Οὕτως οὖν καὶ οἱ κατ' ἴχνος τὸ

✠ P. 597 ED. POTTER, 503, 504 ED. PARIS.

[a] II Tim. II, 13. [b] Matth. XXIV, 13. [c] Tit. I, 16. [d] Luc. XXII, 31, 32. [e] Matth. XX, 22.

(43) Τὸ μέντ. Vel potius τῷ μέντ.

(44) Ὑφ' ἕνα. Subaudiendum χρόνον, aut simile quid. SYLBURG.

(45) Εἴρηκεν. Nempe Heracleon in verbis jam allatis.

(46) Ὁ Ποιμήν. Hermæ Pastorem intelligit, lib. I, vis. 4: « Si ergo præparaveritis vos, poteritis effugere illam (sc. bestiam), si cor vestrum fuerit purum ac sine macula, et reliquos dies vestros servieritis Deo sine querela. »

(47) Ἐξῃτήσατο. Luc. XXII, 31, 32: Εἶπε δὲ ὁ Κύριος· Σίμων, Σίμων, ἰδοὺ, ὁ Σατανᾶς ἐξῃτήσατο ὑμᾶς, τοῦ σινιάσαι ὡς σῖτον· ἐγὼ δὲ ἐδεήθην περὶ σοῦ, ἵνα μὴ ἐκλείπῃ ἡ πίστις σου.

ἀποστολικὸν πορευόμενοι γνωστικοὶ ἀναμάρτητοί γε εἶναι ὀφείλουσι, καὶ δι' ἀγάπην τὴν πρὸς τὸν Κύριον ἀγαπᾷν καὶ τὸν πλησίον· ἵν', εἰ καλοίη περίστασις, ὑπὲρ Ἐκκλησίας, ἀσκανδάλιστοι τὰς θλίψεις ὑπομένοντες, « τὸ ποτήριον πίωσιν. » Ὅσοι δὲ ἔργῳ μὲν παρὰ τὸν βίον, λόγῳ δὲ ἐν δικαστηρίῳ μαρτυροῦσι, κἂν ἐλπίδα ἐκδεχόμενοι, κἂν φόβον ὑφορώμενοι, βελτίους οὗτοι τῶν στόματι μόνον ὁμολογούντων τὴν σωτηρίαν. Ἀλλ' εἰ καὶ ὑπερβαίη τις ἐπὶ τὴν ἀγάπην, τῷ ὄντι μακάριος οὗτος καὶ γνήσιος μάρτυς, τελείως ὁμολογήσας, καὶ ταῖς ἐντολαῖς, καὶ τῷ Θεῷ, διὰ τοῦ Κυρίου· ὃν ἀγαπήσας, ἀδελφὸν ἐγνώρισεν, ὅλον ἑαυτὸν ἐπιδοὺς διὰ τὸν Θεὸν, οἷον παρακαταθήκην εὐγνωμόνως καὶ ἀγαπητικῶς ἀποδιδοὺς τὸν ἀπαιτούμενον ἄνθρωπον.

A sent gnostici et perfecti, pro ecclesiis quas fundarunt passi sunt. Sic ergo gnostici, qui vestigiis insistunt apostolicis, debent ita se gerere ut in eos non cadat peccatum, et propter dilectionem in Dominum diligant etiam proximum : ut si casus aliquis evocet, pro Ecclesia, citra offensionem patientes afflictiones, « bibant calicem. » Quicunque autem factis quidem in vita, verbis autem in judicio ferunt testimonium, sive spem exspectent, sive timorem reformident, ii sunt meliores iis qui ore solum confitentur salutem. Quod si quis etiam transierit ad charitatem, is revera est beatus et germanus martyr, ut qui sit perfecte confessus, et præceptis, et Deo, per Dominum : quem diligendo, significavit esse fratrem, cum totum seipsum tradiderit propter Deum,
B tanquam aliquod depositum, grate et amanter reddens hominem, cum exigitur.

CAPUT X.

Graviter reprehendit illos qui se judicibus offerebant.

Ἐπὰν δ' ἔμπαλιν εἴπῃ· « Ὅταν διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἄλλην· » οὐχ ὡς κακὸν τὸ διώκεσθαι παραινεῖ φεύγειν, οὐδ' ὡς θάνατον φοβουμένους, διὰ φυγῆς ἐκκλίνειν προστάττει τοῦτον, βούλεται δὲ ἡμᾶς μηδενὶ αἰτίους μηδὲ συναιτίους κακοῦ τινος γίνεσθαι, σφίσιν τε αὐτοῖς, πρὸς δὲ καὶ τῷ διώκοντι καὶ τῷ ἀναιροῦντι· τρόπον γάρ τινα προσαγγέλλει (48) ἑαυτὸν περιίστασθαι· ὁ δὲ παρακούων, τολμηρὸς καὶ ῥιψοκίνδυνος. Εἰ δὲ ὁ ἀναιρῶν « ἄνθρωπον (49) Θεοῦ » εἰς Θεὸν ἁμαρτάνει, καὶ τοῦ ἀποκτιννύντος αὐτὸν ἔνοχος καθίσταται ὁ ἑαυτὸν προσάγων (50) τῷ δικαστηρίῳ· οὗτος δ' ἂν εἴη ὁ μὴ περιστελλόμενος (51) τὸν διωγμὸν, ἁλώσιμον διὰ θράσος παρέχων ἑαυτόν· οὗτός ἐστι, τὸ ὅσον ἐφ' ἑαυτῷ, ὁ συνεργὸς γινόμενος τῇ τοῦ διώκοντος πονηρίᾳ. Εἰ δὲ καὶ προσερεθίζοι, τέλεον αἴτιος, ἐκκαλούμενος τὸ θηρίον. Ὡς δ' αὔτως, κἂν αἰτίαν μάχης παράσχῃ τινὰ,

Cum autem rursus dixerit, « Quando vos persecuti fuerint in hac civitate, fugite in aliam [a] ; « non suadet fugere, tanquam malum sit pati persecutionem ; nec ut mortem extimescentes, jubet nos eam fuga declinare ; vult autem nos nulli esse auctores neque adjutores mali, nec nobis ipsis, nec ei qui persequitur, nec ei qui interimit. Denuntiat enim quodammodo ut sibimet caveamus. Qui autem non obedit est temerarius, et inconsulte se in pericula conjicit. Si autem qui « hominem Dei » interimit, in Deum peccat, is quoque ejus cædis reus tenetur, qui se offert judicio. Talis autem erit, qui non vitat persecutionem, capiendum se præbens per audaciam. Is est qui, ✠ quantum in se
C est, adjuvat improbitatem ejus qui persequitur. Quod si etiam irritet, plane causa est, ut qui provocet feram. Similiter etiam si præbeat aliquam pu-

✠ P. 598 ED. POTTER, 504, 505 ED. PARIS.

[a] Matth. x, 23.

(48) *Προσαγγέλλει*. Malet forte aliquis προαγγέλλει, « prænuntiat. » Sed προσαγγέλλει accipi potest pro « defert : » quod mox dicit προσάγει ἑαυτὸν δικαστηρίῳ. SYLBURG.

(49) *Ἄνθρωπον Θεοῦ*. Phrasis e D. Paulo sumpta, qui I Tim. VI, 11, ait : Σὺ δὲ, ὦ ἄνθρωπε τοῦ Θεοῦ· et II Tim. III, 17 : Ἵνα ἄρτιος ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος. Utroque loco episcopum, qui nimirum, Deo jubente, in his, quæ Dei sunt, populo præest, « hominem Dei » vocat. In Veteri Testamento, « homines Dei, » aut « viri Dei » appellantur prophetæ, velut Deo familiares ; ut « Moyses, Samuel, David, Elias, atque alii. » Clemens latiori sensu hac phrasi usus est pro quovis homine, qui Deo se addixit, seu quovis fideli Christiano.

(50) *Ὁ ἑαυτὸν προσάγων*. Eusebius *Ecclesiasticæ historiæ* lib. IV, cap. 15 : Καὶ δὴ πλείστης ἐπὶ ταῖς βοαῖς γενομένης ταραχῆς, Φρύγα τινὰ τὸ γένος Κόϊντον τοὔνομα, νεωστὶ ἐκ τῆς Φρυγίας ἐπιστάντα, ἰδόντα τοὺς θῆρας καὶ τὰς ἐπὶ τούτοις ἀπειλὰς, καταπτῆξαι τὴν ψυχὴν μαλακισθέντα, καὶ τέλος τῆς σωτηρίας ἐνδοῦναι. Ἐδήλου δὲ τοῦτον ὁ τῆς προειρημένης γραφῆς λόγος, προπετέστερον, ἀλλ' οὐ κατ' εὐλάβειαν ἐπιπηδῆσαι τῷ δικαστηρίῳ σὺν ἑτέροις· ἁλόντα δ' οὖν ὅμως, καταφανὲς ὑπόδειγμα τοῖς πᾶσι παρασχεῖν, ὅτι μὴ δέοι τοῖς τοιούτοις ῥιψοκινδύνως καὶ ἀνευλαβῶς κατατολμᾷν. « Secuto dehinc post hujusmodi (in Christianos et præsertim Polycarpum) acclamationes gravissimo motu, Quintus quidam natione Phryx, qui nuper ex Phrygia advenerat, cum feras, et quæ præterea intentabantur tormenta vidisset, fracto animo expavit, tandemque
D vitæ retinendæ studio cessit. Hic porro Quintus, ut in eadem epistola docetur, temeritate quadam ac levitate ductus, non cum pio ac religioso metu, una cum aliquot aliis ad tribunal prosilueral : sed continuo captus, illustre documentum omnibus præbuit, ne præcipiti audacia sine ullo infirmitatis suæ respectu hujusmodi periculis sese objicerent. » Conf. Smyrnensis ecclesiæ epistola de martyrio Polycarpi cap. 4, e quo loco Eusebius hæc didicit.

(51) *Περιστελλόμενος*. Eodem sensu hanc vocem adhibet infra, *Strom*. VII, p. 738 edit. Paris. : Ὁ δὲ τῷ ὄντι ἀνδρεῖος, προφανῆ τὸν κίνδυνον διὰ τὸν τῶν πολλῶν ζῆλον ἔχων, εὐθαρσῶς πᾶν τὸ προσιὸν ἀναδέχεται· ταύτῃ τῶν ἄλλων λεγομένων μαρτύρων χωριζόμενος, ᾗ οἱ μὲν, ἀφορμὰς παρέχοντες σφίσιν αὐτοῖς, ἐπιῤῥιπτοῦντες αὐτοῖς (scr. αὐτοὺς) τοῖς κινδύνοις οὐκ οἶδ' ὅπως· εὐστομεῖν γὰρ δίκαιον· οἱ δὲ περιστελλόμενοι κατὰ λόγον τὸν ὀρθὸν, ἔπειτα τῷ ὄντι καλέσαντος τοῦ Θεοῦ προθύμως ἑαυτοὺς ἐπιδιδόντες, etc.

gnæ causam, vel damni, vel judicii, vel inimicitiarum, is occasionem peperit persecutionis. Et ideo jussi sumus nihil retinere ex iis quæad hanc vitam pertinent : sed « ei, qui tollit pallium, præterea etiam dare tunicam [a] ; » non solum ut permaneamus nimio affectu immunes, sed ne ea vendicantes, eos, qui in judicio contendunt, in nos reddamus efferatos, et per nos eos commoveamus, ut nomen Christianum maledictis appetant.

A ἢ ζημίας, ἢ δίκης, ἢ ἔχθρας, ἀφορμὴν ἐγέννησε διωγμοῦ. Διὰ τοῦτ' οὖν μηδενὸς ἀντέχεσθαι τῶν ἐν τῷ βίῳ προστέτακται ἡμῖν, ἀλλὰ καὶ « τῷ αἴροντι (52) τὸ ἱμάτιον καὶ τὸν χιτῶνα προσδιδόναι· » οὐχ ἵνα ἀπροσπαθεῖς διαμένωμεν μόνον, ἀλλ' ὡς μὴ, ἀντιποιούμενοι, τοὺς ἐπιδικαζομένους ἐφ' ἑαυτοὺς ἀγριαίνωμεν, καὶ δι' ἡμῶν ἐπὶ τὴν τοῦ ὀνόματος διακινῶμεν βλασφημίαν.

CAPUT XI.

Respondet objectioni : Si Deus vestri curam gerat, cur patimini ?

At inquiunt : Si Deus vestri curam gerit, cur patimini persecutionem et morte afficimini? an ipse vos eis tradit? Nos autem non sic existimamus, velle Dominum ut in calamitates incidamus, sed prophetice prædixisse ea quæ essent eventura : fore scilicet, ut propter nomen ejus pateremur persecutionem, ut occideremur, et ut suspenderemur. Quamobrem noluit nos pati persecutionem, sed ea, quæ passuri sumus, prius significavit per eam, quod sint eventura, prædictionem, nos exercens ad tolerantiam, cui promisit hæreditatem. Quanquam non soli, sed cum multis supplicio afficimur. At illi, inquiunt, cum sint malefici, jure luunt pœnas; ergo vel inviti nobis justitiam suo testimonio tribuunt, qui injuste propter justitiam punimur. Sed neque injustitia judicis attingit Dei providentiam; oportet enim judicem in sua potestate habere suam sententiam, nec, veluti organa inanima, nervis quodammodo trahi, et ab externa solum causa vim agendi capere. Unde et ille, perinde ac nos, in quæstionem venit de suo judicio, deque electione rerum eligibilium et patientia. Quamvis autem non faciamus injuriam, tanquam tamen injuriam facientes, nos intuetur judex. Neque enim nostra novit, neque vult scire; sed quodam inani præoccupatus abripitur præjudicio; unde etiam ipse judicio fit obnoxius. Nos ergo persequuntur, non quod injustos esse deprehenderint, sed quod nos vitæ humanæ injuriam facere existiment, eo quod simus Christiani, et cum ipsi sic vitam instituimus, tum alios hortamur ut vitam degant similem. Cur autem, inquiunt, cum vos persequuntur, nihil vobis affertur auxilii? ✠ Quid enim, quod ad nos quidem attinet, nobis fit injuriæ, cum morte soluti tendimus ad Dominum; nec aliter vitæ mutatione afficimur, quam qui

Ναί φασιν· Εἰ κήδεται (53) ὑμῶν ὁ Θεὸς, τί δήποτε διώκεσθε καὶ φονεύεσθε; ἢ αὐτὸς ὑμᾶς εἰς τοῦτο ἐκδίδωσιν; B Ἡμεῖς δὲ οὐχ οὕτως ὑπολαμβάνομεν τοῖς περιστατικοῖς περιπίπτειν ἡμᾶς τὸν Κύριον βουληθῆναι, ἀλλὰ προφητικῶς τὰ συμβήσεσθαι μέλλοντα προειρηκέναι, ὡς διὰ τὸ ὄνομα αὐτοῦ διωχθησόμεθα, φονευθησόμεθα, ἀνασκινδυλευθησόμεθα (54)· ὥστ' οὐ διώκεσθαι ἠθέλησεν ἡμᾶς, ἀλλ' ἃ πεισόμεθα προεμήνυσεν διὰ τῆς τοῦ συμβήσεσθαι προαγορεύσεως, εἰς καρτερίαν γυμνασίας (55), ἣ τὴν κληρονομίαν ἐπηγγείλατο· καίτοι οὐ μόνοι, ἀλλὰ μετὰ πολλῶν κολαζόμεθα. Ἀλλ' ἐκεῖνοι, φασὶ, κακοῦργοι τυγχάνοντες, δικαίως ὑπίσχουσι τὴν τιμωρίαν. Ἄκοντες οὖν μαρτυροῦσιν ἡμῖν τὴν δικαιοσύνην τοῖς διὰ δικαιοσύνην ἀδίκως κολαζομένοις. Ἀλλ' οὐδὲ τὸ ἄδικον τοῦ δικαστοῦ τῆς προνοίας ἅπτεται· δεῖ γὰρ κύριον εἶναι τὸν κριτὴν τῆς ἑαυτοῦ γνώμης· μὴ νευροσπαστούμενον C ἀψύχων δίκην ὀργάνων, ἀφορμὰς ἴσως μόνον παρὰ τῆς ἔξωθεν αἰτίας λαμβάνοντα. Δοκιμάζεται γοῦν ἐν ᾧ κρίνει, καθάπερ καὶ ἡμεῖς, κατά τε τὴν τῶν αἱρετῶν ἐκλογὴν, κατά τε τὴν ὑπομονήν. Κἂν μὴ ἀδικῶμεν, ἀλλ' ὡς ἀδικοῦσιν ἡμῖν ὁ δικαστὴς ἀφορᾷ (56)· οὐ γὰρ οἶδε τὰ καθ' ἡμᾶς, οὐδὲ θέλει μαθεῖν (57)· προλήψει δὲ συναπάγεται κενῇ· διὸ καὶ κρίνεται. Διώκουσι τοίνυν ἡμᾶς, οὐκ ἀδίκους εἶναι καταλαβόντες, ἀλλ' αὐτῷ μόνῳ τῷ Χριστιανοὺς εἶναι τὸν βίον ἀδικεῖν ὑπολαμβάνοντες, αὐτούς τε οὕτω πολιτευομένους, καὶ τοὺς ἄλλους τὸν ὅμοιον αἱρεῖσθαι βίον προτρεπομένους. Διὰ τί δὲ οὐ βοηθεῖσθε διωκόμενοι; φασί. Τί γὰρ καὶ ἀδικούμεθα ὡς πρὸς ἡμᾶς αὐτοὺς, θανάτῳ ἀπολυόμενοι πρὸς τὸν Κύριον, καὶ καθάπερ ἡλικίας μεταβολὴν, οὕτω δὲ καὶ βίου ἐναλλαγὴν ὑπομένοντες; D Εἰ δὲ εὖ φρονοῖμεν, χάριν εἰσόμεθα (58) τοῖς τὴν ἀφορμὴν τῆς ταχείας ἀποδημίας παρεσχημένοις, εἰ δι' ἀγάπην μαρτυροῖμεν· εἰ δὲ μὴ, φαῦλοί τινες ἄνδρες εἶναι τοῖς πολλοῖς ἐδοκοῦμεν ἡμεῖς. Εἰ

✠ P. 599 ED. POTTER. [a] Luc. vi, 29.

(52) *Τῷ αἴροντι.* Lucam secutus videtur, cap. vi, nam ex Matthæo legendum foret, ordine inverso, αἴροντι τὸν χιτῶνα καὶ τὸ ἱμάτιον προσδιδόναι. SYLBURG.

(53) *Εἰ κήδεται.* Conf. cum hoc loco libellum Senecæ *De Providentia*, seu, *Cur bonis accidant mala, cum sit Providentia.* ID.

(54) *Ἀνασκινδυλευθησόμεθα.* Hac voce superius usus est *Strom.* ii, pag. 414, et infra pag. 601 edit. Paris. Est autem e Platone sumpta, lib. ii *De repub.*, p. 594, cujus verba superius a nobis allata sunt ad p. 495 edit. Paris.

(55) *Γυμνασίας.* Legi potest etiam γυμνάσας· et mox, ἧ, « cui, » pro ἣ, « quæ. » SYLBURG.

(56) *Ἡμῖν ὁ δικαστὴς ἀφορᾷ.* Legi potest ἐφορᾷ, « inspicit, intuetur : » inquit Sylburg. Verum ἐφορᾷ accusativum regit, ac proinde si vera esset lectio, scriptum fuisset ἡμᾶς ὁ δικαστὴς ἐφορᾷ. Malim igitur, una littera addita, ἐφορμᾷ, ut sensus sit; « in nos judex impetum facit. »

(57) *Οὐδὲ θέλει μ.* Hoc argumentum copiose persequitur Tertullianus in principio *Apologetici.*

(58) *Χάριν εἰσόμεθα.* Legi potest χάριν ἂν εἰσοίμεθα, vel in præcedenti membro φρονοῦμεν, indic. modo. SYLBURG.

ᾔδεσαν (59) δὲ καὶ αὐτοὶ τὴν ἀλήθειαν, πάντες μὲν ἂν ἐπεπήδων τῇ ὁδῷ (60)· ἐκλογὴ δὲ οὐκ ἂν ἦν. Ἀλλὰ γὰρ ἡ ἡμετέρα πίστις, « φῶς » οὖσα « τοῦ κόσμου, » ἐλέγχει τὴν ἀπιστίαν. « Ἐμὲ μὲν γὰρ (61) Ἄνυτός τε καὶ Μέλιτος ἀποκτείνειεν μέντ' ἄν, βλάψειε δ' ἂν οὐδ' ὁπωστιοῦν· οὐ γὰρ οἶμαι θεμιτὸν εἶναι τὸ ἄμεινον πρὸς τοῦ χείρονος βλάπτεσθαι. » Ὥστε θαῤῥοῦντα ἡμῶν ἕκαστον λέγειν· « Κύριος ἐμοὶ βοηθός· οὐ φοβηθήσομαι (62) τί ποιήσει μοι ἄνθρωπος. Δικαίων γὰρ ψυχαὶ ἐν χειρὶ Θεοῦ· καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. »

A ex una ætate ad aliam transeunt? Si autem sapiamus, iis gratias habebimus, qui nobis præbuerint occasionem celeris migrationis, si propter dilectionem martyres fiamus. Si non, mali homines nos multis esse visi essemus. Si ipsi autem quoque novissent veritatem, omnes quidem in viam insiliissent, non fuisset autem electio. Sed enim nostra fides, cum sit « lux mundi [a], » arguit infidelitatem. « Nam me Anytus quidem et Melitus interficient, nullo autem modo me lædent. Neque enim fas esse existimo ut id, quod est melius, lædatur ab eo quod est deterius. » Ideo unusquisque ex nobis secure dicit et confidenter : « Dominus mihi adjutor, non timebo quid faciat mihi homo [b]. Justorum enim animæ in manu Dei sunt, et non tanget eas tormentum [c]. »

CAPUT XII.

Basilidis sententiam, martyrium genus supplicii existimantis, refutat.

Βασιλείδης δὲ ἐν τῷ εἰκοστῷ τρίτῳ τῶν « Ἐξηγητικῶν » περὶ τῶν κατὰ τὸ μαρτύριον κολαζομένων, αὐταῖς λέξεσι τάδε φησί· « Φημὶ γὰρ (63) τὸ, ὁπόσοι

B Basilides autem in vicesimo tertio *Exegeticorum*, de iis qui in martyrio puniuntur, ipsis verbis hæc dicit : « Dico enim, quicunque incidunt in eas, quæ

[a] Matth. v, 14. [b] Psal. CXVII, 6. [c] Sap. III, 1.

(59) *Εἰ δὲ μὴ, . . . ἡμεῖς. Εἰ ᾔδ.* Sublata distinctionis nota post μὴ et ἡμεῖς, hæc sic explicari poterunt : « Quod si nos non essemus a vulgo hominum pro improbis habiti, sed ipsi quoque veritatem agnoscerent, universi quidem in viam « Christianæ religionis » insiliissent, et jam nulla foret electio. Atqui nostra fides est ad hoc comparata, cum sit lux mundi, ut infidelitatem argueret. »

(60) *Τῇ ὁδῷ.* Christianorum institutum Lucas in *Actis apostolorum* aliquoties τὴν ὁδὸν vocavit. Sic Act. IX, 2 : Ὅπως ἐάν τινας εὕρῃ τῆς ὁδοῦ ὄντας ἄνδρας τε καὶ γυναῖκας, δεδεμένους ἀγάγῃ εἰς Ἱερουσαλήμ. XIX, 9 : Κακολογοῦντες τὴν ὁδὸν ἐνώπιον τοῦ πλήθους. Ibid., 23 : Ἐγένετο . . . τάραχος οὐκ ὀλίγος περὶ τῆς ὁδοῦ. XXIV, 22 : Ἀκριβέστερον εἰδὼς τὰ περὶ τῆς ὁδοῦ. Alibi id vocat τὴν ὁδὸν τοῦ Κυρίου, Act. XVIII, 25 ; Τὴν τοῦ Θεοῦ ὁδόν, Ibid., 26 ; Ταύτην τὴν ὁδόν, Act. XXII, 4.

(61) *Ἐμὲ μὲν γάρ.* Post hæc verba H. ms. interserit φησὶ Σωκράτης. SYLBURG — Hæc ex Platone in *Apologia Socratis* laudantur, et a Theodoreto lib. VIII *De curat. Græc.* Ea sic habent tom. I, pag. 30 : Ἐμὲ μὲν γὰρ οὐδὲν βλάψει, οὔτε Μέλιτος, οὔτε Ἄνυτος· οὐδὲ γὰρ ἂν δύναιντο· οὐ γὰρ οἴμαι θεμιτὸν εἶναι ἀμείνονι ἀνδρὶ ὑπὸ χείρονος βλάπτεσθαι· ἀποκτείνειε μέντ' ἂν ἴσως, ἢ ἐξελάσειεν. « Nihil enim mihi nocuerit, aut Melitus, aut Anytus ; non enim possent. Quod quidem nefas esse arbitror, virum meliorem a deteriore violari. Interfecerit me fortasse, aut expulerit. » Tertullianus, *De anima* lib. I : « Nihil mirandum, si et in carcere lemniscatas Anyti et Meliti palmas gestiens infringere, ipsa D morte coram, immortalitatem vindicat animæ, necessaria præsumptione ad injuriæ frustrationem. COLLECT. — Justinus M. *Apol.* I, p. 4 : Ὑμεῖς δ' ἀποκτεῖναι μὲν δύνασθε, βλάψαι δ' οὔ. « Vos autem occidere quidem potestis, nocere vero minime. » GRAB.

(62) *Οὐ φ.* Καὶ οὐ φ., Psalm.

(63) *Φημὶ γάρ.* Cl. Grabius *Spicilegii* sæc. II, pag. 41 et seq. ad Basilidæ verba hæc adnotat : « Ita hæc in editionibus Parisiensibus excusa exstant, Græco textu passim male diviso, et pejus Latine translato. Primo quidem ἤτοι hic non est disjunctivum, sed διασαφητικόν, ideoque pro « sive » in Latina versione pone « videlicet, » ne frustra aliud disjunctionis membrum exspectes. Ast hoc leve est : magis autem observa, pro ἄλλα ἐξ ἄλλων legi debere ἀλλὰ ἐξ ἄλλων· indeque loco illorum, « cum revera alia ex aliis crimina intententur, » hæc, « sed alia prorsus de causa in jus vocati. » Neque expressa est in versione vox κατάδικοι, qua significantur « damnati in judicio, » oppositi iis qui tantum sunt λοιδορούμενοι, « probris affecti : » male neglectum quoque verbum πεφυκότες, indeque simpliciter positum, « quod sint Christiani ; » cum verti debuerit, « quod sint Christiani natura tales. » Hæc enim erat Basilidis hypothesis, de qua Irenæus quidem nihil dixit, sed Clemens aliis pluribus locis testatur. Ita sub finem hujus lib. IV *Stromat.*, pag. 540, Basilides ἐκλογήν, id est Christianos « electos, » dicit ὑπερκόσμιον φύσει οὖσαν, « natura esse supramundana. » Et sub initium lib. V *Stro-* C *mat.*, p. 545 : Φύσει τις τὸν Θεὸν ἐπίσταται, ὡς Βασιλείδης οἴεται. « Natura aliquis Deum scit, ut Basilides opinatur. » Ac mox : Φύσιν καὶ ὑπόστασιν. . . οὐχὶ δὲ ψυχῆς αὐτεξουσίου λογικὴν συγκατάθεσιν λέγει τὴν πίστιν. « Naturam et substantiam, ... non autem animæ libero arbitrio utentis rationalem assensionem dicit fidem. » De sectatoribus quoque Basilidis idem refert lib. II *Strom.*, p. 363, et lib. III, p. 427. Sed adhuc aliud ad fragmenti recitati emendationem addo : nimirum pro ἐνεργῶς μὲν οὐχ ἁμαρτηκὸς οὐδὲν ἐν ἑαυτῷ, τῷ δὲ τὸ ἁμαρτῆσαι ἔχον· « qui actu quidem in se nihil peccavit, sed quod habeat id, quod peccavit, » lege, ἐνεργῶς μὲν οὐχ ἁμαρτηκὸς οὐδὲν, ἐν ἑαυτῷ δὲ τὸ ἁμαρτῆσαι ἔχον· « qui actu quidem nihil quidquam peccavit, in se vero peccatum (id est, peccandi facultatem) habet : » nam et paulo post in apodosi, quæ huic protasi respondet, eodem modo ait : ἔχων μὲν ἐν ἑαυτῷ τὸ ἁμαρτητικόν, etc., « in se quidem habens D peccandi facultatem. »

Cæterum recitata hactenus verba certe referenda sunt inter illos quos Origenes tract. 28 in Matthæum leviter perstringit : « Basilidis sermones detrahentes iis, qui usque ad mortem certant pro veritate, ut confiteantur coram hominibus Jesum. » Docet enim iis, omne martyrium esse pœnam peccatorum ante commissorum, si non actu, saltem voluntate. Quod merito, tanquam absurdum, refutat Clemens p. 507, inter alia scribens : Εἰ δὲ τὸ μαρτύριον ἀνταπόδοσις διὰ κολάσεως, καὶ ἡ πίστις, καὶ ἡ διδασκαλία, δι' ἃς τὸ μαρτύριον. Συνεργοὶ ἄρα αὗται κολάσεως, ἧς τίς ἂν ἄλλη μείζων ἀπέμφασις γένοιτο ; « Si autem martyrium est retributio per supplicium, et fides pariter, ac doctrina, propter quas martyrium subitur, erit talis. Sunt ergo hæ quoque adjutrices supplicii, quo quidnam aliud possit esse absurdius ? » Vide plura ibidem. Per peccata autem ante commissa et martyrio punienda

217 dicuntur, afflictiones, sive cum imprudentes peccaverint in aliis lapsi, ad hoc bonum ✠ deducuntur, benignitate ejus, qui adducit, cum revera alia ex aliis crimina intententur, ne patiantur ob ea, quæ mala esse certum est, neque maledictis appetiti, ut adulter, vel occisor; sed accusati, quod sint Christiani; quod quidem eos consolabitur, ut ne videantur quidem pati. Et si quis, qui omnino non peccaverit, accesserit ad patiendum, quod quidem est rarum, tamen ne is quidem aliquid patietur ex paratis a potestate insidiis, sed patietur ut pateretur infans, qui videbatur nihil peccasse. » Deinde paulo inferius subjungit: « Sicut ergo infans, qui prius non peccavit, aut actu quidem in se nihil peccavit, sed quod habeat id quod peccavit, postquam conjectus fuerit ad patiendum, afficitur beneficio, ut qui lucretur multa difficilia: ita etiam, si perfectus quoque, qui actu nihil peccaverit, patiatur, et passus fuerit, passus est similiter atque infans; in se quidem habens peccandi voluntatem, et tamen, non accepta occasione ad peccandum, non peccavit: quare non est ipsi imputandum quod non peccaverit. Quemadmodum enim qui vult adulterium admittere est adulter, etiamsi non consequatur effectus; et qui vult cædem facere est homicida, etiamsi non possit occidere: ita etiam eum, quem dico non peccasse, si videro patientem, etiamsi nihil mali fecerit, malum dicam, eo quod velit peccare. Quidvis enim dicam potius, quam malum id, quod providet. » Deinde inferius, aperte quoque de Domino dicit, tanquam de homine: « Sin autem his omnibus prætermissis accesseris ad hoc, ut me exempla adducendo redarguas, verbi causa: Hic ergo peccavit; hic enim est passus: si permittas quidem, dicam: Non peccavit quidem, sed erat similis infanti qui patiebatur. Sed si vehementius urgeas, dicam, quemcunque hominem nominaveris, esse hominem, justum autem Deum. « Nullus enim « est mundus, » ut dixit quispiam, « a sorde [a]. » Sed Basilidis hypothesis dicit animam, quæ prius peccaverat in alia vita, hic pati supplicium; electam

A ὑποπίπτουσι ταῖς λεγομέναις θλίψεσιν, ἤτοι ἡμαρτηκότες ἐν ἄλλοις λανθάνοντες πταίσμασιν, εἰς τοῦτο ἄγονται τὸ ἀγαθὸν χρηστότητι τοῦ περιάγοντος, ἀλλὰ ἐξ ἄλλων ὄντως ἐγκαλούμενοι, ἵνα μὴ ὡς κατάδικοι ἐπὶ κακοῖς ὁμολογουμένοις πάθωσι, μηδὲ λοιδορούμενοι ὡς ὁ μοιχὸς, ἢ ὁ φονεὺς, ἀλλ' ὅτι Χριστιανοὶ πεφυκότες· ὅπερ αὐτοὺς παρηγορήσει μηδὲ πάσχειν δοκεῖν. Κἂν μὴ ἡμαρτηκὼς δ' ὅλως τις ἐπὶ τὸ παθεῖν γένηται, σπάνιον μὲν, ἀλλ' οὐδὲ οὗτος κατ' ἐπιβουλὴν δυνάμεώς τι πείσεται, ἀλλὰ πείσεται ὡς ἔπασχε καὶ τὸ νήπιον τὸ δοκοῦν οὐχ ἡμαρτηκέναι. » Εἶθ' ὑποβὰς, πάλιν ἐπιφέρει· « Ὡς οὖν τὸ νήπιον οὐ προημαρτηκὸς, ἢ ἐνεργῶς μὲν οὐχ ἡμαρτηκὸς οὐδὲν ἐν ἑαυτῷ, τῷ δὲ τὸ ἡμαρτῆσαι ἔχον (64), ἐπὰν ὑποβληθῇ τῷ παθεῖν, εὐεργετεῖταί τε, πολλὰ κερδαῖνον δύσκολα· B οὑτωσὶ δὴ, κἂν τέλειος μηδὲν ἡμαρτηκὼς ἔργῳ τύχῃ, πάσχῃ δὲ καὶ πάθῃ, ταὐτὸ ἔπαθεν ἐμφερῶς τῷ νηπίῳ· ἔχων μὲν ἐν ἑαυτῷ τὸ ἁμαρτητικὸν, ἀφορμὴν δὲ πρὸς τὸ ἡμαρτηκέναι μὴ λαβὼν, οὐχ ἡμάρτανεν. Ὥστ' οὐκ αὐτῷ τὸ μὴ ἁμαρτῆσαι λογιστέον. Ὡς γὰρ ὁ μοιχεῦσαι θέλων μοιχός ἐστι, κἂν τοῦ μοιχεῦσαι μὴ ἐπιτύχῃ· καὶ ὁ ποιῆσαι φόνον θέλων ἀνδροφόνος ἐστὶ, κἂν μὴ δύνηται φονεῦσαι· οὑτωσὶ δὲ καὶ τὸν ἀναμάρτητον, ὃν λέγω, ἐὰν ἴδω πάσχοντα, κἂν μηδὲν ᾖ κακὸν πεπραχὼς, κακὸν ἐρῶ τὸ θέλειν (65) ἁμαρτάνειν. Πάντ' ἐρῶ γὰρ μᾶλλον, ἢ κακὸν τὸ προνοοῦν ἐρῶ. » Εἶθ' ὑποβὰς, καὶ περὶ τοῦ Κυρίου ἄντικρυς, ὡς περὶ ἀνθρώπου, λέγει· « Ἐὰν μέντοι παραλιπὼν τούτους ἅπαντας τοὺς λόγους, ἔλθῃς ἐπὶ τὸ δυσωπεῖν με, διὰ προσώπων τινῶν, εἰ τύχοι, λέγων, Ὁ δεῖνα οὖν ἥμαρτεν· C ἔπαθεν γὰρ ὁ δεῖνα· ἐὰν μὲν ἐπιτρέπῃς, ἐρῶ· Οὐχ ἥμαρτεν μὲν, ὅμοιος δὲ ἦν τῷ πάσχοντι νηπίῳ· εἰ μέντοι σφοδρότερον ἐκβιάσαιο τὸν λόγον, ἐρῶ, Ἄνθρωπον, ὅντιν' ἂν ὀνομάσῃς, ἄνθρωπον εἶναι, δίκαιον δὲ τὸν Θεόν· « Καθαρὸς γὰρ οὐδεὶς, » ὥσπερ εἶπέ τις (66), « ἀπὸ ῥύπου. » Ἀλλὰ τῷ Βασιλείδῃ ἡ ὑπόθεσις προαμαρτήσασάν φησι τὴν ψυχὴν ἐν ἑτέρῳ βίῳ, τὴν κόλασιν ὑπομένειν ἐνταῦθα, τὴν μὲν ἐκλεκτὴν ἐπιτίμως διὰ μαρτυρίου, τὴν ἄλλην δὲ καθαιρομένην οἰκείᾳ κολάσει. Καὶ πῶς τοῦτο ἀληθὲς, ἐφ' ἡμῖν κειμένου τοῦ ὁμολογῆσαι καὶ κολασθῆναι, ἢ μή;

✠ P. 600 ED. POTTER, 506 ED. PARIS. [a] Job xiv, 4.

intellexit Basilides delicta, non in eodem solum, sed et alio corpore perpetrata: siquidem μετεμψύχωσιν defendit, ut ibidem animadvertit Clemens his verbis: Ἀλλὰ τῷ Βασιλείδῃ ἡ ὑπόθεσις προαμαρτήσασάν φησι τὴν ψυχὴν ἐν ἑτέρῳ βίῳ, τὴν κόλασιν ὑπομένειν ἐνταῦθα. « Sed Basilidi hypothesis dictat, « animam, quæ prius peccaverat in alia vita, hic pati « supplicium. » Jam ad prius citata verba revertor, e « quibus Clemens colligit, quod Basilides « Christum « Dominum ausus fuerit dicere hominem peccato ob- « noxium, » uti p. 507 notavit. Jam ea quidem hoc haud clare eloquuntur, imo ne quidem disertam Servatoris mentionem faciunt; verum ex integro forte contextu Clementi patuit, per ἄνθρωπον, ὅντιν' ἂν ὀνομάσῃς, ipsum Christum Dominum a Basilide esse indigitatum.

(64) *Ἐνεργῶς μὲν οὐχ ἡμαρτηκὸς οὐδὲν ἐν ἑαυτῷ, τῷ δὲ τὸ ἁμαρτῆσαι ἔχον*. Corruptus est hic locus, nec penitus mihi placet Cl. Grabii conjectura. Malim, ἐνεργῶς μὲν οὐχ ἡμαρτηκὸς οὐδὲν, ἐν ἑαυτῷ δὲ τὸ ἁμαρτῆσαν ἔχον· « quod actu quidem non peccavit, sed in se id, quod peccavit, habet: scilicet animam. D Nam ex Basilidæ sententia, animæ quæ prius in alia vita peccassent, hic pœnas sustinent. Unde Clemens paulo post ait: Ἀλλὰ τῷ Βασιλείδῃ ἡ ὑπόθεσις προαμαρτήσασάν φησι τὴν ψυχὴν ἐν ἑτέρῳ βίῳ, τὴν κόλασιν ὑπομένειν ἐνταῦθα. « Sed secundum Basilidæ hypothesin, anima quæ prius in altera vita peccaverat, hic supplicium patitur. » Similiter superius de Julio Cassiano Valentiniano dixit, *Strom.* iii, pag. 553: Ἡγεῖται δὲ ὁ γενναῖος οὗτος Πλατωνικώτερον, θείαν οὖσαν τὴν ψυχὴν ἄνωθεν, ἐπιθυμίᾳ θηλυνθεῖσαν δεῦρο ἥκειν εἰς γένεσιν καὶ φθοράν. « Existimat autem hic vir præclarus plus, quam par sit, Platonice, animam, cum principio divina esset, cupiditate effeminatam, huc ad generationem et interitum venire. »

(65) *Τὸ θέλειν*. Rectius dativo casu, τῷ θέλειν, « volendo, » i. e. si velit. Sylburg.

(66) *Εἶπέ τις*. Job, c. xiv. H. Sylburg. — Vide quæ adnotata sunt in lib. ii. Collect.

λύεται γὰρ ἐπὶ τοῦ ἀρνησομένου ἡ κατὰ τὸν Βασιλείδην πρόνοια. Ἐρῶ (67) τοίνυν αὐτὸν ἐπὶ τοῦ κρατηθέντος ὁμολογητοῦ, πότερον μαρτυρήσει καὶ κολασθήσεται κατὰ τὴν πρόνοιαν, ἢ οὔ; Ἀρνούμενος γὰρ, οὐ κολασθήσεται· εἰ δὲ καὶ τῆς ἀποβάσεως καὶ τοῦ μὴ δεῖν κολασθῆναι τοῦτον φήσει τὴν ἀπώλειαν τῶν ἀρνησομένων ἐκ προνοίας, ἄκων προσμαρτυρήσει (68). Πῶς δὲ ἔτι μισθὸς ὁ ἐνδοξότατος ἐν οὐρανῷ ἀπόκειται τῷ μαρτυρήσαντι διὰ τὸ μαρτυρῆσαι; Εἰ δὲ τὸν ἁμαρτητικὸν οὐκ εἴασεν ἡ πρόνοια ἐπὶ τὸ ἁμαρτεῖν ἐλθεῖν, ἄδικος γίνεται κατ' ἄμφω· καὶ τὸν διὰ δικαιοσύνην εἰς κόλασιν ἑλκόμενον μὴ ῥυομένη, καὶ τὸν ἀδικεῖν ἐθελήσαντα ῥυσαμένη· τοῦ μὲν ποιήσαντος δι' ὧν ἐβουλήθη, τῆς δὲ κωλυσάσης τὸ ἔργον, καὶ μὴ δικαίως περιέποντος (69) τὸν ἁμαρτητικόν. Πῶς δὲ οὐκ ἄθεος, θειάζων μὲν τὸν διάβολον, ἄνθρωπον δὲ ἁμαρτητικὸν τολμήσας εἰπεῖν τὸν Κύριον; Πειράζων γὰρ ἡμᾶς ὁ διάβολος, εἰδὼς μὲν ὅ ἐσμεν, οὐκ εἰδὼς δὲ εἰ ὑπομενοῦμεν, ἀλλὰ ἀποσεῖσαι τῆς πίστεως ἡμᾶς βουλόμενος, καὶ ὑπάγεσθαι ἑαυτῷ πειράζει· ὅπερ καὶ μόνον ἐπιτέτραπται αὐτῷ, διά τε τὸ ἡμᾶς ἐξ ἑαυτῶν σώζεσθαι δεῖν, ἀφορμὰς παρὰ τῆς ἐντολῆς εἰληφότας, διά τε τὸν καταισχυμμὸν τοῦ πειράσαντος καὶ ἀποτυχόντος, διά τε τὴν ἰσχυροποίησιν τῶν κατὰ τὴν Ἐκκλησίαν, διά τε τὴν συνείδησιν τῶν θαυμασάντων τὴν ὑπομονήν. Εἰ δὲ τὸ μαρτύριον ἀνταπόδοσις διὰ κολάσεως, καὶ ἡ πίστις καὶ ἡ διδασκαλία, δι' ἃς τὸ μαρτύριον· συνεργοὶ ἄρα αὗται κολάσεως, ἧς τίς ἂν ἄλλη μείζων ἀπέμφασις γένοιτο; Ἀλλὰ πρὸς μὲν τὰ δόγματα ἐκεῖνα, εἰ μετενσωματοῦται ἡ ψυχὴ, καὶ περὶ τοῦ διαβόλου κατὰ τοὺς οἰκείους λεχθήσεται καιρούς· νυνὶ δὲ τοῖς εἰρημένοις καὶ ταῦτα προσθῶμεν· Ποῦ ἔτι (70) ἡ πίστις, κατὰ ἀνταπόδοσιν τῶν προημαρτημένων τοῦ μαρτυρίου γινομένου; Ποῦ δὲ ἡ ἀγάπη ἡ πρὸς τὸν Θεὸν, διὰ τὴν ἀλήθειαν διωκομένη καὶ ὑπομένουσα; Ποῦ δὲ ἔπαινος ὁμολογήσαντος, ἢ ψόγος ἀρνησαμένου; Εἰς τί δὲ ἔτι χρησίμη ἡ πολιτεία ἡ ὀρθὴ, τὸ νεκρῶσαι τὰς ἐπιθυμίας, καὶ μηδὲν τῶν κτισμάτων μισεῖν; Εἰ δὲ, ὡς αὐτός φησιν ὁ Βασιλείδης, ἓν μέρος ἐκ τοῦ λεγομένου θελήματος τοῦ Θεοῦ ὑπειλήφαμεν, « τὸ ἠγαπηκέναι ἅπαντα, » ὅτι λόγον ἀποσώζουσι πρὸς τὸ πᾶν ἅπαντα· ἕτερον δὲ, « τὸ μηδενὸς ἐπιθυμεῖν· » καὶ τρίτον, « μισεῖν μηδὲ ἕν, » θελήματι τοῦ Θεοῦ καὶ κολάσεις ἔσονται· ὅπερ ἀσεβὲς ἐννοεῖν. Οὔτε γὰρ ὁ Κύριος θελήματι ἔπαθε τοῦ Πατρὸς, οὐθ' οἱ διωκόμενοι βουλήσει τοῦ Θεοῦ διώκονται· ἐπεὶ δυεῖν θάτερον, ἢ καλόν τι ἔσται διωγμὸς διὰ τὴν βούλησιν τοῦ Θεοῦ, ἢ ἀθῶοι οἱ διατιθέντες καὶ θλίβοντες. Ἀλλὰ μὴν οὐδὲν ἄνευ θελήματος τοῦ Κυρίου τῶν ὅλων. Λείπεται δὴ συντόμως φάναι τὰ τοιαῦτα συμβαίνειν μὴ κωλύσαντος (71) τοῦ Θεοῦ· τοῦτο γὰρ μόνον σώζει καὶ τὴν πρόνοιαν καὶ τὴν ἀγαθότητα τοῦ Θεοῦ. Οὐ τὸ

A quidem, ut puniatur honorifice per martyrium; aliam autem, ut debito purgetur supplicio. Quomodo autem hoc verum est, cum in nostra potestate situm sit confiteri et puniri, aut non? ✠ Nam si quis negaverit, quoad eum perit ea, quæ est ex Basilidis sententia, providentia. Rogabo ergo eum de confessore in custodia manente, utrum martyrium patietur, et punietur ex providentia, an non? Nam si neget, non punietur; sin autem et exitus, et quod non oporteat eum puniri, dicet esse interitum eorum, qui sunt negaturi, ex providentia, invitus martyrium patietur. Quomodo autem adhuc in cœlis reponetur gloriosissima merces ei, qui martyrium passus fuerit, propterea quod fuerit martyr? Sin autem eum, qui peccare voluit, non
B sivit providentia venire ad peccandum, in utroque est injusta; et quod eum non liberet, qui propter justitiam trahitur ad supplicium; et quod eum, qui volebat injuriam facere, liberaverit; cum ille quidem fecerit, propterea quod voluit; hæc vero opus prohibuerit, et non jure ei faveat, qui peccare volebat. Quomodo autem non est vere impius et a Deo alienus, qui diabolum quidem in deos referat; hominem autem peccato obnoxium ausus est dicere Dominum? Nos enim tentat diabolus, sciens quidem quales sumus, nesciens autem utrum perseveraturi simus: verum nos a fide excutere cupit, et in suam potestatem redigere tentat. Quod quidem solum est ei permissum, partim quod nos ex nobis
C ipsis salvos esse oporteat, occasiones ex præceptis accipientes: partim ut tentator, spe sua frustratus, pudore suffundatur; et partim propter eorum confirmationem, qui sunt in Ecclesia; et denique propter eorum conscientiam, qui martyrum constantiam admirati sunt. Si autem martyrium est retributio per supplicium, et fides quoque et doctrina, per quas est martyrium. Sunt ergo hæ quoque adjutrices supplicii, quo quidnam aliud possit esse absurdius? sed ad illa quidem dogmata, an a corporibus in corpora migret anima, et de diabolo, dicetur suo tempore. Nunc autem iis, quæ dicta sunt, hæc quoque adjiciamus: Ubi est adhuc fides, si pro luendis pœnis eorum, quæ prius peccata sunt, subeatur martyrium? Ubi est autem charitas in
D Deum, quæ propter veritatem persecutionem patitur et sustinet? Ubi est autem laus ejus qui confessus est, aut vituperatio ejus qui abnegavit? Ad quid autem est adhuc utilis recta vitæ institutio, morte afficere cupiditates, et nullam odisse creaturam? Si autem, ut ipse dicit Basilides, unam partem ex Dei, quæ dicitur, voluntate existimamus « omnia diligere, » quod omnia rationem ac proportionem conservent ad universum; alteram autem, ✠ « nihil

✠ P. 601 ED. POTTER, 507 ED. PARIS. ✠ P. 602 ED. POTTER, 508 ED. PARIS.

(67) Ἐρῶ. Hoc ferri potest, ut paulo supra. Si quis tamen ἐρωτήσει malit, per me licet. SYLBURG.

(68) *Εἰ δὲ καὶ . . . προσμαρτυρήσει*. Ad hanc sententiam complendam aliquid desiderari videtur.

(69) *Περιέποντος*. Περιεπούσης, ut κωλυσάσης, ad προνοίας melius referri posset.

(70) *Ἔτι*. Ἔτι ea vi ac potestate usurpatum, qua mox, εἰς τί δὲ ἔτι χρησίμη ἡ πολιτεία ἡ ὀρθ. SYLBURG.

(71) *Μὴ κωλύσαντος*. Conf. quæ superius dixit auctor *Strom.* I, p. 367, 368

concupiscere; » et tertiam, « nihil odisse; » voluntate Dei erunt etiam supplicia: quod quidem impium est cogitare. Neque enim Dominus passus est voluntate Patris, nec qui patiuntur persecutionem, eam Dei voluntate patiuntur. Nam ex duobus alterum: aut bonum quid erit persecutio, propter Dei voluntatem, aut erunt insontes qui decernunt et affligunt. Sed tamen nihil fit sine voluntate Domini universorum. Restat itaque, ut breviter dicamus, ea, quæ sunt hujusmodi, evenire, Deo non prohibente. Hoc enim solum servat et providentiam et bonitatem Dei. Non est ergo existimandum, eum operando efficere afflictiones (absit enim, ut hoc vel cogitemus), sed non prohibere eos, qui eas efficiunt, persuasum habere convenit, quodque adversariorum facinoribus utatur ad bonum ex iis eliciendum: « Destruam, inquit, murum, et erit in conculcationem [a]: » **218** solet enim hac arte nos erudire providentia: in aliis quidem propter sua uniuscujusque peccata; in Domino autem et apostolis propter nostra. Jam vero divinus Apostolus: « Hæc enim est, inquit, Dei voluntas, sanctificatio vestra, ut vos abstineatis a fornicatione, et sciat unusquisque vestrum vas suum possidere in sanctificatione et honore, non in affectione cupiditatis, sicut gentes, quæ non norunt Dominum; et non exsuperet, et per avaritiam circumscribat in negotio fratrem suum, quoniam vindex est Dominus horum omnium; sicut etiam vobis prædiximus et testificati sumus. Non enim vocavit nos Deus propter immunditiam, sed in sanctificatione. Itaque qui spernit, non hominem spernit, sed Deum, qui dedit vobis Spiritum suum sanctum [b]. » Propter hanc ergo sanctificationem nostram non prohibitus fuit pati Dominus. Si quis autem ex eis respondens, dicat puniri quidem martyrem propter peccata quæ sunt admissa ante hanc in corpus migrationem; fructum autem posthac esse percepturum vitæ, quæ hic acta fuerit: sic enim constitutam esse administrationem: eum rogabimus an retributio fiat ex providentia. Nam si quidem non fuerit ex divina administratione, perit consilium et dispensatio expiationis, et eis sua excidit hypothesis. Si autem a providentia sunt expiationes, sunt punitiones quoque ex providentia. Providentia autem, etsi a principe, ut ita dicam, moveri incipit, immista tamen est et insita in substantiis, una cum ipsarum generatione, per Deum universorum. Quæ cum ita habeant, necesse est ut ipsi fateantur, vel non esse injustam punitionem; et tum recte justeque ✠ se gerunt, qui condemnant et persequuntur martyres; aut ex Dei voluntate exerceri persecutiones. Non utique ergo labor et metus rebus accidit, ut ipsi dicunt, tanquam rubigo ferro, sed ex propria voluntate accedit ad animam. Sed de his quidem multa reservantur dicenda, quæ posthac suo tempore tractabuntur.

ἐνεργεῖν τοίνυν αὐτὸν τὰς θλίψεις οἴεσθαι χρή· (μὴ γὰρ εἴη τοῦτο ἐννοεῖν!) ἀλλὰ μὴ κωλύειν τοὺς ἐνεργοῦντας, πεπεῖσθαι προσῆκεν, καταχρῆσθαί τε εἰς καλὸν τοῖς τῶν ἐναντίων τολμήμασιν· « Καθελῶ γοῦν, φησὶ, τὸν τοῖχον (72), καὶ ἔσται εἰς καταπάτημα· » παιδευτικῆς τέχνης τῆς τοιάδε αὐτῆς οὔσης προνοίας (73)· ἐπὶ μὲν τῶν ἄλλων διὰ τὰς οἰκείας ἑκάστου ἁμαρτίας, ἐπὶ δὲ τοῦ Κυρίου καὶ τῶν ἀποστόλων διὰ τὰς ἡμῶν. Αὐτίκα ὁ θεῖος Ἀπόστολος· « Τοῦτο γάρ ἐστι τὸ (74) θέλημα τοῦ Θεοῦ, » φησὶν, « ὁ ἁγιασμὸς ὑμῶν, ἀπέχεσθαι ὑμᾶς ἀπὸ τῆς πορνείας, εἰδέναι ἕκαστον ὑμῶν τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ καὶ τιμῇ, μὴ ἐν πάθει ἐπιθυμίας, καθάπερ καὶ τὰ ἔθνη, τὰ μὴ εἰδότα τὸν Κύριον (75)· τὸ μὴ ὑπερβαίνειν καὶ πλεονεκτεῖν ἐν τῷ πράγματι τὸν ἀδελφὸν αὐτοῦ, διότι ἔκδικος ὁ Κύριος περὶ πάντων τούτων· καθὼς καὶ προείπομεν ὑμῖν, καὶ διεμαρτυράμεθα. Οὐ γὰρ ἐκάλεσεν ἡμᾶς ὁ Θεὸς ἐπὶ ἀκαθαρσίᾳ, ἀλλ' ἐν ἁγιασμῷ. Τοιγαροῦν ὁ ἀθετῶν οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν Θεὸν, τὸν καὶ δόντα τὸ Πνεῦμα αὐτοῦ τὸ ἅγιον εἰς ὑμᾶς (76). » Διὰ τοῦτο οὖν τὸν ἁγιασμὸν (77) ἡμῶν οὐκ ἐκωλύθη παθεῖν ὁ Κύριος. Εἰ τοίνυν, ἀπολογούμενός τις αὐτῶν, λέγοι κολάζεσθαι μὲν τὸν μάρτυρα διὰ τὰς πρὸ τῆσδε τῆς ἐνσωματώσεως ἁμαρτίας, τὸν καρπὸν δὲ τῆς κατὰ τόνδε τὸν βίον πολιτείας αὖθις ἀπολήψεσθαι· οὕτω γὰρ διατετάχθαι τὴν διοίκησιν· πευσόμεθα αὐτοῦ, εἰ ἐκ προνοίας γίνεται ἡ ἀνταπόδοσις. Εἰ μὲν γὰρ μὴ εἴη τῆς θείας διοικήσεως, οἴχεται ἡ οἰκονομία τῶν καθαρσίων, καὶ πέπτωκεν ἡ ὑπόθεσις αὐτοῖς· εἰ δὲ ἐκ προνοίας τὰ καθάρσια, ἐκ προνοίας καὶ αἱ κολάσεις. Ἡ πρόνοια δὲ, εἰ καὶ ἀπὸ τοῦ ἄρχοντος, ὡς φάναι, κινεῖσθαι ἄρχεται, ἀλλ' ἐγκατεσπάρη ταῖς οὐσίαις σὺν καὶ τῇ τῶν οὐσιῶν γενέσει πρὸς τοῦ τῶν ὅλων Θεοῦ. Ὧν οὕτως ἐχόντων, ἀνάγκη ὁμολογεῖν αὐτοὺς ἢ τὴν κόλασιν μὴ εἶναι ἄδικον, καὶ δικαιοπραγοῦσιν οἱ καταδικάζοντες καὶ διώκοντες τοὺς μάρτυρας· ἢ ἐκ θελήματος ἐνεργεῖσθαι τοῦ Θεοῦ καὶ τοὺς διωγμούς. Οὐκ ἔτι οὖν ὁ πόνος καὶ ὁ φόβος, ὡς αὐτοὶ λέγουσιν, ἐπισυμβαίνει τοῖς πράγμασιν ὡς ὁ ἰὸς τῷ σιδήρῳ, ἀλλ' ἐκ βουλήσεως ἰδίας προσέρχεται τῇ ψυχῇ. Καὶ περὶ μὲν τούτων πολὺς ὁ λόγος, ὅσον ἐν ὑστέρῳ σκοπεῖν ἀποκείσεται κατὰ καιρὸν διαλαμβάνουσιν.

CAPUT XIII.

Valentini nænias de mortis abolitione redarguit.

Valentinus autem in quadam homilia scribit his

Οὐαλεντῖνος δὲ ἔν τινι ὁμιλίᾳ κατὰ λέξιν γράφει·

✠ P. 603 ED. POTTER, 509 ED. PARIS. [a] Isa. v, 5. [b] I Thess. IV, 3, 4, 5, 6, 7, 8.

(72) *Τοῖχον*. Isa. v, τοῖχον αὐτοῦ. A. SYLBURG.

(73) *Τῆς τοιάδε αὐτῆς οὔσης πρ*. Forte τῆς τοιᾶσδε αὐτῷ οὔσης προνοίας, « cum talis ea providentia sit ars institutoria. » SYLBURG.

(74) *Τό*. Abest e Thess. IV.

(75) *Κύριον*. Θεόν, Thess. IV.

(76) *Εἰς ὑμᾶς*. Εἰς ἡμᾶς, ibid.

(77) *Διὰ τοῦτο οὖν τὸν ἁγ*. A. διὰ τοῦτον οὖν τὸν ἁγ. SYLBURG.

« Ἀπ' ἀρχῆς ἀθάνατοί ἐστε, καὶ τέκνα ζωῆς αἰωνίας· καὶ τὸν θάνατον ἠθέλετε μερίσασθαι εἰς ἑαυτοὺς, ἵνα δαπανήσητε αὐτὸν καὶ ἀναλώσητε, καὶ ἀποθάνῃ ὁ θάνατος ἐν ὑμῖν, καὶ δι' ὑμῶν. Ὅταν γὰρ τὸν μὲν κόσμον λύητε, ὑμεῖς δὲ μὴ καταλύησθε, κυριεύετε τῆς κτίσεως καὶ τῆς φθορᾶς ἁπάσης. » Φύσει γὰρ σωζόμενον γένος ὑποτίθεται καὶ αὐτὸς ἐμφερῶς τῷ Βασιλείδῃ· ἄνωθεν δὲ ἡμῖν δεῦρο τοῦτο δὴ τὸ διάφορον γένος, ἐπὶ τὴν τοῦ θανάτου καθαίρεσιν ἥκειν· θανάτου δὲ γένεσιν ἔργον εἶναι τοῦ κτίσαντος τὸν κόσμον. Διὸ καὶ τὴν Γραφὴν ἐκείνην οὕτως ἐκδέχεται· « Οὐδεὶς ὄψεται (78) τὸ πρόσωπον τοῦ Θεοῦ, καὶ ζήσεται· » ὡς θανάτου αἰτίου. Περὶ τούτου τοῦ Θεοῦ ἐκεῖνα αἰνίττεται, γράφων αὐταῖς λέξεσιν· « Ὁπόσον ἐλάττων ἡ εἰκὼν τοῦ ζῶντος προσώπου, τοσοῦτον B ἥσσων ὁ κόσμος τοῦ ζῶντος Αἰῶνος. Τίς οὖν αἰτία τῆς εἰκόνος; Μεγαλωσύνη τοῦ προσώπου, παρεσχημένου τῷ ζωγράφῳ τὸν τύπον, ἵνα τιμηθῇ δι' ὀνόματος αὐτοῦ· οὐ γὰρ αὐθεντικῶς εὑρέθη (79) μορφὴ, ἀλλὰ τὸ ὄνομα ἐπλήρωσαν (80) τὸ ὑστερῆσαν ἐν πλάσει. Συνεργεῖ δὲ καὶ τὸ τοῦ Θεοῦ ἀόρατον εἰς πίστιν τοῦ πεπλασμένου· » τὸν μὲν γὰρ δημιουργὸν ὡς Θεὸν καὶ Πατέρα κληθέντα, « εἰκόνα τοῦ ἀληθινοῦ Θεοῦ, » καὶ « Προφήτην » προσεῖπεν· « ζωγράφον » δὲ τὴν Σοφίαν, ἧς τὸ πλάσμα ἡ εἰκὼν, εἰς δόξαν τοῦ ἀοράτου· ἐπεὶ ὅσα ἐκ συζυγίας προέρχεται, πληρώματά ἐστιν· ὅσα δὲ ἀπὸ ἑνὸς, εἰκόνες. Ἐπεὶ δὲ τὸ φαινόμενον αὐτοῦ οὐκ ἔστιν, ἡ ἐκ μεσότητος ψυχὴ ἔρχεται, τὸ διαφέρον (81)· καὶ τοῦτ' ἔστι τὸ ἐμφύσημα τοῦ διαφέροντος πνεύματος, καὶ καθ' ὅλου ὃ C ἐμπνεῖται τῇ ψυχῇ τῇ εἰκόνι τοῦ πνεύματος· καὶ καθόλου τὰ ἐπὶ τοῦ Δημιουργοῦ λεγόμενα τοῦ κατ' εἰκόνα γενομένου, ταῦτ' ἐν εἰκόνος αἰσθητῆς μοίρᾳ ἐν τῇ γενέσει (82) περὶ ἀνθρωπογονίαν προπεφητεῦσθαι λέγουσι· καὶ δὴ μετάγουσι τὴν ὁμοιότητα καὶ ἐφ' ἑαυτοὺς, ἄγνωστον τῷ Δημιουργῷ τὴν τοῦ διαφέροντος ἐπένθεσιν πνεύματος γεγενῆσθαι παραδιδόντες. Ὅταν μὲν οὖν περὶ τοῦ ἕνα εἶναι τὸν Θεὸν, τὸν διὰ νόμου καὶ προφητῶν καὶ Εὐαγγελίου κηρυσσόμενον, διαλαμβάνωμεν, καὶ πρὸς τοῦτο διαλεξόμεθα· ἀρχικὸς γὰρ ὁ λόγος· πρὸς δὲ τὸ κατεπεῖγον ἀπαντητέον. Εἰ ἐπὶ τὸ (83) καταλῦσαι θάνατον ἀφικνεῖται τὸ διαφέρον γένος (84), οὐχ ὁ Χριστὸς τὸν θάνατον κατήρ-

A verbis : « Ab initio estis immortales, et filii estis vitæ æternæ, et mortem voluistis inter vos ipsos dispertiri ut eam consumeretis, et mors in vobis moreretur, et per vos. Quando enim mundum quidem solvitis, vos autem non dissolvimini, estis domini creaturæ et cujusvis interitus. » Genus enim, quod natura servatur, ponit ipse quoque similiter atque Basilides; ad nos autem desuper huc venire hoc diversum genus, ad mortem de medio tollendam; mortis autem generationem esse opus ejus, qui creavit mundum. Quamobrem sic etiam accipit illam Scripturam : « Nemo videbit faciem Dei, et vivet [a]; » quasi ille sit auctor mortis. De hoc Deo ita innuit, scribens his verbis : « Quanto imago minor est viva facie, tanto mundus est minor vivo Æone. Quænam est ergo causa imaginis? Faciei majestas, quæ pictori exhibuit figuram, ut per ejus nomen honoraretur. Non enim ex se et sua auctoritate fuit forma inventa, sed implevit nomen quod in creatione erat imperfectum. Adjuvat autem, quod Dei quoque est inaspectabile, ad fidem ejus, quod effictum est. » Creatorem enim, ut qui Deus et Pater sit vocatus, « veri Dei imaginem, » et « prophetam » appellavit; « pictorem » autem Sapientiam, cujus figmentum est imago, ad gloriam ejus qui est inaspectabilis. Nam quæcunque procedunt ex conjugatione, ea sunt pleromata; quæcunque autem ab uno, imagines. Quoniam autem non est ejus id, quod apparet : quæ est ex medietate anima venit, nempe id, quod est differens, et hoc est insufflatio differentis spiritus, et in summa id, quod inspiratur in animam, quæ est imago spiritus. Et, ut in summa dicam, quæ dicuntur de Creatore, qui factus est ad imaginem, ea in imagine sensili in generatione dicunt fuisse ✠ prædicta de generatione hominis. Nam ad seipsos quoque transferunt similitudinem ejus, qui differt, spiritus interjectionem Creatori fuisse ignotam tradentes. Cum ergo de eo, quod unus Deus sit, qui prædicatur per legem et prophetas et Evangelium, tractabimus, adversus hoc quoque disseremus; est enim locus primarius. Nunc adversus id, quo in præsens urgemur, est occurrendum. Si ad dissolvendam mortem venit genus

✠ P. 604 ED. POTTER, 510 ED. PARIS. [a] Exod. xxxiii, 20.

(78) *Οὐδεὶς ὄψ*. Exod. xxxiii, 20 : Οὐ γὰρ μὴ ἴδῃ ἄνθρωπος τὸ πρόσωπόν μου, καὶ ζήσεται.

(79) *Εὑρέθη*. Haud scio an verius ἐῤῥέθη, « dicta est. » Sylburg.

(80) *Ἐπλήρωσαν*. Interpres sing. numero ἐπλήρωσεν, « implevit : » inquit Sylburg. Cl. Grabius *Spicilegii* sæc. ii, p. 54, hæc adnotat : « Ego ἐπλήρωσαν in ἐπλήρωσεν muto; et verba ista, οὐ γὰρ αὐθεντικ. ita interpretor : « Non enim exacte ad vivum forma « aliqua reperitur (in imagine expressa), sed nomen « (ejus scil. cujus imago est) supplet id, quod efforo« mationi deest. » Moris enim olim fuisse pictoribus, ut nomina imaginibus ascriberent, quo facilius dignoscerentur, ex Aristotelis lib. vi *Topicorum*, cap. 2, colligitur. Ad eumdem itaque modum Valentinus docebat supremum invisibilem Deum fidem conciliare suæ imagini, id est, ad imaginem ejus a matre Sophia formato mundi Creatori, dum nomen « Dei » ipsi communicavit; uti Clemens paulo post D Valentini sententiam explicat (de qua cf. Irenæum lib. i, sect. 9); quanquam ex *Orientali Valentinianorum Didascalia* apud Clementem, pag. 801, edit. Paris., verba Valentini in meliorem explicari possint sensum. Quod vero reliquæ in mundo creaturæ sint imagines cæterorum a summo Deo descendentium Æonum, post Valentinum loco citato, sectatores ejus docuisse, ex Irenæo constat. »

(81) *Τὸ διαφέρον*. Interpres appositive accipit, hoc sensu : « Venit anima, quæ ex dimidio est, nempe id quod est differens. » Sylburg.

(82) *Ἐν τῇ γενέσει*. Perperam interpres, « in generatione. » Vertendum fuit « in libro Geneseos. » Sensus est, « ea in illo Geneseos loco, quo de hominis creatione sermo factus est, per sensibilem imaginem olim prædicta fuisse. »

(83) *Ἐπὶ τό*. Etiam dativo casu legi potest ἐπὶ τῷ. Sylburg.

(84) *Διαφέρον γένος*. Nempe genus hominum

differens, Christus mortem non abolevit, nisi ipse quoque dicatur ejusdem cum eis essentiæ; sin autem in hoc eam abolevit, ut genus non attingeret differens, non isti mortem abolent, qui sunt æmuli Creatoris, qui imagini suæ istius animæ, quæ est ex medietate, supernam vitam inspirant secundum dogma ab eis susceptum. Sin vero hoc dicant evenire per matrem, vel si dicant se una cum Christo adversus mortem belligerare, aperte fatentur id occultum dogma, siquidem non timeant Creatoris divinam insectari potentiam, sed ejus creaturam, tanquam ipsi meliores essent, emendant, et animalem imaginem, quam ille non potuit liberare ab interitu, servare nituntur. Fuerit autem Dominus quoque Deo creatore melior ac præstantior : nunquam enim filius cum patre contenderit, idque inter deos. Quod autem hic sit pater filii, Creator universorum, Dominus omnipotens, ad illam distulimus disputationem, in qua adversus
219 hæreses disserere promisimus, ostendentes eum esse solum, qui est ab ipso prædicatus. Sed nobis quidem scribens Apostolus de tolerandis afflictionibus : « Et hoc, inquit, ex Deo, quod vobis donatum est pro Christo, ut non solum in ipsum credatis, sed etiam pro eo patiamini; idem habentes certamen, quale vidistis in me, et nunc auditis in me. Si qua est ergo consolatio in Christo, si quod solatium charitatis, si qua societas spiritus, si qua viscera et miserationes, implete meum gaudium, ut idem sentiatis, eamdem habentes charitatem, unanimes, idem sentientes. Si autem immolatur super sacrificio et ministerio fidei gaudens et congratulans [a], » eos, ad quos loquitur Apostolus, Philippenses vocans « gratiæ consortes [b], » quomodo ipsos dicit « unanimes » et animales? Similiter etiam de Timotheo quoque scribens et seipso, « Neminem enim, inquit, habeo tam unanimem, qui germane de vobis futurus sit sollicitus. Omnes enim, quæ sua sunt, quærunt, non quæ Jesu Christi [c]. » Ne ergo probri loco nos « animales » dicant aut prius memorati homines, aut
✠ etiam Phryges : jam enim ii quoque illos, qui novæ non attendunt prophetiæ, « animales » appellant, adversus quos disseremus, cum agemus de prophetia. Eum ergo, qui est perfectus, oportet exercere charitatem, et hinc ad Dei tendere amicitiam, per charitatem ejus mandata exsequens. Cum vero jubet diligere inimicos, non diligere quidem malum jubemur, neque impietatem, vel adulterium, vel furtum; sed furem, et impium, et adulterum, non quidem quatenus peccat, et

A γησεν, εἰ μὴ καὶ αὐτὸς αὐτοῖς ὁμοούσιος λεχθείη· εἰ δ' εἰς τοῦτο κατήργησεν, ὡς μὴ τοῦ διαφέροντος ἅπτεσθαι γένους, οὐχ οὗτοι τὸν θάνατον καταργοῦσιν οἱ ἀντίμιμοι τοῦ Δημιουργοῦ, οἱ τῆς ἐκ μεσότητος ψυχῆς τῇ σφετέρᾳ εἰκόνι ἐμφυσῶντες τὴν ζωὴν τὴν ἄνωθεν, κατὰ τὴν τοῦ δόγματος αἵρεσιν· κἂν διὰ τῆς μητρὸς τοῦτο συμβαίνειν λέγωσιν, ἀλλὰ κἂν εἰ σὺν Χριστῷ καταστρατεύεσθαι τοῦ θανάτου λέγοιεν, ὁμολογούντων τὸ δόγμα τὸ κεκρυμμένον, ὡς τῆς θείας τοῦ Δημιουργοῦ κατατρέχειν τολμῶσι δυνάμεως, τὴν κτίσιν τὴν αὐτοῦ, ὡς κρείττους ἐπανορθούμενοι, πειρώμενοι σώζειν τὴν ψυχικὴν εἰκόνα, ἣν αὐτὸς ῥύσασθαι τῆς φθορᾶς οὐ κατίσχυσεν. Εἴη δ' ἂν καὶ ὁ Κύριος ἀμείνων τοῦ δημιουργοῦ Θεοῦ· οὐ γὰρ ἄν ποτε ὁ υἱὸς τῷ πατρὶ διαφιλονεικοίη, καὶ ταῦτα ἐν θεοῖς. Ὅτι B δὲ οὗτός ἐστιν ὁ τοῦ υἱοῦ πατὴρ, ὁ Δημιουργὸς τῶν συμπάντων, ὁ παντοκράτωρ Κύριος, εἰς ἐκείνων ἀνεβαλόμεθα τὴν σκέψιν, καθ' ἣν πρὸς τὰς αἱρέσεις ὑπεσχήμεθα διαλέξασθαι, τοῦτον εἶναι μόνον δεικνύντες τὸν ὑπ' αὐτοῦ κεκηρυγμένον. Ἀλλ' ἡμῖν γε ὁ Ἀπόστολος εἰς τὴν τῶν θλίψεων ὑπομονὴν γράφων· « Καὶ τοῦτο, φησὶν, ἀπὸ Θεοῦ, ὅτι ὑμῖν ἐχαρίσθη τὸ ὑπὲρ Χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν· τὸν αὐτὸν ἀγῶνα ἔχοντες, οἷον ἴδετε ἐν ἐμοὶ, καὶ νῦν ἀκούετε ἐν ἐμοί. Εἴ τις οὖν παράκλησις ἐν Χριστῷ, εἴ τι παραμύθιον ἀγάπης, εἴ τις κοινωνία πνεύματος, εἴ τινα σπλάγχνα καὶ οἰκτιρμοὶ, πληρώσατέ μου τὴν χαρὰν, ἵνα τὸ αὐτὸ φρονῆτε, τὴν αὐτὴν ἀγάπην ἔχοντες, σύμψυχοι, τὸ ἓν φρονοῦντες. C Εἰ δὲ σπένδεται ἐπὶ τῇ θυσίᾳ καὶ τῇ λειτουργίᾳ τῆς πίστεως χαίρων καὶ συγχαίρων, » πρὸς οὓς ὁ λόγος τῷ Ἀποστόλῳ, τοὺς Φιλιππησίους « συμμετόχους τῆς χάριτος (85) » καλῶν, πῶς αὐτοὺς « συμψύχους » καὶ ψυχικοὺς (86) λέγει; Ὁμοίως καὶ περὶ Τιμοθέου καὶ ἑαυτοῦ γράφων, « οὐδένα γὰρ ἔχω, φησὶν, ἰσόψυχον, ὅστις γνησίως τὰ περὶ ὑμῶν μεριμνήσει· οἱ πάντες γὰρ τὰ ἑαυτῶν ζητοῦσιν, οὐ τὰ Ἰησοῦ Χριστοῦ (87). » Μὴ τοίνυν « ψυχικοὺς » ἐν ὀνείδους μέρει λεγόντων ἡμᾶς οἱ προειρημένοι, ἀλλὰ καὶ οἱ Φρύγες· ἤδη γὰρ καὶ οὗτοι τοὺς τῇ νέᾳ προφητείᾳ μὴ προσέχοντας « ψυχικοὺς » καλοῦσιν, πρὸς οὓς ἐν τοῖς « Περὶ προφητείας » διαλεξόμεθα. Ἀγάπην οὖν ἀσκεῖν τὸν τέλειον χρὴ, κἀνθένδε ἐπὶ τὴν θείαν φιλίαν σπεύδειν, δι' ἀγάπην ἐκτελοῦντα τὰς ἐντολάς. Τὸ D δὲ ἀγαπᾷν τοὺς ἐχθροὺς οὐκ ἀγαπᾷν τὸ κακὸν λέγει, οὐδὲ ἀσέβειαν, ἢ μοιχείαν, ἢ κλοπὴν, ἀλλὰ τὸν κλέπτην, καὶ τὸν ἀσεβῆ, καὶ τὸν μοιχὸν, οὐ καθὸ ἁμαρτάνει, καὶ τῇ ποιᾷ ἐνεργείᾳ μολύνει τὴν ἀνθρώπου προσηγορίαν, καθ' ὃ δὲ ἄνθρωπός ἐστι, καὶ ἔργον Θεοῦ. Ἀμέλει τὸ ἁμαρτάνειν ἐνεργείᾳ κεῖται, οὐκ οὐσίᾳ· διὸ οὐδὲ ἔργον Θεοῦ. Ἐχθροὶ δὲ οἱ ἁμαρτά-

✠ P. 605 ED. POTTER, 511 ED. PARIS. [a] Philip. I, 29, 30; II, 1, 2, 17. [b] Philip. I, 7. [c] Philip. II, 20, 21.

spirituale, quod hæretici affirmabant, e cœlo ad abolendam mortem descendisse : ut paulo superius dixit auctor.

(85) *Συμμετόχους τῆς χάριτος*. Respicit Philip. I, 7, ubi Apostolus ait : Συγκοινωνούς μου τῆς χάριτος πάντας ὑμᾶς ὄντας.

(86) *Συμψύχους καὶ ψυχικούς*. Vox posterior a priori ab auctore infertur : nam σύμψυχοι esse nequeunt, qui non habent τὴν ψυχήν, ac proinde ψυχικοί sunt. Vox ipsa ψυχικοί in hac epistola non occurrit.

(87) *Τὰ Ἰησοῦ Χριστοῦ*. Τὰ τοῦ Χριστοῦ Ἰησοῦ, Philip.

(57) Ἀσπασίας. Aspasia, Axiochi filia; a qua Pericles rhetoricam, Socrates rhetoricam ac philosophiam didicit. Conf. Plato in *Menexeno*, Suidas v. Ἀσπασία, Aristophanes ejusque vetus scholiastes in *Acharnensibus*, præcipue vero Plutarchus in *Pericle*, p. 165 edit. Paris.

(58) Κόρινναν. Pausanias in *Bœoticis*, p. 574, ubi de Tanagra: Κορίννης δή, ἣ μόνη δὲ ἐν Τανάγρᾳ ᾄσματα ἐποίησε, ταύτης ἐστὶ μὲν μνῆμα ἐν περιφανεῖ τῆς πόλεως· ἔστι δὲ καὶ ἐν τῷ γυμνασίῳ γραφή, ταινίᾳ τὴν κεφαλὴν ἡ Κόριννα ἀναδουμένη τῆς νίκης ἕνεκα, ἣ Πίνδαρον ᾄσματι ἐνίκησεν ἐν Θήβαις. « Corinnæ quidem, quæ sola apud Tanagræos cantica fecit, in celebri urbis loco est monumentum: in gymnasio ipsa picta est, tænia redimita; victoriæ illud insigne, quod Thebis carmine Pindarum vicerit. » Suidas: Κόριννα, Ἀρχελωδόρου καὶ Προκρατίας, Θηβαία, ἢ Ταναγραία, μαθήτρια Μύρτιδος· ἐπωνόμαστο δὲ Μυῖα· λυρική. Ἐνίκησε δὲ πεντάκις, ὡς λόγος, Πίνδαρον. Ἔγραψε βιβλία πέντε, καὶ Ἐπιγράμματα, καὶ Νόμους λυρικούς. Conf. Meursii *Bibliotheca Græca*.

(59) Μυῖα. Hæc diversa fuit a filia Pythagoræ superius memorata. Suidas tres Myias enumerat: Μυῖα Θεσπιακή, λυρική· μέλη πρὸς λύραν ἁρμόζουσα. Μυῖα Σπαρτιάτις, ποιήτρια· ὕμνους εἰς Ἀπόλλωνα καὶ Ἄρτεμιν. Μυῖα, Πυθαγόρου τοῦ μεγάλου καὶ Θεανοῦς, Σαμία. « Myia Thespiaca, lyrica: Scripsit carmina lyrica. Myia Spartana, poetria; hymnos in Apollinem et Dianam scripsit. Myia, Pythagoræ magni et Theanus filia, Samia.

D (60) Δίδυμος ἐν Συμποσιακοῖς. Conf. Diogenes Laertius in Demetrio, lib. V, seg. 76; Stephanus Byzantinus v. Ἤτεια, *Etymologici* auctor v. Σχόλια.

(61) Κλεοβούλου θυγάτηρ. Ejus meminit in *Cleobulo* Laertius, Aristoteles *Rhetor*. lib. III, præcipue vero Plutarchus in *Convivio septem sapientum*, p. 148, quo loco Eumetis dicitur, et a patris nomine Cleobuline: introducitur autem Anacharsidis κόμην ταῖς χερσὶ διακρίνουσα, « cæsariem manibus pectens; » ut σοφὴ καὶ περιβόητος, « sapiens ac celebris, » laudatur, ejusque quæstiones usque ad Ægyptum pervenisse memorantur, necnon aliæ ci laudes tribuuntur.

(62) Κόραι. Rebecca, Gen. XXIV, 15; Rachel, Gen. XXIX, 6; Zippora, ejusque sorores, Exod. II 16.

(63) Ναυσικάα. Nausicaam, filiam Alcinoi, Phæacum regis, celebrat Homerus *Odyss*. Z, vers. 86.

(64) Διαφέρειν. H. ms. φέρειν, absque præpositione. SYLBURG.

statuisse abducere, injustam autem simul et intemperantem voluisse domum suam efficere. Fieri ergo non potest, ut vel vir, vel mulier sit in ulla re doctus, qui non fuerit usus disciplina, meditatione que et exercitatione. Virtutem autem non in aliis, sed in nobis vel maxime sitam esse dicimus. Itaque alia quidem potest quis arcere bellum gerens, quod autem in nobis situm est, nequaquam, nec si maxime quidem institerit. Est enim donum datum divinitus, et quod non alii cuipiam subjicitur. Unde intemperantia quidem non alterius videri queat malum, quam ejus, qui se gerit intemperanter: temperantia autem rursus ejus bonum, qui potest sibi temperare.

A δικαιοσύνης μὲν καὶ σωφροσύνης ἀπάγειν προῃρημένος, ἄδικον δὲ ἅμα καὶ ἀκόλαστον παρασκευάζειν βεβουλημένος τὸν οἶκον τὸν ἑαυτοῦ. Οὐχ οἷόν τ' οὖν ἐστιν ἄνδρα ἢ γυναῖκα ἐν ὁτῳοῦν ἐλλόγιμον γενέσθαι, μὴ μαθήσει, μήτε μελέτῃ τε καὶ ἀσκήσει προσχρησαμένους· τὴν δὲ ἀρετὴν οὐκ ἐπ' ἄλλοις τισὶν εἶναί φαμεν ἢ πάντων μάλιστα ἐφ' ἡμῖν. Τὰ μὲν οὖν ἄλλα εἴργειν δύναταί τις προσπολεμῶν· τὸ δ' ἐφ' ἡμῖν (65), οὐδαμῶς, οὐδ' ἂν μάλιστα ἐνίσταιτο· θεόσδοτον γὰρ τὸ δῶρον, καὶ οὐχ ὑποπίπτον ἄλλῳ τινί. Ὅθεν ἀκολασία μὲν οὐκ ἄλλου τινὸς ἂν δοξάζοιτο εἶναι κακὸν ἢ τοῦ ἀκολασταίνοντος, σωφροσύνη δὲ ἀγαθὸν αὖ τοῦ τὸ σωφρονεῖν δυναμένου.

CAPUT XX.

Uxoris bene moratæ officium describit.

Mulierem autem, quæ honeste virum amat, describit Euripides, sic monens:

..... Bonisque verbis prosequi
Videri oportet, quod maritus dixerit.
..... Laboret serio,
Ut quæ marito grata sint, pronuntiet.

✠ Et his rursus utique similia:

.... Dulce conjugem, mali
Si evenerit quid, cum viro tristarier,
Doloris ut sit gaudiique particeps.

Dein ejus mansuetudinem, vel in calamitatibus benevolentiam describens, subjungit:

Ast ego tibi valenti pessime partem feram,

Particeps dicar malorum.

B Φίλανδρον μετὰ σεμνότητος ὑπογράφει γυναῖκα Εὐριπίδης, παραινῶν·

..... Εὐλογεῖν (66)
Δ', ὅταν τι λέξῃ, χρὴ δοκεῖν, κἂν μὴ λέγῃ,
..... Κἀκπονεῖν,
Ἂν τῷ ξυνόντι πρὸς χάριν μέλλῃ λέγειν.

Καὶ αὖθίς που τούτοις τὰ ὅμοια·

..... Ἡδὺ δ', ἢν κακὸν
Πράξῃ τι, συσκυθρωπάζειν (67) *πόσει ἄλοχον,*
Ἐν κοινῷ λύπης τε ἡδονῆς τ' ἔχειν μέρος.

Τότε πρᾶον καὶ φιλόστοργον ὧδέ πως ὑποδεικνύειν, κἂν ταῖς συμφοραῖς, ἐπιφέρει·

Σοὶ δ' (68) *ἔγωγε καὶ νοσοῦντι συννοσοῦσ' ἀνέξομαι,*
Καὶ κακῶν τῶν σῶν συνοίσω.

✠ P. 621 ED. POTTER, 524 ED. PARIS.

(65) *Τὸ δὲ ἐφ' ἡμῖν*. Epictetus in principio *Enchiridii*: Τῶν ὄντων τὰ μέν ἐστιν ἐφ' ἡμῖν, τὰ δὲ οὐκ ἐφ' ἡμῖν..... καὶ τὰ μὲν ἐφ' ἡμῖν ἐστι φύσει ἐλεύθερα, ἀκώλυτα, ἀπαρεμπόδιστα· τὰ δὲ οὐκ ἐφ' ἡμῖν, ἀσθενῆ, δοῦλα, κωλυτά, ἀλλότρια. « Res quædam in potestate nostra sunt, quædam non sunt. Ac ea quidem, quæ sunt in nostra potestate, libera sunt sua natura, nec prohiberi ab ullo, nec impediri possunt. Quæ vero non sunt in nostra potestate, ea infirma, obnoxia servituti, obnoxia impedimentis, aliena. »

C (66) *Εὐλογεῖν*. Forte εὖ λέγειν. SYLBURG. — Hos versus sic emendavit et in ordine digessit Grotius, *Excerpt. e trag. et com.*, p. 425: eodemque modo in fragmentis Euripidis, v. 324 exstant, una cum aliis, quæ mox apud Clementem sequuntur:

Οὐδεμίαν ὤνησε κάλλος εἰς πόσιν ξυνάορον,
Ἀρετὴ δ' ὤνησε πολλάς· πᾶσα γὰρ ἀγαθὴ γυνή,
Ἥτις ἀνδρὶ συντέτηκε, σωφρονεῖν ἐπίσταται.
D *Πρῶτα μὲν γὰρ τοῦθ' ὑπάρχει· κἂν ἄμορφος ᾖ πόσις,*
Χρὴ δοκεῖν εὔμορφον εἶναι τῇ γε νοῦν κεκτημένῃ.
Οὐ γὰρ ὀφθαλμὸς τὸ μορφὴν κρίνον ἐστίν, ἀλλ' ὁ νοῦς.
Εὖ λέγειν δ', ὅτ' ἄν τι λέξῃ, χρὴ δοκεῖν, κἂν μὴ λέγῃ,
Κἀπονεῖν ἂν τῷ ξυνόντι πρὸς χάριν μέλλῃ λέγειν.

Feminarum apud maritos forma nulla profuit,
Plurimum virtus: bona omnis namque, quæ colet virum,
Femina intra disciplinam se tenet modestiæ.
Prima pars hæc est; maritus sit licet deformior,
Debet is pulcher videri mentem habenti conjugi.
Lumen haud enim, sed mens est, quæ formam judicat.
Dixerit quidvis maritus, bene putandus dicere est:
Ipsa sit sollicita, si quid dicit, ut placeat viro.

(67) *Συσκυθρωπάζειν*. Melius sic constaret metrum:

... Συσκυθρωπάσαι ἄλοχον πόσει,
Κοινόν τε λύπης ἡδονῆς τ' ἔχειν μέρος.

Mox, A., ὑποδεικνύων κἂν ταῖς συμφοραῖς (sub persona videlicet conjugis) ἐπιφέρει. Sequentium sic expleri metrum posset:

.... Σοὶ δ' ἐγὼ ....
Γε καὶ νοσοῦντι συννοσοῦσ' ἀνέξομαι,
Καὶ τῶν κακῶν τῶν σῶν συνοίσω σοι μέρος.

Et mox:

.... Οὐδέν ἐστί μοι πικρόν.
Μετὰ τῶν φίλων γὰρ δυστυχεῖν
Χρή· τίπτε γὰρ δὴ τὸ φίλον ἄλλο, πλὴν τόδε;

Sed absque codicum auctoritate nil ausim affirmare. SYLBURG.

(68) *Σοὶ δ'*. In libello *Sentent. comic.* monet Henricus Stephanus videri hæc ex tribus diversis Euripidis locis desumpta, et secundam sententiam incipere ab illis verbis: Καὶ κακῶν τῶν σῶν συνοίσω· et καὶ esse Clementis, non Menandri (Euripidis dicere voluit) perinde ac si diceret: « Item hæc. » Tertiam autem ibi incipere: Καὶ οὐδέν ἐστί μοι. « Et nil certe mihi. » Monet item videri deesse versum, qui interseratur inter duos postremos, aut certe posteriorem positum per parenthesim. Vide ibidem locum Menandri huic Euripidis similem pag. 105.

Καί·

..... Οὐδὲν ἐστί μοι
Πικρόν· μετὰ γὰρ τῶν φίλων εὐτυχεῖν τι χρή.
Τί γὰρ δὴ τὸ φίλον ἄλλο πλὴν τόδε;

« Ἁγιάζεται (69) » γοῦν καὶ γάμος κατὰ « Λόγον » τελειούμενος, ἐὰν ἡ συζυγία ὑποπίπτῃ τῷ Θεῷ, καὶ διοικῆται μετὰ « ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως, ἡγνισμένων τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς, καὶ λελουμένων τὸ σῶμα καθαρῷ ὕδατι, καὶ ἐχόντων τὴν ὁμολογίαν τῆς ἐλπίδος· πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος. » Χρὴ δὲ τὸν εὐδαίμονα γάμον οὔτε πλούτῳ ποτὲ οὔτε κάλλει κρίνεσθαι, ἀλλ' ἀρετῇ.

..... Οὐδεμίαν,

φησὶν ἡ τραγῳδία,

Ὤνησε κάλλος εἰς πόσιν ξύνδορον,
Ἀρετὴ δὲ ὤνησε πολλάς· πᾶσα γὰρ ἀγαθὴ γυνὴ,
Ἥτις ἀνδρὶ συντέτηκε, σωφρονεῖν ἐπίσταται.

Εἶτα οἷον παραινέσεις διδοῦσά φησι·

Πρῶτα μέν γε τοῦθ' ὑπάρχει, κἂν ἄμορφος ᾖ [πόσις,
Χρὴ δοκεῖν εὔμορφον εἶναι τῇ γε νοῦν κεκτη-[μένῃ.
Οὐ γὰρ ὀφθαλμὸς τὸ κρίνειν (70) ἐστὶν, ἀλλὰ νοῦς·

καὶ τὰ ἐπὶ τούτοις. Πάνυ γὰρ κυρίως ἡ Γραφὴ « βοηθὸν » εἶπεν τὴν γυναῖκα δεδόσθαι τἀνδρὶ παρὰ τοῦ Θεοῦ. Δῆλον οὖν, οἶμαι, ὡς ἕκαστον τῶν προσπιπτόντων λυπηρῶν πρὸς τἀνδρὸς κατὰ τὴν οἰκουρίαν, λόγῳ θεραπεύειν μετὰ πειθοῦς προαιρήσεται. Εἰ δὲ μὴ ὑπακούοι, τότε ἤδη πειράσεται, καθόσον οἷόν τέ ἐστιν ἀνθρωπίνῃ φύσει, ἀναμάρτητον διεξάγειν βίον, ἐάν τε ἀποθνήσκειν δέῃ μετὰ τοῦ λόγου, ἐάν τε ζῆν· συλλήπτορα καὶ κοινωνὸν τῆς τοιαύτης πράξεως τὸν Θεὸν εἶναι νομίζουσα, τὸν τῷ ὄντι παραστάτην καὶ σωτῆρα, εἴς τε τὸ παρὸν, εἴς τε τὸ μέλλον· στρατηγόν τε καὶ ἡγεμόνα πάσης πράξεως ἐκεῖνον πεποιημένη, σωφροσύνην μὲν καὶ δικαιοσύνην ἔργον ἡγουμένη, τὸ θεοφιλὲς δὲ ποιουμένη τέλος. Χαριέντως γοῦν ἐν τῇ πρὸς Τίτον Ἐπιστολῇ ὁ Ἀπόστολος δεῖν εἶναί φησι τὰς « πρεσβύτιδας ἐν καταστήματι ἱεροπρεπεῖ (71), μὴ διαβόλους, μὴ οἴνῳ πολλῷ δεδουλωμένας, ἵνα σωφρονίζωσι τὰς νέας φιλάνδρους εἶναι, φιλοτέκνους, σώφρονας, ἁγνὰς, οἰκουροὺς, ἀγαθὰς, ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν· ἵνα μὴ ὁ λόγος

A Item:

. . . . Nihil mihi
Nunc est amari; quippe cum caris decet
Beari amicis; hoc amicitia est enim.

« Sanctificatur » itaque etiam, quod « per Logon » seu « Verbum » perficitur matrimonium, si conjugium se Deo submittat, et cum « vero corde » administretur « in fidei certitudine, sanctificatorum corde a mala conscientia, et ablutorum corpus aqua munda, et habentium confessionem fidei. Fidelis enim est, qui promisit [a]. » **225** Oportet autem felix matrimonium neque unquam divitiis, nec pulchritudine censeri, sed virtute.

. . . Nulli quidem,

ait tragœdia,

B *Jungit marito pulchritudo conjugem;*
Multis autem virtus profuit. Quævis enim bona [*mulier,*
Quæ viro adhæret, scit esse temperans.

Deinde veluti dans admonitiones, ait:

Hoc adest primum, maritus nempe si turpis siet,
Pulchrum oportet judicare, si qua mente prædita [*est;*
Mens enim, non visus, illud optime dijudicat;

✠ et quæ consequuntur. Valde autem proprie dicit Scriptura, mulierem datam esse a Deo « adjutricem [b]. » Clarum est ergo, quod unicuique ex iis, quæ a marito eveniunt, molestiis, logo seu ratione ac vi persuasionis mederi apud se constituet. Sin autem iis non obsequatur, tunc jam conabitur, C quoad fieri potest ab humana natura, vitam absque peccato transigere, seu cum ratione mori oporteat, seu vivere; talis actionis adjutorem et socium Deum esse existimans, qui revera defensor est, et servator, et in præsentia et in futuro; illumque ducem et principem cujusvis actionis constituens, temperantiam quidem et justitiam suum esse munus existimans, finem vero suum statuens, ut a Deo ametur. Eleganter itaque Apostolus in Epistola ad Titum dicit, « anus » debere esse « in habitu sancto, non calumniatrices, non vino multo servientes; ut erudiant adolescentes, ut sint virorum suorum amantes, et liberos suos diligant, prudentes, castæ et sobriæ, domus curam habentes, benignæ, subditæ viris

✠ P. 622 ED. POTTER, 525 ED. PARIS. [a] I Tim. IV, 5; Hebr. X, 22, 23. [b] Gen. II, 20.

COLLECT. — Porro hos versus, una cum præcedentibus et sequentibus, hoc modo emendatos et digestos exhibet Grotius in *Excerptis* ex incertis Euripidis tragœdiis, pag. 423, 424:

Ἡδὺ δ', ἢν κακόν τι πράξῃ, συσκυθρωπάζειν [πόσει
Ἄλοχον, ἐν κοινῷ τε λύπης ἡδονῆς τ' ἔχειν [μέρος.
Σοὶ δ' ἔγωγε καὶ νοσοῦντι συννοσοῦσ' ἀνέξομαι,
Καὶ κακῶν τῶν σῶν συνοίσω· καὶ γὰρ οὐδέν [ἐστί μοι
Πικρὸν οὐπέρ σου φορήσω· δυστυχεῖν μετὰ τῶν [φίλων,
Εὐτυχεῖν τε χρή· τί γὰρ δὴ τὸ φίλον ἄλλο, [πλὴν τόδε;

Dulce, cum fortuna sævit, condolere conjugem
Conjugi, partemque ferre de bonis et tristibus:
Ego tuas simul ægra tecum patiar ægrimonias,
D *Pariter ærumnas subibo: nil erit pro te grave,*
Nil acerbum. Sors amici simul habenda est, utra- [*que,*
Læta, mœsta. Nam quid aliud est amare mutuo?

Eodem fere modo exstant in fr[illegible] Euripidis, v. 296.

(69) Ἁγιάζεται. In unum conjungit I Tim. IV, 5: Ἁγιάζεται γὰρ διὰ λόγου Θεοῦ καὶ ἐντεύξεως· et Heb. X, 22, 23: Προσερχώμεθα μετὰ ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως, ἐρραντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς· καὶ λελουμένοι τὸ σῶμα ὕδατι καθαρῷ, κατέχωμεν τὴν ὁμολογίαν τῆς ἐλπίδος ἀκλινῆ· πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος.

(70) Τὸ κρίνειν. Metrum postulat τὸ κρῖνον, « id quod judicat. » SYLB.

(71) Ἱεροπρεπεῖ. Ἱεροπρεπεῖς, Tit., ubi mox, μὴ οἴνῳ πολλῷ δεδουλωμένας, καλοδιδασκάλους· ἵνα σ. Mox, μᾶλλον δὲ, Heb. XII, pertinet ad præced.

suis : ne verbum Dei blasphemetur [a]. Potius autem, inquit, pacem persequimini cum omnibus, et sanctificationem, sine qua nemo videbit Dominum ; attendentes, ne quis fornicator, aut profanus, ut Esau, qui pro cibo uno vendidit jus primogenituræ, ne qua radix amaritudinis sursum nascens molestiam afferat, et per eam inquinentur multi [b]. » Deinde veluti colophonem imponens quæstioni de matrimonio, subjungit : « Honorabile connubium in omnibus, et torus immaculatus ; fornicatores autem et adulteros judicabit Deus [c]. » Cum unus utique scopus et unus finis et viro et mulieri sit ostensus, de eo, qui est perfectus, dicit Petrus in Epistola : « Modicum nunc, si oportet, tristitia affecti in variis tentationibus, ut probatio vestræ fidei multo pretiosior auro, quod perit et per ignem est probatum, inveniatur, in laudem et gloriam, in revelatione Jesu Christi ; quem, cum non videritis, diligitis ; in quem, nunc cum non videatis, credatis autem, exsultatis lætitia inenarrabili et glorificata, reportantes finem fidei, salutem animarum [d]. » Quamobrem Paulus quoque gloriatur se propter Christum fuisse « in laboribus abundantius, in plagis supra modum, in mortibus frequenter [e]. »

A τοῦ Θεοῦ βλασφημῆται. Μᾶλλον δὲ, » φησὶν, « εἰρήνην διώκετε μετὰ πάντων καὶ τὸν ἁγιασμὸν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον· ἐπισκοποῦντες (72) μή τις πόρνος ἢ βέβηλος, ὡς Ἡσαῦ, ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια, καὶ μή τις ῥίζα πικρίας ἄνω φύουσα, ἐνοχλῇ, καὶ δι' αὐτῆς μιανθῶσιν οἱ πολλοί. » Εἶθ' οἷον κολοφῶνα ἐπιθεὶς τῷ περὶ γάμου ζητήματι, ἐπιφέρει· « Τίμιος ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος· πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ Θεός. » Ἑνὸς δὴ σκοποῦ καὶ ἑνὸς δὴ τέλους ἀνδρὶ καὶ γυναικὶ δεδειγμένου (73), τὸν τέλειον ὁ Πέτρος ἐν τῇ Ἐπιστολῇ φησι· « Ὀλίγον ἄρτι, εἰ δέον, λυπηθέντες ἐν ποικίλοις πειρασμοῖς, ἵνα τὸ δοκίμιον τῆς πίστεως ὑμῶν πολὺ τιμιώτερον χρυσίου τοῦ ἀπολλυμένου καὶ διὰ πυρὸς δεδοκιμασμένου εὑρεθῇ, B εἰς ἔπαινον καὶ δόξαν, ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ· ὃν οὐκ εἰδότες ἀγαπᾶτε· εἰς ὃν ἄρτι μὴ ὁρῶντες, πιστεύοντες δὲ, ἀγαλλιᾶσθε χαρᾷ ἀνεκλαλήτῳ καὶ δεδοξασμένῃ, κομιζόμενοι τὸ τέλος τῆς πίστεως, σωτηρίαν ψυχῶν. » Διὸ καὶ Παῦλος καυχᾶται διὰ Χριστὸν γεγονέναι « ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν θανάτοις πολλάκις. »

CAPUT XXI.

Perfectum seu vere gnosticum describit.

Hic invenio perfectum multis modis accipi, prout is est, qui unaquaque virtute præcellit. Perficitur itaque et consummatur aliquis, et ut pius ac religiosus, et ut tolerans, et ut continens, et ut operarius, et ut martyr, et ut gnosticus. In ✠ omnibus autem simul perfectus nescio an ullus sit, quandiu est homo, nisi solum is, qui propter nos induit hominem, vel quidem ex nuda lege. Quis ergo erit perfectus ? qui profitetur abstinentiam a malis. Ea autem est via ad Evangelium et ad bene faciendum. Sed legalis quidem hominis gnostica perfectio, est assumptio Evangelii, ut fiat is perfectus qui est ex lege. Ita enim prædixit is, qui erat ex lege, Moyses, esse audiendum, ut acci-

Ἐνταῦθα τὸ τέλειον εὑρίσκω πολλαχῶς ἐκλαμβανόμενον κατὰ τὸν ἐν ἑκάστῃ κατορθοῦντα ἀρετῇ. Τελειοῦται γοῦν τις καὶ ὡς εὐλαβὴς, καὶ ὡς ὑπομονητικὸς, καὶ ὡς ἐγκρατὴς, καὶ ὡς ἐργάτης, καὶ ὡς μάρτυς, καὶ ὡς γνωστικός· πάντα C δὲ ὁμοῦ τέλειος οὐκ οἶδ' εἴ τις ἀνθρώπων, ἔτι ἄνθρωπος ὢν, πλὴν μόνον ὁ δι' ἡμᾶς ἄνθρωπον ἐνδυσάμενος, καίτοι κατὰ νόμον ψιλόν. Τίς οὖν εἴη τέλειος; ὃς ἀποχὴν (74) κακῶν ἐπαγγέλλεται· ὁδὸς δέ ἐστιν αὕτη ἐπί τε τὸ Εὐαγγέλιον, ἐπί τε τὴν εὐποιίαν. Ἀλλὰ νομικοῦ μὲν τελείωσις γνωστικὴ Εὐαγγελίου πρόσληψις, ἵνα γένηται ὁ κατὰ νόμον τέλειος· οὕτω γὰρ προεθέσπισεν ὁ κατὰ νόμον Μωϋσῆς, ἀκοῦσαι δεῖν (75), ἵνα ἐκδεξώμεθα κατὰ τὸν Ἀπό-

✠ P. 623 ED. POTTER, 526 ED. PARIS. [a] Tit. II, 3, 4, 5. [b] Heb. XII, 13, 14, 15, 16, 17. [c] Heb. XIII, 4. [d] I Pet. I, 6, 7, 8, 9. [e] II Cor. XI, 23.

(72) *Ἐπισκοπ.* Heb. XII : Ἐπισκοποῦντες μή τις ὑστερῶν ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ· μή τις ῥίζα πικρίας, ἄνω φύουσα, ἐνοχλῇ, καὶ διὰ ταύτης μιανθῶσι πολλοί· μή τις πόρνος ἢ βέβ. . . . πρωτοτόκια αὐτοῦ.

(73) *Τέλους . . . . δεδειγμένου.* Haud scio, an rectius δεδειγμένου τοῦ τελείου· ut appositivum exegema sit, idque substantive positum pro τῆς τελειότητος. SYLBURG. — Mox, εἰ δέον ἐστὶ apud I Petr. I ; dein, ὑμῶν τῆς πίστεως· rursus, διὰ πυρὸς δὲ δοκιμαζομένου pro καὶ διὰ πυρὸς δεδοκιμασμένου· tum, εἰς ἔπαινον, καὶ τιμὴν, καὶ δόξαν. Dein, εἰδότες ἀγαπᾶτε, denique, τὸ τέλος τῆς πίστεως ὑμῶν.

(74) *Καίτοι κατὰ νόμον ψιλόν. Τίς οὖν εἴη τέλειος; ὃς ἀπ.* Hervetus hæc sic scripta explicat : Καίτοι κατὰ νόμον ψιλὸν τὶς ἂν εἴη τέλειος, ὃς ἀπ. « Quamvis ex nuda lege fuerit quis utique perfectus, qui profitetur abstinendum a malis ; etc. » Vult enim auctor legem Mosaicam mala prohibentem esse quodammodo viam ad Evangelium, ex quo præterea bene operari discimus. Proinde legem βαθμὸν, « gradum, » ad Evangelium appellat : quippe cum viri gnostici seu perfecti « opus sit, » οὐχ ἡ ἀποχὴ τῶν κακῶν· ἐπιβάθρα γὰρ αὕτη προκοπῆς μεγίστης· « non abstinentia a malis, quæ tantum D gradus est ad majorem profectum ; » sed præterea bene operari : ut ait auctor infra p. 528 ed. Paris. Et plenius *Str.* VI, p. 645 : Ὁ δὲ ἐν τῷ σώματι καθαρισμὸς τῆς ψυχῆς πρῶτος οὗτός ἐστιν, ἡ ἀποχὴ τῶν κακῶν· ἥν τινες τελείωσιν ἡγοῦνται· καὶ ἔστιν ἁπλῶς τοῦ κοινοῦ πιστοῦ, Ἰουδαίου τε καὶ Ἕλληνος, ἡ τελείωσις αὕτη. Τοῦ δὲ γνωστικοῦ μετὰ τὴν ἄλλοις νομιζομένην τελείωσιν ἡ δικαιοσύνη εἰς ἐνέργειαν εὐποιίας προβαίνει. « Est autem in corpore prima animæ purgatio, ut a malis abstineat ; quod quidem perfectionem putant ; et est quidem hæc communis cujusquam fidelis, seu Judæus is, seu Græcus fuerit, perfectio. Gnostici vero justitia ultra eam, quam alii sic dicunt, perfectionem ad bonorum operum effectionem progreditur. »

(75) *Ἀκοῦσαι δεῖν.* Respicere videtur Moysis verba, Deuteron. XVIII, 15 : Προφήτην ἐκ τῶν ἀδελφῶν σου, ὡς ἐμὲ, ἀναστήσει σοι Κύριος· αὐτοῦ ἀκούσεσθε. Quæ in Christo impleta fuisse dicuntur, Act. III, 22 ; VII, 37.

στολον πλήρωμα (76) νόμου τὸν Χριστόν. Ἐν Εὐαγγελίῳ δὲ ἤδη προκόπτει ὁ γνωστικὸς, οὐ βαθμῷ χρησάμενος τῷ νόμῳ μόνον, συνιεὶς δὲ αὐτὸν καὶ νοήσας ὡς παρέδωκε τοῖς Ἀποστόλοις ὁ τὰς Διαθήκας δεδωκὼς (77) Κύριος. Εἰ δὲ καὶ πολιτεύσαιτο ὀρθῶς, (ὥσπερ οὖν ἀδύνατον, δυσεργείᾳ γνῶσιν ἐπακολουθεῖν·) μάρτυς τε ἐπὶ τοῖσδε ὀρθότατα ὁμολογήσας δι' ἀγάπην γένοιτο, πλείονα τὴν ἀξίαν ὡς ἐν ἀνθρώποις λαμβάνων· οὐδ' οὕτως φθάσει τέλειος ἐν σαρκὶ κληθείς· ἐπεὶ τὴν προσηγορίαν ταύτην προείληφεν ἡ συμπεραίωσις τοῦ βίου, φθάσαντος ἤδη τοῦ γνωστικοῦ μάρτυρος τὸ τέλειον ἔργον ἐνδείξασθαι καὶ παραστῆσαι κυρίως δι' ἀγάπης γνωστικῆς εὐχαρισθέντος (78) αἵματος, παραπεμπομένου τὸ πνεῦμα· μακάριος δ' ἔνθεν ἂν εἴη, τέλειός τε ἐν δίκῃ κηρυχθείη, B « ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ, καὶ μὴ ἐξ ἡμῶν, » ὥς φησιν ὁ Ἀπόστολος· μόνον τὸ προαιρετικὸν καὶ τὴν ἀγάπην σώζωμεν· « ἐν παντὶ θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι· ἀπορούμενοι, ἀλλ' οὐκ ἐξαπορούμενοι· διωκόμενοι, ἀλλ' οὐκ ἐγκαταλειπόμενοι· καταβαλλόμενοι, ἀλλ' οὐκ ἀπολλύμενοι. » Χρὴ γὰρ τοὺς σπεύδοντας εἰς συντελείωσιν, κατὰ τὸν αὐτὸν Ἀπόστολον, « μηδεμίαν ἐν μηδενὶ διδόναι προσκοπήν, ἀλλ' ἐν παντὶ συνιστάναι ἑαυτοὺς, οὐκ ἀνθρώποις, ἀλλὰ τῷ Θεῷ. » Ἔστω δὲ κατεπακολούθημα, πείθεσθαι καὶ τοῖς ἀνθρώποις· καὶ γὰρ τούτοις εὔλογον, διὰ τὰς ἐπηρεαζούσας βλασφημίας. Ἡ δὲ διασύστασις (79) « ἐν ὑπομονῇ πολλῇ, » ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν ἀκαταστασίαις, ἐν κόποις, ἐν ἀγρυ- C πνίαις, ἐν νηστείαις, ἐν ἁγνότητι, ἐν γνώσει, ἐν μακροθυμίᾳ, ἐν χρηστότητι, ἐν Πνεύματι ἁγίῳ, ἐν ἀγάπῃ ἀνυποκρίτῳ, ἐν λόγῳ ἀληθείας, ἐν δυνάμει Θεοῦ, ἵνα ὦμεν (80) ναοὶ Θεοῦ, καθαρισθέντες ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος. Κἀγὼ, φησὶν, εἰσδέξομαι ὑμᾶς, καὶ ἔσομαι ὑμῖν εἰς πατέρα, καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας, λέγει Κύριος παντοκράτωρ. Ἐπιτελοῦμεν (81) οὖν, φησὶν, ἁγιωσύνην ἐν φόβῳ Θεοῦ. » Εἰ γὰρ καὶ λύπην ὁ φόβος γεννᾷ, « Χαίρω, » λέγω (82), « οὐχ ὅτι ἐλυπήθητε, ἀλλ' ὅτι εὐπαθεῖς ἐστε (83) εἰς μετάνοιαν. Ἐλυπήθητε γὰρ κατὰ Θεὸν, ἵνα ἐν μηδενὶ ζημιωθῆτε ἐξ ἡμῶν· ἡ γὰρ κατὰ Θεὸν λύπη, μετάνοιαν εἰς σωτη-

A piamus, ex Apostoli sententia, Christum legis plenitudinem. In Evangelio autem jam proficit gnosticus, non solum quod utatur lege tanquam gradu, sed quod eam percipiat, ejusque sensum intelligat, prout tradidit apostolis, qui dedit Testamenta, Dominus. Quod si etiam recte vitam instituerit (sicut certe fieri non potest, ut pravos mores sequatur cognitio), et præterea rectissime confessus, martyr per dilectionem fiat, et maximam ut inter homines dignitatem acceperit; ne sic quidem eo perveniet, ut vocetur in carne perfectus; quoniam hanc appellationem vindicat vitæ finis, cum gnosticus martyr jam eo pervenerit, ut perfectum opus ostendat et proprie exhibeat, atque sanguine per charitatem gnosticam grate effuso emiserit spiritum; beatus autem hinc fuerit, et jure perfectus vocetur, « ut sublimitas potestatis sit Dei, et non ex nobis, » ut dicit Apostolus. Solummodo conservemus liberum eligendi arbitrium et charitatem; « in quolibet afflicti, sed non redacti in angustias; egentes, sed non oppressi egestate; persecutionem patientes, sed non derelicti; dejecti, sed non perditi [a]. » Oportet enim eos, qui contendunt ad consummationem, ex ejusdem Apostoli sententia, « nullam in nulla re dare offensionem, sed in re qualibet commendare seipsos non hominibus, sed Deo; » addatur insuper, parere etiam hominibus; etenim his etiam parere est consentaneum, ne nos insectentur maledictis. Commendatio autem est « in tolerantia multa, in afflictionibus, in necessitatibus, in angustiis, in plagis, in carceribus, in seditionibus, in laboribus, in vigiliis, in jejuniis, in castitate, ✠ in cognitione, in patientia, in benignitate, in sancto Spiritu, in charitate non ficta, in verbo veritatis, in virtute Dei [b], ut simus templa Dei emundata ab omni inquinamento carnis et spiritus. Et ego, inquit, vos accipiam, et **226** ero vobis in patrem, et vos eritis mihi in filios et filias, ait Dominus omnipotens [c]. Perficiamus ergo, inquit, sanctitatem in timorem Dei. » Nam etsi tristitiam timor generat, « gaudeo, inquam, non quod tristitia affecti estis, sed quod ea vos propensos reddidit ad pœnitentiam. Tristitia enim affecti estis secundum Deum, ut in nullo de-

✠ P. 624 ED. POTTER, 527 ED. PARIS. [a] II Cor. IV, 7, 8, 9. [b] II Cor. VI, 5, 4, 5, 6, 7. [c] II Cor. VII, 1; VI, 16, 17, 19.

(76) *Πλήρωμα*. Rom. x, 4: Τέλος γὰρ νόμου Χριστός. Matth. v, 17: Οὐκ ἦλθον καταλῦσαι (νόμον), ἀλλὰ πληρῶσαι.

(77) *Ὁ τὰς διαθήκας δεδ*. Irenæus lib. IV, cap. 21: « Utraque autem testamenta unus et idem paterfamilias produxit, Verbum Dei, Dominus noster Jesus Christus, qui et Abrahæ et Moysi collocutus est.

(78) *Εὐχαρισθέντος*. Rectius, εὐχαριστηθέντος. SYLBURG.

(79) *Ἡ δὲ διασύστασις*. Mallet fortasse aliquis ἡ δὲ δὴ σύστασις, ut II Cor. VI: Ἐν παντὶ συνιστῶντες ἑαυτοὺς, ὡς Θεοῦ διάκονοι, ἐν ὑπομονῇ πολλῇ. et quæ sequuntur: nam δὲ δὴ more Platonico alibi quoque usurpata p. 37, lin. 33; p. 186, l. 25; p. 206, l. 26. Sed mutatione opus non est, quia no- D men διασύστασις confirmat adjectivum διασυστατικὴ p. 220, l. 22. SYLB. — Forte respicit II Cor. XI, 28.

(80) *Ἵνα ὦμεν*. Quæ sequuntur, composita sunt ex II Cor. VII, 1: Καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ Θεοῦ. VI, 16: Ὑμεῖς γὰρ ναὸς Θεοῦ ἐστε ζῶντος. 17: Κἀγὼ εἰσδέξομαι ὑμᾶς. 19: Καὶ ἔσομαι ὑμῖν εἰς πατέρα, καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας, λέγει Κύριος παντοκράτωρ.

(81) *Ἐπιτελοῦμεν*. Malim in subjunctivo modo ἐπιτελῶμεν. Quo modo utitur Apostolus II Cor. VII, 1: Καθαρίσωμεν ἑαυτοὺς, ... ἐπιτελοῦντες ἁγιωσύνην ἐν φ.

(82) *Λέγω*. Forte λέγει, « dicit. » SYLBURG

(83) *Εὐπαθεῖς ἐστε*. Interpretamentum τοῦ ἐλυπήθητε, quod hic repetit Apostolus.

trimentum a nobis accipiatis. Nam quæ est secundum Deum tristitia, pœnitentiam ad salutem operatur non pœnitendam ; tristitia autem mundi, mortem operatur. Etenim id ipsum, quod tristitia affecti estis secundum Deum, quantum in vobis operabatur studium, sed defensionem, sed indignationem, sed timorem, sed desiderium, sed æmulationem, sed vindictam. In omni exhibuistis vos castos negotio [a]. » Hæc sunt exercitationis gnosticæ præexercitamenta. Quoniam autem Deus ipse omnipotens « dedit alios quidem apostolos, alios vero prophetas, alios autem evangelistas, alios autem pastores et doctores, ad perfectionem sanctorum, ad opus ministerii, ad ædificationem corporis Christi, donec occurramus omnes in unitatem fidei et agnitionis Dei Filii, in virum perfectum, in mensuram ætatis plenitudinis Christi [b] ; » studendum, ut gnostice viri evadamus et quam maxime perficiamur, dum adhuc in carne manemus ; et perfecta hic concordia et consensione degendo, meditemur cum Dei voluntate concurrere, ad restitutionem vere perfectæ nobilitatis et cognationis in « plenitudinem Christi ; » quæ « perfectione » nostra absolute perficitur. Atque jam cernimus, quanam ratione et quomodo et quando « perfectum » dicit divinus Apostolus, et ut perfectorum ostendit differentias. Et rursus : « Unicuique datur manifestatio Spiritus ad utilitatem ; alii quidem datur per spiritum sermo sapientiæ, alii quidem sermo scientiæ secundum eumdem spiritum, alteri fides in eodem spiritu, alii autem gratiæ sanitatem in eodem spiritu, alii vero operationes virtutum, alii prophetia, alii discretio spirituum, alii genera linguarum, alii autem interpretatio linguarum. ✠ Omnia autem hæc operatur unus et idem Spiritus, dividens seorsum unicuique prout vult [c]. » Quæ cum ita se habeant, prophetæ quidem perfecti sunt in prophetia, justi autem in justitia, et martyres in confessione, alii autem in prædicatione, non expertes quidem virtutum communium, sed præterea excellentes in iis, ad quæ sunt ordinati. Quis enim sanæ mentis dixerit, prophetam non esse justum? Quid enim, non justi quoque, sicut Abraham, prophetarunt ?

ρίαν ἀμεταμέλητον ἐργάζεται (84)· ἡ δὲ τοῦ κόσμου λύπη θάνατον κατεργάζεται. Ἰδοὺ γὰρ αὐτὸ τοῦτο τὸ κατὰ Θεὸν λυπηθῆναι ὑμᾶς πόσην κατειργάσατο ὑμῖν σπουδήν ; ἀλλὰ ἀπολογίαν, ἀλλὰ ἀγανάκτησιν, ἀλλὰ φόβον, ἀλλὰ ἐπιπόθησιν, ἀλλὰ ζῆλον, ἀλλὰ ἐκδίκησιν· ἐν παντὶ συνεστήσατε ἑαυτοὺς ἁγνοὺς εἶναι τῷ πράγματι (85). » Ταῦτα γνωστικῆς ἀσκήσεως προγυμνάσματα. Ἐπεὶ δὲ ὁ παντοκράτωρ Θεὸς (86) αὐτὸς « ἔδωκεν τοὺς μὲν ἀποστόλους, τοὺς δὲ προφήτας, τοὺς δὲ εὐαγγελιστάς, τοὺς δὲ ποιμένας καὶ διδασκάλους, πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων, εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ, μέχρι καταντήσομεν πάντες (87) εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ (88), εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ· » σπευστέον ἀπανδροῦσθαι γνωστικῶς καὶ τελειοῦσθαι ὡς ὅτι μάλιστα ἔτι ἐν σαρκὶ καταμένοντας, ἐκ τῆς τελείας ἐνθένδε ὁμοφροσύνης μελετήσαντας συνδραμεῖν τῷ θελήματι τοῦ Θεοῦ εἰς τὴν ἀποκατάστασιν τῆς τῷ ὄντι τελείας εὐγενείας τε καὶ συγγενείας εἰς « τὸ πλήρωμα τοῦ Χριστοῦ, » τὸ ἐκ « καταρτισμοῦ » τελείως ἀπηρτισμένον. Ἤδη συνορῶμεν ὅπη καὶ ὅπως καὶ ὁπότε ὁ θεῖος Ἀπόστολος τὸν « τέλειον » λέγει, καὶ ὡς τελείων ἐμφαίνει διαφοράς. Πάλιν τε αὖ· Ἑκάστῳ δίδοται ἡ φανέρωσις τοῦ Πνεύματος πρὸς τὸ συμφέρον· ᾧ μεν γὰρ δίδοται διὰ τοῦ πνεύματος λόγος (89) σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ πνεῦμα, ἑτέρῳ πίστις ἐν τῷ αὐτῷ πνεύματι, ἄλλῳ δὲ χαρίσματα (90) ἰαμάτων ἐν τῷ αὐτῷ πνεύματι, ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων, ἄλλῳ προφητεία, ἄλλῳ διάκρισις πνευμάτων, ἑτέρῳ γένη γλωσσῶν, ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν· πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται. » Ὧν οὕτως ἐχόντων, οἱ μὲν προφῆται ἐν προφητείᾳ τέλειοι, οἱ δίκαιοι δὲ ἐν δικαιοσύνῃ, καὶ οἱ μάρτυρες ἐν ὁμολογίᾳ, ἄλλοι δὲ ἐν κηρύγματι, οὐκ ἀμέτοχοι μὲν τῶν κοινῶν ἀρετῶν, κατορθοῦντες δὲ ἐν οἷς ἐτάχθησαν· ἐπεὶ τίς ἂν εὖ φρονῶν εἴποι τὸν προφήτην οὐ δίκαιον ; Τί γάρ ; οὐχὶ καὶ οἱ δίκαιοι ὥσπερ Ἀβραὰμ προεφήτευσεν (91) ;

Bellica namque Deus dedit huic ut munera obiret,
Illi ut saltaret, cithara cantuque sonaret,

ait Homerus. « Sed unusquisque habet proprium donum a Deo ; hic quidem sic, ille vero sic [d] : »

Ἄλλῳ μὲν γὰρ ἔδωκε Θεὸς πολεμήϊα ἔργα,
Ἄλλῳ δ' ὀρχηστὺν, ἑτέρῳ κίθαριν καὶ ἀοιδήν,

Ὅμηρος λέγει. « Ἀλλ' ἕκαστος ἴδιον ἔχει χάρισμα ἀπὸ Θεοῦ· ὁ μὲν οὕτως, ὁ δὲ οὕτως· » οἱ ἀπόστολοι

✠ P. 625 ED. POTTER, 528 ED. PARIS. [a] II Cor. VII, 1, 9, 10, 11. [b] Ephes. IV, 11. 12, 13. [c] I Cor. XII, 7, 8, 9, 10, 11. [d] I Cor. VII, 7.

(84) *Ἐργάζεται.* II Cor. VII, κατεργάζεται.

(85) *Τῷ πράγματι.* Τῷ πράγματι agnoscit cum Clemente vetus interpres : sed cum præpos. habent libri vulg. ἐν τῷ πράγματι. SYLBURG.

(86) *Ὁ παντοκράτωρ Θεός.* Nempe Christus, de quo verba facit Apostolus Ephes. IV, 11.

(87) *Καταντήσομεν πάντες.* Ephes., καταντήσωμεν οἱ πάντες.

(88) *Τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ.* Flor. edit. duplicem lectionem habet, τῆς ἐπιγνώσεως τοῦ Θεοῦ· et, τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ· quæ cum in unam confusæ essent, ego eam secutus sum, quæ in Vulg. Bib. exstat. SYLBURG.

(89) *Δίδοται διὰ τοῦ π. λ.* Vulg. Bib. I Cor. XII, concinnius, διὰ τοῦ πνεύματος δέδοται λόγος, et mox, ἑτέρῳ δὲ πίστις· dein, ἄλλῳ δὲ προφητεία, ἄλλῳ δὲ διάκρισις πνευμάτων, ἑτέρῳ δὲ γένη γλωσσῶν· inserta ubique conjunctione. A. SYLBURG.

(90) *Χαρίσματα.* Vulg. Bib., χάρισμα.

(91) *Προεφήτευσεν.* Forte rectius προεφήτευσαν plur. num. Sequens Homeri locus exstat *Iliad.* N, in fine. SYLB. — Nempe v. 730. Mox, I Cor. VII, 7 Ἀλλ' ἕκαστος ἴδιον χάρισμα ἔχει ἐκ Θεοῦ· ὃς μὲν οὕτως, ὃς δὲ οὕτως.

δὲ ἐν πᾶσι πεπληρωμένοι. Εὑρήσεις γοῦν, ἣν θελήσῃς, ἐκ τῶν πράξεων καὶ τῶν συγγραμμάτων αὐτῶν, τὴν γνῶσιν, τὸν βίον, τὸ κήρυγμα, τὴν δικαιοσύνην, τὴν ἁγνείαν, τὴν προφητείαν. Ἰστέον μέντοι, ὅτι εἰ καὶ ὁ Παῦλος τοῖς χρόνοις νεάζει, εὐθέως μετὰ τὴν τοῦ Κυρίου ἀνάληψιν ἀκμάσας· ἀλλ' οὖν ἡ γραφὴ αὐτῷ ἐκ τῆς Παλαιᾶς ἤρτηται Διαθήκης, ἐκεῖθεν ἀναπνέουσα καὶ λαλοῦσα· ἡ γὰρ εἰς Χριστὸν πίστις καὶ ἡ τοῦ Εὐαγγελίου γνῶσις ἐξήγησίς ἐστι καὶ τοῦ νόμου πλήρωσις (92)· καὶ διὰ τοῦτο εἴρηται τοῖς Ἑβραίοις· « Ἐὰν μὴ πιστεύσητε, οὐ μὴ (93) συνῆτε· » τουτέστιν, ἐὰν μὴ πιστεύσητε τῷ διὰ νόμου προφητευθέντι καὶ ὑπὸ νόμου θεσπισθέντι, οὐ συνήσετε τὴν Διαθήκην τὴν Παλαιάν, ἣν αὐτὸς κατὰ τὴν ἰδίαν ἐξηγήσατο παρουσίαν.

A apostoli autem fuere pleni in omnibus. Invenies itaque, si volueris, ex eorum Actis et scriptis, eorum cognitionem, vitam, prædicationem, justitiam, castitatem, prophetiam. Sciendum est autem, quod etsi Paulus sit tempore recentior, ut qui statim floruerit post Domini assumptionem; ejus tamen scriptura pendet ex Veteri Testamento, illinc et spirans et loquens. Nam fides in Christum, et Evangelii cognitio, est expositio, et legis adimpletio, et ideo dictum est Hebræis: « Nisi credideritis, non intelligetis [a]; » hoc est, nisi ei credideritis, qui per legem est prædictus et a legis oraculo est significatus, non intelligetis Vetus Testamentum, quod ipse per propriam exposuit præsentiam.

CAPUT XXII.

Perfectum, seu vere gnosticum neque metu pœnæ, neque spe præmii officium facere, sed solius boni et pulchri intuitu.

Ὁ δὴ συνιὼν καὶ διορατικὸς οὗτός ἐστιν ὁ γνωστικός. Ἔργον δὲ αὐτοῦ οὐχ ἡ ἀποχὴ τῶν κακῶν [ἐπιβάθρα γὰρ αὕτη προκοπῆς μεγίστης (94)], οὐδὲ μὴν ποιεῖν τι ἀγαθὸν, ἤτοι διὰ φόβον· γέγραπται γάρ· « Ποῦ φύγω (95), καὶ ποῦ κρυβήσομαι ἀπὸ προσώπου σου; Ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ ἐκεῖ εἶ· ἐὰν ἀπέλθω (96) εἰς τὰ ἔσχατα τῆς θαλάσσης, ἐκεῖ ἡ δεξιά σου· ἐὰν καταβῶ εἰς ἀβύσσους, ἐκεῖ τὸ πνεῦμά σου· » ἀλλ' οὐδὲ δι' ἐλπίδα τιμῆς ἐπηγγελμένης· εἴρηται γάρ· « Ἰδοὺ Κύριος (97), καὶ ὁ μισθὸς αὐτοῦ ἀπὸ προσώπου αὐτοῦ, ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ· ἃ ὀφθαλμὸς οὐκ εἶδεν, καὶ οὖς οὐκ ἤκουσεν, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν· » μόνη δ' ἡ δι' ἀγάπην εὐποιία, ἡ δι' αὐτὸ τὸ καλὸν αἱρετὴ τῷ γνωστικῷ. Αὐτίκα ἐκ προσώπου τοῦ Θεοῦ τῷ Κυρίῳ λέλεκται, « Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου· » αἴτημα τὸ βασιλικώτατον διδάσκων αἰτεῖσθαι, τὴν τῶν ἀνθρώπων σωτηρίαν, ἀμισθὶ, ἵνα δὴ ἡμεῖς κληρονομήσωμεν καὶ κτησώμεθα τὸν Κύριον. Ἔμπαλιν γὰρ, χρείας τινὸς ἕνεκεν, ἵνα μοι τόδε γένηται, καὶ τόδε μὴ γένηται, τῆς ἐπιστήμης ἐφίεσθαι τῆς περὶ τὸν Θεὸν, οὐκ ἴδιον γνωστικοῦ· ἀπόχρη δ' αὐτῷ αἰτία τῆς θεωρίας ἡ γνῶσις αὐτή. Τολμήσας γὰρ εἴποιμ' ἂν, οὐ διὰ τὸ σώζεσθαι βούλεσθαι τὴν γνῶσιν αἱρήσεται ὁ δι' αὐτὴν τὴν θείαν ἐπιστήμην μεθέπων τὴν γνῶσιν· τὸ μὲν γὰρ νοεῖν ἐκ συνασκήσεως εἰς τὸ ἀεὶ νοεῖν ἐκτείνεται· τὸ δὴ ἀεὶ νοεῖν οὐσία τοῦ γινώσκοντος, κατὰ ἀνάκρασιν ἀδιάστατον γενομένη, καὶ ἀΐδιος θεωρία, ζῶσα ὑπόστασις μένει. Εἰ γοῦν τις καθ' ὑπόθεσιν προθείη τῷ γνωστικῷ, πότε-

B Quocirca qui intelligens et perspicax est, hic quoque est gnosticus. Est autem ejus opus non a malis abstinentia (ea est enim quasi gradus ad majorem profectum), sed nec aliquid boni facere, scilicet propter metum. Scriptum est enim: « Quo fugiam, et ubi abscondar a facie tua? Si ascendero in cœlum, tu illic es; si abiero ad extrema maris, illic est dextera tua; si descendero in abyssos, illic spiritus tuus [b]. » Sed neque propter spem promissi honoris; dictum est enim: « Ecce Dominus, et merces ejus a facie ejus, ut reddat unicuique secundum opera sua [c]; quæ oculus non vidit, et auris non audivit, et in cor hominis non ascenderunt, quæ præparavit Deus iis qui ipsum diligunt [d]. » Sola autem C beneficentia, quæ propter charitatem et propter ipsum honestum fit, est a viro gnostico expetenda. Jam vero ex persona Dei, Domino dictum ✠ est: « Pete a me, et dabo tibi gentes hæreditatem tuam [e]: » petitionem maxime regiam, docens hominum salutem petere sine mercede, ut nos simus hæredes et possideamus Dominum. Contra enim, alicujus usus gratia, nempe ut hoc fiat, vel illud non fiat, eam, quæ circa Deum versatur, desiderare scientiam, non convenit gnostico; verum ei pro causa contemplationis sufficit ipsa cognitio. Ausim enim dicere, non eo quod velit salvus esse, eum electurum cognitionem, qui persequitur cognitionem propter ipsam divinam scientiam. Intelligentia enim continua exercitatione fit perpetua D intelligentia. Semper autem intelligere, essentia est

✠ P. 626 ED. POTTER, 529 ED. PARIS. [a] Isa. VII, 9. [b] Psal. CXXXVIII, 7, 8, 9, 10. [c] Isa. XL, 10; LXII, 11; Psal. LXI, 12; Apoc. XXII, 12; Rom. II, 6. [d] I Cor. II, 9. [e] Psalm. II, 8.

(92) *Ἐξήγησίς ἐστι καὶ τοῦ νόμου πλήρωσις.* Vel, ἐξήγησίς ἐστι τοῦ νόμου καὶ πλήρωσις· « est legis expositio et adimpletio. »

(93) *Οὐ μή.* Isa. VII, οὐδὲ μή.

(94) *Μεγίστης.* H. μεγίστη nominat. casu: et mox ποιεῖ, indic. modo. SYLBURG.

(95) *Ποῦ φ.* Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου, καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; Psalm. CXXXIX.

(96) *Ἐὰν ἀπέλθ.* Ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει· ἐὰν ἀναλάβω τὰς πτέρυγάς μου κατ' (scr. ὄρθρον) καὶ κατασκηνώσω εἰς τὰ ἔσχατα τῆς θαλάσσης, καὶ γὰρ ἐκεῖ ἡ χείρ σου ὁδηγήσει με, καὶ καθέξει με ἡ δεξιά σου.

(97) *Ἰδοὺ Κ.* Præter S. Scripturæ loca superius allata, conf. quæ adnotavit Cotelerius ad Clementis Romani *Epistolæ* prioris *ad Corinthios* cap. 34.

ejus, qui cognitione est prææditus, per temperationem quamdam nullis intervallis interruptam instituta, et perpetua contemplatio manet viva substantia. Si quis ergo per hypothesin gnostico proposuerit, utrum malit, Dei cognitionem, an salutem æternam; sint autem ea separata, cum sunt omnino **227** conjuncta; nihil penitus dubitans elegerit Dei cognitionem, propter se judicans esse expetendam eam, quæ fidem transcendit per charitatem ad cognitionem, proprietatem. Hæc est ergo prima viri perfecti beneficentia, quando non fit propter aliquod utile, quod ad se pertineat; sed cum judicaverit pulchrum esse et honestum, id quod bonum est facere, vehementer incitata operatio in omnibus reipsa bene se geret; non in aliquo quidem recte, in aliquo vero non: sed in benefaciendi habitu constituta, neque præterea propter gloriam, aut ut philosophi dicunt εὔκλειαν, id est «famam illustrem;» neque propter mercedem, aut ab hominibus aut a Deo, ad imaginem et similitudinem Domini vitam peregerit. Et si qua ratione ei bonum operanti aliquid contrarium occurrerit, talionem parisque pari relationem ut bonam, citra ullam acceptæ injuriæ recordationem, projiciet, ut qui erga «justos et injustos [a]» exsistat justus et bonus. Eis, qui sunt ejusmodi, dicit Dominus: «Estote sicut Pater vester perfectus [b].» Ei caro est mortua, vivit autem ipse solus, ut qui sepulcrum in sanctum templum Domino consecraverit, veteri peccatis obnoxia anima ad Deum conversa. Is non est amplius continens, sed ad habitum pervenit impatibilitatis, ✠ ut divinam formam induat exspectans. «Si eleemosynam,» inquit, «feceris, nemo sciat: et si jejunaveris, ungere, ut Deus solus cognoscat [c];» nullus autem homo, sed neque ipse, qui miseretur, debet scire se misereri; sic enim erit aliquando quidem misericors, aliquando vero non.

A ρον ἑλέσθαι βούλοιτο τὴν γνῶσιν τοῦ Θεοῦ, ἢ τὴν σωτηρίαν τὴν αἰώνιον· εἴη δὲ ταῦτα κεχωρισμένα, παντὸς μᾶλλον ἐν ταυτότητι ὄντα· οὐδὲ καθοτιοῦν διστάσας, ἕλοιτ' ἂν τὴν γνῶσιν τοῦ Θεοῦ, δι' αὐτὴν αἱρετὴν κρίνας εἶναι τὴν ἐπαναβεβηκυῖαν τῆς πίστεως δι' ἀγάπην εἰς γνῶσιν ἰδιότητα. Αὕτη τοίνυν ἡ πρώτη ἀγαθοποιία τοῦ τελείου, ὅταν μὴ διά τι χρειῶδες τῶν εἰς αὐτὸν συντεινόντων γίνηται· κρίναντος δ' ὅτι καλὸν τὸ ἀγαθὸν ποιεῖν, ἐκτενῶς ἡ ἐνέργεια φερομένη ἐν πᾶσι πράξει (98) ἀγαθύνηται· οὐκ ἐφ' ὧν μὲν, ἐφ' ὧν δ' οὔ· ἀλλ' ἐν ἕξει εὐποιίας καταστᾶσα, μήτε διὰ δόξαν ἔτι, ἢ, ὥς φασιν οἱ φιλόσοφοι, τὴν εὔκλειαν· μήτε διὰ μισθὸν εἴτε παρὰ ἀνθρώπων εἴτε ἐκ Θεοῦ, κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν τοῦ Κυρίου τὸν βίον ἐκτελοίη. Κἂν πως ἀγαθοεργοῦντι αὐτῷ B ἐναντίον τι ἀπαντήσῃ, ὡς ἀγαθὴν τὴν ἀντιμισθίαν (99) ἀμνησικάκως προήσεται, ἐπὶ «δικαίους καὶ ἀδίκους (1)» δίκαιος καὶ ἀγαθὸς γινόμενος. Τοιούτοις τισὶν ὁ Κύριος λέγει· «Γίνεσθε ὡς ὁ Πατὴρ ὑμῶν τέλειος (2).» Τούτῳ τέθνηκεν ἡ σάρξ· ζῇ δὲ αὐτὸς (3) μόνος, ἀφιερώσας τὸν τάφον (4) εἰς ναὸν ἅγιον Κυρίῳ, τὴν παλαιὰν ἁμαρτητικὴν ψυχὴν ἐπιστρέψας πρὸς Θεόν. Οὐκ ἐγκρατὴς οὗτος ἔτι, ἀλλ' ἐν ἕξει γέγονεν ἀπαθείας· σχῆμα θεῖον ἐπενδύσασθαι (5) ἀναμένων. «Ἐὰν ποιήσῃς,» φησὶν, «ἐλεημοσύνην, μηδεὶς γινωσκέτω· καὶ ἐὰν νηστεύῃς, ἄλειψαι, ἵνα ὁ Θεὸς (6) μόνος γινώσκῃ,» ἀνθρώπων δὲ οὐδὲ εἷς. Ἀλλ' οὐδὲ αὐτὸς ὁ ἐλεῶν, ὅτι ἐλεεῖ (7), γινώσκειν ὀφείλει· ἔσται γὰρ οὕτω ποτὲ μὲν οἰκτίρμων, ἄλλοτε δὲ οὔ. Ἐπὰν δὲ ἐν ἕξει ποιήσῃ τὸ εὐεργετητικὸν, C φύσιν ἀγαθοῦ μιμήσεται· ἡ δὲ διάθεσις καὶ φύσις ἔσται καὶ συνάσκησις. Οὐ δεῖ δὲ ἀρθέντας μετατεθῆναι, ἀλλὰ βαδίζοντας ἀφικέσθαι οἷ δεῖ. Τοῦτο γάρ ἐστι «τὸ ἑλκυσθῆναι ὑπὸ τοῦ Πατρὸς,» διὰ πάσης «τῆς στενῆς» διελθόντας «ὁδοῦ,» τὸ ἄξιον γενέσθαι τὴν δύναμιν τῆς χάριτος παρὰ τοῦ Θεοῦ λαβεῖν, ἀκωλύτως ἀναδραμεῖν (8)· κἂν μισῶσι

✠ P. 627 ED. POTTER, 530 ED. PARIS. [a] Matth. v, 45. [b] Ibid. 48. [c] Matth. vi, 2 seq.

(98) *Ἐν πᾶσι πράξει*. Forte ἐν πάσῃ πράξει· aut πράξει accipiendum pro τῷ ἔργῳ, «reipsa et factis.» Sylburg.

(99) *Ὡς ἀγαθὴν τὴν ἀντ*. Hoc est, negliget illam injuriam, nec magis eam ulciscetur, quam si esset bona sanctorum suorum remuneratio. Vel potius scribendum, ὡς οὐκ ἀγαθὴν τ. ἀ. «compensationem injuriæ, ut rem malam» et illicitam «refugiet.» Quod Lowthio etiam placuit. Quinetiam facile potuisse negativam illam particulam excidere, antequam ad hujusce libri finem pervenerimus, non uno exemplo patebit.

(1) *Ἐπὶ δικαίους καὶ ἀδίκους*. Respicit Matth. v, 45: Τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς, καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους.

(2) *Γίνεσθε ὡς ὁ Πατὴρ ὑμῶν τέλειος*. Plenius ex Matth. vi legeris· Γίνεσθε τέλειοι, ὥσπερ ὁ Πατὴρ ὑμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, τέλειός ἐστι. Sylb. — Porro Christi verba apud Matthæum sic se habent: Ἔσεσθε οὖν τέλειοι, ὥσπερ ὁ Πατὴρ ὑμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, τέλειός ἐστι. Sed apud Clementem nil mutandum est: solet enim ille S. Scripturæ aliorumque auctorum verba decurtata, abbreviata, aliisque modis mutata suis immiscere; quemadmodum in iis, quæ ex principio cap. vi Matthæi mox sequuntur observare licet.

(3) *Τέθνηκεν ἡ σάρξ· ζῇ δὲ αὐ*. Respicere videtur Galat. ii, 20.

(4) *Τὸν τάφον*. Hoc est, carnem: quæ Domini templum fit, secundum illud I Cor. iii, 16: Ἢ οὐκ οἴδατε, ὅτι ναὸς Θεοῦ ἐστε; Forte etiam respicit ethnicorum morem, qui mortuorum sepulcra in templa deorum convertebant: de quo superius D *Protrept*. p. 39, 40.

(5) *Ἐν ἕξει γέγονεν ἀπαθείας· σχῆμα θεῖον ἐπ*. Conf. quæ adnotata sunt ad *Pædag*. lib. i, c. 2, p. 99, et ad *Protrept*. p. 88, 89.

(6) *Ἵνα ὁ Θεὸς μόνος γινώσκῃ, ἀνθρώπων δὲ οὐδὲ εἷς. Ἀλλ' οὐδὲ αὐτὸς ὁ ἐλ*. Hoc est: «Ut solus Deus cognoscat, hominum vero ne unus quidem. Imo ne ipse, qui miseretur, scire debet quod miseretur.» Potuerint etiam hæc sic distingui: Ἵνα ὁ Θεὸς μόνος γινώσκῃ, ἀνθρώπων δὲ οὐδὲ εἷς, ἀλλ' οὐδὲ αὐτὸς ὁ ἐλ., quod interpres in Latina versione explicavit.

(7) *Οὐδὲ αὐτὸς ὁ ἐλ*. Respicere videtur Matth. vi, 3: Σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην, μὴ γνώτω ἡ ἀριστερά σου τί ποιεῖ ἡ δεξιά σου.

(8) *Οὐ δεῖ δὲ ἀρθ. .... ἀκωλύτως ἀναδραμεῖν*. Hanc sententiam, quæ jam turbata et prorsus ἀσύντακτος esse videtur, hoc modo scribi et explicari velim: Οὐ δεῖ δὲ ἀρθέντας μετατεθῆναι, ἀλλὰ βαδί-

τὸν ἐκλεκτόν τινες, οἶδεν οὗτος τὴν ἄγνοιαν αὐτῶν, A οἰκτείρων τῆς ἀμαθίας τὴν γνώμην αὐτῶν. Εἰκότως οὖν ἡ γνῶσις αὕτη ἀγαπᾷ, καὶ τοὺς ἀγνοοῦντας διδάσκει τε καὶ παιδεύει τὴν πᾶσαν κτίσιν τοῦ παντοκράτορος Θεοῦ τιμᾷν (9). Εἴ γε ἀγαπᾷν μεμάθηκε τὸν Θεὸν, οὐχ ἕξει τὴν ἀρετὴν ἀπόϐλητον οὗτος οὐδαμῶς, οὔτε ὕπαρ, οὔτε ὄναρ, οὐδὲ κατὰ φαντασίαν τινά· ἐπεὶ μηδ' ἐξίσταταί ποθ' ἑαυτῆς ἡ ἕξις, ἀποπεσοῦσα τοῦ ἕξις εἶναι. Εἴτ' οὖν ἕξις ἡ γνῶσις, εἴτε διάθεσις εἶναι λέγοιτο (10)· τῷ γὰρ μὴ παρεισιέναι ποτὲ ἐννοίας διαφόρους, ἀναλλοίωτον τὸ ἡγεμονικὸν μένον, οὐ προσλαμϐάνει τινὰ ἑτεροίωσιν φαντασιῶν, τὰς ἐκ τῶν μεθημερινῶν κινήσεων ἀνειδωλοποιίας ὀνειρώττον· διὰ τοῦτό τοι καὶ ὁ Κύριος « ἐγρηγορέναι » παραγγέλλει, ὥστε μηδὲ ὄναρ ἡμῶν παθαίνεσθαί ποτε τὴν ψυχήν· ἀλλὰ καὶ τῆς νυκτὸς τὴν πολιτείαν, ὡς B ἐν ἡμέρᾳ ἐνεργουμένην (11), καθαρὰν καὶ ἀκηλίδωτον διαφυλάττειν προστάττει· αὕτη γὰρ ἡ κατὰ δύναμιν ἐξομοίωσις πρὸς Θεὸν, τὸ φυλάττειν τὸν νοῦν ἐν τῇ κατὰ τὰ αὐτὰ σχέσει· αὕτη δὲ νοῦ σχέσις ὡς νοῦ· ἡ δὲ ποικίλη διάθεσις γίνεται τῇ πρὸς τὰ ὑλικὰ προσπαθείᾳ. Ἧ μοι δοκοῦσιν « εὐφρόνην » κεκληκέναι « τὴν νύκτα (12)· » ἐπειδὴ τηνικάδε ἡ ψυχὴ πεπαυμένη τῶν αἰσθήσεων, συννεύει πρὸς αὐτὴν, καὶ μᾶλλον μετέχει « τῆς φρονήσεως. » Διὰ ταῦτ' οὖν καὶ αἱ τελεταὶ γίνονται νυκτὸς μάλιστα, σημαίνουσαι τὴν ἐν νυκτὶ τῆς ψυχῆς συστολὴν ἀπὸ τοῦ σώματος. « Ἄρ' οὖν μὴ καθεύδωμεν, ὡς οἱ λοιποὶ (13), ἀλλὰ γρηγορῶμεν καὶ νήφωμεν· οἱ γὰρ καθεύδοντες νυκτὸς καθεύδουσι· καὶ οἱ μεθυσκόμενοι νυκτὸς μεθύουσιν. C Ἡμεῖς δὲ ἡμέρας ὄντες νήφωμεν, ἐνδυσάμενοι θώρακα πίστεως καὶ ἀγάπης, καὶ περικεφαλαίαν ἐλπίδα σωτηρίου. » Ὅσα δ' αὖ περὶ ὕπνου λέγουσι, τὰ αὐτὰ

Cum autem ex habitu fecerit id, quod est beneficum, naturam boni imitabitur. Dispositio autem et natura fiet et continua exercitatio. Non oportet autem elatos transmoveri, sed ingredientes pervenire quo oportet. Hoc est enim « trahi a Patre, » per omnem « angustam viam [a] » incedentes, dignum effici, ut gratiæ virtutem a Deo accipiat, ut currat citra impedimentum; et si electum odio habeant aliqui, is novit eorum inscitiam, miseretque eum, quod in tanta animus eorum ignorantia versetur. Merito ergo ipsa diligit cognitio, et eos, qui ignorant, docet et erudit omnem Dei omnipotentis honorare creaturam. Quod si Deum didicit diligere, non sic habebit virtutem, ut ea vel vigilando possit amitti, vel in somniis, vel ulla visione; quoniam nec a seipso unquam excedit habitus, ab eo, quod est esse habitum, excidens. Sive ergo cognitio dicatur esse habitus, sive affectio, cum enim diversæ notiones subire non possunt, principalis pars animæ manens non alterata, non assumit aliquam visorum diversitatem, quæ ex diurnis motibus fiunt, simulacra somnians. Propterea certe Dominus quoque præcipit « vigilare [b], » ut anima nostra ne quidem in somnis unquam affectibus animi perturbetur; sed nocturnam quoque vitæ institutionem, tanquam quæ interdiu exerceatur, puram et immaculatam tueri imperat. Sic enim nosmet pro viribus Deo assimilabimus, si mentem in sua ad easdem res habitudine constanter servemus: ea quippe habitudo est mentis, prout mens est. Quod si varie disposita sit, id fit per nimiam in res materiales affectionem. Qua quidem ratione mihi videntur « noctem » vocasse εὐφρόνην, quoniam anima tunc

[a] Joan. VI, 44; Matth. VII, 13, 14. [b] Matth. XXIV, 42.

ζοντας ἀφικέσθαι οἷ δεῖ, διὰ πάσης τῆς στενῆς διελθόντας ὁδοῦ· τοῦτο γάρ ἐστι τὸ ἑλκυσθῆναι ὑπὸ τοῦ Πατρὸς, τὸ ἄξιον γενέσθαι τὴν δύναμιν τῆς χάριτος παρὰ τοῦ Θεοῦ λαϐεῖν ἀκωλύτως ἀναδραμεῖν. « Non oportet autem in sublime elatos transferri, sed potius humi ingredientes, pervenire quo oportet, tota angusta via peragrata. Id enim dicitur a Patre trahi, ut quis dignus fiat a Deo gratiæ potentiam accipere, qua adjutus sine impedimento excurrat. » Scilicet, cum propter viciniam vocum οἷ δεῖ et ὁδοῦ, quæ fere sunt ὁμοιοτέλευτοι, posterior earum sententiarum excidisset, et postea fortasse in margine libri adnotata fuisset, tandem per imperitum librarium textui restituta, alienum locum occupavit. D Cujusmodi transpositiones sæpe alias contigisse norunt omnes qui his in rebus aliquantulum versati sunt. Porro respicit hoc loco auctor dictum illud Christi, quod occurrit Matth. VII, 13, 14: Εἰσέλθετε διὰ τῆς στενῆς πύλης,... ὅτι στενὴ ἡ πύλη, καὶ τεθλιμμένη ἡ ὁδὸς, ἡ ἀπάγουσα εἰς τὴν ζωήν. Item illud in Joan. VI, 44: Οὐδεὶς δύναται ἐλθεῖν πρὸς ἐμὲ, ἐὰν μὴ ὁ Πατὴρ, ὁ πέμψας με, ἑλκύσῃ αὐτόν.

(9) *Εἰκότως... τιμᾷν.* Possent hæc hoc etiam modo non incommode distingui et exponi: Εἰκότως οὖν ἡ γνῶσις αὕτη ἀγαπᾷ καὶ τοὺς ἀγνοοῦντας, διδάσκει τε καὶ παιδεύει τὴν πᾶσαν κτίσιν τοῦ παντοκράτορος Θεοῦ. « Merito illos, qui in ignorantia versantur, diligit ipsa cognitio, et docet etiam atque erudit, ut omnem omnipotentis Dei creaturam honore habeant. »

(10) *Εἴ γε ἀγαπᾷν .... εἶναι λέγοιτο.* Hæc sententia, periodi nota, quæ post ἕξις εἶναι posita est, in commatis notam mutata, sic poterit explicari: « Si autem gnosticus Deum amare didicit, non sic habebit virtutem, ut quovis modo amitti possit, sive inter vigilandum, sive in somniis, sive etiam per aliquam rerum sensibilium speciem; cum habitus nunquam a sua natura degeneret, nec desinat esse habitus; sive cognitio dicatur habitus, sive dispositio. »

(11) *Ὡς ἐν ἡμέρᾳ ἐνεργ.* Nos enim, ut ait D. Paulus I Thess. V, 5: Υἱοὶ φωτὸς ἐσμὲν, καὶ υἱοὶ ἡμέρας. Unde paulo post infert, V, 8: Ἡμεῖς δὲ, ἡμέρας ὄντες, νήφωμεν.

(12) *Εὐφρόνην κεκληκέναι τὴν νύκτα.* Plutarchus lib. *De curiositate*, pag. 521 edit. Paris.: Τοῦτο μέντοι παντὸς μᾶλλον ἀληθές ἐστιν, ὅτι τὴν αἴσθησιν ὀλίγα κινοῦσιν οἱ πλεῖστα τῇ διανοίᾳ χρώμενοι· καὶ γὰρ τὰ μουσεῖα πορρωτάτω τῶν πόλεων ἱδρύσαντο, καὶ τὴν νύκτα προσεῖπον εὐφρόνην, μέγα πρὸς εὕρεσιν τῶν ζητουμένων καὶ σκέψιν ἡγούμενοι τὴν ἡσυχίαν καὶ τὸ ἀπερίσπαστον. « Id tamen verissimum est, eos, qui mente plurimum utuntur, perparco sensuum motu uti. Nam et musæa longissime ab urbibus ædificabant; et noctem euphronam dixerunt Græci a bene intelligendo: ad considerationem et inventionem eorum, quæ quæruntur, admodum conducere quietem et alio abstrahentium vacuitatem rati. » *Etymologici* auctor: Εὐφρόνη, ἡ νὺξ, παρὰ τὸ εὖ φρονεῖν ἡμᾶς ἐν αὐτῇ· καὶ ὁ χρησμὸς, καὶ ἡ βουλή· καὶ γὰρ ὁ λογισμὸς, ὅτε ἀσχολεῖ, κριτὴς γίνεται τῶν πραγμάτων.

(13) *Ὡς οἱ λ.* I Thess. V, ὡς καὶ οἱ λ. et mox, ἐλπίδα σωτηρίας. SYLBURG.

✠ cessans a sensibus, convertitur ad seipsam, et est magis « prudentiæ » particeps. Propterea ergo sacra quoque mysteria maxime noctu fiunt, significantia eam, quæ noctu fit, animæ a corpore contractionem. « Ne dormiamus igitur ut reliqui, sed vigilemus et sobrii simus. Qui enim dormiunt, noctu dormiunt; et qui inebriantur, noctu inebriantur. Nos autem, cum simus diei, sobrii simus, induentes loricam fidei et charitatis, et galeam, spem salutis [a]. » Quæcunque autem dicunt de somno, eadem etiam oportet exaudire de morte : utrumque enim significat abscessum animæ; mors quidem magis, somnus vero minus; quod quidem licet etiam ab Heraclito accipere : « Homo in lætitia tangit lucem sibi mortuus, exstinctus; vivus autem tangit mortuum, dormiens exstinctus oculus. Vigilans tangit dormientem. Beati enim, qui viderunt Dominum, » ex sententia Apostoli; « quoniam tempus est jam nos ex somno surgere; nunc enim est propius nostra salus, quam quando credidimus. Nox præcessit, dies appropinquavit. Deponamus ergo opera tenebrarum, et induamur arma lucis [b]. Diem » autem allegorice dicit filium et lucem; et rursus præcepta, « arma lucis, » metaphorice. Hac ratione dicunt oportere nos ablutos, ad sacrificia et preces ire mundos et splendidos; et hoc quidem fieri symboli signive gratia, esse scilicet extrinsecus ornatum et emundatum. Emundatio autem est, ea quæ sunt sancta animo agitare et sentire. Quin etiam imago quoque fuerit baptismatis; quæ etiam a Moyse poetis tradita fuit hoc modo :

A χρὴ καὶ περὶ θανάτου ἐξακούειν· ἑκάτερος γὰρ δηλοῖ τὴν ἀπόστασιν τῆς ψυχῆς, ὁ μὲν μᾶλλον, ὁ δὲ ἧττον· ὅπερ ἐστὶ καὶ παρὰ Ἡρακλείτου λαβεῖν· « Ἄνθρωπος ἐν εὐφροσύνῃ φάος ἅπτεται ἑαυτῷ ἀποθανὼν, ἀποσβεσθείς· ζῶν δὲ, ἅπτεται τεθνεῶτος εὕδων ἀποσβεσθεὶς ὄψεις· ἐγρηγορὼς, ἅπτεται εὕδοντος (14). Μακάριοι γὰρ οἱ εἰδότες τὸν Κύριον (15), » κατὰ τὸν Ἀπόστολον· « ὅτι ὥρα ὑμᾶς (16) ἤδη ἐξ ὕπνου ἐγερθῆναι· νῦν γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία, ἢ ὅτε ἐπιστεύσαμεν· ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν. Ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους· ἐνδυσώμεθα δὲ τὰ ὅπλα τοῦ φωτός. Ἡμέραν » δὲ τὸν υἱὸν ἀλληγορεῖ καὶ φῶς· τάς τε αὖ παραγγελίας « ὅπλα φωτὸς, » μεταφορικῶς. Ταύτῃ τοι λελουμένους φασὶ δεῖν ἐπὶ τὰς ἱεροποιίας καὶ τὰς εὐχὰς ἰέναι, καθαροὺς B καὶ λαμπρούς· καὶ τοῦτο μὲν συμβόλου χάριν γίνεσθαι, τὸ ἔξωθεν κεκοσμῆσθαί τε καὶ ἡγνίσθαι. Ἁγνεία δέ ἐστι φρονεῖν ὅσια· καὶ δὴ καὶ ἡ εἰκὼν τοῦ βαπτίσματος εἴη ἂν, καὶ ἡ ἐκ Μωϋσέως παραδεδομένη τοῖς ποιηταῖς ὧδέ πως·

Cum hausit aquam, mundas gestans in corpore vestes,

Penelope ad preces venit,

.... Telemachusque :
Ablutis manibus pelago, edit vota Minervæ.

Ἡ δ' ὑδρηναμένη, (17) καθαρὰ χροῒ εἵματ' ἔχουσα

Ἡ Πηνελόπη ἐπὶ τὴν εὐχὴν ἔρχεται·

.... Τηλέμαχος δὲ,
C *Χεῖρας (18) νιψάμενος πολιῆς ἁλὸς, εὔχετ' Ἀθήνῃ.*

Hic erat mos Judæorum, ut etiam sæpe in lecto tingerentur. Bene ergo illud quoque dictum est :

Non lavacro mundus esto, sed animo.

✠ Est enim perfecta, ut sentio, mundities, quæ est mentis et operum et cogitationum, et præterea sermonis quoque sinceritas, et postremo peccati in somniis vacuitas. Est autem sufficiens, ut ego

Ἔθος τοῦτο Ἰουδαίων, ὡς καὶ τὸ πολλάκις ἐπὶ κοίτῃ (19) βαπτίζεσθαι. Εὖ γοῦν κἀκεῖνο εἴρηται·

Ἴσθι μὴ λουτρῷ, ἀλλὰ νόῳ καθαρός.

Ἁγνεία γὰρ, οἶμαι, τελεία ἡ τοῦ νοῦ, καὶ τῶν ἔργων, καὶ τῶν διανοημάτων, πρὸς δὲ καὶ τῶν λόγων εἰλικρίνεια, καὶ τελευταῖα ἡ κατὰ τὰ ἐνύπνια ἀναμαρτησία. Ἱκανὴ δὲ, οἶμαι, ἀνθρώπῳ κάθαρσις μετάνοια

✠ P. 628 ED. POTTER, 531 ED. PARIS. [a] I Thess. v, 6, 7, 8. [b] Rom. xiii, 11, 12. ✠ P. 629 ED. POTTER, 531-532 ED. PARIS.

(14) *Ἄνθρωπος ἐν εὐφροσύνῃ φ. ... ἅπτεται εὕδοντος*. In hoc τοῦ σκοτεινοῦ philosophi dicto, Sylburgius εὐφρόνῃ pro εὐφροσύνῃ substitui debere conjecit : dein pro εὕδων ἀποσβεσθεὶς ὄψεις. Lowthius mavult, εὕδων ἐγρηγορότος ἅπτεται. Poterit autem leviuscule mutatum, sic scribi et exponi : Ἄνθρωπος εὐφρόνῃς ἅπτεται ἐν ἑαυτῷ, ἀποθανὼν, φάος ἀποσβεσθείς· ζῶν δὲ ἅπτεται τεθνεῶτος, εὕδων· ἀποσβεσθεὶς ὄψεις, ἐγρηγορὼς ἅπτεται εὕδοντος. « Homo mortuus noctem in se tangit, luce privatus; vivus autem tangit mortuum, dormiens; cui vero exstincti sunt oculi, is vigilans tangit dormientem. » Simile est quod ex eodem auctore recitavit Plutarchus, lib. *De consolatione* ad Apollonium p. 107 : Καὶ, ᾗ φησιν Ἡράκλειτος, ταυτό τ' ἔνι ζῶν καὶ τεθνηκὸς, καὶ τὸ ἐγρηγορὸς καὶ τὸ καθεῦδον, καὶ νέον καὶ γηραιόν· τάδε γὰρ μεταπεσόντα, κἀκεῖνά ἐστι· κἀκεῖνα πάλιν μεταπεσόντα, ταῦτα. « Et, ut ait Heraclitus, idem est vivum ac mortuum, vigilans ac dormiens, adolescens ac decrepitum ; quia hæc in illa, vicissimque mutentur. »

(15) *Μακάριοι γὰρ οἱ εἰδότες τὸν Κύριον*. Ubi hoc dicit Apostolus? Certe in Rom. xiii, 11, nil ejusmodi occurrit, sed tantum : Καὶ τοῦτο, εἰδότες τὸν καιρόν. An vero auctor Κύριον pro καιρὸν legisse D putandus est? Ejusmodi sane exemplum occurrit Rom. xii, 11, ubi cum vulg. editiones, et mss. codices non pauci exhibeant, τῷ καιρῷ δουλεύοντες, Clemens noster. aliique permulti legunt, τῷ Κυρίῳ δουλεύοντες.

(16) *Ὑμᾶς*. Vulg. Bibl. Rom. xiii, ἡμᾶς, *nos* : et καὶ ἐνδυσώμεθα τὰ ὅπ. SYLBURG.

(17) *Ἡ δ' ὑδριναμένη*. Vulg. Hom. editt. *Odyss.* Δ. Ἡδ' ὑδρηναμένη. et mox, εἵμαθ' ἑλοῦσα. H. SYLBURG. — Εἵμαθ' ἑλοῦσα exstat in *Odyss.* Δ, vers. 751 et 760, *Odyss.* P,. vers. 48 et 58. Porro de ritu se aqua lustrandi ante preces conf. *Archæologiæ nostræ Græcæ* lib. ii, cap. 4.

(18) *Χεῖρας*. Ex *Odyss.* A. H. SYLBURG.—Hic versus exstat in *Odyss.* B, v. 261.

(19) *Ἐπὶ κοίτῃ*. Hoc est, « post concubitum. » Hervetus perperam vertit, « in lecto. » Hesychius: Κοῖται, γυναικῶν ἐπιθυμίαι. Rom. xiii, 13 : Μὴ κοίταις περιπατήσωμεν.

ἀκριβὴς καὶ βεβαία· εἴ γε, κατεγνωκότες ἑαυτῶν ἐπὶ ταῖς προγενομέναις πράξεσι, προΐεμεν εἰς τὸ πρόσθεν, « μετὰ ταῦτα (20) νοήσαντες, » καὶ τὸν νοῦν ἐξαναδύντες τῶν τε κατ' αἴσθησιν τερπόντων, καὶ τῶν πρόσθεν πλημμελημάτων. Εἰ γοῦν τὴν ἐπιστήμην ἐτυμολογεῖν χρὴ, καὶ ἀπὸ τῆς « στάσεως » τὴν ἐπιβολὴν αὐτῆς ληπτέον· ὅτι ἵστησιν ἡμῶν ἐν τοῖς πράγμασι τὴν ψυχὴν, ἄλλοτε ἄλλως πρότερον φερομένην· ὡς αὔτως (21) καὶ τὴν πίστιν ἐτυμολογητέον, τὴν περὶ τὸ ὂν στάσιν τῆς ψυχῆς ἡμῶν. Ἡμεῖς δὲ τὸν ἀεὶ καὶ ἐν πᾶσι δίκαιον ποθοῦμεν μαθεῖν· ὃς, μήτε τὴν ἐκ τοῦ νόμου δεδιὼς κόλασιν, μήτε τὴν τῶν συνόντων καὶ ἐπεξιόντων τοῖς πλημμεληθεῖσι μισοπονηρίαν εὐλαβούμενος, μήτε τὴν ἐξ αὐτῶν τῶν ἀδικουμένων κίνδυνον ὑφορώμενος, διαμένει δίκαιος· ὁ γὰρ διὰ ταῦτα τοῦ πράττειν τι τῶν ἀδίκων ἀπεχόμενος οὐχ ἑκὼν χρηστὸς, φόβῳ δὲ ἀγαθός. Καὶ ὅ γε Ἐπίκουρος « ἀδικεῖν ἐπὶ κέρδει τινὶ βούλεσθαι » φησὶ τὸν κατ' αὐτὸν (22) σοφόν· « πίστιν γὰρ λαβεῖν περὶ τοῦ λαθεῖν οὐ δύνασθαι. » Ὥστε εἰ ἐπιστήσεται λήσειν, ἀδικήσει κατ' αὐτόν. Καὶ τοιαῦτα μὲν τὰ σκοτεινὰ δόγματα· εἰ δὲ καὶ ἐλπίδι τῆς ἐπὶ δικαίοις παρὰ τοῦ Θεοῦ ἀμοιβῆς ἀφέξεταί τις τοῦ ἀδικεῖν, οὐδ' οὕτως ἑκὼν χρηστεύεται· ὡς γὰρ ἐκεῖνον ὁ φόβος, οὕτω τοῦτον ὁ μισθὸς δικαιοῖ, μᾶλλον δὲ δίκαιον εἶναι δοκεῖν δείκνυσι. Τὴν δὲ ἐλπίδα τὴν μετὰ θάνατον οὐ μόνον οἱ τὴν βάρβαρον σοφίαν μετιόντες ἴσασι, τοῖς μὲν ἀγαθοῖς καλὴν, τοῖς δὲ φαύλοις ἔμπαλιν, ἀλλὰ καὶ οἱ Πυθαγόρειοι· τέλος γὰρ κἀκεῖνοι τὴν ἐλπίδα ὑπηγόρευον τοῖς φιλοσοφοῦσιν· ὅπου γε καὶ ὁ Σωκράτης ἐν Φαίδωνι (23) « μετὰ ἀγαθῆς ἐλπίδος φησὶ τὰς καλὰς ψυχὰς ἐνθένδε ἀπιέναι· » καὶ πάλιν τοὺς πονηροὺς κακίζων, ἀντιτίθησι· « Ζῶσι γὰρ μετὰ κακῆς ἐλπίδος, » λέγων. Συνᾴδειν τούτῳ καὶ ὁ Ἡράκλειτος (24) φαίνεται, δι' ὧν φησι περὶ τῶν ἀνθρώπων διαλεγό-

A quidem opinor, homini purgatio, perfecta ac stabilis pœnitentia; si cum de præcedentibus nos damnaverimus actionibus, anterius procedamus, « postea intelligentes, » et mentem sustollentes, tam ab iis quæ per sensum nos delectant, quam prioribus delictis. Si itaque scientiæ, quæ 228
dicitur ἐπιστήμη, danda est etymologia, ex « statione » et quiete, quæ dicitur στάσις, ejus sumenda est explicatio, quoniam nostram in rebus sistit mentem, quæ prius alias aliter ferebatur. Similiter fidei quoque, πίστεως inquam, danda est etymologia, animæ nostræ περὶ τὸ ὂν στάσις, id est, « circa id, quod est, statio » et quies. Nos autem eum, qui semper et in omnibus est justus, scire cupimus; qui nec timens supplicia, quæ a lege statuun-
B tur; nec eorum, cum quibus versatur, et qui peccata persequuntur, odium vitans in improbos; nec quod ab iis, quos injuria affecit, impendet periculum reformidans, justus permanet. Qui enim propter hæc abstinet a faciendo aliquid ex iis quæ sunt injusta, non est sua sponte, sed metu bonus. Atque Epicurus quidem ait eum, qui est ex ejus sententia sapiens, « velle propter aliquod lucrum facere injuriam; non posse enim sibi persuadere, fore ut lateat. » Quare si sciverit fore ut lateat, faciet injuriam, ut est ejus sententia. Et hæc quidem sunt tenebricosa dogmata. Si autem ab injuria facienda abstinuerit propter spem remunerationis a Deo consequendæ ob ea quæ juste fecerit, ne sic quidem sua sponte est bonus. Sicut enim illum
C metus, sic hunc quoque merces justum facit; vel potius efficit, ut videatur justus. Eam autem spem, quæ est post mortem, non solum agnoscunt, qui barbaram persequuntur philosophiam, bonis quidem bonam, malis autem contrariam, sed etiam

(20) *Μετὰ ταῦτα.* Τὰ μετὰ ταῦτα mavult Lowth.

(21) *Ὡς αὔτως.* Vel conjuncte ὡσαύτως.

(22) *Καὶ ὅγε Ἐπίκουρος ἀδικεῖν ἐπὶ κέρδει τινὶ βούλεσθαι φησὶ τὸν κατ' αὐτόν.* Negativa particula ex hac sententia excidit. Scribendum igitur: Καὶ ὅγε Ἐπίκουρος οὐκ ἀδικεῖν ἐπὶ κ. π. βούλεσθαι φ. Vel: Καὶ ὅγε Ἐπίκουρος ἀδικεῖν ἐπὶ κέρδει τινὶ μὴ βούλεσθαι φησὶ τὸν κατ' αὐτὸν σοφόν. « Et Epicurus ait nolle sapientem propter quodvis lucrum injuriam facere; quod fidem habere non possit fore ut lateat. Lowthio etiam ἐπὶ κέρδει μὴ βούλεσθαι placuit. Unde merito infert Clemens, eum velle injuriam facere, si certo latere possit. Hinc in *Epicuro* Laertius, lib. x, seg. 151: Ἡ ἀδικία οὐ καθ' ἑαυτὴν κακὸν, ἀλλ' ἐν τῷ κατὰ τὴν ὑποψίαν φόβῳ, εἰ μὴ λήσει ὑπὲρ τῶν τοιούτων ἐφεστηκότας κολαστάς. Οὐκ ἔστι τὸν λάθρα τι ποιοῦντα ὧν συνέθεντο πρὸς ἀλλήλους, εἰς τὸ μήτε βλάπτειν, μήτε βλάπτεσθαι, πιστεύειν, ὅτι λήσει, κἂν μυριάκις ἐπὶ τοῦ παρόντος λανθάνῃ· μέχρι γὰρ καταστροφῆς ἄδηλον εἰ λήσει. « Injuria per se malum non est, verum ob suspicionis metum, quod latere nequeat eos, qui hujusmodi sunt injuriæ constituti judices. Non credat is, qui clam aliquid facit contra id, quod inter se constituerant homines, ne lædant invicem, nec lædantur, latere posse, etsi millies etiam præsenti tempore lateat; nam ad finem incertum est, an latere possit. » Seneca epistola 97: « Eleganter itaque ab Epicuro dictum puto: *Potest nocenti contingere ut lateat, latendi fides non potest.* » « Aut si hoc modo melius hunc explicari posse judicas sensum: *Ideo non potest latere peccantibus, quia latendi etiam felicitatem habent, fiduciam non habent.* Ita est, tuta scelera esse possunt, secura non possunt, etc. » Epictetus apud *Arianum* lib. III, cap. 7: Τὸ γὰρ κλέψαι οὐδ' αὐτὸ ὁ Ἐπίκουρος ἀποφαίνει κακὸν, ἀλλὰ τὸ ἐμπεσεῖν, καὶ ὅτι πίστιν περὶ τοῦ λαθεῖν λαβεῖν ἀδύνατον· διὰ τοῦτο λέγει, Μὴ κλέπτετε. Quippe Epicurus ne furari quidem reputat per se malum, verum deprehendi, nec securitatem perpetuo latendi posse accipere: Unde, etc.: *Ne furemini*, inquit. »

(23) *Ὁ Σωκράτης ἐν Φαίδωνι.* Hoc Socratis di-
D ctum recitat etiam Theodoretus serm. 8, p. 601: Καὶ αὖθις ἐν τῷ αὐτῷ διαλόγῳ φησί· Μετὰ ἀγαθῆς μὲν ἐλπίδος τὰς καλὰς ψυχὰς ἐνθένδε ἀπιέναι· οἱ πονηροὶ δὲ ζῶσι, φησὶ, μετὰ κακῆς ἐλπίδος. « Rursusque in eodem dialogo (*Phædone*) dicit: *Optima quidem cum spe bonas animas hinc proficisci: at qui mali sunt, pessima cum spe vivunt*, inquit. » Simile est illud Chilonis apud Diogenem Laert. lib. I, seg. 69: Ἐρωτηθεὶς, τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων; ἔφη, Ἐλπίσιν ἀγαθαῖς. Rogatus, *quo differant periti ab imperitis? Bona*, inquit, *spe.*

(24) *Ὁ Ἡράκλειτος.* Theodoretus libro jam dicto, pag. 600: Ἐκεῖνο δὲ τοῦ Ἡρακλείτου μάλα θαυμάζω, ὅτι μένει τοὺς ἀνθρώπους ἀποθνήσκοντας ὅσα οὐκ ἔλπονται, οὐδὲ δοκέουσι. « Heracliti vero dictum illud valde admiror: *Manere morientes homines ea, quæ neque sperant, neque exspectant.* » Conf. *Protreptici* p. 18, not. 4.

Pythagorei; nam illi quoque spem, tanquam finem, proponebant iis qui philosophabantur; cum etiam Socrates dicat in *Phædone*, « bonas animas hinc cum ✠ bona spe excedere; » et rursus malos vituperans, eis opponit : « Vivunt enim cum mala spe, » dicens. Ei videtur etiam consentire Heraclitus, in iis, quæ dicit disserens de hominibus : « Homines mortuos manent, quæ non sperant, nec exspectant. » Divine ergo Paulus aperte scribit ad Romanos : « Afflictio patientiam operatur, patientia vero probationem, probatio autem spem, spes vero pudore non afficit [a]. » Propter spem enim futuram est patientia; « spes » autem est etiam æquivoce spei redditio et restitutio; quæ etiam « pudore non afficit, » ut quæ probris et contumeliis non amplius afficiatur. Qui autem nudæ vocationi, quatenus vocatus est, obedit, is neque propter timorem, neque propter voluptates, tendit ad cognitionem. Non enim considerat an aliquod utile lucrum vel delectatio aliqua extrinsecus consequatur, sed tractus a dilectione ejus, qui vere est amabilis, et ad id, quod fieri oportet, adductus, pius est Dei cultor. Unde nec si per hypothesin a Deo accepetit potestatem faciendi ea, quæ sunt prohibita, citra ullam pœnam; neque si propterea beatorum bona accepturum eum esse, ei promissum fuerit; sed nec si persuasum habuerit fore, ut Deum lateant ea quæ gerit (quod quidem fieri non potest), in animum unquam est inducturus, ut aliquid agat præter rectam rationem, cum id, quod vere est honestum, et ex seipso eligendum, et ea ratione expetendum amandumque, semel elegerit. Non enim in esca ventris bonum esse situm accepimus. Audivit autem ille, quod « cibus nos non commendabit [b], neque matrimonium, sed neque abstinentia a matrimonio in ignoratione, sed opus gnosticum ex virtute. Nam canis quoque, qui est animal expers rationis, sic dicatur esse continens, dum eum timet qui tollit baculum, et ideo a cibo abstinet. Quod si ablata fuerit promissio illis facta, si timor intentatus præcisus fuerit et periculum impendens evanuerit, tum certo scias statim appariturum fore illorum propositum.

A μενος· » Ἀνθρώπους μένει ἀποθανόντας ἅσσα οὐκ ἔλπονται, οὐδὲ δοκέουσιν. Θείως οὖν ὁ Παῦλος Ῥωμαίοις ἄντικρυς ἐπιστέλλει· « Ἡ θλίψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμὴν, ἡ δὲ δοκιμὴ ἐλπίδα· ἡ δὲ ἐλπὶς οὐ καταισχύνει, » δι' ἐλπίδα μὲν γὰρ τὴν μέλλουσαν ἡ ὑπομονή. Ἐλπὶς (25) δὲ ὁμωνύμως καὶ ἡ τῆς ἐλπίδος ἀπόδοσίς τε καὶ ἀποκατάστασις· ἣ καὶ « οὐ καταισχύνει, » μὴ ὀνειδιζομένη ἔτι. Ὁ δὲ ψιλῇ κλήσει, καθὸ κέκληται, ὑπακούων οὔτε διὰ φόβον οὔτε διὰ ἡδονὰς ἐπὶ τὴν γνῶσιν ἵεται· οὐ γὰρ περισκέπτεται, εἴ τι λυσιτελὲς ἔξωθεν ἕπεται κέρδος ἢ ἀπόλαυσις (26) αὐτῷ· ἀγάπῃ δὲ τοῦ ὄντως ὄντος ἐραστοῦ ἑλκόμενος, καὶ πρὸς τὸ δέον ἀγόμενος, θεοσεβεῖ. Ὅθεν οὐδ' εἰ καθ' ὑπόθεσιν ἐξουσίαν λάβοι παρὰ B τοῦ Θεοῦ πράττειν τὰ ἀπηγορευμένα, ἀτιμωρητί τε ὤν, οὐδ' εἰ καὶ μισθὸν τὰ μακάρων ἀγαθὰ λήψεσθαι ἐπὶ τοῖσδε ἐπαγγελίαν προσλάβοι, ἀλλ' εἰ καὶ λήσεσθαι τὸν Θεὸν ἐφ' οἷς πράττει πεισθείη· (ὅπερ ἀδύνατον·) πρᾶξαί τι παρὰ τὸν λόγον τὸν ὀρθὸν ἐθελήσαι ποτ' ἂν, τὸ ὄντως καλὸν καὶ αἱρετὸν ἐξ ἑαυτοῦ, καὶ ταύτῃ ἀγαπητὸν εἶναι ἅπαξ ἑλόμενος. Οὐ γὰρ ἐν γαστρὸς βορᾷ τὸ χρηστὸν εἶναι διειλήφαμεν. Ἀκήκοε δ' ἐκεῖνος, ὡς βρῶμα ἡμᾶς οὐ παραστήσει, οὐδὲ μὴν γάμος, ἀλλ' οὐδὲ ἀποχὴ γάμου (27) ἐν ἀγνωσίᾳ, ἀλλὰ τὸ κατ' ἀρετὴν ἔργον τὸ γνωστικόν· ἐπεὶ καὶ ὁ κύων, τὸ ζῶον τὸ ἄλογον, ἐγκρατὲς λεγέσθω, τὸν ἐπαιρόμενον τὴν βακτηρίαν δεδιὸς, καὶ διὰ τοῦτο τοῦ ὄψου ἀπεχόμενον. Τῶν τοιούτων, εὖ ἴσθι, ὅτι περιαιρεθεῖσα ἡ ὑπόσχεσις ἡ προεπηγγελμένη, καὶ ὁ φόβος C περιγραφεὶς ὁ ἐπηπειλημένος, καὶ χωρισθεὶς ὁ κίνδυνος ὁ ἐπηρτημένος, τὴν πρόθεσιν ἐλέγχει.

CAPUT XXIII.

Ob quam rationem perfectis a rebus sensui jucundis, quam maxime potest, abstineat, meliorum scilicet intuitu.

Non enim ipsi rei naturæ se accommodant, ut revera gnostice comprehendant, esse quidem bona omnia, quæ creata sunt ad usum nostrum; ut matrimonium, verbi gratia, et liberorum procreationem, si iis uteremur cum temperantia, bonum autem ✠ esse melius, ut quis per eam, quæ est Deo, assimilationem, evadat impatibilis et virtute prædi-

Οὐ γὰρ αὐτῇ τῇ φύσει τοῦ πράγματος οἰκειοῦται (28), ὡς τῷ ὄντι γνωστικῶς καταλαβέσθαι, καλὰ μὲν εἶναι πάντα, ὅσα εἰς χρῆσιν ἡμῶν ἐκτίσθη· ὡς γάμον, φέρε εἰπεῖν, καὶ παιδοποιίαν, D μετὰ σωφροσύνης παρειλημμένα· καλοῦ δὲ εἶναι ἄμεινον (29) τὴν πρὸς τὸ Θεῖον ἐξομοίωσιν ἀπαθῆ (30) καὶ ἐνάρετον γενέσθαι. Τοῖς δὲ ἔξωθεν εὐ-

✠ P. 630 ED. POTTER, 532-533 ED. PARIS.

✠ P. 631 ED. POTTER, 533-534 ED. PARIS.

[a] Rom. v, 3, 4, 5. [b] I Cor. VIII, 8.

(25) *Ἐλπίς*. Vult auctor hac voce denotari, non solum « sperandi » actionem, sed etiam rei « speratæ acquisitionem : quam qui feliciter attigerit, contumeliis deinceps superior erit.

(26) *Κέρδος ἢ ἀπόλαυσις*. Flor. edit., κέρδος ἡ ἀπόλαυσις, articulo pro conjunctione posito. SYLBURG.

(27) *Οὐδὲ ἀποχὴ γ*. Conf. superius *Strom.* III, p. 534, lin. 27.

(28) *Οἰκειοῦται*. Interpres vertit, ac si legisset οἰκειοῦνται in plurali num. Quod si retineatur οἰκειοῦται, referetur ad πρόθεσιν in præced. sententia, hoc sensu : « Non enim rerum naturæ se accommodat. »

(29) *Καλοῦ δὲ εἶναι ἄμεινον*. Dicit « creaturas esse res bonas, sed » his bonis melius « esse, ut Deo per virtutem similes evadamus. » Sic paulo post καλῶν καλλίονα dixit. Sed hoc loco καλὸν δὲ εἶναι ἄμ. in editiones Sylburgiana posteriores ex Latina, ut videtur, versione irrepsit.

(30) Ἀπαθῆ. Conf. *Pædag.* lib. I, cap. 2, pag. 99, not. 4.

χρήστοις ἢ δυσχρήστοις προσαγομένοις, τῶν μὲν ἀπέχονται, τῶν δ' οὔ. Ἀλλὰ καὶ ὧν ἀφίστανται μυσαττόμενοι, ταῦτα φαίνονται τὴν κτίσιν καὶ τὸν Δημιουργὸν διαβάλλοντες· κἂν τῷ δοκεῖν πιστῶς ἀναστρέφωνται, τὴν κρίσιν ἔχουσιν ἀνόσιον. Τὸ δὲ, « Οὐκ ἐπιθυμήσεις, » οὔτε ἀνάγκης τῆς ἐκ φόβου δεῖται, τῆς βιαζομένης ἀπέχεσθαι τῶν ἡδέων, οὔτε μισθοῦ, τοῦ δι' ἐπαγγελίας (31), ἀναπείθοντος ἀνακόπτειν τὰς ὁρμάς. Οὔτε τὴν ὑπακοὴν διὰ τὴν ἐντολὴν, διὰ δὲ τὴν ἐπαγγελίαν αἱροῦνται οἱ διὰ τῆς ἐπαγγελίας ὑπακηκοότες τῷ Θεῷ, δελέατι ἡδονῆς ᾑρημένοι. Οὐδὲ μὴν ἡ τῶν αἰσθητῶν ἀποστροφὴ τὴν τὰ πρὸς τὰ νοητὰ οἰκείωσιν ἀκολούθως ποιοίη ἄν· ἔμπαλιν δὲ, ἡ πρὸς τὰ νοητὰ οἰκείωσις κατὰ φύσιν περιαγωγὴ τῷ γνωστικῷ ἀπὸ τῶν αἰσθητῶν γίνεται, κατ' ἐκλογὴν τῶν καλῶν τἀγαθὸν ἑλομένῳ γνωστικῶς, θαυμάζοντι μὲν τὴν γένεσιν, καὶ ἁγιάζοντι τὸν ποιητὴν, ἁγιάζοντι δὲ τὴν πρὸς τὸ Θεῖον ἐξομοίωσιν. Ἀτὰρ ἐγὼ ἐμὲ λύσομαι τῆς ἐπιθυμίας, φῆσαι (32), διὰ τὴν πρὸς σὲ οἰκείωσιν, Κύριε· καλὴ γὰρ ἡ κτισθεῖσα δὴ οἰκονομία, καὶ πάντα εὖ διοικεῖται, οὐδὲν ἀναιτίως γίνεται. Ἐν τοῖς σοῖς εἶναί με δεῖ, Παντοκράτορ· κἂν ἐνταῦθα ὦ, παρὰ σοὶ εἰμί· ἀδεὴς δ' εἶναι θέλω, ἵνα σοι συνεγγίζειν δυνηθῶ, ὀλίγοις καὶ ἀρκεῖσθαι, μελετῶν τὴν σὴν ἐκλογὴν τὴν δικαίαν τῶν καλῶν ἀπὸ τῶν ὁμοίων. Μυστικώτατα καὶ ὁσιώτατα ὁ Ἀπόστολος, διδάσκων ἡμᾶς τὴν ἀληθῶς εὐχάριστον ἐκλογὴν, οὐ κατ' ἀπεκλογὴν τῶν ἑτέρων ὡς φαύλων, ἀλλ' ὡς καλῶν καλλίονα ποιεῖσθαι, μεμήνυκεν εἰπών· « Ὥστε καὶ ὁ γαμίζων τὴν παρθένον αὐτοῦ (33) καλῶς ποιεῖ· καὶ ὁ μὴ γαμίζων κρεῖσσον ποιεῖ πρὸς τὸ εὔσχημον καὶ εὐπάρεδρον τῷ Κυρίῳ ἀπερισπάστως. » Ἴσμεν δὲ τὰ μὲν δυσπόριστα οὐκ ἀναγκαῖα· τὰ δὲ ἀναγκαῖα εὐπόριστα γεγενῆσθαι φιλαγάθως παρὰ τοῦ Θεοῦ. Διόπερ ὁ Δημόκριτος εὖ λέγει, ὡς « ἡ φύσις τε καὶ διδαχὴ παραπλήσιόν ἐστι· » καὶ τὴν αἰτίαν συντόμως προσαποδεδώκαμεν· καὶ γὰρ ἡ διδαχὴ μεταῤῥυθμίζει τὸν ἄνθρωπον· μεταῤῥυθμοῦσα δὲ, φυσιοποιεῖ· καὶ διήνεγκεν οὐδὲν, ἢ φύσει πλασθῆναι τοιόνδε, ἢ χρόνῳ καὶ μαθήσει μετατυπωθῆναι. Ἄμφω δὲ ὁ Κύριος παρέσχηται· τὸ μὲν κατὰ τὴν δημιουργίαν, τὸ δὲ κατὰ τὸν ἐκ τῆς Διαθήκης ἀνάκτισίν τε καὶ ἀνανέωσιν. Τὸ δὲ συμφέρον τῷ κυριωτέρῳ, τοῦτο αἱρετώτερον· κυριώτατον δὲ πάντων ἡ διάνοια. Οὕτω τοίνυν τῷ ὄντι καλὰ φαίνεται ἥδιστα, παρ' αὐτοῦ δὲ πορίζεται (34) ὃν ποθεῖ καρπὸν, τὴν τῆς ψυχῆς (35) εὐστάθειαν. « Ὁ δὲ ἐμοῦ ἀκούων, φη-

A tus. Sed ex iis, quæ extrinsecus adducuntur, bonis vel malis, ab aliis quidem abstinent, ab aliis vero minime. Verum in iis a quibus abstinent abhorrentes, creaturam et opificem cernuntur accusare; et licet ipsa specie versentur fideliter, habent tamen impium judicium. Illud autem : « Non concupisces, » neque necessitate eget, quæ per timorem incussa, cogit abstinere a suavibus; neque mercede, quæ per promissionem persuadeat reprimere appetitiones. Neque obedientiam propter mandatum, sed propter promissionem eligunt, qui Deo propter promissa obediunt, a voluptate inescati. Sed neque aversatio a rebus sensilibus necessario infert conjunctionem cum iis quæ percipiuntur intelligentia; contra autem, conjunctio cum iis, quæ intelligentia percipiuntur, hominem gnosticum B naturaliter convertit a rebus sensilibus; ut qui per eorum, quæ sunt pulchra, electionem, bonum gnostice elegerit, et admiretur generationem, et sanctificet Creatorem, una tamen sanctificet eam, quæ fit Deo, assimilationem. Sed ego me liberabo, dixerit, a cupiditate, o Domine, ut mihi tecum intercedat conjunctio: pulchra enim est, quæ utique creata est, dispensatio, et omnia recte administrantur, et nihil fit sine causa. In tuis me esse oportet, o Omnipotens, et licet hic fuero, sum apud te; sed volo expers esse metus, ut ad te possim appropinquare, et paucis etiam contentus, tuam imitans justam electionem, quæ bonos a similibus discernit. Mystice admodum et sancte nos docens Apostolus eam, quæ vere grata est, electionem, non alia tanquam mala C reprobanda, sed bonis alia censenda esse meliora, significavit dicens : « Quare et qui matrimonio jungit virginem suam, bene facit; et qui non jungit, melius facit, ad id, quod honestum est **229** et facultatem præbet indivulse Domino assidendi [a]. » Scimus autem ea, quæ difficulter quidem parari possunt, non esse necessaria; quæ autem sunt necessaria, paratu facilia benignitate Dei esse facta. Quamobrem bene dicit Democritus, « naturam et doctrinam rem esse persimilem. » Causam autem breviter reddidimus. Doctrina enim hominem concinnat et componit; concinnans autem ac componens, naturam ei tribuit; neque interest, an fuerit natura effectus talis, an tempore et disciplina transforma-D tus. Utrumque autem præbuit Dominus, illud quidem per creationem, hoc vero per recreationem ✠ et renovationem, quæ fit ex Testamento. Quod au-

[a] I Cor. VII, 38 35. ✠ P. 632 ED. POTTER, 534-535 ED. PARIS.

(31) *Ἐπαγγελίας*. Editiones Sylburgiana recentiores ἀπαγγελίας perperam exhibent.

(32) *Φῆσαι*. Etsi optativum φήσαι ferri potest, tamen si quis indicativum φήσει malit, per me licet. Allusio autem est ad Homericum illud; Αὐτὰρ ἐγὼν αὐτὸς ἐμὲ λύσομαι. SYLBURG.

(33) *Ὁ γαμίζων τὴν παρθένον αὐτοῦ*. I Cor. VII, ὁ ἐκγαμίζων, omisso commatio illo, τὴν παρθένον αὐτοῦ· quod glossema esse videtur: et mox, ὁ δὲ μὴ ἐκγαμίζων. SYLBURG. — Dein, εὐπρόσεδρον pro εὐπάρεδρον. Ibid.

(34) *Παρ' αὐτοῦ δὲ πορίζ*. A. inserta copula legit, καὶ παρ' αὐτοῦ πορίζ. Mox, Vulg. Bibl. Proverb. I, κατασκηνώσει ἐπ' ἐλπίδι πεποιθώς. SYLBURG. — Ibi vero Flaminius Nobilius e scholio quodam hæc verba adnotavit: ἀναπαύσεται ἐν εἰρήνῃ πεποιθώς.

(35) *Τῆς ψυχῆς*. Rursus Democritum imitari videtur: nam ille τὴν εὐεστὼ summum bonum dixit: Τέλος δὲ εἶναι τὴν εὐθυμίαν, οὐ τὴν αὐτὴν οὖσαν τῇ ἡδονῇ ὡς ἔνιοι, παρακούσαντες, ἐξεδέξαντο, ἀλλὰ καθ' ἣν γαληνῶς καὶ εὐσταθῶς ἡ ψυχὴ διάγει, ἀπὸ μηδενὸς ταραττομένη φόβου, ἢ δεισιδαιμονίας, ἢ ἄλλου τινὸς πάθους. Καλεῖ δὲ αὐτὴν εὐεστὼ, καὶ πολλοῖς ἄλλοις ὀνόμασιν. « Finem vero esse rectum quietumque animi statum, quæ non idem sit quod voluptas, ut quidam oblique interpretantur, verum secundum quam animus magna tranquillitate constantiaque beatus est, dum nullo metu, nulla superstitione, aut

tem conducit ei, quod est magis principale, id est magis eligendum; est autem omnium maxime principale, mens. Sic ergo videntur ea, quæ vere bona sunt, esse jucundissima; et ex se præbent eum, quem desiderant, fructum, nempe animæ tranquillitatem. « Qui autem me audit, » inquit, « requiescet in pace confidens, et sine metu conquiescet ab omni malo [a]. Confide in toto corde tuo et mente tua in Deo [b]. » Hoc modo fieri potest ut vir gnosticus jam Deus evaserit. « Ego dixi, dii estis, et filii Altissimi [c]. » Dicit autem Empedocles quoque sapientium animas deos fieri, hoc modo scribens:

A σὶν, ἀναπαύσεται ἐπ' εἰρήνῃ πεποιθὼς, καὶ ἡσυχάσει ἀφόβως ἀπὸ παντὸς κακοῦ. Ἴσθι πεποιθὼς ἐν ὅλῃ καρδίᾳ σου καὶ τῇ διανοίᾳ σου (36) ἐπὶ τῷ Θεῷ. » Τούτῳ δυνατὸν τῷ τρόπῳ τὸν γνωστικὸν ἤδη γενέσθαι Θεόν (37). « Ἐγὼ εἶπα· Θεοί ἐστε καὶ υἱοὶ Ὑψίστου. »

Φησὶ δὲ καὶ ὁ Ἐμπεδοκλῆς (38), τῶν σοφῶν τὰς ψυχὰς θεοὺς γίνεσθαι, ὧδέ πως γράφων·

Postremo vates, et qui hymnos carmine cantant,
Et medicique, ducesque viris mortalibus adsunt.
Hinc exsistunt dii, sunt quorum maxime honores.

Εἰς δὲ τέλος, μάντεις τε, καὶ ὑμνοπόλοι, καὶ [ἰητροὶ,
Καὶ πρόμοι ἀνθρώποισιν ἐπιχθονίοισι πέλονται·
Ἔνθεν ἀναβλαστοῦσι (39) *θεοὶ τιμῇσι φέριστοι.*

Atque homo quidem absolute ac generatim sumptus formatur secundum ideam spiritus sibi congeniti. Neque enim sine forma et specie creatur in officina naturæ, ubi hominis generatio mystice perficitur, cum sit communis et ars et essentia. Homo autem hic quispiam, seu homo singularis, characterem suscipit ex forma animæ insita ex iis quæ elegerit. Qua ratione Adam quoque dicimus fuisse perfectum, quod attinet ad formationem; nihil enim ei defuit ex iis quæ homini formæ et speciei characterem tribuunt. Quod autem dum fieret, accepit perfectionem, et justificatum est per obedientiam, hoc erat, quod in virum crescebat, nempe id, quod in ejus potestate erat situm, seu liberum arbitrium. Quod autem elegerit, atque adeo quod vetitum elegerit, non est culpa in Deum, sed in eligentem conferenda. Duplex enim est generatio: una quidem eorum qui gignuntur, altera vero eorum quæ fiunt. Et hominis quidem virilitas et fortitudo, cum sit, ut aiunt, sua essentia perturbationibus obnoxius, reddit metus expertem et insuperabilem eum, qui est ejus particeps, adeo ut ira sit tanquam mentis satelles in patientia, et tolerantia, et iis quæ sunt similia; cupiditati autem præficitur temperantia et salutaris prudentia. Deus autem est impatibilis, iræque expers et cupiditatis. Is autem non ideo dicitur ✠ metus expers, quod declinat quæ sunt terribilia. Sed neque est temperans, qua imperat cupiditatibus; neque enim in terribile aliquid Dei natura inciderit, neque fugit Deus timorem; sicut nec concupiscet, ut ei necesse sit imperare cupiditati. Mystice

Ὁ μὲν οὖν ἄνθρωπος ἁπλῶς οὗτος κατ' ἰδέαν πλάσ-
B σεται τοῦ συμφυοῦς πνεύματος· οὐδὲ γὰρ ἀνείδεος, οὐδ' ἀσχημάτιστος ἐν τῷ τῆς φύσεως ἐργαστηρίῳ δημιουργεῖται, ἔνθα μυστικῶς ἀνθρώπου ἐκτελεῖται γένεσις, κοινῆς οὔσης καὶ τῆς τέχνης καὶ τῆς οὐσίας· ὁ δὲ τὶς ἄνθρωπος κατὰ τύπωσιν τὴν ἐγγινομένην τῇ ψυχῇ, ὧν ἂν αἱρήσηται, χαρακτηρίζεται. Ἧ καὶ τὸν Ἀδὰμ τέλειον μὲν ὡς πρὸς τὴν πλάσιν γεγονέναι φαμέν· οὐδὲν γὰρ τῶν χαρακτηριζόντων τὴν ἀνθρώπου ἰδέαν τε καὶ μορφὴν ἐνεδέησεν αὐτῷ· ὃ δὲ ἐν τῷ γίνεσθαι τὴν τελείωσιν ἐλάμβανε, καὶ δι' ὑπακοῆς ἐδικαιοῦτο, τοῦτο ἦν ἀπανδρούμενον, τὸ ἐπ' αὐτῷ κείμενον· αἰτία (40) δὲ ἑλομένου, καὶ ἔτι μᾶλλον τὸ κωλυθὲν ἑλομένου· ὁ Θεὸς ἀναίτιος. Διττὴ γὰρ ἡ γένεσις, ἡ μὲν τῶν γεννωμένων, ἡ δὲ τῶν γινομένων. Καὶ ἡ μὲν τοῦ ἀνθρώπου ἀνδρεία, ἐμπαθοῦς ὄντος,
C φασι, κατὰ τὴν οὐσίαν, ἄφοβον καὶ ἀήττητον τὸν μετέχοντα αὐτῆς ποιεῖ, καὶ ἔστι δορυφόρος τοῦ νοῦ ὁ θυμὸς ἐν ὑπομονῇ, καὶ καρτερίᾳ, καὶ τοῖς ὁμοίοις· ἐπὶ δὲ τῇ ἐπιθυμίᾳ τάττεται καὶ ἡ σωφροσύνη, καὶ σωτήριος φρόνησις. Θεὸς δὲ ἀπαθὴς, ἄθυμός τε καὶ ἀνεπιθύμητος. Καὶ οὐ ταύτῃ ἄφοβος (41), ᾗ τὰ δεινὰ ἐκκλίνει (42)· οὐδὲ μὴν σώφρων, ᾗ τῶν ἐπιθυμιῶν ἄρχει· οὔτε γὰρ ἂν περιπέσοι τινὶ δεινῷ ἡ τοῦ Θεοῦ φύσις, οὔτε φεύγει ὁ Θεὸς δειλίαν· ὥσπερ οὐδὲ ἐπιθυμήσει, ἵνα καὶ ἄρξῃ ἐπιθυμίας. Μυστικῶς οὖν ἐφ' ἡμῶν καὶ τὸ Πυθαγόρειον ἐλέγετο, « ἕνα γενέσθαι καὶ τὸν ἄνθρωπον δεῖν· » ἐπεὶ καὶ αὐτὸς ὁ ἀρχιερεὺς εἷς, ἑνὸς ὄντος τοῦ Θεοῦ κατὰ τὴν ἀμετάτρεπτον τοῦ ἀεὶ « θεῖν » (43) τὰ ἀγαθὰ ἕξιν. Αὐτίκα ὁ
D Σωτὴρ διὰ τῆς ἐπιθυμίας (44) συνανῄρει καὶ τὸν

[a] Prov. I, 33. [b] Prov. III, 5. [c] Psalm. LXXXI, 6.

✠ P. 633 ED. POTTER, 535-536 ED. PARIS.

alia quavis perturbatione agitatur. Eamdem vero εὐεστὼ appellant, multisque aliis nominibus.

(36) *Καὶ τῇ διανοίᾳ σου*. Hæc verba, quæ absunt a Prov. III, 5, forte adjecit auctor ex Matth. XXII, 37, vel Luc. X, 27, ubi Christus Deum amare jubet ἐν ὅλῃ τῇ καρδίᾳ σου, καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου.

(37) Γενέσθαι Θεόν. Conf. *Protreptici* p. 88, not. 7.

(38) *Ἐμπεδοκλῆς*. Hos Empedoclis versus recitat Theodoretus *De curand. Græc. affect.*, serm. 8, qui de martyribus agit, p. 599.

(39) *Ἔνθεν ἀναβλαστοῦσι*. Ἔνθ' ἀναβλαστάνουσι, Theodoret.

(40) *Αἰτία*. Conf. *Strom.* I, p. 318, not. 3.

(41) *Καὶ οὐ ταύτῃ ἄφοβος*. Legi posset etiam, transposita negativa, καὶ ταύτῃ οὐκ ἄφοβ. SYLBURG — Sed nulla mutatione opus est.

(42) *Τὰ δεινὰ ἐκκλίνει*. Scribendum potius, τὰ δεινὰ οὐκ ἐκκλίνει, « non fugit terribilia. » Vult enim, Deum non, perinde ut homines, ἄφοβον dici, eo quod « non fugit terribilia; » ut neque « temperans » dicitur, sicut homines, eo quod « cupidinibus imperet: » cum ei nil terribile sit, nec ullis sit affectibus obnoxius. Superius etiam observatum est, negativam particulam excidisse, p. 532, ubi ἀδικεῖν pro οὐκ ἀδικεῖν, et p. 529, ubi ὡς ἀγαθὴν pro ὡς οὐκ ἀγαθὴν, scriptum est.

(43) *Θεῖν*. Conf. *Protreptici* p. 22, not. 4.

(44) *Διὰ τῆς ἐπιθυμίας*. « Per cupiditatis prohibitionem. » LOWTH.

θυμὸν, τιμωρίας ὄντα ἐπιθυμίαν· καθόλου γὰρ τὸ παθητικὸν παντὶ γένει ἐπιθυμίας. Εἰς δὲ τὴν ἀπάθειαν θεούμενος ἄνθρωπος (45) ἀχράντως, μοναδικὸς γίνεται (46). Καθάπερ (47) οὖν οἱ ἐν θαλάττῃ ἀπὸ ἀγκύρας τονούμενοι ἕλκουσι μὲν τὴν ἄγκυραν, οὐκ ἐκείνην δὲ ἐπισπῶνται, ἀλλ' ἑαυτοὺς ἐπὶ τὴν ἄγκυραν· οὕτως οἱ κατὰ τὸν γνωστικὸν βίον ἐπισπώμενοι τὸν Θεὸν ἑαυτοὺς ἔλαθον προσαγόμενοι πρὸς τὸν Θεόν· Θεὸν γὰρ ὁ θεραπεύων ἑαυτὸν θεραπεύει. Ἐν οὖν τῷ θεωρητικῷ βίῳ ἑαυτοῦ τις ἐπιμελεῖται, θρησκεύων τὸν Θεὸν, καὶ διὰ τῆς ἰδίας εἰλικρινοῦς καθάρσεως ἐποπτεύει τὸν Θεὸν ἅγιον ἁγίως· ἡ γὰρ σωφροσύνη ἐν παραστάσει γενομένη (48), ἑαυτὴν ἐπισκοποῦσα καὶ θεωροῦσα ἀδιαλείπτως, ἐξομοιοῦται κατὰ δύναμιν Θεῷ.

A ergo apud nos quoque dictum est illud Pythagoreum, « oportere hominem quoque fieri unum. » Nam ipse quoque pontifex est unus, cum sit unus Deus per immutabilem habitum, quo bona semper « currunt. » Jam vero Servator, sublata cupiditate, una etiam sustulit iram, quæ est vindictæ cupiditas. Nam universim patibilitas est in quovis genere cupiditatis. Qui autem per impatibilitatem homo deus efficitur citra ullum inquinamentum, fit « unicus. » Quomodo ergo qui in mari ab anchora stabiliuntur, trahunt quidem anchoram, non illam autem attrahunt, sed seipsos ad anchoram; ita qui per vitam gnosticam Deum attrahunt, non advertentes, seipsos ad Deum adducunt. Qui enim Deum colit, seipsum colit. In vita ergo, quæ versatur in contemplatione, sui quis curam gerit, dum Deum veneratur, et se sincere purgato Deum sanctum sancte contemplatur. Quæ enim assistit temperantia, seipsam assidue considerans et contemplans, Deo, quoad fieri potest, assimilatur. B

CAPUT XXIV.

De pœnarum a Deo inflictarum ratione et fine.

Αὐτίκα τὸ ἐφ' ἡμῖν ἐστιν, οὗπερ ἐπίσης αὐτοῦ τε κύριοί ἐσμεν καὶ τοῦ ἀντικειμένου αὐτῷ, ὡς τὸ φιλοσοφεῖν, ἢ μή· καὶ τὸ πιστεύειν, ἢ ἀπιστεῖν. Διά γοῦν τὸ ἑκατέρου τῶν ἀντικειμένων ἐπίσης εἶναι ἡμᾶς κυρίους, δυνατὸν εὑρίσκεται τὸ ἐφ' ἡμῖν. Καὶ δὴ αἱ ἐντολαὶ οἷαί τε γενέσθαι, καὶ μὴ γενέσθαι ὑφ' ἡμῶν, οἷς εὐλόγως ἕπεται ἔπαινός τε καὶ ψόγος· οἵ τ' αὖ κολαζόμενοι ἕνεκεν τῶν γενομένων αὐτοῖς ἁμαρτημάτων ἐπ' αὐτοῖς μόνοις κολάζονται (49)· παρῆλθε γὰρ τὰ C γενόμενα, οὐδὲ ἀγένητον γένοιτ' ἄν ποτε τὸ γενόμενον. Ἀφίενται γοῦν πρὸς τοῦ Κυρίου αἱ πρὸ τῆς πίστεως, οὐχ ἵνα μὴ ὦσι γενόμεναι, ἀλλ' ὡς μὴ γενόμεναι. Πλὴν οὐδὲ πάσας ὁ Βασιλείδης φησὶ, μόνας δὲ τὰς ἀκουσίους καὶ κατὰ ἄγνοιαν ἀφίεσθαι· καθάπερ ἀνθρώπου τινὸς, ἀλλ' οὐ Θεοῦ, τὴν τοσαύτην παρεχομένου δωρεάν. Τούτῳ φησὶν ἡ Γραφὴ (50)· « Ὑπέ-

Jam vero id est in nostra potestate, cujus et æquo sumus domini cum eo, quod ei adversatur; ut philosophari, vel non; et credere, aut non credere. Per hoc ergo quod sumus æque Domini utriusque eorum quæ inter se adversantur, invenitur fieri posse id quod est in nostra potestate. Quinetiam præcepta ejusmodi a nobis possunt fieri et non fieri, quæ consentaneum est, ut consequatur laus et vituperatio; et qui puniuntur propter ea, quæ ab ipsis admissa sunt, peccata, propter ipsa sola puniuntur. Prælerierunt enim ea quæ facta sunt; neque fieri potest, ut sit unquam infectum, quod factum est. Dimittuntur ergo per Dominum, quæ facta sunt ante fidem, non ut facta non sint, sed ut sint tanquam ✠ non facta. Sed ne omnia quidem, dicit Basilides, sed sola dimitti involunta-

✠ P. 634 ED. POTTER.

(45) *Θεούμενος ἄνθρωπος*. Sic *Strom.* VI, p. 650 ed. Paris. : Θεοειδὴς καὶ Θεοείκελος ὁ ἀγαθὸς ἀνὴρ μετὰ ψυχὴν, ὅ τε αὖ Θεὸς ἀνθρωποειδής. « Deiformis et Deo similis est bonus quoad animam, et rursus ipse Deus humanæ formæ similis. » Et pag. 671 : Καθ' ὁμοίωσιν οὖν τοῦ Θεοῦ, ὁ εἰς υἱοθεσίαν καὶ φιλίαν τοῦ Θεοῦ καταταγεὶς, κατὰ τὴν συγκληρονομίαν τῶν κυρίων καὶ θεῶν γίνεται. « Secundum Dei igitur similitudinem, qui est in filium adoptatus, et in numerum amicorum ascitus, cohæres dominorum et deorum fit. » Eosdem viros θεοποιεῖσθαι dicit p. 676. Item ait Deum eos υἱοὺς ἀναγορεύειν καὶ θεούς, « filios vocare et deos, » p. 687. Conf. *Protreptici* p. 88, not. 7 edit. nostræ.

(46) *Μοναδικὸς γίνεται*. Sic superius dixit virum gnosticum et perfectum, τῷ θείῳ καθαρῶς ὁμιλοῦντα, μετέχοντα τῆς ἁγίας ποιότητος, προσεχέστερον ἐν ἕξει γίνεσθαι ταυτότητος ἀπαθοῦς· « Cum divino numine puram consuetudinem habentem, sanctæ qualitatis participem factum, ad habitum impatibilis identitatis quam proxime accedere. *Strom.* IV, p. 490 edit. Paris. Item *Strom.* VI, pag. 651 : Εἰκότως τοίνυν ἐν τῇ μιᾷ ἕξει μένει τῇ ἀμεταβόλῳ, γνωστικῶς ἀγαπῶν. « Merito igitur manet in *uno immutabili* habitu, qui gnostice diligit : » deinde eumdem ἀπαθῆ, « impatibilem, » esse tradit. Quinetiam voce μοναδικός paulo post utitur p. 537 : Διὸ δὴ καὶ τὸ εἰς αὐτὸν, καὶ τὸ δι' αὐτοῦ πιστεῦσαι, μοναδικόν ἐστι γενέσθαι, ἀπερισπάστως ἑνούμενον ἐν αὐτῷ. « Quamobrem et in ipsum, et per ipsum credere, est *unicum* fieri, in ipso indivulse unitum : » quemadmodum, ut ibi sequitur τὸ ἀπιστῆσαι διστάσαι ἐστὶ, καὶ διαστῆναι, καὶ μερισθῆναι· « non credere est discerni, spatioque disjungi et dividi. »

D (47) *Καθάπερ*. Non multum dissimilia sunt illa Dionysii pseudo-Areopagitæ lib. *De divinis nominibus* cap. 3 : Ἢ ὥσπερ εἰς ναῦν ἐμβεβηκότες, καὶ ἀντεχόμενοι τῶν ἔκ τινος πέτρας εἰς ἡμᾶς ἐκτεινομένων πεισμάτων, καὶ οἷον ἡμῖν εἰς ἀντίληψιν ἐκδιδομένων, ἐφ' ἡμᾶς τὴν πέτραν, ἀλλ' ἡμᾶς αὐτοὺς τῷ ἀληθεῖ καὶ τὴν ναῦν ἐπὶ τὴν πέτραν προσήγομεν.

(48) *Γενομένη*. Flor., γενουμένη, errore ambiguo : nam aut γενομένη nobiscum legendum, aut γανουμένη · quod haud scio, an sit verius. SYLBURG.

(49) *Ἐπ' αὐτοῖς μόνοις κολάζονται.* « In ipsorum solummodo potestate est, quod puniuntur. » SYLBURG. in *Indice Græco*.

(50) *Ἡ Γραφή*. Psalmo XLIX (L) ubi legitur, ὑπέλαβες ἀνομίαν, ut etiam infra p. 285, lin. 7. Cum sequentibus de castigatione et punitione confer quæ Seneca ex Platone tradit lib. I *De ira*, cap. ultimo, p. 206, l. 52. SYLBURG.

ria, et quæ fiunt per ignorationem; perinde ac si A homo aliquis, non Deus, tam magnum præberet donum. Huic dicit Scriptura : « Existimasti, o impie, quod ero tui similis [a]. » Sed etsi punimur propter voluntaria, non ut desinant esse facta, cum facta fuerint, sed quod facta sint, punimur. Punitio autem non juvat eum qui peccavit, ad hoc ut non fecerit, sed ad hoc ut non peccet amplius, neque ullus alius incidat in similia. Hic ergo bonus Deus castigat propter has tres causas : primum quidem, ut is, qui castigatur, seipso melior evadat; deinde, ut ii, qui possunt salvi fieri, per exempla præparentur admoniti ; et tertio, ne is, qui injuria afficitur, contemptui habeatur, et aptus sit ad injuriam accipiendam. Sunt autem duo **230** quoque modi correctionis : unus quidem, docendo; B alter vero puniendo, quem etiam castigantem diximus. Sciendum est autem eos, qui post lavacrum in peccata incidunt, eos esse qui castigantur. Quæ enim prius facta sunt, dimissa sunt; quæ autem postea fiunt, expurgantur. De incredulis dictum est, eos esse « reputatos tanquam pulverem, quem projicit ventus a facie terræ, et guttam quæ a cado excidit [b]. »

λαβες, ἄνομε, ὅτι ἔσομαί σοι ὅμοιος. » Ἀλλ' εἰ καὶ ἐπὶ ταῖς ἑκουσίοις κολαζόμεθα, οὐχ ἵνα μὴ γένωνται γενόμεναι, ἀλλ' ὅτι ἐγένοντο, τιμωρούμεθα. Κόλασις δὲ τὸν ἁμαρτήσαντα οὐκ ὠφελεῖ εἰς τὸ μὴ πεποιηκέναι, ἀλλ' εἰς τὸ μηκέτι ἁμαρτάνειν, μηδὲ μὴν ἄλλον τινὰ τοῖς ὁμοίοις περιπεσεῖν. Ἐνταῦθα οὖν ὁ ἀγαθὸς Θεὸς διὰ τρεῖς ταύτας παιδεύει αἰτίας· πρῶτον μὲν, ἵν' αὐτὸς ἀμείνων αὐτοῦ γένηται ὁ παιδευόμενος· εἰσέπειτα, ὅπως οἱ δι' ὑποδειγμάτων σωθῆναι δυνάμενοι προανακρούωνται νουθετούμενοι· καὶ τρίτον, ὡς μὴ ὁ ἀδικούμενος εὐκαταφρόνητος ᾖ, καὶ ἐπιτήδειος ἀδικεῖσθαι. Δύο δὲ καὶ τρόποι τῆς ἐπανορθώσεως· ὁ μὲν διδασκαλικὸς, ὁ δὲ κολαστικὸς, ὃν καὶ παιδευτικὸν εἰρήκαμεν· ἰστέον μέντοι, τοὺς μετὰ τὸ λουτρὸν (51) τοῖς ἁμαρτήμασι περιπίπτοντας, τούτους εἶναι τοὺς παιδευομένους· τὰ μὲν γὰρ προενεργηθέντα ἀφείθη, τὰ δὲ ἐπιγινόμενα ἐκκαθαίρεται. Περὶ τῶν ἀπίστων εἴρηται, « λελογίσθαι τούτους ὡς χνοῦν (52), ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς, καὶ σταγόνα τὴν ἀπὸ κάδου. »

CAPUT XXV.

In cognitione et amore Dei sitam esse veram perfectionem.

« Beatus est qui habet scientiæ disciplinam, et neque ad damna civium, neque ad injustas impellitur actiones, sed immortalis naturæ senii expertem C intuetur ornatum, quanam ratione, et quo pacto, quove modo constiterit. Iis autem, qui sunt ejusmodi, nunquam turpium factorum insidet meditatio. » Merito ergo Plato quoque eum, « qui ideas contemplatur, » dicit « victurum esse Deum inter homines; mens autem est locus idearum, mentis vero est Deus. » Eum, qui Deum invisibilem contemplatur, dixit « deum viventem inter homines. » Porro autem in *Sophista* quoque Eleatem hospitem, cum esset dialecticus, Socrates « deum » nominavit, « quales sunt dii externis hospitibus

« Ὄλβιος, ὅστις τῆς ἱστορίας ἔσχε μάθησιν, μήτε πολιτῶν ἐπιπημοσύνη (53), μήτ' εἰς ἀδίκους πράξεις ὁρμῶν, ἀλλ' ἀθανάτου καθορῶν φύσεως κόσμον ἀγήρω, πῇ τε συνέστη, καὶ ὅπη, καὶ ὅπως, τοῖς δὲ τοιούτοις, οὐδέ ποτ' αἰσχρῶν ἔργων μελέτημα προσίζει. » Εἰκότως οὖν καὶ Πλάτων « τὸν τῶν ἰδεῶν θεωρητικὸν Θεὸν ἐν ἀνθρώποις ζήσεσθαί φησι· νοῦς δὲ (54) χώρα ἰδεῶν· νοῦς δὲ ὁ Θεός. » Τὸν ἀοράτου Θεοῦ θεωρητικὸν θεὸν ἐν ἀνθρώποις ζῶντα εἴρηκεν. Καὶ ἐν τῷ « Σοφιστῇ (55) » δὲ τὸν Ἐλεάτην ξένον, διαλεκτικὸν ὄντα, ὁ Σωκράτης « θεὸν » ὠνόμασεν « οἵους τοὺς θεοὺς ξείνοισιν (56) ἐοικότας ἀλλοδαποῖσιν, ἐπιφοιτῶντας τοῖς ἄστεσιν. Ὅταν γὰρ ψυχὴ γενέσεως ὑπεξαναβᾶσα, καθ' ἑαυτήν γε ᾖ, καὶ ὁμιλῇ

[a] Psal. XLIX, 21. [b] Psal. I, 4; Isa. XL, 15.

(51) *Μετὰ τὸ λουτρόν*. Hoc est, post baptismum, quo peccata omnia plene remitti, semper est creditum. Conf. *Stromat.* VI, p. 668 ed. Paris. et quæ ibi adnotanda sunt.

(52) *Ὡς χνοῦν*. Sic infra *Strom.* VI, p. 669 : D Ὡς χνοῦς, φησὶν, ἐλογίσθησαν καὶ ὡς σταγὼν ἀπὸ κάδου. « Reputati sunt, inquit, ut pulvis terræ, et ut gutta ex cado. » Et plenius *Strom.* VII, p. 766 : Ἀλλ' ἢ ὡς χνοῦς, ὃν ἐκρίπτει ἄνεμος ἀπὸ προσώπου τῆς γῆς, καὶ ὡς σταγὼν ἀπὸ κάδου. « Sed tanquam pulvis, quem projicit ventus a facie terræ, et tanquam stilla a cado. » Videtur in unum conjunxisse Psal. I, 4 : Οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως, ἀλλ' ἢ ὡς ὁ χνοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς· et Isa. XL, 15 : Εἰ πάντα τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδου, καὶ ὡς ῥοπὴ ζυγοῦ ἐλογίσθησαν. Conf. etiam Sap. XI, 22

(53) *Ἐπιπημοσύνῃ*. Rectius divise ἐπὶ πημοσύνῃ. A. mavult ἐπὶ πημονῇ. Eumdem locum H. in versus ita digerit, ut primi finis sit μάθησιν· secundi, πημοσύνῃ· tertii, ὁρμῶν· quarti, φύσεως· quinti, ὅπως· sexti, αἰσχρῶν· ultimi, προσίζει. SYLB.

(54) *Νοῦς δέ.* Magis placet νοῦς τε· itemque mox, καθ' ἑαυτήν τε, ut paulo post σὺν Χριστῷ τε dicitur. SYLBURG.

(55) *Σοφιστῇ*. Hæc in principio *Sophistæ* Platonis exstant : Ἆρ' οὖν, ὦ Θεόδωρε, οὐ ξένον, ἀλλά τινα θεὸν ἄγων κατὰ τὸν Ὁμήρου λόγον λέληθας, ὅς φησιν ἄλλους τε τοῖς ἀνθρώποις, ὁπόσοι μετέχουσιν αἰδοῦς δικαίας, καὶ δὴ καὶ τὸν ξένιον οὐχ ἥκιστα θεὸν συνοπαδὸν γιγνόμενον, ὕβρεις τε καὶ εὐνομίας τῶν ἀνθρώπων καθορᾶν. Τάχ' οὖν ἂν καί σοί τις οὗτος τῶν κρειττόνων συνέποιτο, φαύλους ἡμᾶς ὄντας ἐν τοῖς λόγοις ἐποψόμενός τε καὶ ἐλέγξων· θεὸς ὤν τις ἐλεγκτικός. « Forte, Theodore, dum virum hospitem tecum ducere credis, deum quemdam ducis. Inquit enim Homerus, cum deos alios, tum maxime hospitalem deum inter homines, qui justi pudoris participes sunt, versari, et hominum contumelias injuriasque inspicere. Te forsitan et hic e superis unus huc secutus est, ut nos, qui a disputandi ratione aberramus, animadvertat atque corripiat : ipse redargutionis deus. » Homeri locus, quem respexisse videtur Plato, exstat *Odyss.* I, vers. 269.

(56) *Ξείνοισιν*. Respicit *Odyss.* P, vers. 490 :

Καί τε θεοὶ ξείνοισιν ἐοικότες ἀλλοδαποῖσι,

τοῖς εἴδεσιν· « οἷός ἐστιν ὁ ἐν τῷ « Θεαιτήτῳ » κορυφαῖος (57)· οἷον ἄγγελος (58) ἤδη γενόμενος, σὺν Χριστῷ τε ἔσται, θεωρητικὸς ὤν, ἀεὶ τὸ βούλημα τοῦ Θεοῦ σκοπῶν, τῷ ὄντι

A similes, qui in urbes ventitant. Quando enim anima transcendit ✠ generationem, et per se fuerit, et cum formis seu ideis versatur, » qualis est, qui coryphæus dicitur in *Theæteto*, is factus tanquam angelus, erit cum Christo, versabitur in contemplatione, semper Dei voluntatem considerans; revera hic

Οἶος (59) πεπνυμένος, τοὶ δ' ὡς σκιαὶ ἀΐσσουσιν.

Solus prudens, isti volitant velut umbræ.

Νεκροὶ (60) γὰρ τοὺς ἑαυτῶν θάπτουσι νεκρούς. Ὅθεν Ἱερεμίας λέγει· « Πληρώσω αὐτὴν νεκρῶν γηγενῶν (61), οὓς ἔπαισεν ἡ ὀργή μου. Ὁ μὲν οὖν Θεὸς (62), ἀναπόδεικτος ὤν, οὐκ ἔστιν ἐπιστημονικός· ὁ δὲ Υἱὸς σοφία τέ ἐστι, καὶ ἐπιστήμη, καὶ ἀλήθεια, καὶ ὅσα ἄλλα τούτῳ συγγενῆ. Καὶ δὴ καὶ ἀπόδειξιν ἔχει, καὶ διέξοδον· πᾶσαι δὲ αἱ δυνάμεις Πνεύ- B ματος, συλλήβδην μὲν ἕν τι πρᾶγμα γενόμεναι, συντελοῦσιν εἰς τὸ αὐτὸ, τὸν Υἱόν· ἀπαρέμφατος δέ ἐστι τῆς περὶ ἑκάστης αὐτοῦ τῶν δυνάμεων ἐννοίας. Καὶ δὴ οὐ γίνεται ἀτεχνῶς ἓν ὡς ἕν, (63) οὐδὲ πολλὰ ὡς μέρη ὁ Υἱὸς, ἀλλ' ὡς πάντα ἕν· ἔνθεν καὶ πάντα· κύκλος γὰρ ὁ αὐτὸς πασῶν τῶν δυνάμεων εἰς ἓν εἰλουμένων καὶ ἑνουμένων· διὰ τοῦτο « Α καὶ Ω » ὁ Λόγος εἴρηται· οὗ μόνου τὸ τέλος ἀρχὴ γίνεται, καὶ τελευτᾷ πάλιν ἐπὶ τὴν ἄνωθεν ἀρχὴν, οὐδαμοῦ διάστασιν λαβών. Διὸ δὴ καὶ τὸ εἰς αὐτὸν καὶ τὸ δι' αὐτοῦ πιστεῦσαι μοναδικόν (64) ἐστι γενέσθαι, ἀπερισπάστως ἑνούμενον ἐν αὐτῷ· τὸ δὲ ἀπιστῆσαι διστάσαι ἐστὶ, καὶ διαστῆναι, καὶ μερισθῆναι. « Διὰ τοῦτο τάδε λέγει Κύριος (65)· Πᾶς υἱὸς ἀλλογενὴς, ἀπερίτμητος C καρδίᾳ, καὶ ἀπερίτμητός ἐστι σαρκί· τουτέστιν, ἀκάθαρτος σώματί τε καὶ πνεύματι· οὐκ εἰσελεύσεται εἰς τὰ ἅγια ἀπὸ τῶν ἀλλογενῶν ἐν μέσῳ οἴκου Ἰσραὴλ, ἀλλ' ἢ οἱ Λευῖται. Ἀλλογενεῖς » δὲ εἴρηκεν τοὺς μὴ πιστεῦσαι βουληθέντας, ἀλλ' ἀπιστεῖν ἐθέλοντας. Μόνοι τοίνυν οἱ καθαρῶς βιοῦντες ἱερεῖς ὄντως τοῦ

Mortui enim sepeliunt mortuos suos. Unde dicit Jeremias: « Implebo ipsam mortuis terra genitis, quos percussit ira mea [a]. » Atque Deus quidem, cum demonstrari nequeat, non potest esse scientiæ objectum; Filius autem est et sapientia, et scientia, et veritas, et quæcunque cum hoc ullam habent cognationem. Quinetiam habet demonstrationem, et vim ratiocinandi. Omnes autem Spiritus potestates, cum simul una res factæ fuerint, ad idem conferunt, nempe ad Filium. Est autem infinitus unaquaque suarum potestatum notione. Quanquam non sit vere unum, ut unum, neque multa ut partes Filius, sed ut omnia unum, unde etiam omnia. Est enim idem circulus omnium potestatum, quæ in unum circumvolvuntur et uniuntur. Et ideo Logos dictus est « alpha et omega [b], » cujus solius finis sit principium, et rursus desinit in id quod est antea principium, nusquam distantiam accipiens et dimensionem. Quamobrem et in ipsum et per ipsum credere, est unicum fieri, scilicet in ipso indivulse unitum; non credere autem, est discerni, spatioque disjungi et dividi. « Propterea hæc dicit Dominus: Omnis filius alienigena est incircumcisus corde, et incircumcisus carne, » hoc est immundus et corpore et spiritu, « non ingredietur in sancta ex alienigenis in medio domus Israel, præterquam Levitæ [c]. Alienigenas » autem dixit eos, qui noluerunt

✠ P. 635 ED. POTTER, 537 ED. PARIS. [a] Jerem. XXXIII, 5. [b] Apoc. I, 8. [c] Ezech. XLIV, 9, 10.

Παντοῖοι τελέθοντες, ἐπιστρωφῶσι πόληας,
Ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορῶντες.
Et dii hospitibus similes peregrinis,
Omnifarii exsistentes, versantur per civitates,
Hominum fasque nefasque inspicientes.

(57) *Κορυφαῖος*. Plato in *Theæteto* p. 127: Λέγωμεν δὴ, ἐπεί σοί γε δοκεῖ, περὶ τῶν κορυφαίων. « Dicamus igitur, quoniam tibi videtur, de his qui principes sunt. »

(58) *Οἷον ἄγγελος*. Respicit forte Matth. XXII, 30: Ὡς ἄγγελοι τοῦ Θεοῦ ἐν οὐρανῷ εἰσι.

(59) *Οἶος*. Homeri versus est, ex *Odyss.* K, SYLBURG.

(60) *Νεκροί*. Respicit Matth. VIII, 22: Ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς.

(61) *Πληρώσω αὐτὴν νεκ. γ.* Jerem. XXXIII, 5: Καὶ πληρῶσαι αὐτὴν νεκρῶν τῶν ἀνθρώπων, οὓς ἐπάταξα ἐν ὀργῇ μου. Latina: « Venientium ut dimicent cum Chaldæis, et impleant eas cadaveribus hominum, quos percussi in furore meo et in indignatione mea. » Quidam ex Hebræo interpretantur: « Dominus dixit ad domos Juda, quæ destructæ sunt; eo quod habitatores earum venerunt, ut dimicarent cum Chaldæis, ut implerent eas domos cadaveribus, et multis Judæis cæsis efficerent, ut implerentur. » Quæ vero paulo ante dixit, « revera hic solus prudens. » Gr.: Οἶος πεπνυμένος, τοὶ δὲ σκιαὶ ἀΐσσουσιν, ad versum pertinent *Odyss.* K, de Tiresia vate, « cui uni Proserpina dicitur dedisse ut etiam defunctus sapiat, reliquas autem umbras volitare. » Usurpatum est hoc deinde in Chrysippum magnifice de se sentientem, ut refert Diog. Laertius l. VII, et in Scipionem juniorem, ut Plutarchus in *Politicis præceptis*:

Οἶος πέπνυται, τοὶ δὲ σκιαὶ ἀΐσσουσιν.
Ille sapit solus, volitant alii velut umbræ.

Vide Proverb. 53, cent. 3, chil. 2. COLLECT.

D (62) *Ὁ μὲν οὖν Θεός*. Sancti Patres tradunt, Deum Patrem nunquam apparuisse, sed Filium solum. Conf. D. Bulli *Defensio fidei Nicænæ*, p. 90 edit. fol. London.

(63) *Ἓν ὡς ἕν*. Dicit Filium non esse « unum tanquam unum; » hoc est, eo modo, quo res illæ, quæ certo loco definiuntur, unum sunt; nec tamen esse « multum, » seu multis partibus constantem; sed in vera ac propria « unitate omnia » comprehendere. Proinde « circulo » illum comparat; quæ figura nec initium nec finem habet, verum a quocunque ejus puncto initium ducatur, in eodem desinendum est. Atque hoc modo divina immensitas quodammodo adumbrari solet. Conf. D. Bullus, libri superius dicti p. 189, 190.

(64) *Μοναδικόν*. Conf. pag. 535, et quæ ibi adnotata sunt, pag. 582, 726 edit. Paris.

(65) *Διὰ τοῦτο τάδε λέγει Κύριος*. Vulg. Bibl. Ezech. XLIV: Λέγει Ἀδωναὶ Κύριος ὁ Θεός· et mox, ἀπερίτμητος σαρκὶ, absque verbo ἐστί· dein, εἰς τὰ

runt credere, sed volunt esse increduli. Soli ergo ii, qui puram agunt vitam, vere sunt Dei sacerdotes. Ea de causa cum omnes tribus circumciderentur, reputatæ sunt sanctiores, quæ ungebantur in pontifices, et reges, et prophetas. Unde eis præcipit ne ✠ tangere quidem mortuos, nec ingredi ad eos, qui obiissent; non quod pollutum sit corpus, sed quod peccatum et inobedientia sit carnalis, et in corpore versetur, sitque mortua, et ideo abominanda. Ad solum ergo patrem et matrem, filiumque et filiam mortuam permissum est ingredi sacerdoti, quoniam hi soli sunt cognati carnis et seminis, a quibus proximam et continentem causam ingressus in vitam accepit quoque sacerdos. Mundantur autem hi quoque septem diebus, per quot dies perficitur generatio; septimo enim quies celebratur, octavo autem « offert propitiationem [a], » ut scriptum est in Ezechiele, per quam propitiationem accipienda est promissio. Perfecta est autem, ut existimo, purgatio ac emundatio, quæ per legem et prophetas docetur propitia fides in Evangelium, et quæ est per omnem obedientiam puritas, cum rerum quoque mundanarum depositione, usque ad gratam tabernaculi redditionem a jucundo usu animæ. Sive ergo fuerit tempus, quod per septem, quæ enumerantur, periodos in summam redit quietem; sive septem cœli, quos quidam per ascensum numerant; sive etiam inerrans regio, quæ appropinquat mundo, qui percipitur intelligentia, dicatur octava : dicit tamen oportere gnosticum ex generatione emergere et ex peccato. Septem itaque diebus sacrificantur hostiæ pro peccatis. Est enim adhuc mutationis metus; qui ad septimum ambitum pertingit. Job autem justus : « Ipse, » inquit, « nudus sum egressus ex utero matris meæ, et nudus

